potest. In quemdam hominem Epirotam dicteria continent, qui ubi gregem, quem pascebat, dereliquit, et Thessalonicam aufugit, detonsa coma Neophytus nominari voluit. Ibi ut gratum schismaticis faceret, ac sui ingenii insigne aliquod argumentum ederet, contra s. Romanam Ecclesiam libellum, soloecismis et ignorantia redundantem, vulgavit. Lepide exponitur inepti hominis arrogantia, et superbia, quae miserum Graeciae statum prae oculis ponunt, quaeque schismatis sunt deplorabiles et praecipuae caussae.

Non equidem futilitas argumenti me induxit ad rude speciosumque carmen edendum, sed carminis ipsius peculiaris structura, quod, quamvis anacreonticon vocetur, nihil habet quod severis prosodiae legibus adcommodari possit. Hinc historiam declinationis Graecae poeseos contexere aliquando licebit, quae sensim, pro avita quantitate metrica oblita, accentus tandem in certas syllabas admisit. Insunt praeterea Catrarae versibus vernaculi mei sermonis Epirotici-pelasgici vocabula, et quaedam regionum finitimarum barbara ita inter sese copulata, ut dum corruptelam a vetere forma dicendi signant, ad historiam recentioris linguae concinnandam non parum conferunt.

Denique Catrarem sequitur Manuelis Palaeologi eiusdem fere argumenti breve anacreonticon in quemdam ignorantem et mordacem nugatorem: quod si inter hos auctores nullus inveniretur intermedius, aliquot annis supra saeculum interpositis quantum ars poetandi in deterius ierit observari poterit. Quapropter utilissima foret

Digitized by Google

philologis anacreonticorum omnis aevi collectio, quod forte in animo erat Allatio, cuius in adversariis huiusmodi collectionem inspexi. Spartam hanc ex parte exornabo anacreontica Sophronii recudens, tum forte alia, tum quae in hoc volumine leguntur, ordine chronologico disponam, et melodorum seriem a VI. ad XV. saeculum ducam.

Antequam finem praefationi faciam, et quasi coronidem epigramma prope Urbem inventum addam, quippe quod nomen proprium praeseferat, ignotum etiam recentioribus lexicographis, ius expostulat ut memoriae gratique animi caussa commemorem insignem erga mea studia benivolentiam bibliothethecae Vaticanae Praesulum, quorum benignitate deperditorum auctorum non deseram reliquias suscitare, meo officio scriptoris Graeci eiusdem bibliothecae substituti sedulo incumbens.

ΣΠΕΝΔΟΦΟΡΩ ΤΟΔΕ ΣΗΜΑ
ΚΑΥΤΟΙ ΤΕΥΞΑΝΤΟ ΤΡΟΦΗΕΣ
ΔΩΔΕΚ ΕΤΟΥΣ ΜΟΙΡΩΝ ΟΙΜΟΝ
ΑΜΕΙΒΟΜΕΝΟΥ ϛ

Digitized by Google

# INDEX OPERVM

QVAE ANECDOTORVM VOLVMINE

COMPREHENDVNTVR.

## PARS I.


Editoris praefatio, in qua agitur de auctoribus eorumque scriptis hoc volumine contentis, praevia epistola ad Sibyllam Mertens-Schaaffhausen, pag. 5-37.

1. *1.* Iohannis Tzetzae, Prooemium in allegorias homericas pag. 1-40.

   2. Eiusdem in Iliada allegoriae p. 41-223. — In I. Iliadis scilicet p. 41-53. — In II. p. 53-7. — In III. p. 57-68. — In IV. p. 63-6. — In V. p. 66-70. — In VI. p. 70-3. — In VII. p. 73-7. — In VIII. p. 78-84. — In IX. p. 84-9. — In X. p. 89-92. — In XI. p. 92-101. — In XII. p. 101-7. — In XIII. p. 108-14. — In XIV. p. 115-7. — In XV. p. 117-25. (Auctoris monitum de Cotertzae liberalitate ibid. et sq.) — In XVI. p. 126-40. — In XVII. p. 141-5. — In XVIII. p. 145-70. — In XIX. p. 170-5. — In XX. p. 175-90. — In XXI. p. 190-202. — In XXII. p. 202-8. — In XXIII. p. 208-12. — In XXIV. p. 212-23.

   3. Eiusdem Prooemium in Odysseae allegorias p. 224-6.

   4. Argumentum Odysseae ib.

   5. Allegoriae, quae supersunt in XIII. libros Odysseae, p. 227-67. — In I. Odysseae videlicet p. 227-38. — In II. p. 238-41. — In III. p. 241-5. — In IV. p. 245-50. — In V. p. 250-6. — In VI. p. 257-63. — In VII. p. 263-6. — In VIII. p. 266-73. — In IX. p. 273-9. — In X. p. 279-84. — In XI. p. 284-9. — In XII. p. 289-93. — In XIII. p. 293-5

2. Heraclidis allegoriae homericae, p. 296-361.


Digitized by Google

## PARS II.

3. Anonymi argumentum totius Iliadis, p. 361-3.
6. Iohannis Tzetzae, de deorum generatione et allegoriae, p. 364-71.
7. Eiusdem Theogonia, p. 577-98.
8. Eiusdem scholia in allegorias, p. 599-619. Addenda p. 749.
9. Eiusdem iambi funebres in Manuelem Comnenum, p. 619-22.
10. Eiusdem Drama, interloquuntur indoctus, sapiens, musae, chorus, p. 622.
4. Scholia vetera in I. et II. Iliadis, p. 372-479.
5. 1. Christophori Contoleonis scholia, sive quaestiones homericae, p. 479-98.
2. Eiusdem in Iliadis argumentum p. 498-504.
3. Eiusdem in Odysseae argumentum, p. 501-10.
4. Eiusdem allegoriae in Agamemnonis armaturam, p. 510-20.
6. 1. (Nicephori Gregorae) encomium Odyss., p. 520-4.
2. Eiusdem enarratio errorum Ulyssis, p. 525-31.
7. Leonis Allatii Ilii imago, p. 531-6.
8. Incerti regulae grammaticales de verborum formatione ab Homero depromptae, p. 536-51.
9. Theodori Prodromi carmen in nuptias Irenes Comnenae Imperatricis, p. 552-4.
10. 1. Constantini Grammatici Siculi carmina elegiaca in Leonem philosophum Imperatorem, p. 555-6
2. Eiusdem anacreonticon suavissimum et religione erga Deum insigne, quod, patria (Syracusis fortasse) studiorum causa relicta, moerens Byzantii cecinit, eo quod falso fama detulisset parentes et fratres e Sicilia solventes naufragasse, p. 689-92.

Digitized by Google

3. Eiusdem anacreonticon bene moratum, paraenesim continens ad Amoris insidias vitandas, p. 693-6.
4. Eiusdem anacreonticon, p. 696-8.

11. 1. Leonis philosophi Imp. iambi apologetici, p. 557-9.
2. Eiusdem epigramma, ib.
3. Eiusdem iambi de misero Graeciae statu, p. 560.
4. Eiusdem anacreonticon compunctorium, p. 684-8.

12. 1. Leonis Magistri versus funebres in Theoctisten filiam, p. 561.
2. Eiusdem anacreonticon in nuptias Imperatoris Leonis philosophi, p. 561-4.
3. Eiusdem in idem argumentum, p. 564-5.
4. Eiusdem in thermas a Leone Imperatore in aula regia extructas, p. 565-8.
5. Eiusdem in Augustam Helenam Constantini uxorem, p. 568-71

13. Acoluthi Grammatici anacreonticon in brumalia, p. 571-3.

14. 1. Georgii Grammatici anacreonticon, p. 573-4.
2. Eiusdem anacreonticon, p. 574-5.
3. Eiusdem, quid dicere potuerit Venus, quum Minerva plantasset olivam et nata esset rosa, p. 648-53.
4. Eiusdem, quid dixisset Venus, quum oblata rosa, Pallas suaderetur Troianis auxilia conferre, p. 654-5.
5. Eiusdem, quid dicere potuerit Mars Venerem aspiciens sauciatam spina rosae, p. 655-9.
6. Eiusdem, quid dicere potuerit Apollon, persequens Daphnem, impeditus spina rosae obvia, p. 659-61.
7. Eiusdem, quid diceret Phaedra Hippolytum videns coronatum rosis, ib.
8. Eiusdem in idem argumentum, p. 662-4.

15. 1. Constantini Rhodii iambi scoptici in Leonem Choerosphacten, p. 624-5.
2. Eiusdem iambi scoptici in Theodorum Eunuchum Paphlagonem, p. 625-6.

Digitized by Google

3. Rhodii, et Paphlagonis invicem responsa iambis, p. 627-32.

16. 1. Iohannis Gazaei ἐπιβατήριος, idest in laudem patriae; ad quam reversus erat, p. 575-6.

2. Eiusdem anacreonticon in laudem praestantissimi Zachariae Ascalonitae, mille militum ducis, aliqua dicuntur etiam in laudem praeclarissimi Zachariae Gazaei ad recitationem adstantis, p. 633.

3. Eiusdem epithalamium extemporaneum in admirandum Anatolium Phausti principem Gazae, p. 634-5.

4. Eiusdem extemporaneum in die rosarum, p. 635-6.

5. Eiusdem lusus, quem cecinit in die rosarum, p. 636-8.

6. Eiusdem, quid diceret quaerens Adonem Venus, cui Iuppiter consone respondet, p. 638-41.

17. 1. Heliae Syncelli anacreonticon poenitentiae, p. 641-4.

2. Eiusdem lamentatio in seipsum, p. 645-8.

18. Ignatii Diaconi Grammatici in Paulum suum discipulum, p. 664-7.

19. 1. Christophori primi a Secretis exhortatio ad Israëlitas, p. 667-9.

2. Eiusdem in idem argumentum, p. 669-70.

20. Arsenii Archiepiscopi anacreonticon in festum s. Pascae, p. 670-5.

21. Iohannis Catrarae versus anacreontici in Neophytum, p. 675-82.

22. Manuelis Palaeologi Imperatoris anacreonticon in quemdam ignorantem et loquacem, p. 682. sqq.

*Indices varii*

Videlicet I. auctorum, qui a Tzetza in allegoriis citantur, p. 669-70. et 674.

II. Homeri versus ab auctore allegati, adnotatis variantibus, p. 701-7.

Digitized by Google

Homeri versus, qui obelo a Tzetza notantur, p. 708.

III. Variae lectiones allegoriarum VIII. codd. Vaticanorum, p. 709-48.

IV. Mythologicus, ibi allegorica interpretatio *asterisco* notatur, p. 750-9.

V. Geographicus, in quo *asteriscus* indicat recens nomen antiquo respondens, p. 759-65.

VI. Nominum propriorum, p. 765-81.

VII. Auctorum, qui in scholiis Homeri, et a Contoleone citantur, p. 782-3.

VIII. Auctores ab Heraclide allegati, p. 783-4.

IX. Heraclidis variantes ab editione Nic. Schowii, p. 784-95.

Addenda et corrigenda ad Heraclidem, p. 795-6.

Ad Tzetzam et ceteros auctores, p. 797-9.

---

*In praefationis pag. 15. lin. 22. lege* - impressi, *et lin. 29.* - imperatricem.

---

FINIS.

Digitized by Google

Digitized by Google

Digitized by Google

# ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΟΜΗΡΟΥ

## ΑΛΛΗΓΟΡΗΘΕΙΣΑ ΠΑΡΑ ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ ΤΗ ΚΡΑΤΑΙΟΤΑΤΗ ΒΑΣΙΛΙΣΣΗ ΚΑΙ ΟΜΗΡΙΚΩΤΑΤΗ ΚΥΡΑ ΕΙΡΗΝΗ ΤΗ ΕΞ ΑΛΑΜΑΝΩΝ.

### ΤΟ ΠΡΟΟΙΜΙΟΝ ΠΡΟΣ ΤΟ ΚΕΛΕΥΣΑΝ ΠΡΟΣΩΠΟΝ ΑΥΑΣΘΑΙ ΤΟΝ ΤΖΕΤΖΗΝ ΤΑΥΤΗΣ ΤΗΣ ΣΥΓΓΡΑΦΗΣ.

Ἐπεὶ φαῦδρὰ, πανσέληνε σελήνη, σελασφόρε,
ἐκ ἐκ ῥοῶν Ὠκεανοῦ φαίνουσα λελαμένη,
ἀλλ' ἐκ πορφύρας τῆς κλεινῆς, ὡς ἔπεισιν εἰκάσαι,
ἀναστιρτῶσα φερανγῆς, καὶ πλέον τοῦ φωσφόρου
χρήζεις ἐλαύνειν πόρρω πορ σαῖς ψυχικαῖς ἀκτῖσι,
τὸ σκοτεινὸν τῶν λέξεων, καὶ βίβλων τὴν ἔσπερον,
ὁ κατὰ Κλεοπάτραν δὲ βασίλισσαν τὴν πάλαι
τῷ Ἐφεσίῳ ἰατρῷ τῷ Σωρανῷ χρωμένην,
μετέρχῃ τὰ καλλύνοντα μορφὰς τὰς τῶν προσώπων·
ἔτε χερσὶν τι πέλαγος βραχύτατον ἐθέλεις,
ὥσπερ ἐκείνη πρότερον ἐν τῇ Ἀλεξανδρείᾳ
τῷ Δεξιφάνει τῷ σοφῷ μηχανικῷ Κνιδίῳ,
χερσώσασθαι τὴν θάλασσαν μέχρι τετραστάδιος·
ἐπεὶ τοιοῦτον ἐδαμῶς βέλεταί σοι τὸ κράτος,
ἔτε τὸν Ἄθω θάλασσαν ὄρος ποιῆσαι μέγα,
ἢ τὴν Ἀβύδου θάλασσαν ἑλκάσι γεφυρῶσαι,
ὥσπερ ὁ Ξέρξης ἔθρασεν ὁ Πέρσης πρὶν ἐκεῖνος



Digitized by Google

ἐκ τῆς Περσίδος στράτευμα κενὸν πρὸς τὴν Ἑλλάδα·
ἀλλ' ὡς ἀθέατος θεός, τῇ θέσει γὰρ, ὁ φύσει,
ἐπεντρυφῶσα ταῖς μορφαῖς καὶ κάλλεσι τῶν λόγων,
διὰ βροντῆς καὶ λαίλαπος ὁμοῦ καὶ τῆς νεφέλης,
θείαν φωνὴν προπέμπουσα γέμουσαν ὅλην φρίκης,
χειροτονεῖς τὸν δεῖλον σε τὸν δεῖνα, τὸν ὁποῖον,
γενέσθαι τύπον ἀκραιφνῆ τῶ πάλαι Μωϋσέως,
ἐχὶ φυγάδα σώζοντα λαὸν Ἰσραηλίτην
τὸ ἐρυθραῖον πέλαγος τεμόντα βακτηρίᾳ,
οὐδὲ Περσίδος θάλασσαν, οὐδὲ τὴν Ὑρκανίαν,
ἀλλὰ τὸν μέγαν τὸν βυθὸν ὠκεανὸν Ὁμήρου,
τὸν πᾶσαν περισφίγγοντα κύκλῳ τὴν οἰκουμένην,
βατὸν κελεύεις ἅπασι καὶ πορευτὸν ποιῆσαι,
ὡς Μωϋσῆς τὴν ἐρυθρὰν Ἰσραηλίταις πάλαι·
ἤδη χωρῶ πρὸς τὸν εἰρμὸν, καὶ γλώττης βακτηρίᾳ
πλήξας αὐτὸν, τοῖς σύμπασι πορεύσιμον ποιήσω,
καὶ βάθη τὰ ἀθέατα τότε φανεῖται πᾶσιν·
ἀλλ' ἀναχαιτιζέσθωσαν αἱ μωμοσκόποι γλῶσσαι
ἐξυλακτεῖν τι καθ' ἡμῶν οἰστρούμενοι τῷ φθόνῳ·
ὡς γὰρ αἱ πάλαι γράφουσι τὸν Δία μυθεργίαι
μεταβαλεῖν εἰς μόρφωμα πιθήκων τὰς Τιτάνας,
οὕτω καὶτὸς νῦν βούλομαι τρόποις οἰκονομίας
μεταβαλεῖν τὰς ἥρωας συγγράμμασι πιθήκων.

Καὶ δὴ λοιπὸν πετάσασα τὰς θείας ἀκοάς σε
πρὸ πάντων πρῶτον μάνθανε τῆ ποιητῆ τὸ γένος,
πατρίδα καὶ γεννήτορας μετὰ τῶν διδασκάλων,
καὶ χρόνους, οἷς ἐτύγχανε, καὶ πόσας γράφει βίβλους,
καὶ πῆ καὶ πῶς ἐξέλειψε τὸν βίον τελευτήσας·
καὶ δῆτα τὴν ὑπόθεσιν μάθε τῆς Ἰλιάδος
κατὰ λεπτὸν τὴν σύμπασαν, καὶ τὰς μορφὰς Ἑλλήνων·
εἶτα δ' εἰ θέλεις μετ' αὐτὰ καὶ πᾶσαν Ἰλιάδα,

Digitized by Google

ὥςπερ κελεύει θέλημα τὸ σὸν μεταποιήσω·
τέως πρὸ πάντων μάνθανε τοῦ ποιητοῦ τὸ γένος.
Ὁ Ὅμηρος ὁ πάνσοφος, ἡ θάλασσα τῶν λόγων,
πλὴν γέμουσα τοῦ νέκταρος, οὐχ ἁλμυρῶν ὑδάτων,
ἑπτὰ πατρίδων λέγεται τυγχάνειν ἀμφιβόλων,
ἑπτὰ πατέρων γέννημα, καὶ τούτων ἀμφιβόλων·
λέγεται γὰρ ἐκ τῶν Θηβῶν ὑπάρχειν τῆς Αἰγύπτου,
ἑτέροις Βαβυλώνιος, Χῖος δοκεῖ τοῖς ἄλλοις,
Ἰήτης, Κολοφώνιος, Σμυρναῖος, Ἀθηναῖος,
σὺ δὲ Σμυρναῖον γίνωσκε τὸν Ὅμηρον ὑπάρχειν·
ἑπτὰ πατέρας λέγουσιν πάλιν ὑπάρχειν τούτου·
οἱ μὲν γὰρ τούτου λέγουσιν πατέρα Μενεμάχην,
Αἰγύπτιον τυγχάνοντα ἱερογραμματέα·
οἱ δὲ πάλιν Δαήμονα, τινὲς δὲ Μασσασώραν,
ἀνθρώπους ἄμφω ζήσαντας ἐμπορικὸν τὸν βίον·
Τηλέμαχον καὶ Θάμυριν ἄλλοι ληροῦσι πάλιν,
ἄλλοις δὲ Μαίονος υἱὸς, καὶ Ὑρνηθοῦς καλεῖται·
οἱ πλέονες δὲ Μέλητος φασὶ καὶ Κριθηΐδος.
Διδάσκαλος Ὁμήρου δὲ γίνεται Προναπίδης·
ὁ Κάδμος ἐξ Αἰγύπτου γὰρ ἐλθὼν εἰς τὴν Ἑλλάδα
τὸν Λῖνον ἐξεπαίδευσεν ἐν γράμμασι Φοινίκων·
ὁ Λῖνος ἐξεπαίδευσεν ὁ μαθητὴς τοῦ Κάδμου
Ὀρφέα, Ἡρακλέα τε καί γε τὸν Προναπίδην·
τὸν Λῖνον τὸν διδάσκαλον ὁ Ἡρακλῆς φονεύει·
ὁ δὲ Ὀρφεὺς διδάσκαλος γίνεται Προναπίδῃ·
ὁ Προναπίδης οὗτος δὲ τὸν Ὅμηρον διδάσκει·
καὶ δὴ μαθὼν ὁ Ὅμηρος πάντα τὰ Προναπίδους,
χρήζων καὶ πλείονα μαθεῖν, εἰς Αἴγυπτον ἀπῆλθε,
κἀκεῖ λοιπὸν ἐτρύγησε πάσης σοφίας ἄνθος·
σοφὸς δ' ἄκρως γενόμενος ὑπὲρ ἀνθρώπου φύσιν
τρία καὶ δέκα γέγραφε μνημόσυνον βιβλία,

Digitized by Google

Μαργίτην καὶ τὴν Αἰγά τε, καὶ τῶν μυῶν τὴν μάχην,
τὴν Ἐπιγόνων μάχην τε γράφει, καὶ Θηβαΐδα,
τὴν Οἰχαλίαν, Κέκροπας, εἰς τοὺς Διὸς τε ὕμνους,
καὶ τοὺς ἑπτὰ ἐπ' Ἄκτιον, καὶ τὰς Ἐπικλήδας,
καὶ ἐπιγράμματα πολλὰ σὺν νυμφικοῖς τοῖς ὕμνοις,
καὶ τὴν Ὀδύσσειαν αὐτὴν μετὰ τῆς Ἰλιάδος·
ἀλλὰ καὶ χρόνον μάθε μοι τὸν τοῦ Ὁμήρου πρῶτον,
καὶ τὴν ἐκείνου τελευτήν· εἶτα σαφῶς ἀκούσεις
τὸν νοῦν καὶ τὴν ὑπόθεσιν πάσης τῆς Ἰλιάδος.

Οἱ μάτην γράφειν θέλοντες ἱστορικὰ βιβλία
ὁμόχρονον τὸν Ὁμηρον λέγουσιν Ἡσιόδου,
ἐπὶ τῷ Ἀμφιδάμαντος τάφῳ δοκιμασθέντες·
ἀλλ' ἔτοι μὲν ἠγνόησαν εἶναι πολλοὺς Ὁμήρους,
Ὅμηρον τὸν Βυζάντιον υἱὸν τὸν Ἀνδρομάχου,
καὶ τὸν τοῦ Εὐφρονος υἱὸν Ὁμηρον τὸν Φωκέα·
κἂν πέρ τι παρεσφάλησαν ἔτω συμπαθητέοι,
ὡς καὶ οἱ ὕστερον αὐτὸν εἰπόντες Ἡσιόδου·
ἐπὶ τῆς βασιλείας γὰρ λέγουσι τοῦ Ἀρξίππου
Ἡσίοδον καὶ Ὅμηρον ὑπάρχειν ἀμφοτέρους·
ἀλλὰ τὸν μὲν Ἡσίοδον ἀρχῆ τῆς βασιλείας,
τὸν Ὅμηρον πρὸς τέλους δὲ τοῦ κράτους τοῦ Ἀρξίππου,
χρόνους ὁμοῦ τριακοντα κρατήσαντος καὶ πέντε
τῆς βασιλείας Ἀθηνῶν· ἀλλ' ἀγνοοῦσιν ἔτοι
ποῖος ὑπῆρχεν Ὅμηρος τοῖς χρόνοις τοῦ Ἀρξίππου·
κατὰ δ' ἡμᾶς ὁ Ὅμηρος χρόνοις τετρακοσίοις
τοῦ Ἡσιόδου πρότερον, καὶ σκόπει μοι καὶ μάθε.
Ἐπὶ τῶν δύο στρατειῶν ὁ Ὅμηρος ὑπῆρχεν,
Θηβαϊκῆς καὶ Τρωϊκῆς, οἴδας ἐκ Προναπίδους,
καὶ Διονύσιος φησὶν ὁ κυκλογράφος τοῦτο·
μάθε καὶ ἄλλοθεν καλῶς ἀκριβεστέρως τοῦτο.
Ὁ ποιητὴς Στησίχορος υἱὸς ἦν Ἡσιόδου,

Digitized by Google

ἐν χρόνοις τῷ Φαλάριδος ὢν καὶ τῷ Πυθαγόρᾳ.
ἔτοι δ' Ὁμήρῳ ὕστεροι χρόνοις πεντακοσίοις·
ἐπεὶ γὰρ ἔγνωκας καλῶς καὶ χρόνον τῷ Ὁμήρῳ,
τὴν αὐτὸ μάθε τελευτὴν ποίῳ συνέβη τρόπῳ.
Πένης ὑπάρχων καὶ τυφλὸς γενόμενος ἐκ γήρως,
ἀπορούμενος διήρχετο τὰς χώρας τῆς Ἑλλάδος
λέγων αὐτὸ ποιήματα, δεχόμενος ἐντίμως·
ὡς δ' ἦλθε παρερχόμενος περὶ τὴν Ἀρκαδίαν,
ξενίζεται παρά τινι, κἀκεῖσε καταμένων
περιπατήσων ἔρχεται περὶ τὴν παραλίαν·
ἦσαν δ' ἐκεῖσε ἁλιεῖς ἄρμαν ἐκ ἠγρευκότες,
μόνον δὲ φθειριζόμενοι καὶ κτείνοντες τὰς φθείρας·
ὧν ἁλιέων Ὅμηρος ἀκέσας συλλαλούντων,
ὦ ἄνδρες, εἶπεν, ἁλιεῖς Ἀρκάδες, ἔχομέν τι
οἱ δ' ἀπεκρίναντο αὐτῷ περὶ φθειρῶν λαλοῦντες,
τὰς, ἃς μὲν ἐκρατήσαμεν, οὐκ ἔχομεν εἰσέτι·
ἃς περ δ' οὐκ ἐκρατήσαμεν, ἔχομεν μᾶλλον τύτας.
ὁ μὴ νοήσας Ὅμηρος, λεπτύμενος ἀμέτρως
πρὸς ἣν τότε κατέμενεν, ὑπέστρεφεν οἰκίαν·
πηλῷ δ' ἔντος ὀλίσθησε, καὶ κεφαλὴν εἰς πέτραν
κλᾶται πλευρὰν τὴν δεξιάν, καὶ τελευτᾷ τριταῖος.
Ἐπεὶ λοιπὸν μεμάθηκας καὶ θάνατον Ὁμήρου,
μάνθανε τὴν ὑπόθεσιν ἧλης τῆς Ἰλιάδος.
Οἱ μὲν ἀρχαιοτικώτερον γράφοντες καὶ χυδαίως,
γάμους Πηλέως λέγουσι καὶ Θέτιδος γενέσθαι,
καὶ συμπαρῆναι τοὺς θεοὺς τοῖς γάμοις ἐν Πηλίῳ,
καὶ σὺν αὐτοῖς καὶ τὰς θεάς, κατ' ἐξοχὴν δὲ ταύτας,
Ἥραν ὁμοῦ καὶ Ἀθηνᾶν, ὡς καὶ τὴν Ἀφροδίτην·
τὴν δ' Ἔριν δ' ἔσαν μάχιμον καὶ φιλονεικοτάτην
ταύτην ἀπεῖναι λέγουσι τῶν γάμων μὴ κληθεῖσαν·
αὐτὴ δὲ ζέσασα θυμῷ καὶ λύπῃ βεβλημένη

Digitized by Google

μῆλον ἐσκεύασε χρυσοῦν, ἔγραφε δὲ τῷ μήλῳ·
ΛΑΒΕ ΚΑΛΗ ΤΩΝ ΘΕΑΙΝΩΝ, ΛΑΒΕ ΚΑΛΗ ΤΟ ΜΗΛΟΝ,
ἢ, ΤΗ ΚΑΛΗ ΤΩΝ ΘΕΑΙΝΩΝ ΕΣΤΩ ΤΟ ΜΗΛΟΝ ΔΩΡΟΝ·
ὕτως ἡ Ἥρας ὡς φασι ποιήσασα τὸ μῆλον
ἀπὸ τῆς σφαίρας ἔρριψε μέσον τῷ γάμῳ τοῦτο·
εὐθὺς δὲ Ἥρα, Ἀθηνᾶ μετὰ τῆς Ἀφροδίτης
τὴν γαμικὴν τὴν τράπεζαν ἀφεῖσαι καὶ τὸν πότον,
περὶ τοῦ μήλου μάλιστα τὴν μάχην συνεκρότουν,
ἑκάστη τούτων λέγουσα κάλλει νικᾶν τὰς ἄλλας·
τέλος, λαβόντα τὸν Ἑρμῆν ταύτας ὁ Ζεὺς κελεύει
πρὸς τὸν Ἀλέξανδρον αὐτὰν ἀπαγαγεῖν εἰς Ἴδην·
ἣν δ' ἂν αὐτῶν Ἀλέξανδρος ὡραιοτέραν κρίνει,
ταύτην τὸ μῆλον ἔπαθλον λαμβάνειν εὐμορφίας·
ὡς δὲ ταχέως πρὸς αὐτὴν ἐγίνοντο τὴν Ἴδην,
Ἥρα μὲν πρὸς Ἀλέξανδρον τάδε φησὶ κρυφίως·
εἰ κρίνεις ἐμὲ κρείττονα καὶ δῷς μοι τὸ μῆλον,
ἄρχειν ἐγὼ ποιήσω σε δύσεως καὶ τῆς ἕω·
ἡ δ' Ἀθηνᾶ κατάρχοντι Φρυγῶν τῆς στρατηγίας
Ἑλλάδα πᾶσαν τ' ἔλεγε θέλην αὐτῷ ποιῆσαι·
ἡ δ' Ἀφροδίτη πρὸς αὐτὸν Ἀλέξανδρον εἶπεσα,
εἰ κρίνῃς τούτων κρείττονα, δώσω σοι τὴν Ἑλένην,
λαμβάνειν νικητήριον καὶ ἔπαθλον τὸ μῆλον,
Ἀλέξανδρος; Φερέκλει δὲ πλοῖα πεποιηκότος,
εἰς τὴν Ἑλλάδα κατελθὼν ἁρπάζει τὴν Ἑλένην.
ὅθεν ὁ μέγας πόλεμος ἐκείνοις ἀνερράγη,
καὶ πόλις ἡ περίβλεπτος ἡ Τροῖα κατεσκάφη,
καὶ πάντες παρανάλωμα γεγένασι τοῦ ξίφους·
ταῦτα φασὶν οἱ ἀμαθῶς λαλοῦντες καὶ νηπίως,
τὸ δ' ἀληθὲς νῦν μάνθανε λεπτῶς, ἠκριβωμένως.
Ὁ Λαομέδοντος υἱὸς Πρίαμος καὶ Λευκίππης,
εἴτε Ῥοιοῦς κατά τινας, Στρυμνοῦς δὲ καθ' ἑτέρους,

Digitized by Google

γήμας Ἑκάβην Δύμαντος, κατά τινας Κισσέως,
υἱὸς ἐγέννησε πολλούς, καὶ μὴν καὶ θυγατέρας·
ἐπεὶ δὲ καὶ Ἀλέξανδρον ἔγκυος ἦν Ἑκάβη,
γεννῆσαι φλέγοντα δαλὸν ἐδόκησεν ὀνείρους,
ὃς πάσας ἐπυρπόλησε τὰς Τρώων περιχώρους·
οἱ τῶν ὀνείρων δὲ κριταὶ τῆτο μαθόντες, εἶπον·
τὸ βρέφος, ὅπερ ἔνδοθεν φέρεις ἐν τῇ γαστρί σε,
τῇ περιχώρῳ γίνεται πάσῃ τῶν Τρώων βλάβη·
ἕτω μὲν εἶπον οἱ κριταὶ τότε τῶν ὀνειράτων,
γεννήσασα τὸ βρέφος δὲ Πάριν κατονομάζει.
Ὁ δὲ πατὴρ ὁ Πρίαμος τῷ φόβῳ τῶν ὀνείρων
μετὰ τὴν βρέφης γέννησιν ἦλθεν εἰς τὸ μαντεῖον,
ἀνερωτήσων πεδαπὸν ἐκβήσεται τὸ βρέφος,
ἐδόθη τότῳ δὲ χρησμὸς τοιαυτοτρόπως λέγων·
Πρίαμε Τρώων βασιλεῦ, σύζυγε τῆς Ἑκάβης,
Δύσπαρις Πάρις σοὶ υἱὸς ἄρτι κακῶς ἐτέχθη,
ὃν μὴ γεννῆσαι κρεῖττον ἦν, ἢ συμφορὰς γεννῆσαι·
ὁ παῖς γὰρ ἕτος γεγονὼς τριάκοντα τῶν χρόνων
ὀλέσει τὰ βασίλεια τῶν Τρώων καὶ τὰς πόλεις·
ὅπερ μαθὼν ὁ Πρίαμος τρόμῳ πολλῷ καὶ φόβῳ
τὸν Πάριν μετεκάλεσεν Ἀλέξανδρον εὐθέως,
καὶ Ἀρχελάῳ δέδωκεν οἰκέτῃ τὸ παιδίον,
ὡς ἄν, εἰς ὄρος πᾶ ῥιφὲν, καταβρωθῇ θηρίοις·
καὶ δὴ λαβὼν Ἀρχέλαος ἀπέῤῥιψεν εἰς Ἴδην,
ἄρκτος δ' ἐθήλαζεν αὐτὸ ξένως ἡμέρας πέντε·
ἐν μέσῳ τότων τελευτᾷ τὸ βρέφος Ἀρχελάε·
ὁ δὲ, τὸ πᾶν τῇ γυναικὶ συμβουλευθεὶς ἐμφρόνως,
τὸ μὲν νεκρὸν ἀπέῤῥιψεν εἰς Ἴδην ἀντ' ἐκείνε,
βρέφος δὲ τὸ βασιλικὸν αὐτὸς ἀναλαμβάνει,
καὶ ἀνατρέφει πατρικῶς, ποιμένειν τε διδάσκει
ὥσπερ τοὺς ἐγχωρικοὶ γράφουσι περὶ τότε·

Digitized by Google

ἕτεροι πάλιν λέγουσι πιθανωτέρως τάχα·
Πρίαμον τὸν Ἀλέξανδρον μὴ δῦναι Ἀρχελάου
εἰς βρῶσιν ἅψαι τοῖς θηρσὶν ἀλλ' ἐλεῶν τὸ βρέφος
νομίζων ἔτι τε φυγεῖν καὶ τῷ χρησμῷ τὰς λάγυς
τῷ Ἀρχελάῳ δέδωκε τρέφειν ἐν τοῖς χωρίοις,
βασιλικαῖς ἀνατροφαῖς, παιδεύσει τε παντοίᾳ·
ὁ δὲ λαβὼν εἰς Ἄμανδρον ἀπήγαγε χωρίον,
ὅπερ χωρίον Πρίαμος πόλιν ποιήσας τότε
Πάριον μετωνόμασε εἰς ὄνομα τῷ βρέφει·
ἐκεῖ γὼν ἐκτρεφόμενος Ἀλέξανδρος, ὡς ἔφην,
λέγεται κρῖναι τὰς θεὰς ἐν γάμοις τῷ Πηλέως,
καὶ δῶρα νικητήριον τὸ μῆλον Ἀφροδίτην·
τοῦτο δ' ὅτι ψευδές ἐστι δῆλον ἐκ τῶν πραγμάτων·
τῷ Ἀχιλέως γὰρ πατρὶ ἦν ὁ Πηλεὺς ὡς οἶδας·
ὁ δ' Ἀχιλεὺς γεραίτερος ὑπῆρχεν Ἀλεξάνδρου·
καὶ γὰρ ὁ Νεοπτόλεμος υἱὸς τῷ Ἀχιλέως
πολεμικὸς ἦν τέλειος τῷ Τρωϊκῷ πολέμῳ,
αὐτῷ σχεδὸν ἰσόχρονος ὑπάρχων Ἀλεξάνδρῳ·
καὶ πῶς ἐκεῖνον ἄλεγον Ἀλέξανδρον δικάζειν
γάμοις τινὸς ταῖς ἑαυτῷ πάσπερ ἐνοχρονοῦντος;
τοῦτο μὲν λῆρος καὶ ψευδές· τὸ δ' ἀληθὲς τοιοῦτον·
Ὡς ἀπαλθὼν ὁ Πρίαμος ἦκεν ἐκ μαντείου
τριάκοντα γενάμενον Ἀλέξανδρον τῶν χρόνων
ὀλέσαι τὰ βασίλεια τῶν Τρώων καὶ τὰ πέριξ,
ἅμα τὸ βρέφος ἐλεῶν, μὴ δ' ἀποκτεῖναι θέλων,
καί γε τὴν ἄφυκτον φυγεῖν ἐλπίζων εἱμαρμένην
εἰ τὸ τριακοντάχρονον Ἀλέξανδρος ἐκδράμοι,
τῷ Ἀρχελάῳ δέδωκεν ἐν τοῖς ἀγραῖς ἐκτρέφειν,
εἰς τε χωρίον Ἄμανδρον καλούμενον τὴν κλῆσιν,
ὃ νῦν καλεῖται Πάριον, πόλις ἀντὶ χωρίου,
εἰς κλῆσιν τὴν τῶν Πάριδος κτισθεὶν παρὰ Πριάμου.

Digitized by Google

Ὁ Πάρις οὖν Ἀλέξανδρος ἐκεῖσε διατρίβων,
μέχρι τῆς παρελεύσεως τῆς τριακοντουτίας,
πάσας ἐξεπαιδεύετο βασιλικὰς παιδεύσεις,
ἱππεύειν, ἀκοντίζειν τε, τοξεύειν, σφαῖρας παίζειν,
καὶ πᾶσαν ἄλλην παίδευσιν πρέπουσαν βασιλεῦσι,
καὶ ῥήτωρ μὲν γενόμενος γράφει πολλὰ μὲν ἄλλα,
εἰς ἓν δὲ τούτου σύγγραμμα τὰς τρεῖς θεὰς συγκρίνει
τὴν Ἀθηνᾶν, τὴν φρόνησιν, τὴν Ἥραν, τὴν ἀνδρείαν,
καὶ τὴν ἐπιθυμίαν δέ, φημὶ τὴν Ἀφροδίτην,
ᾗ καὶ τὸ μῆλον δέδωκε τὴν νίκην, τὰ πρωτεῖα,
ὡς Ἰωάννης χρονικὸς Ἀντιοχεύς που γράφει,
αὐτὸ μόνον ἀλληγορῶν, τ' ἄλλα παραλιμπάνων,
γάμον Πηλέως, Θέτιδος, Ἑρμῆν τε καὶ τὸν Δία,
τὴν Ἴδην, οὗπερ ἔκρινε θεὰς τὰς θρυλλουμένας,
ὁ Τζέτζης δ' ἅπαντα λεπτῶς ἀλληγορεῖ καὶ πρόσχες,
μέχρι τοῦ παρελθεῖν φησὶ τὴν τριακοντουτίαν.

Ἀλέξανδρος, ὡς ἔμαθες, διάγων ἐν Παρίῳ,
πάσας καλῶς μετήρχετο βασιλικὰς παιδεύσεις·
καὶ δὴ καὶ λόγιος ἀνὴρ γενόμενος συγγράφει
βίβλον, τοῦ κόσμου γένεσιν, αἱρέσει τῇ Ἑλλήνων,
πῶς ἐν ἀρχῇ τὸ Ἔρεβος ὑπῆρχε καὶ τὸ Χάος,
καὶ σκότωσις καὶ σύγχυσις τὰ σύμπαντα κατεῖχε·
ῥαγέντος τοῦ Ἐρέβου δὲ καὶ βαθυτάτου σκότους
ἐφάνη γῆ καὶ θάλασσα ῥυθμῷ διηρθρωμέναι,
ὅπερ φασὶ τῆς Θέτιδος γάμους καὶ τοῦ Πηλέως·
χαύνη πηλώδης γὰρ ἡ γῆ τὸ πρῶτον ἀνεφάνη,
ὡς ἐν τοῖς φυσικοῖς αὐτοῦ φησὶν Ἀναξαγόρας.

Ἐν τῷ Πηλίῳ δὲ φησὶ τὸν γάμον γεγονέναι,
ἐν κόσμῳ, οὗ τὸ πήλιον ἐσμὲν ἀνθρώπων γένος·
τοῖς γάμοις τοῦ Πηλέως δὲ καὶ Θέτιδος τῶν τότε,
ἤγουν ταῖς διαρθρώσεσι τῆς γῆς καὶ τῆς θαλάσσης,

Digitized by Google

παρῆσαν πάντες οἱ θεοί, ἤγειν στοιχεῖα τ' ἄλλα,
χωρὶς μόνης τῆς Ἔριδος τῆς φιλονεικοτάτης·
διαρθρωθείσης γὰρ ὁμοῦ τῆς γῆς καὶ τῆς θαλάσσης,
καὶ τὰ λοιπὰ συνέδραμε πάντα καλῶς στοιχεῖα
ἡ Ἀθηνᾶ, ὁ πρόσγειος ἀὴρ καὶ ὑδατώδης,
ἡ Ἥρα, τὸ λεπτότατον κατάστημα αἰθέρος·
ἡ τοῦ πυρὸς οὐσία τε ταύτης ἡ λεπτοτέρα,
ἣν λέγουσιν υἱὸν αὐτῆς, Ἥφαιστον παντεργάτην,
ἐκ τῆς οὐσίας τοῦ πυρὸς φασὶ γὰρ γεγονέναι
σελήνην, ἥλιον ὁμοῦ καὶ τοὺς λοιποὺς ἀστέρας·
ἕτω τὰ πάντα γαμικῶς ἐν τῇ κοσμογενείᾳ
εὐρύθμως παρυπέστησαν φαιδρῶς ὡραϊσμένα·
ἡ Ἀφροδίτη γὰρ παρῆν τέτοις ἐστωμένη,
ἡ εὐκρασία τοῦ παντὸς συνδέσμου τῶν στοιχείων·
μόνη δ' ἡ Ἔρις οὐ παρῆν, ἡ σύγχυσις, καὶ ζάλη·
πᾶσα φαιδρότης γὰρ ἀμοῦ, πᾶσα συνδεσμοποιία
κατεῖχε τὸν περίγειον τέτον ὑλαῖον κόσμον,
τοῦ πρώτου μόνου ζοφεροῦ Χάους εἰς γῆν βαγέντος,
ὃν Κρόνον λέγουσι σοφοὶ Διὸς ταρταρωθέντα,
ἀέρος φάναντος λαμπροῦ, τὸ σκότος γὰρ ἐκρύβη·
τὸ μῆλον τὸ τῆς Ἔριδος ὅπερ ἐστὶ νῦν μάθε.

Μετὰ τὴν κοσμογένειαν καὶ τὴν εὐαρμοστίαν,
ἣν περ καὶ γάμους εἴπομεν Θέτιδος καὶ Πηλέως,
ὡς ἔγραψεν Ἀλέξανδρος ἐν τῷ αὐτοῦ βιβλίῳ,
ζάλη δεινὴ καὶ σύγχυσις γέγονε τῶν στοιχείων,
ὡς καὶ ὁ φυσικὸς φησὶν Ἐμπεδοκλῆς ἐκεῖνος·
ποτὲ μὲν γὰρ ὁ καθυγρὸς ἀὴρ ὑπερενίκα,
ὁ ζοφερὸς, ὁ καθυγρὸς, ὁ συντεθολωμένος,
ὃν Ἀθηνᾶν εἰρήκαμεν· ὁτὲ δὲ ὁ πυρώδης
ὑπερνικῶν τὰ σύμπαντα καὶ μέλλων καταφλέγειν,
ὅνπερ καὶ Ἥραν εἴπομεν μητέρα τοῦ Ἡφαίστου·

Digitized by Google

ποτὲ δὲ εὔκρατος ἀὴρ ὑπέλαμπε βραχύ τι·
ἐν ἓν τοιοῦτῳ κλύδωνι καὶ ζάλῃ τῶν στοιχείων,
ὁ κόσμος ἦτος, τὸ χρυσοῦν τὰ μῆλον, τὸ ὡραῖον,
ἔπαθλον τῷ κρατήσαντος ὑπέκειτο στοιχείου·
εἰ γὰρ ὁ πρόσγειος ἀὴρ ἐνίκησε τελέως,
σκότος ἂν τῦτον τὸν λαμπρὸν πάλιν κατέσχεν ἄλλο·
εἰ δ' ὁ λεπτομερέστερος ἐκράτησε πυρώδης,
πῦρ ἂν τὸν κόσμον ἅπαντα κατέσχε καταφλέγον·
ἐπεὶ δ' ὑπερένικησε σύγκρασις, Ἀφροδίτη,
ἔπαθλον νίκης ἔσχηκε, καὶ νῦν ἔτι κατέχει
τὸν κόσμον τῦτον, τὸ χρυσοῦν τὸ μῆλον, τὸ ὡραῖον,
συγκεκραμένου, εὐρύθμου, θεῷ τῇ κυβερνήσει.

Τοιαῦτα μὲν Ἀλέξανδρος περὶ κοσμογενείας
ἐπαίσε συνεγράψατο διάγων ἐν Παρίῳ·
ὅπερ ἐστὶ τῶν θεανῶν ἡ κρίσις ἡ μυθώδης,
ἐκ τῆς κελεύσεως Διὸς Ἑρμῇ προστεταγμένη,
παρ' Ἀλεξάνδρῳ Πάριδος ἐν Ἴδῃ γεγονέναι.
ὁ Ζεὺς γὰρ, νοῦς, ἐκέλευσε, τῷ Ἀλεξάνδρῳ, πάντως
Ἑρμῇ, λόγῳ προφορικῷ, καὶ γέγονεν ἡ κρίσις.

Οἷον ἵνα σαφέστερον τὸ πᾶν σοι διαρθρώσω,
πεισθεὶς οἰκείοις λογισμοῖς Ἀλέξανδρος ὁ Πάρις,
λόγοις γραπτοῖς καὶ συλλαβαῖς καὶ λέξει μετρουμένοις,
ἐν Ἴδῃ ταύτας ἔκρινε τὰς τρεῖς θεὰς ὡς ἔφην·
τετέστι, συνεγράψατο, δηλοποιεῖ βιβλίοις
τοῖς φανερῶσι σύμπαντα τὰ παλαιὰ καὶ νέα·
ὅμως μετὰ διάρθρωσιν γῆς ἅμα καὶ θαλάσσης,
καὶ εὐκρασίαν τῶν λοιπῶν ὡς ἔφημεν στοιχείων,
παλιντροπία γέγονε, καὶ σύγχυσις ἐκείνων·
ποτὲ μὲν ὄμβρων λάβρων τε καὶ σκότους γνομένου,
ποτὲ δ' ἀτάκτων κεραυνῶν καὶ χύσεως πυρώδους·
ὑφ' ὧν ἐκλυδωνίζετο πάλιν δεινῶς ὁ κόσμος,

Digitized by Google

ἢ σκότους παρανάλωμα γενέσθαι καὶ τῶν ὄμβρων,
εἴτε πυρὸς ἐκχύσεσι σφοδρῶς πυρπολήθηναι,
εἰ μή που τοῦτον ἔπαθλον ἔλαβεν Ἀφροδίτη,
τουτέστι, κατεκράτησεν ἡ νῦν εὐαρμοστία,
καλῶς αὐτὸν κατέχουσα Θεοῦ τῇ κυβερνήσει.
Τοιαῦτα μὲν Ἀλέξανδρος ἔπραττεν ἐν Παρίῳ
μέχρι τῆς παρελεύσεως τῆς τριακοντουτίας·
ὡς δὲ μετὰ τριάκοντα δύο παρῆλθον χρόνοι,
νομίσαν τὸ γερόντιον ὁ Πρίαμος ἐκεῖνος,
ὡς ὁ χρησμὸς παρέδραμεν, ὁ χρόνος παρερρύη,
βλάβη λοιπὸν οὐ γίνεται Τρωσὶν ὑπ' Ἀλεξάνδρου,
τὴν γερουσίαν, τὸ κοινὸν ἅπαν λαβὼν τῶν Τρώων,
μετὰ θυμέλης καὶ χορῶν καὶ μουσικῶν ὀργάνων,
τὴν Τροϊκὴν τὴν συμφορὰν ἐπὶ τὴν Τροίαν φέρει,
τοῦ Ἀπριλλίου τοῦ μηνὸς ἐν εἰκοστῇ δευτέρᾳ·
τότε θυσίαι πανταχοῦ θεῶν τῶν ἐγχωρίων,
ἁπανταχοῦ δὲ τράπεζαι, χοροὶ καὶ πανηγύρεις·
τῇ ὀκτωκαιδεκάτῃ δε μηνὸς τοῦ Ἰουνίου,
κελεύει τοῦτον ὁ πατὴρ πλεῦσαι πρὸς τὴν Ἑλλάδα,
καὶ θῦσαι λύσιν συμφορῶν Ἀπόλλωνι Δαφναίῳ,
δοὺς ἄνδρας Φρύγας ἑκατὸν καὶ γράμματα καὶ δῶρα
πρὸς τοὺς Ἑλλάδος βασιλεῖς, καὶ πρὸς τοὺς τοπαρχοῦντας,
ἅπερ λαβὼν Ἀλέξανδρος, ἔπλει πρὸς τὴν Ἑλλάδα,
διδοὺς ταῦτα πρὸς ἅπαντας χωρῶν τοὺς τοπαρχοῦντας·
ὡς δὲ καὶ πρὸς Μενέλαον κατέπλευσεν εἰς Σπάρτην,
εὕρηκε τοῦτον μέλλοντα πρὸς Κρήτην ἀποπλέειν,
θῦσαι γὰρ ἔμελλεν ἐκεῖ τῷ πάππῳ τῷ Ἀτρέϊ,
καὶ τούτῳ δὲ τὰ γράμματα παρέσχε καὶ τὰ δῶρα·
ὁ δὲ Μενέλαος λαβὼν τὰ δύσδωρα τὰ δῶρα,
αὐτὸς πρὸς Κρήτην ἔπλευσεν ἕνεκα τῆς θυσίας,
Ἀλέξανδρον τὸν Πάριν δὲ κατέλειψε τοῖς οἴκοις,

Digitized by Google

τριάκοντα καὶ δύο μὲν ὑπάρχοντα τῶν χρύσων,
ὡραῖον πάνυ καὶ λευκὸν, εἰς ἡλικίαν οἶον,
χρυσότριχα, δαιδύτρεχα καὶ τῶν ἀβροβοστρύχων,
χαροποπρόσωπον πολὺ καὶ ὑπομειδιῶντα,
συντομολόγον, εὔλαλον, τῷ τάχει τῷ τῶν λόγων
πολλάκις ὑπαπτίοντα λεπτότατον σφέλυ
κατὰ τὰς ὄρνις, ἃς φαμεν κλῆσιν ἀκανθυλίδας·
ὃς τὴν Ἑλένην κατιδὼν τὸ θελιμὸν ἐν κήπῳ
μετὰ βουλίδων τῶν αὐτῆς καὶ γυναικῶν ἑτέρων,
εἴκοσι ἐξ ὑπάρχουσαν χρόνων τὴν ἡλικίαν,
κάλλος ἔσαν ἀμίμητον, ξένην τῇ διαπλάσει,
ὑπὲρ χιόνα δὲ λευκὴν καὶ τρυφερὰν τὸ σῶμα,
εὐπρόσωπον καὶ εὔρινα καὶ τῶν καλλιοφρύων,
εὐόφθαλμον, ὑγρόφθαλμον, χαροποπροσωπεῦσαν,
εὔχαλον, ἀνθηρόχαλον, καὶ μελιτοφωνεῦσαν,
εὔμασον, πυρράκιζουσαν, καὶ καλλιτραχηλεῦσαν,
πᾶσι καλοῖς, πᾶσι τερπνοῖς, πασῶν ὑπερτερεῦσαν,
ὅσον ἡ πληροσέληνος φαιδρόκυκλος σελήνη
ὑπερτερεῖ τῶν ἀμυδρῶν νυκτερινῶν ἀστέρων·
τοιαύτην ὅταν κατιδὼν Ἀλέξανδρος Ἑλένην,
ἐπλήγη ταύτης ἔρωτι, καὶ ταύτην ἁρπάσας,
ἀντερασθείσης καὶ αὐτῆς, τῆς Ἀθρᾶς συνεργούσης,
σὺν χρήμασι ποσότητι τριῶν κεντηναρίων,
καὶ διαφόροις εἴδεσιν ἑτέρων κοσμημάτων,
καὶ σὺν βουλίσι τῆς αὐτῆς Ἑλένης πρώταις πέντε,
καὶ σὺν αὐτῇ τῇ Ἀθρᾷ δὲ τῇ συνεργῷ μοιχείας,
ἐμβὰς εἰς πλοῖον ἔφευγεν, ὄχι τὸν πλοῦν ὃν ἦλθεν
ὑπάρχοντα τριήρεσον, ἢ καὶ βραχύ τι πλέον,
ἀλλὰ θεὰ Σιδονὶς τε καὶ Τύρου τῆς πελάγους·
ὅθεν καὶ ἥρπαξε τινὰς γυναῖκας Σιδωνίας,
τεχνίτιδας, ἐργατίδας καλλίστων ὑφασμάτων

Digitized by Google

μόλες εἰς Τροίαν παρθενικὰς ἐν ὁλοκλήρῳ χρόνῳ.
Ὁ δὲ Μενέλαος ἐλθὼν εὐθέως ἀπὸ Κρήτης,
εἰς μάτην ἀπεδίωξεν ἐκείνων διὰ Τύρου
ἐν ὅλῳ χρόνῳ πρὸς αὐτὴν τὴν Τροίαν παρθενιάτων·
οἱ Τρῶες δὲ καὶ σύμπασαι τῶν Τρώων αἱ γυναῖκες
ἰδοῦσαι κατεπλάγησαν τὸ κάλλος τῆς Ἑλένης·
Ἑκάβη κατεφίλει δὲ ταύτην περιλαβοῦσα,
ἄῤῥητον σχοῦσα τὴν στοργὴν καὶ σέβας πρὸς ἐκείνην.
Οἱ δ' Ἕλληνες ὡς ἔμαθον ὅσαν Ἑλένην Τροίᾳ,
ἐν διαφόροις τοῖς καιροῖς καὶ γράμματα καὶ πρέσβεις
ὡς πρὸς τοὺς Τρῶας ἔπεμπον Ἑλένην ἀπαιτοῦντες·
πρῶτον μὲν τὸν Ἀχαίμαντα μετὰ τοῦ Διομήδους,
τὸν Παλαμήδην τὸν σοφὸν ἐξέπεμψαν δευτέρως,
αὐτόν τε τὸν Μενέλαον μετὰ τοῦ Ὀδυσσέως
τῆς Κλυτοσμνήστρας γράμματα φέροντας πρὸς ἐκεῖνον,
ὃς τὸν Ἀντίμαχος ἀνὴρ ἔμελλεν ἀποκτεῖναι,
ὑπ' Ἀλέξανδρου προτραπεὶς ἐν χρήμασιν εἰς τοῦτο,
εἴπερ μὴ ὑπεδέξατο τούτους Ἀντήνωρ πρῶτον,
ὅστις ὑφέρως ἔλαβε καὶ δωρεὰς πρεπούσας·
τῆς Τροίας πορθουμένης γὰρ ἔσωσεν πάντα τοῦτον,
καὶ πλεῖστα δῶρα καὶ τερπνὰ δεδώκασιν ἐκείνῳ·
ἀλλὰ μετὰ τὴν πόρθησιν τοῦτα συνέβη τότε·
τότε δ' οὗτοι τὸν θάνατον μόλις ἐκφεύγοντες,
ὅνπερ αὐτοῖς ἐσκεύασεν Ἀντίμαχος ἐν δόλοις,
τοῖς Ἕλλησιν ἀπήγγειλαν ἅπαντα τὰ πραχθέντα·
καὶ τότε πᾶν τὸ στράτευμα διὰ τὴν πρώην ἔρκους
ἀπὸ θαλάσσης καὶ δυσμῶν, ἀπὸ Βορρᾶ καὶ Νότου,
εἰς ἓν πάντες ἠθροίζοντο πρὸς πόλεμον τῶν Τρώων.
Δέκα μὲν ἓν παρέδραμον χρόνοι τῶν ὁλοκλήρων,
ἀφ' οὗ καιρῷ περ ἥρπαξεν Ἀλέξανδρος Ἑλένην,
εἰς τὴν ἀπόπλευσιν αὐτῶν τὴν διὰ τῆς Σιδῶνος,

Digitized by Google

εἰς τὰ Τρωσὶ σελλόμενα γράμματα παρ' Ἑλλήνων,
εἰς στρατευμάτων συλλογὴν, εἰς κίνησιν τῆς μάχης
καὶ τότε πάντες σὺν νηυσὶν ἦλθαν εἰς τὴν Αὐλίδα,
καὶ Ἀχιλεὺς δὲ σὺν αὐταῖς υἱὸς ὢν τῆ Πηλέως,
καὶ Θέτιδος τῆς θυγατρὸς Χείρωνος φιλοσόφου,
Οὔννων, Βιλγάρων στράτευμα τῶν Μυρμιδόνων ἄγων,
πεντακοσίας ἀριθμῷ μετὰ καὶ δισχιλίων,
σόλῳ νηῶν πεντήκοντα στρατοπεδάρχην ἔχων
τὸν Μενοιτίου Πάτροκλον υἱὸν καὶ Φιλομήλης·
σύνοικον δὲ καὶ παιδευτὴν εἶχεν αὐτῆ τροφέα
Φοίνικα τὸν Ἀμύντορος υἱὸν καὶ Κλεοβούλης,
πολλαῖς δὲ παρακλήσεσιν ἦλθεν εἰς συμμαχίαν
ὁ Ὀδυσσεὺς καὶ Νέστωρ γὰρ μετὰ τῆ Παλαμήδους
μόλις ἐξέπεισαν αὐτῆ πατέρα τὸν Πηλέα,
τῆτον προπέμψαι σύμμαχον τῷ πλήθει τῶν Ἑλλήνων·
ἅπερ δὲ περιλυάρησται περὶ τῆ Ἀχιλέως
ὡς φοβηθεὶς τὸν πόλεμον ἐφόρει γυναικεῖα,
καὶ σὺν παρθέναις ἐστρωγῶν κρυπτόμενος ὑπῆρχε,
τῆ Ὀδυσσέως ξίφη δὲ ῥίψαντος σὺν ἀτράκτοις,
κατάδηλος ἐγένετο τὸ ξίφος πρατιμήσας,
τοιαύτην ἔχουσι περὶ σοφὴν ἀλληγορίαν.

Ὁ Χείρων ὁ φιλόσοφος πάππος τῆ Ἀχιλέως
ἐκ λεκανομαντίας τε καὶ σκέψεως ἀστέρων,
τῆ Ἀχιλέως τῆ μητρὶ τῆ Θέτιδι προεῖπε·
Θέτι, θυγάτριον ἐμὸν, μάθε πατρός σου λόγους·
ὁ σὸς υἱὸς ὁ Ἀχιλεὺς μένων ἐν τῆ πατρίδι
ἔσεται πολυχρόνιος, πλὴν ἐκ τῶν ἀδόξων·
εἰ μετὰ τῶν Ἑλλήνων δὲ κατὰ τῶν Τρώων πλεύσοι,
ἔνδοξος ἔσται καὶ λαμπρὸς ἀλλὰ συντόμως θνήσει·
τῦτο μαθοῦσα τοιγαροῦν ἐκ τῆ πατρὸς ἡ Θέτις,
ἄδοξον πολυχρόνιον θέλουσα τῆτον ἔχειν,

Digitized by Google

εἰς ἐκστρατείαν ὐδαμῶς ἠθέλησεν ἐκπέμπειν·
ἀλλὰ κατεῖχε μητρικῷ καὶ διαπύρῳ πόθῳ,
ὃ γυναικεῖαν ἔνδυσιν ὠνόμασαν οἱ μῦθοι·
ὡς Ὀδυσσεὺς, καὶ Νέστωρ δὲ μετὰ τοῦ Παλαμήδους,
ἁπανταχοῦ διήρχοντο πάντας στρατολογοῦντες,
οἱ μὲν γυναικωδέστεροι καὶ τῶν δειλῶν ἀνθρώπων,
οἷον ὁ Σικυώνιος Ἐχέπωλος ἐκεῖνος,
ὁ Κύπριος Κινύρης τε καί τινες τῶν ἑτέρων,
ἀπράκτους ἀπελέγοντο ἤγουν, τὴν οἰκουρίαν·
καὶ γὰρ ὁ μὲν Ἐχέπωλος διὰ τὸ μὴ στρατεῦσαι
Αἴθην, ἵππον ἐξαίρετον, τῷ βασιλεῖ δωρεῖται,
ὁ Κύπριος Κινύρης δὲ, θώρακα θαῦμα ξένον·
ὁ δ' Ἀχιλεὺς ὡς ἤκουσεν δι' ἐγκρατείας λόγους,
ἡρωϊκὸν ἀναπηδᾷ καὶ τρέχει πρὸς τὴν μάχην,
ἀφροντιστήσας καὶ μητρὸς, καὶ ταύτης μαντευμάτων.

Οὕτω μὲν πᾶν τὸ στράτευμα συνήχθη πρὸς Αὐλίδα,
εἰς δισχιλίας ἀριθμῷ προβαῖνον χιλιάδας,
διακοσίας ἄλλας τε πεντήκοντα πρὸς ταύταις·
ὁ πᾶς δὲ στόλος ἦν αὐτῶν τῶν μακροτάτων πλοίων
ἕξ τε καὶ ὀγδοήκοντα χιλίων ἑκατόν τε·
οἱ βασιλεῖς καὶ ναύαρχοι καὶ στρατηγοὶ δὲ τούτων
ἦσαν ὡσεὶ πεντήκοντα καὶ πλείονες ὀλίγον·
κἂν Ὅμηρος ἐλάττονας καὶ τούτων διαγράφῃ,
μάθε τὰς τούτων κλήσεις δὲ πρῶτον καὶ ναυαρχίας,
καὶ τὰς μορφὰς εἰσέπειτα τὰς τῶν ἀριστοτέρων·
εἶτα λοιπόν μοι μετ' αὐτὰ μάθε τὰ τοῦ πολέμου,
κατὰ λεπτὸν τὰ σύμπαντα στενῶς, πεπλατυσμένως·
οὕτω, ὡς ἂν ἀνέγνωκας Ὁμήρους, Στησιχόρους,
Εὐριπιδολυκόφρονας, Κολλούθους τε καὶ Λέσχας,
καὶ Δέκτυν συγγραφάμενον καλῶς τὴν Ἰλιάδα,
Τρυφιοδώρους, Κόϊντον κἂν ἑκατὸν βιβλία,

ἐκ ἂν λεπτομερέστερον ἔτως ἐξηκριβώσω·
καὶ τότε τμήματι βραχεῖ πάντα συγκεκλεισμένα,
ὅπως πᾶς ὁ βελόμενος ἐν πόνῳ βραχυτάτῳ
ἀναγνωκέναι τὰς πολλὰς δοκῇ βιβλιοθήκας·
ἔτω θαρρῶν σὺν τῷ Θεῷ προσφέγγομαι σῷ κράτει:
ἂν ἓν σκοπήσῃς ἀκριβῶς τὸν δειλικόν μὲ τρόπον,
ὅτι μοχθήσας περισσὰ χάριν σῇ θείᾳ κράτος
καὶ μὴ μοχθηρευσάμενος ἐκ τῆ πολλὰ συγγράφειν,
ὡς ἄλλος ἂν ἐποίησε πολλὰ λαμβάνων δῶρα,
τὰ πάντα περιέκλεισα τμήματι βραχυτάτῳ,
ὁπόσα ἐχ εὑρήσει τις ἐδ' ἑκατὸν βιβλίοις,
καὶ ἀρκεσθῇ τὸ κράτος σε τοῖς οἷσπερ διαγράφω
μικροῖς, μεγάλοις πράγμασι, ξενοῖς, πεπλατυσμένοις,
καὶ μᾶλλον ἕνεκεν αὐτῆ καὶ δωρεὰ δοθῇ μοι,
τῆς σῆς ψυχῆς ἐπάξιον τῆς βασιλικωτάτης,
ἔξω καὶ χάρις τῷ Θεῷ καὶ χάρις σῇ τῷ κράτει·
εἰ μέχρι δ' ἔπερ γράψαιμεν τμήματος σμικροτάτε
τὸ θεῖον καὶ φιλάνθρωπον ἐκ ἀρκεσθῇ σε κράτος,
θελήσει δὲ μετάφρασιν καὶ ξίχων τῶν Ὁμήρε,
καθὰ πρεῖπόν μοι τινὲς, ὡς ἐκ τῆ σῆ τῆ κράτες,
ὡς Ἡρακλῆς τὸν ἄεθλον πληρῆν ἐκ ἀπεκνήσω·
νῦν δέ μοι μάνθανε καλῶς, λεπτῶς, ἠκριβωμένως
τὰ ξρατηγῶν ὀνόματα, τὰς τέτων ναυαρχίας,
καὶ καθεξῆς καὶ τὰ λοιπὰ μέχρι τῆ τέλες πάντα.

Δύο μὲν ἦσαν βασιλεῖς Ἑλλήνων οἱ κρατῆντες,
ὁ Ἀγαμέμνων ὁ κλεινὸς μετὰ τῆ Μενελάε,
υἱοὶ κατὰ τὰς πλείονας Ἀτρέως, Ἀερόπης,
Πλεισθένες καθ' ἑτέρες δὲ παῖδες καὶ τῆς Κλεόλας.
Ὁ Ἀγαμέμνων ναυαρχῶν ἦν ἑκατὸν ὁλκάδων,
τὰς Κορινθίες ἦγε δὲ μετὰ τῶν Μυκηναίων.
Ἑξήκοντα Μενέλαος ἦν ναυαρχῶν ὁλκάδων,



Digitized by Google

τὰς Σπαρτιάτας, Λάκωνας καὶ Ἀμυκλαίους ἄγων.
Νέστωρ, υἱὸς Νηλέως τε καὶ Χλώριδος ὑπάρχων,
κατὰ τινὰς ἑτέρους δὲ Νηλέως, Πολυμήδης,
ἦν ἐνενήκοντα νεῶν ναύαρχος στρατηλάτης,
Πυλίους ἔχων ὑφ' αὐτὸν καί τινας τῶν ἑτέρων.
Ἦν Ἀχιλεὺς τῆς Θέτιδος υἱὸς καὶ τῷ Πηλέως
σόλῳ πεντήκοντα νεῶν ἄρχων τῶν Μυρμιδόνων,
καὶ τῷ Πελασγικῷ παντὸς Ἄργους ἡγεμονεύων,
ἔχων τροφέα Φοίνικα, Πάτροκλον στρατηλάτην·
τὸν μὲν υἱὸν Ἀμύντορος, πρὸς δὲ καὶ Εὐρυδίκης·
τὸν δὲ τῷ Μενοιτίῳ δὲ παῖδα καὶ Φιλομήλας.
Ἦν Αἴας Τελαμώνιος, ὁ παῖς τῆς Ἐριβοίας,
ναύαρχος δώδεκα νηῶν ἐκ νήσου Σαλαμῖνος.
Πηνέλεως καὶ Λήϊτος σὺν τῷ Ἀρκεσιλάῳ,
καὶ Προθοήνωρ, Κλόνιος, οἱ πέντε ναυαρχῆντες,
πλοίων ἦρχον πεντήκοντα τῆς χώρας τῶν Θηβαίων·
υἱὸς ἦν ὁ Πηνέλεως Ἰπάλκμας, Ἀστερόπης·
οἱ δ' ἄλλοι πάντες ἀδελφοί, πλὴν τῶν ἀμφιμητρίων,
Λήϊτος παῖς Ἀλέκτορος ἅμα καὶ Πολυβόλης,
τούτῳ καὶ Ἀρκεσίλαος μητρὸς δὲ Κλεοβόλης
καὶ Προθοήνωρ, Κλόνιος, Πηνέλεως σὺν τούτοις
τῆς Ἀστερόπης οἱ υἱοὶ καὶ τῷ Ἀρηϊλύκῳ·
ὁ Προθοήνωρ δὲ μητρὸς ἐξ Ἀρτηΐδος ἔφυ,
ὁ Κλόνιος γεννᾶται δὲ μητρὸς ἐξ Ἀκτηΐδος.
Ἀσκάλαφος, Ἰάλμενος ἦρχον Ὀρχομενίων,
υἱοὶ μὲν ὄντες Ἄρεος, μητρὸς ἐξ Ἀξιόχης,
σόλῳ νηῶν τριάκοντα κατάρχοντες οἱ δύο.
Σχέδιος καὶ Ἐπίστροφος ἦρχον δὲ τῶν Φωκέων,
τῆς Θρασυβόλης παῖδες μὲν ὄντες καὶ τῷ Ἰφίτῳ,
σόλον δὲ τεσσαράκοντα δεσπόζοντες ὁλκάδων.
Καὶ Αἴας τεσσαράκοντα πλοίων Λοκρῶν κατῆρχε,

Digitized by Google

παῖς ὧν τῆς Ἐριώπιδος ἅμα καὶ Οἰλέως,
κατ' ἄλλους Ἀστύοχης δὲ τῆς θυγατρὸς Ἰτύλου,
ἢ Ἀλκιμάχης, ὡς φασί τινες, τῆς τοῦ Φυλάκου.
Τῶν Εὐβοέων ἦρχε δὲ τῆς νήσου Ἐλεφήνωρ,
ὁ παῖς ὁ τοῦ Χαλκώδοντος ἅμα καὶ Ἀλκυόνης,
εἴθ', ὡς οἱ πλείονες φασίν, υἱὸς τῆς Μελανίππης·
σὺν ᾧπερ συνεστράτευσαν καὶ συμπαρῆσαν τότε
Ἀκάμας τε καὶ Δημοφῶν οἱ παῖδες τοῦ Θησέως,
δεσπόζεσθαι μὴ θέλοντες παρὰ τοῦ Μενεσθέως·
εἶχε δὲ τεσσαράκοντα τὰς ναῦς ὁ Ἐλεφήνωρ.
Ὁ Πετεῶνος Μενεσθεὺς υἱὸς καὶ Πολυξένης,
ἢ Μνησιμάχης ὥς τισιν ἱστορικοῖς ἀρέσκει,
ἦν Ἀθηναίων ναύαρχος πλοίων πεντηκοντάδος.
Ὁ Διομήδης ὧν υἱὸς Τυδέως, Διομήδης,
εἴτε κατὰ Θεόκριτον Τυδέως καὶ Ἀργείας,
δὶς τεσσαράκοντα ναυσὶν Ἀργείων ἐναυάρχει,
Εὐρύαλον καὶ Σθένελον ἔχων συννεναυαρχοῦντας·
Σθένελον Καπανέως μὲν καὶ τῆς Εὐάδνης παῖδα,
τὸν δὲ τῆς Ἀστυόχης τε καὶ Μηκιστέως παῖδα,
τοῦ Μηκιστέως ἀδελφοῦ Ἀδράστου βασιλέως.
Ὁ Ἀγαπήνωρ ὁ υἱὸς Ἀγγαίου, Διομήδης,
Τεγεατῶν, Ἀρκάδων τε καὶ Μαντινέων ἄρχων,
ἦν στρατηγῶν καὶ ναυαρχῶν νηῶν ἑξηκοντάδος.
Τῶν Ἐπειῶν, Ἠλείων δὲ τέσσαρες ἐναυάρχουν,
Ἀμφίμαχος καὶ Θάλπιος, Πολύξενος, Διώρης·
Ἀμφίμαχος Κτεάτου μὲν παῖς, καὶ τῆς Κτεσβύλης,
ὁ Θάλπιος Εὐρύτου δὲ υἱὸς καὶ τῆς Κλυτίας,
Πολύξενος δὲ Βάριδος υἱὸς καὶ Ἀγασθένους,
ὃς Ἀγασθένης ἦν υἱὸς Αὐγείου βασιλέως·
ὁ τέταρτος δὲ ναύαρχος Ἠλείων ὁ Διώρης
παῖς ἦν τῆς Μνησιμάχης τε καὶ τοῦ Ἀμαρυγκέως·

Digitized by Google

πλοῖα δὲ τεσσαράκοντα τοῖς τέσσαρσιν ὑπῆρχον.
Ὁ Μέγης, τῷ Φυλέως δὲ υἱὸς καὶ τῆς Ἀγνήτης,
Κτημένης καθ' ἑτέρας δὲ, κατ' ἄλλας τῆς Συμμάχης,
νηῶν ἦν τεσσαράκοντα ναύαρχος στρατηλάτης,
ἄρχων τῶ Δηλιχίου τὲ καὶ νήσων Ἐχινάδων,
περὶ τὸν Ἀχελῶον τὲ καὶ τόπους τὰς ἐκεῖσε.
Ὁ τῶ Λαέρτου Ὀδυσσεὺς παῖς καὶ τῆς Ἀντικλείας
δώδεκα πλοίων ναύαρχος ὑπῆρχε Ζακυνθίων.
Ὁ Θόας τῶ Ἀνδραίμονος καὶ Γόργης τῆς Οἰνέως,
ἀρχὸς ἦν τεσσαράκοντα νηῶν ἐξ Αἰτωλίδος.
Τῶν Κρητικῶν δὲ πόλεων τῶν ἑκατὸν ἐκράτουν
Ἰδομενεὺς, συνάμα δὲ τούτῳ καὶ Μηριόνης·
ὁ μὲν τῶ Δευκαλίωνος υἱὸς καὶ Κλεσπάτρας,
ὁ Μηριόνης δὲ υἱὸς Εὐίππης καὶ τῶ Μόλου·
οἷς πλοίων ὀγδοήκοντα συμπαρυπῆρχε στόλος.
Ὁ Ἡρακλέος δὲ υἱὸς ἅμα καὶ Ἀστυόχης
Τληπόλεμος Ῥοδίων ἦν πλοίων ἀρχὸς ἐννέα.
Νιρεὺς ὁ τῶ Χαρόπου δὲ υἱὸς καὶ Ἀγλαΐας,
ὁ πάντων ὡραιότερος μετὰ τὸν Ἀχιλέα,
καὶ πάντων ἀσθενέστερος στρατηλατῶν Ἑλλήνων,
τῶν ἐκ τῆς Σύμης ναύαρχος τριῶν ὑπῆρχε πλοίων.
Ὁ Φείδιππος καὶ Ἄντιφος (1) τῶ Θεσσαλῶ οἱ παῖδες,
ὅς τις ὑπῆρχε Θεσσαλὸς υἱὸς τῶ Ἡρακλέος,
Κώων καὶ Νισυρίων τε καὶ Καρπαθίων ἦρχον·
τριακοντὰς ὑπῆρχε δὲ τούτοις τῶν πλοίων στόλος.
Ὁ πρῶτος πάντων δὲ πεσὼν τῇ συμβολῇ πολέμου
ὁ ἥρως Πρωτεσίλαος ἀνὴρ Λαοδαμείας,
Ἰφίκλου, Διομήδης τε τερπνὸς υἱὸς ὑπάρχων,
τῶν ἐκ Φυλάκης Ἴτωνος καὶ τῶν ἐξ Ἀντρωνείας
ἦν στρατηγὸς καὶ ναύαρχος σὺν ἀδελφῷ Ποδάρκει,
ὁλκάδων τεσσαράκοντα τούτων ὑπῆρχε στόλος.

(1) In altero C. legitur Ἄντιπος.

Digitized by Google

Εὔμηλος, τῆς Ἀλκήστιδος υἱὸς καὶ τῆ Ἀδμήτου,
ἕνδεκα πλοίων ναύαρχος καὶ στρατηγὸς ὑπῆρχε,
Βοίβης, Φηρῶν καὶ Γλαφυρῶν καὶ Ἰωκῆ κατάρχων.
Ὁ Φιλοκτήτης Ποίαντος υἱὸς καὶ Δημωνάσσης
ἑπτὰ νηῶν ἦν στρατηγὸς τῶν ἀπὸ τῆς Μεθώνης·
ὡς δὲ δηχθεὶς ὑπ' ὄφεως ἦν ἐκριφεὶς ἐν Λήμνῳ,
τέτου τὸ στράτευμα λαβὼν παρέττατεν ὁ Μέδων,
ὅστις ἐκ Ῥήνης ἦν υἱὸς νόθος τῆ Οἰλέως.
Ὁ Ποδαλείριος ὁμῆ πάλιν δὲ καὶ Μαχάων,
οἱ τῶν Ἑλλήνων ἰατροὶ καὶ στρατηγοὶ γενναῖοι,
Ἀσκληπιῆ καὶ Ξάνθης τὲ, ἢ Ἱπονέης παῖδες,
κατ' ἄλλες Ἠπιόνης δὲ, κατῆρχον τῶν Τρικκαίων,
στόλον ἐκ πλοίων ἔχοντες μιᾶς τριακοντάδος.
Εὐρύπυλος, Εὐαίμονος παῖς καὶ τῆς Δηϊτύχης,
εἴτε καθὼς συγγράφουσι τινὲς τῆς Δηϊπύλης,
ἦρχε τῶν Ὀρμενίων τε καὶ τῶν ἐξ Ὑπερείας,
ὁλκάδας τεσσαράκοντα τὸν στόλον κεκτημένος.
Δύο τῶν ἐκ Γυρτώνης (1) δὲ ἦσαν οἱ στρατηλάται,
ὁ Πολυποίτης δισκευτὴς μετὰ τῆ Λεοντέως·
ὧν ὁ μὲν παῖς Πειρίθου τε καὶ τῆς Ἱπποδαμείας,
ὁ Λεοντεὺς Κορώνου δὲ υἱὸς καὶ Κλεοβέλης,
Κόρωνος τῆ Καινέως δὲ φίλος υἱὸς ὑπῆρχε·
καὶ τέτοις τεσσαράκοντα στόλος ὑπῆρχε πλοίων.
Γουνεὺς ὁ τῆ Ὠκύτου δὲ καὶ τῆς Ταυροπωλίας,
εἴτ' ἓν ὡς γράφουσι τινὲς ὁ τῆς Ἱπποδαμείας,
τῶν Ἐνιάνων (2), Περραιβῶν καὶ τῶν Κυφάνων ἦρχεν,
ὁλκάδων στόλον εἴκοσι καὶ δύο κεκτημένος.
Μαγνήτων δὲ ὁ Πρόθοος κατάρχων ἐναυάρχει
τῆ Τενθρηδόνος ὢν υἱὸς, μητρὸς ἐξ Ἐρυμάχης,
εἴτε, τῆς Κλεοβοίας δὲ παιδὸς τῆς τῆ Εὐρύτου·
στόλος δὲ τεσσαράκοντα τέτῳ παρῆσαν πλοίων.

(1) CC. Γορτύνης. (2) CC. Αἰνιάνων.

Digitized by Google

Οὗτοι καθ' Ὅμηρον εἰσὶν Ἑλλήνων ἡγεμόνες,
τὰς δ' ἄλλους παραλέλοιπεν εἰπεῖν τῷ καταλόγῳ·
τὸν Κάλχαντα, τὸν Θέστορος υἱὸν καὶ Πολυμήλας,
τῷ καταλόγῳ μὲν εἰπεῖν παρέλειψε καὶ μόνῳ·
τὸν μέγαν Παλαμήδην δὲ τὸν πάνσοφον ἐκεῖνον
τὸν Εὐβοέα, τὸν υἱὸν Ναυπλίου καὶ Κλυμένης
παμπαντελείως ἔρριψεν ἔξω τῆς Ἰλιάδος·
τὸν Τεῦθιν παραλέλοιπεν ἐκ τῆς Αὐλίδος αὖθις,
ὑποστραφέντα καὶ αὐτὸν κτείνοντα τῇ πατρίδι,
ὁμοίως καὶ Μενέδημον τρωθέντα τῇ Αὐλίδι,
στραφέντα καὶ θανόντα δὲ τῇ γῇ τῇ τῆς πατρίδος,
καὶ τὸν Ὀρμένιον αὐτὸν Αὐλίδι τεθνηκότα·
ἔπειθε γὰρ τὰς Ἕλληνας μὴ πλεῖν ὡς πρὸς τὴν Τροίαν·
Θερσίτην τὸν τῆς Δίας δὲ υἱὸν καὶ τῶ Ἀγρίου,
πανευγενῆ μὲν ἔλκοντα τὸ γένους ῥιζοῦχίαν,
κἂν ἦν χωλὸς καὶ παραβλωψ, φοξός, κυρτός, ψευδόθριξ,
τῶ καταλόγου τῶν λοιπῶν ὠστράκισεν Ἑλλήνων·
ἄλλους πολλοὺς καὶ θαυμαστοὺς παρῆκεν ἡγεμόνας,
τὸν Πολυνείκους Θέρσανδρον, ὃν Τήλεφος ἀνεῖλεν,
καὶ σὺν αὐτῷ τὸν Ἐπειὸν, υἱὸν τῶ Πανοπέως,
τὸν μέγαν ἀρχιτέκτωνα, γενναῖον τε πυγμάχον,
ὅσπερ μηχανησάμενος τὸν δόρειον τὸν ἵππον
τὴν Τροίαν κατεπόρθησεν, ὡς καθεξῆς διδάξω.
Ἀλλ' ἐπειδὴ μεμάθηκας κλήσεις καὶ ναυαρχίας,
καὶ τὰς μορφάς μοι μάνθανε τὰς τῶν ἀριστοτέρων,
καὶ τότε πᾶσαν τὴν ὑφὴν μέχρι τῶ τέλους μάθε.
Ὁ Ἀγαμέμνων, βασιλεὺς ὁ πάντων τῶν Ἑλλήνων,
ἦν μέγας, δασυγένειος, λευκὸς, ἀλλὰ μελάνθριξ,
εὐπαίδευτος, εὐόμιλος αὐτῶ τοῖς διαλόγοις.
Ὁ δὲ Μενέλαος, κοντὸς, ὑπόπλατυς ὑπῆρχεν,
πυρράθριξ, δασυγένειος, ξανθόθριξ καὶ δασύθριξ.

Digitized by Google

Ὁ Νέστωρ, μέγας καὶ γλαυκὸς, ὑπόπυρρος ὑπῆρχε,
μακρόρρινν, μακροπρόσωπος, πανφρόνιμος, λευκόθριξ.
Ὁ τέτε παῖς Ἀντίλοχος νεώτερος ἦν πάντων,
λευκὸς, μακρόρρινν καὶ γλαυκὸς, εὐτράχηλος, εὐήλιξ,
ξανθὸς, καλλίθριξ, δρομικὸς καὶ τῶν γρηγοροφθάλμων,
εὔσκυλτος, εὐανάτρεπτος, ἐρυθριῶν συντόμως.
Ὁ Ἀχιλεὺς, μακροσκελὴς, ὑπόσπανος ὑπῆρχε,
λευκὸς, ξανθόθριξ καὶ πυρρὸς, θασύθριξ καὶ μακρόρρινν,
γυναικοπρόσωπος, φαιδρὸς καὶ τῶν γρηγοροφθάλμων,
ταχυδρομῶν, γλυκύφωνος, πικρόθυμος, ὀργίλος.
Ὁ Φοίνιξ, γέρων, φρόνιμος, μέσος τὴν ἡλικίαν,
μακρόθριξ, εὐχαράκτηρος, μελίχρως τὴν ἰδέαν,
τὴν φύσιν συντομόδακρυς καὶ τῶν θλιβεροψύχων.
Ὁ Πάτροκλος, μεσήλιξ ἦν, ὑπόπυρρος, ξανθόθριξ,
εὐπώγων καὶ πρεκοίλιος, πλὴν εὐηθὴς τὴν θέαν.
Αἴας ὁ Τελαμώνιος, πύργος ὁ τῶν Ἑλλήνων,
ἦν μέγας, ἀλλ' εὐσύνθετος, εὔριν, σγυρὸς, μελάνθριξ,
τὴν γενειάδα κάλλιστος, ὀργίλον ὑποβλέπων,
κάλλει νικῶν τοὺς σύμπαντας, πλὴν Ἀχιλέως μόνε.
Ὁ δὲ Δοκρὸς Αἴας μὲν ἦν μακρός τε καὶ μελίχρως,
σγυρομελάνθριξ καὶ στραβὸς, καὶ τῶν μακροπροσώπων,
πηδητικὸς, ἐγρηγορὼς, καὶ τῶν εὐπεριστρέπτων.
Ὁ Μενεσθεὺς, μεσῆλιξ ἦν, ὑπόλεπτος, μελάνθριξ,
ἐγρηγορὼς, εὐπαίδευτος, ἔμπειρος στρατηγίας,
ἱππότης ἀπαράμιλλος ἄχρι τῆ νῦν τῆ χρόνε.
Ὁ δέ γε Διομήδης ἦν τετράγωνος τὸ σῶμα,
σιμὸς καὶ σιμοτράχηλος, ξανθὸς τὴν γενειάδα,
καὶ βραχυῆλιξ πρὸς αὐτὸς τοὺς ἥρωας οὓς γράφω·
ἐπεὶ τέτε λωρίκιον ὕστερον ἐφευρέθη
ἔσωθεν λάρνακος τινὸς ἐν τῇ Λογγιβαρδίᾳ
ἀνδρὸς μεγάλε μέγεθος, ὃ τῶν λαβῶν τὸ πάχος

Digitized by Google

εἰς ὄγκον ἦν ἰσοπαχὲς, ἰσόμετρον κονδύλῳ,
ὁ ἱερῷ τῆς Ἀθηνᾶς ἐκρέμασαν ὡς θαῦμα.
Εὐρύαλος, πλατύτερος, κατάσαρκος ἦν, μέγας,
μακρόθριξ, εὐχαράκτηρος, εὐπρόσωπος τῶν μέσων.
Ὁ Σθένελος, εὐῆλιξ ἦν, εὔθετος, εὐχαράκτηρ,
δειλὸς, ὑβρίζων, ἀναιδὴς, εὐστήρικτος τὰς φρένας.
Ὁ Ὀδυσσεὺς, μεσῆλιξ ἦν, λευκός τε καὶ προγάστωρ,
ἁπλόθριξ, στρεβλογνώμων δὲ, πικρός τε καὶ μακρόρρινος·
Ὁ Θόας ἦν περίγοργος, λεπτός τε καὶ μεσῆλιξ,
λευκὸς, σγερὸς, ὑπόγλαυκος, εὐσύμβολος καὶ νέος.
Ἰδομενεὺς μεσόγηρως, μέσος τὴν ἡλικίαν,
μέλας ὁμῶ τε καὶ σγερὸς, κοντόθριξ, δασυπώγων.
Ὁ Μηριόνης δὲ στρεβλὴν ἐκέκτητο τὴν ῥῖνα,
κοντὸς ὑπάρχων καὶ πλατὺς, εὔθριξ, σγερὸς, εὐπώγων.
Ὁ Πρωτεσίλαος, ἀνὴρ ὁ τῆς Λαοδαμείας,
λευκὸς, μακρὸς, εὐσύνθετος, ἠλόθριξ, καὶ ξανθόθριξ,
ὡραῖος, νέος, τολμηρὸς καὶ τῶν εὐκατατάτων.
λιπὼν δὲ Λαοδάμειαν νύμφην ἐν τῷ θαλάμῳ,
σὺν τοῖς λοιποῖς ἐστράτευσε τοῖς Ἕλλησιν εἰς Τροίαν·
πρῶτος δὲ πίπτει τῶν λοιπῶν, ὡς προπηδήσας πρῶτος,
ὡς ὅταν δεῖ σαφέστερον μαθήσῃ περὶ τέτου.
Εὔμηλος τῆς Ἀλκήστιδος μητρὸς τῆς παναρίστης,
ἥτις αὐτὴν ἀπέδωκε θανεῖν ὑπὲρ συζύγου,
ὡραῖος, καὶ εὐῆλιξ ἦν, εὐπαίδευτος, ξανθόθριξ.
Εὐμήκης, μέλας, σύνοφρυς ὑπῆρχε Φιλοκτήτης.
Ὁ Κάλχας, ὁλοπόλιος, μικρὸς τὴν ἡλικίαν,
λευκὸς τὸ σῶμα καὶ λεπτὸς, καὶ δασυχαίτης ἅμα.
Ὁ Παλαμήδης, Κάτων τε ὁ πρῶτος, καὶ ὁ Τζέτζης
εὐήλικες, εὐτράχηλοι, μακρόρρινες συμμέτρως,
συμμέτρως μακροπρόσωποι, γοργοὶ, τῶν αἰδημόνων,
λεπτοὶ, γλαυκοὶ, χρυσόχροες, πυρρότριχοι, καὶ ἕλοι,

Digitized by Google

σωματικοῖς καὶ ψυχικοῖς ὅμοιοι πᾶσιν ὄντες,
ὡς καὶ τὴν κόμην αὐχμηρὰν ἐξ ἀλυσίας ἔχειν,
καὶ συμπεσεῖν τὴν πλείονα καὶ διερρῦηκέναι·
ἐμοῦ δ' ἔτοι διέφερον τῷ μὴ θυμοῦσθαι μόνον,
εἰ τέως ἐχὶ ψεύδονται τῶν συγγραφέων λόγοι·
αἱ κράσεις αἱ τοιαῦται γὰρ θερμαί τε καὶ θυμώδεις,
εἰ μή τι περισσότερον εἶχον ἐμοῦ τὸ φλέγμα,
καὶ τῷ φιλοκερδέστερος καὶ φειδωλὸς ὑπάρχειν,
Κάτων ἐμοῦ διέφερεν ὅμοιος ὢν τοῖς ἄλλοις,
ἐμοὶ δὲ πλέον τοῦ ἀνδρὸς τοῦ Κάτωνος ὑπάρχει
τὸ μὴ κρατεῖσθαι χρήμασι· θυμὸς ἐπὶ δικαίοις
πῦρ πνέων, ὥσπερ Κάτωνι δευτέρῳ παρυπῆρχε.
Τὸν Ἐπειάν μοι μάνθανε τὶς ἦν κατὰ τὴν θέαν·
λευκὸς, ὡραῖος, εὔχαρις, μέγας εἰς ἡλικίαν,
νέος, θασύθριξ καὶ ξανθὸς, δειλὸς ὑπὲρ ἐλάφους,
μηχανητὴς πανάριστος, πυγμάχος τὲ γενναῖος.
Ἐπεί σοι νῦν κατέλεξα καὶ τὰς μορφὰς ἡρώων,
πάλιν πρὸς τὴν ὑπόθεσιν τὸν λόγον ἀνακτέον.
Ὡς πᾶν τοῦτο τὸ στράτευμα συνήχθη πρὸς Αὐλίδα,
εἰς ἀριθμὸν ποσέμενον ὡς ἔφην χιλιάδων,
εἰς στόλον καὶ ναυάρχους τὲ τοὺς ἄνω λελεγμένους,
ἀνέμοις κατεσχέθησαν ἐκεῖσε χειμερίοις·
ἀνθ' ὧν, ὡς γράφουσι τινὲς ἐκ τῶν μυθογραφέντων,
ὁ Ἀγαμέμνων ἔλαφον Ἀρτέμιδος τοξεύει·
ὅθεν τὴν Ἰφιγένειαν αὐτῷ τὴν θυγατέρα,
ἐκ τῆς Μυκήνης ἄξαντες, ἔμελλον θύειν τότε,
διαδραμοῦσαν δ' ἔλαφον σφάττουσιν ἀντ' ἐκείνης,
ἐκείνην δὲ ἱέρειαν Ἀρτέμιδος ποιοῦσιν·
ἡ δ' Ἄρτεμις ἐκ ἄλλη τὶς ἐστὶν, ἀλλ' ἡ σελήνη·
ἀνέμων ἔπειτα φορῶν πνευσάντων καὶ πομπίμων,
Διὶ θυσίας ἔθυον πρὸς κρήνην ἐν Αὐλίδι·

Digitized by Google

πρὸς ἥπερ κρήνην δράκων τις εἰς πλάτανον ἑρπύσας,
μέσον παντὸς στρατεύματος, πάντων ὀρόντων τῦτον,
ὀκτὼ στρεβῆ νεόττια νήπια τέκνα τρώγει,
καὶ τὴν μητέρα τῶν στρεβῶν κατέφαγεν ἐνάτην·
εἶτα πρὸς λίθων πῆ σωρὸν κρυβεὶς ἐξηφανίσθη,
ὅπερ καὶ ἀπολίθωσιν τῆ δράκοντος καλῦσι.
Τῆ μάντεως εἰπόντος γὰρ τοῖς Ἕλλησι τὸ τέρας,
ὅτι καθάπερ βέβρωκεν ὀκτὼ στρεβῆς ὁ δράκων,
ἐνάτην δὲ κατέφαγε σὺν τύτοις τὴν μητέρα,
ἔπειτα παρεισέδραμεν εἰς τὴν λιθοσωρείαν,
ἕτως ἡμεῖς ὀκταετῶς τὰς Τρῶας ἀναιρῦντες,
ἐνάτῳ καὶ τὸν Ἕκτορα σὺν τύτοις ἀναιρεῖτε,
δεκάτῳ καθελεῖτε δὲ καὶ τείχη τὰ τῆς Τροίας·
ἕτως εἰπόντος μαντικῶς τῆ Κάλχαντος τὸ μέλλον,
δευτέρας ὅρκυς Ἕλληνες ὀμόσαντες φρακώδεις,
μηδένα πρὸ πορθήσεως τῆς Τροίας ὑποστρέφειν,
λύσαντες δὲ πρυμνήσια, πελάσαντες ἱστία,
ἤδη λοιπὸν ὡς πρὸς αὐτὴν ἀπέπλεον τὴν Τροίαν·
Ἰρίδων φαινομένων δὲ, τάξων τῶν ἱρανίων,
οἱ Τρῶες, καίπερ ἔχοντες φύλακας προσκοπῦντας,
καὶ τὸν Πολίτην σὺν αὐτοῖς υἱὸν τὸν τῆ Πριάμυ
πρὸ τῶν φυλάκων τῶν αὐτῶν καὶ πρὸ τῶν μνημάτων,
ἐκ τῶν σημείων ἔγνωσαν ζάλην δεινῆ πολέμυ,
καὶ περὶ πόλιν Μύρινναν ἦσαν πλησίον Τροίας
ἐλθόντες, καθωπλίσθησαν καὶ στρατοπεδαρχῦνται,
καὶ πάντες περὶ θάλασσαν ἔνοπλοι συνδραμόντες
τὰς Ἕλληνας ἐκώλυον ἐκβαίνειν τῶν ὁλκάδων.
Ἀλλὰ λεκτέον πρῶτον μοι καὶ τύτων ἡγεμόνας,
καὶ τότε προχωρήσωμεν πρεπόντως πρὸς τὴν μάχην.
Οἱ τότε Τρώων στρατηγοὶ παρευρημένοι Τροίᾳ
ἦσαν ἑπτὰ καὶ εἴκοσι τὸν ἀριθμὸν οἱ πλείυς,

Digitized by Google

χωρὶς τῶν συνεχέστερον ὑστέρως ἐρχομένων
Ῥίσος καὶ Ἱπποκόωντος καὶ τῦ Ὀθρυονέως,
Πενθεσιλείας, Μέμνονος κρατῦντος Αἰθιόπων,
καὶ Πολυδάμαντος Ἰνδῦ, Μυσῦ τε Εὐρυπύλυ,
καὶ τῶν λοιπῶν τῶν συνεχῶς εἰς Τροίαν ἐρχομένων,
καὶ σκόπει μοι καὶ μάνθανε καὶ τέτων νῦν τὰς κλήσεις.
Ὁ Ἕκτωρ ἦν Πριάμυ τε υἱὸς καὶ τῆς Ἑκάβης,
πάνυ μακρὸς καὶ εὔσκιος, μελάγχρως τὴν ἰδέαν,
συστρομελάνθριξ, εὔρυς τε, κοντόθριξ καὶ εὐπώγων,
στραβὸς, ψελλὸς, βαρύφωνος καὶ σθεναρὸς ἰσχύϊ,
καὶ φοβερὸς πολεμιστὴς, κἂν περ ἐγὼ σιγήσω,
Ὅμηρος δὲ καὶ τὴν μορφὴν τῦτον ὡραῖον λέγει,
ἦτος τῶν Τρώων βασιλεὺς καὶ στρατηγὸς ἦν τότε.
Αἰνείας ὁ Ἀγχίσυ δὲ υἱὸς καὶ Ἀφροδίτης,
κοντὸς, παχὺς, πυῤῥάκης τε, λευκὸς, γλαυκὸς καὶ εὔρις,
εὐπώγων, πλατυπρόσωπος, φρόνιμος, ἀναφάλας·
ἦτος σὺν τῷ Ἀκάμαντι καὶ σὺν τῷ Ἀρχελόχῳ,
υἱοῖς τε τῦ Ἀντήνορος, ἦρχε τῶν Δαρδανίων.
Πάνδαρος ὁ Λυκάονος υἱὸς καὶ τῆς Ἰδαίας,
λεπτὸς, εὐπρόσωπος, γοργὸς, μέσος τὴν ἡλικίαν,
τοξότης εὐστοχώτατος, μελίχρως, καὶ μελάνθριξ,
ἦν στρατηγὸς Ζελειωτῶν, ὄντων ἐγγὺς τῆς Ἴδης.
Λαμψακηνῶν ὁ Ἄδραστος καὶ Ἄμφιος κατῆρχον,
ἐκ τῆς Περκώτης πόλεως Μέροπος ὄντες παῖδες.
Ἄσιος ὁ Ὑρτάκυ δὲ υἱὸς καὶ τῆς Ἀρίσβης
Ἀβυδηνῶν, Σηστίων τε καὶ Περκωσίων ἦρχεν.
Ἱππόθοος καὶ Πύλαιος ὄντες υἱοὶ τῦ Λήθυ
τῶν Λαρισσαίων Πελασγῶν εἶχον τὴν στραταρχίαν.
Ὁ Πείρως καὶ Ἀκάμας δὲ Θρακῶν Ἑλλησποντίων,
Μαρωνειτῶν ὁ Εὔφημος υἱὸς ὁ τῦ Τροιζήνυ.
Πυραίχμης τῶν Παιόνων δὲ, τετάστο τῶν Βελγάρων,

Digitized by Google

τῶν ἐξ Ἀσίης ποταμῦ, τετέρτι τῦ Βαρδάρη.
Τῶν Παφλαγόνων στρατηγὸς ὑπῆρχε Πυλαιμένης·
ὁ Δῖος (1) καὶ Ἐπίστροφος τῶν Βιθυνῶν ἐκράτεν·
ὁ Χρόμης καὶ ὁ Ἔννομος πάντων Μυσῶν ἐκράτεν,
Ὀλυμπηνῶν καὶ Πρυσηνῶν καὶ τῶν ἐντὸς Καΐκυ·
ὁ Φόρκυς καὶ Ἀσκάνιος Φρυγῶν ἐστρατηλάτεν,
Φρύγες δ' εἰσὶν οἱ Νικαεῖς, ὧν Ἀσκανία λίμνη.
Ὁ Μέσθλης δὲ καὶ Ἄντιφος Μηόνων στρατηλάτα·
οἱ Μήονες Λυδοί εἰσιν, ὧν πόλεις αἱ νῦν Σάρδεις.
Ὁ Νάστης καὶ Ἀμφίμαχος Καρῶν καὶ Μιλησίων·
ὁ Σαρπηδὼν καὶ Γλαῦκος δὲ τῶν Παταρέων ἦρχεν.
Οὗτοι μὲν ἦσαν στρατηγοὶ τότε τῶν Τρώων ὄντες,
σὺν τοῖς αὐτῶν στρατεύμασι καὶ στρατοπεδαρχίαις
ἐκώλυον τὺς Ἕλληνας ἐκβαίνειν πατὰ Τρώων·
ὡς δ' ἄμφω τὰ στρατεύματα τῶν Τρώων, τῶν Ἑλλήνων
ἵσαντο μὴ μαχόμενα φόβῳ χρησμῳδημάτων,
ἦν γὰρ χρησμὸς τὸν ἄρξαντα πρῶτον θανεῖν τῶν ἄλλων,
ἰδὼν ὁ Πρωτεσίλαος ἁπάντων τὴν δειλίαν,
ζωῆς ἀδόξυ θάνατον ἔνδοξον προτιμήσας,
πολὺ πρὸ πάντων προπηδᾷ κατὰ τῶν Τρώων μόνος,
καὶ τῷ δοκεῖν μὲν σφάττεται, ζῇ δὲ τῇ μνήμῃ πλέον,
Ἕκτωρ γὰρ τῦτον, Εὔφορβος, Ἀκάτης ἀναιρῦσιν·
ἡ δὲ σφαγὴ τοῖς Ἕλλησι λυτήριος θυσία,
καὶ νίκη γίνεται λαμπρὰ, καὶ παροχεὺς βραβείων·
αὐτίκα δὲ θαρρήσαντες ἐξέδραμον τῶν πλοίων,
καὶ συμβαλόντες τρέπυσι τὺς Τρῶας κατὰ κράτος,
χείμαρροι γὰρ ἐρρύησαν αἱμάτων τῷ πολέμῳ·
περὶ τὴν νύκτα δὲ λοιπὸν ἁπάντων Τρώων πλῆθος
ὡς πρὸς τὴν Τροίαν προσδραμὸν, κλείει τὰς ταύτης πύλας.
Ἡ τῦ Πρωτεσιλάυ δὲ σύζυγος ἡ καλλίστη

(1) Il. β. 856. Ὀδίος.

Digitized by Google

μαθοῦσα τὴν ἀναίρεσιν τοῦ νεαροῦ συζύγου,
τὸν νυμφικὸν τὸν ϛολισμὸν εὐθὺς ἐνδυσαμένη,
αὐτὴν μαχαίρᾳ πλήξασα, κατάγει πρὸς τὸν Ἅδην,
νύμφη νυμφίῳ τῷ καλῷ θέλουσα συμπαρεῖναι.
Οἱ Ἕλληνες, τῶν Τρώων δὲ κλεισθέντων ἐν τῇ Τροίᾳ,
ταῖς περιχώροις ἑδαμῶς ἦσαν τῶν Τρώων βλάβη·
ἐϛ' ἂν ἐκ τῆς Τενέδου τε καὶ πόλεως Τενάνδρου,
Κύκνος ὁ Ποσειδῶνος τε καὶ τῆς Σκαμανδρονίκης,
νυκτερινὸν τὸν πόλεμον συνήρραξεν ἐκείνοις·
εὐθὺς γὰρ τοῦτον Ἀχιλεὺς ἀπέκτεινε τῇ μάχῃ,
καὶ πᾶν τὸ τότου ϛράτευμα θερίζεται τελέως.
Ὅρκοι λοιπὸν ἐγίνοντο πορθεῖν τὰς περιχώρους,
ὅτι μηδέν τι δυσχερὲς πρός τινα τούτων δρῶντες,
ἐκ τούτων ἠδικήθησαν κατάρξαντες τοῦ Κύκνου.
Καὶ τότε τεύξαντες πλεκτὰς σκηνὰς καὶ κατοικίας,
οἱ μὲν αὐτῶν παρέμενον ἐϛρατοπεδευκότες,
ἄλλοι δὲ τὰ περίχωρα τῶν Τρώων ἐξεπόρθουν,
φρικώδεις ὅρκους θέμενοι, μηδὲν παρυποκρύπτειν·
ὁ Ἀχιλεὺς δὲ μάλιϛα τὰς χώρας ἐξεπόρθει,
τοῦ Παλαμήδους σὺν αὐτῷ συϛρατηγοῦντος τότε,
τοῦ Εὐβοέως τοῦ σοφοῦ, τοῦ μηχανικωτάτου,
τοῦ ἀριθμοῦ καὶ γράμματα καὶ τὸν πεσσὸν εὑρόντος,
ζυγοὺς καὶ παρατάξεις τε, σὺν τούτοις ἄλλα πόσα.
Καὶ Διομήδης μὲν πορθεῖ τὴν πόλιν τὴν τοῦ Κύκνου,
καὶ Κόμην τε καὶ Κόμαρκον παῖδας ἀνεῖλε τούτου,
καὶ Γλαύκην χρόνων ἕνδεκα τούτου τὴν θυγατέρα,
τὴν Λαοδίκην ὥς τινες γράφουσι τῶν ἑτέρων,
εὐπρεπεϛάτην ἤγαγε σὺν τοῖς λοιποῖς λαφύροις,
εἰς μέσον τοῦ ϛρατεύματος παντὸς τοῦ τῶν Ἑλλήνων.
Αἴας ὁ μέγας δ' ἐκπορθεῖ Θράκην καὶ Τευθρανίαν,
καὶ θυγατέρα Τεύθραντος αἰχμάλωτον λαμβάνει

Digitized by Google

Τέκμησσαν, ἑπτακαίδεκα τῶν χρόνων ὑπηργμένην,
μακρὰν, λεπτοχαράκτηρα, λεπτόρινα, μελάγχρων,
εὐόφθαλμον, ἁπλότριχα, μελάντριχα, δριμεῖαν,
εἰς ἡλικίαν εὔστολον, τελείαν καὶ παρθένον·
καὶ πάντα μέσον τῦ στρατῦ παρέθετο καὶ ἔτος.
Ὁ δ' Ἀχιλεὺς ὡς ἔφημεν μετὰ τῦ Παλαμήδυς
λεηλατῶν τὰς χώρας μὲν, τὰς πόλεις κατασκάπτων,
οἰκείᾳ ῥώμῃ χρώμενος, βιαλῇ τῇ Παλαμήδους
εἴκοσι τρεῖς ἐπόρθησε πόλεις συμμάχους Τρώων·
αἱ πόλεις δ' ἅσπερ Ἀχιλεὺς εἷλε σὺν Παλαμήδει
κατὰ ῥητὸν ὑπάρχουσαι τάσδ' ἔχουσι τὰς κλήσεις·
Λέσβος, Φωκίας, Κολοφῶν, Κληζομεναὶ καὶ Σμύρνη,
Κύμη, Τῆνος, Αἰγιαλὸς, αἱ ἑκατὸν αἱ πόλεις,
Σίδη, καὶ Ἀτραμύτειον, Λίλαιον καὶ Κολώνη,
Ἔνδιον, Κίλλα, Λύρνησσος, Τένεδος σὺν Λαρίσσῃ,
Θήβη, Χρύσα, καὶ Πήδασος, Αἶνειον τε καὶ Πῖνος·
ταύτας κατέσχεν Ἀχιλεὺς πόλεις σὺν Παλαμήδει,
τῷ σοφωτάτῳ Εὐβοεῖ καὶ στρατηγικωτάτῳ,
υἱῷ Ναυπλίου τῦ σοφῦ, μητρὸς δὲ τῆς Κλυμένης·
ἐκ τούτων λάφυρα πολλὰ τοῖς Ἕλλησιν εἰσφέρει,
καὶ αἰχμαλώτους σὺν αὐτοῖς τρεῖς ἤγαγε γυναῖκας·
ἐκ μὲν τῆς Λέσβου, Φόρβαντος κόρην τὴν Διομήδην,
ἐκ τῶν Θηβῶν ἑτέραν δὲ, Θηβῶν Ὑποπλακίων,
γυναῖκα Ἠετίωνος, Κιλίκων βασιλέως,
κτείνας τὸν Ἠετίωνα, καὶ τὸν στρατὸν Κιλίκων,
ἣν ἐξωνήσαντο τινὲς τῶν γυναικῶν ὑστέρως·
ἐκ Χρύσης Χρυσηΐδα δὲ τῦ Χρύσου θυγατέρα,
τὴν καὶ τὸ πατρωνύμιον ταύτην λαβῦσαν κλῆσιν,
ταύτης γὰρ ἦν τὸ ὄνομα τὴν κλῆσιν Ἀστυνόμη,
καὶ ταύτην μὲν εἰς τὸ κοινὸν σὺν τοῖς λοιποῖς λαφύροις
ὡς οἱ λοιποὶ τῶν στρατηγῶν παρέθετο καὶ ἔτος.

Digitized by Google

Τὴν Λύρνησσον πορθήσας δὲ τὴν πόλιν τῆ Βρισέως,
καὶ κτείνας καὶ τὸν Μήνυτα σύζυγον Βρισηΐδος,
λαβὼν τὴν Ἱπποδάμειαν, αὐτὴν τὴν Βρισηΐδα,
Θελχθεὶς αὐτῆς τῷ ἔρωτι, καταφρονεῖ τῶν ὅρκων,
παρασπονδεῖ πρὸς Ἕλληνας, συνθήκας παραβαίνει,
καὶ κρύπτει ταύτην ἔνδοθεν αὐτῆ τῆς κατοικίας
χωρὶς βουλῆς τῶν στρατηγῶν, χωρὶς τῶν στρατευμάτων,
λαβὼν δῶρον ἐξαίρετον, ὅπερ αὐτὸς ἐπόθει·
τοῦτο μαθὼν τὸ στράτευμα, μεγάλως ἐταράχθη,
καὶ θόρυβος ἐγένετο καὶ σκέψις περὶ τούτου,
ὁποίῳ τρόπῳ τε καὶ πῶς ὅτως αὐτεξουσίως
αὐτὴν ἐξέκρινεν αὐτῷ καταφρονῶν τῶν ὅρκων,
ἔδοξε πᾶσι τῆ λοιπῆ μὴ στρατηγεῖν ἐκεῖνον.
Ὁ Ὀδυσσεὺς ἀνῆπτε δὲ μᾶλλον τὰς λόγους πλέον·
τῷ Παλαμήδει γὰρ ἐχθρὸς ὑπάρχων τῷ πανσόφῳ
τοῖς βασιλεῦσιν ἔλεγε θηρᾶν τὴν βασιλείαν,
τῷ Παλαμήδει συνεργῷ τοῖς πᾶσι κεχρημένος,
πρέπει φονεῦσαι τοιγαροῦν αὐτὸν τὸν Παλαμήδην,
τὴν κόρην ταύτην δὲ βαλεῖν εἰς τὸ κοινόν, ὡς τ' ἄλλα.
Ἀλλά σοι πρῶτον λέξωμεν καὶ τὰς μορφὰς τὰς τούτων
τῶν αἰχμαλώτων γυναικῶν, ὧν εἶπον ἀνωτέρω·
καὶ τότε καὶ τὸν θάνατον ἐρῶ τῆ Παλαμήδους,
καὶ κόρης τὴν ἀφαίρεσιν καὶ μῆνιν Ἀχιλέως,
καὶ πῶς ἑτέρως Ὅμηρος τὴν μῆνιν ταύτην γράφει·
καὶ τότε, παρελάσαντες τρίβους πολλοῖς ἀγνώστους,
πρὸς τὴν πλατεῖαν ἔλθοιμεν Ὁμήρου λεωφόρον
ἁμαξιτὸν βαδίζοντες τὴν γνώριμον τοῖς πᾶσι·
καὶ δὴ τὴν θέαν μάνθανε τῶνδε τῶν αἰχμαλώπων.
Ἡ Φόρβαντος θυγάτηρ μὲν ὑπῆρχε Διομήδη,
παρθένος, εἰκοσίχρονος, καλὴ τὴν ἡλικίαν,
λευκὴ, γλαυκὴ, μεσόπαχος, ὑπόσιμος, ξανθόθριξ.

Digitized by Google

σὺν οἷς, στρογγυλοπρόσωπος καὶ τῶν μεγαλοφθάλμων.
Ἡ Ἀστυνόμη Χρυσηΐς, θυγάτηρ ἡ τῆ Χρύσου,
χρόνων ἐννεακαίδεκα, παρθένος ἔσα τότε,
κοντὴ, λεπτή τε καὶ λευκὴ, ξανθότριχος ὑπῆρχεν,
εὐπρόσωπος, εὐόφθαλμος, μικρόστηθος καὶ εὖρεν.
Ἡ δέ γε Ἱπποδάμεια θυγάτηρ τῆ Βρισέως
εἴκοσι χρόνων καὶ ἑνὸς ἔσα τὴν ἡλικίαν,
γυνὴ μὲν ἦν τῆ Μήνυτος Ἀελέγων βασιλέως,
μακρὰ, λευκὴ, καλλίμαστος, ἐλόθριξ, καὶ μελάνθριξ,
εὔστολος, καλλιπάρηος, φιλόγελως καὶ εὖρεν,
κεχλοϊσμένον βλέφαρον, ὀφρῦς συνδεδεμένη,
ἣν ἀπεκρύψας Ἀχιλεὺς, ὡς ἔφην ἀνωτέρω,
ἐποίησε τὸ στράτευμα μεγάλως ταραχθῆναι,
καὶ περιστεῖλαι καὶ αὐτὸν μὴ στρατηγεῖν Ἑλλήνων,
ὡς ἄπιστον, ὡς ἄσπονδον, ὡς ὅρκων παραβάτην,
καὶ Παλαμήδην τὸν σοφὸν ὡς δι' αὐτὸν φονεῖσαι.
Ὁ Ὀδυσσεὺς γὰρ ὢν ἐχθρὸς ἄσπονδος Παλαμήδει
τῷ λέγειν τοῦτον αἴτιον εἶναι κακῶν ἁπάντων,
τὸς βασιλεῖς ὡς πρὸς θυμὸν ἀμέτρητον κινήσας,
ἔπεισεν ἄνδρα ποδαπὸν ἀποθανεῖν ἀδίκως·
καὶ γὰρ ἐρίζων πρὸς αὐτὸν σοφαῖς μηχανουργίαις,
σκότος ὑπῆρχεν ὡς πρὸς φῶς, νόσος ὡς πρὸς ὑγείαν,
πρὸς Ἰνδαικὸν ὀσφράδιον κόπρος δυσωδεστάτη.
Ὁ Παλαμήδης γὰρ αὐτὸς ἡ πάνσοφος καρδία,
πραὺς ὢν καὶ εὐόμιλος καὶ ταπεινὸς τοῖς πᾶσι,
πάντας φιλῶν ὡς ἑαυτὸν, τοῖς πᾶσιν ἐποθεῖτο,
καὶ ἐτιμᾶτο σύμπασι κατὰ πολλὰς τὰς τρόπους,
ὡς εὐγενὴς, ὡς στρατηγὸς, ὡς ἰατρὸς, ὡς μάντις,
ὡς μηχανὰς δυνάμενος ποιεῖν πορθητηρίους,
ὡς ἐφευρὼν τὰ γράμματα, τὰς ψήφους, τὸ ταβλίζειν,
τὸ παρατάσσειν τὸν στρατὸν ἐν συμβολαῖς πολέμου,

Digitized by Google

ἁπλᾶς εἶπεῖν ὡς ἀρετὴς βιωφελοῦ παντοίων.
Καὶ γὰρ τὰ πρὶν ἐπαλέουσι τοῖς Ἕλλησιν εἰς Τροίαν
σημεῖα κατεφαίνοντο, καὶ τέρατα φρικώδη·
ὑπερφυεῖς μὲν ἀστραπαὶ, βρονταὶ τῶν βαρυκτύπων,
λείψεις ἡλιοειδέλιαι, ὄμβροι βροχῆς ἀμέτρου,
ἄλλα μυρία τέρατα τῶν φορείβων τὴν Ἰδαν·
τοῦ δὲ σχιστοῦ τοῦ ὑμηνέως μετρίους πανυμνήσω,
πρῶτος αὐτὸς ἐρρύσατο ταῖς φόρβαῖς Παλαμήδης·
ὦ ὄνειρε Ἕλληνες, εἶπεν, ταῦτα τῶν Τρώων βλάβη,
πάντα γὰρ πρὸς ἀκριβολογῆ ἐρώνη τὰ σημεῖα·
εἶπα καὶ Κάλχας ἀληθῆ λέγειν τὸν Παλαμήδην.
Πρῶτον πρὸς Ἕλληνας αὐτὸ τοῦ Παλαμήδους ἔργον,
δεύτερον, ἀποπλεύσασιν αὐτοῖς ὡς πρὸς τὴν Τροίαν,
καὶ λιπαμμίσας ἄμετρα τῷ πόθῳ τῆς ἀκριβείας,
ἀφεμένοις τὰ γράμματα σὺν τοῖς τοῦ ταβλιζῆσαι·
καὶ γράμματον ἐχρῶντο μὲν φρονεῖς τοῖς ἀκούσις·
ταβλιζοντὶς δ' ἀλάμβανον παραψυχὴν ὀλίγην,
ὡς λύσις τὶ καὶ τοῦ λοιποῦ τοῦ τότε γεγομένου·
χρόνῳ γὰρ μέλας λήσασιν ἅπαντες ἐν ξένῃ χθονὶ
ὅθεν ὁ πόθος ηὔξησε πάντων πρὸς Παλαμήδην,
ὁ φθόνος δ' ἀπέτρεσσεν τὸν Ὀδυσσέα πλέαν.
Ἐπεὶ δὲ καὶ κατήρξαντο παιδιᾶν τὰς ἡμερησίους,
ἐφ' ὧν ὁ Κύκνος πάλαιον τοῖς Ἕλλησι συνῆψεν,
ἅπαν ἀλθὲν τὸ φρόνημα πρώτων κατὰ Μυσίαν
συνῆψε πάλαιον βαρὺν ἐν πεδαρῷ Καΐκου,
οὗ παρ καὶ φόνος πάμπολυς Μυσῶν τε καὶ Ἑλλήνων·
πολλοὶ γὰρ ἔπεσον ἐκεῖ γεννάδοι φρατηλάται,
καὶ σὺν αὐτοῖς ὁ Θέρσανδρος υἱὸς τοῦ Πολυνείκους,
τῆς θυγατρὸς ὑπάρχων παῖς Ἀδράστου βασιλέως·
οὗ καὶ τροπὴ παθολικὴ γέγονεν ἐν Ἑλλήνων,
εἰ μὴ τὸν Τήλεφον αὐτὸν Μυσῶν τὸν βασιλέα,



Digitized by Google

τοῦ Ἡρακλέος τὴν υἱὸν καὶ Αὔγης τῆς Ἀλέου,
ὁ Ἀχιλεὺς εἰς τὸν μηρὸν ἔτρωσε δορατίσας·
εἰ μὴ Νιρεὺς ἀπέκτεινε νῦν σύζυγον Τηλέφε,
τὴν καλουμένην Ἱερὰν ἅρματι μαχομένην·
ἢ τις τοσοῦτον καλλονᾶς ἑνίκα τὴν Ἑλένην,
ὅσον ἐκείνη τὰς λοιπὰς γυναῖκας ἐξενίκα·
εἰ μὴ Νιρεὺς καὶ Ἀχιλεὺς ἠρίςευσαν ὡς εἶπον,
οὐδὲν ἦν τότε κώλυμα τοὺς Ἕλληνας φθαρῆναι·
Ἕλωρος καὶ Ἀκταῖος γὰρ, οἱ παῖδες οἱ τῆ Ἱερῆ,
καὶ Αἶμος ὁ τῆ Ἄρεος Τηλέφῳ συνεμάχουν·
καὶ αἱ γυναῖκες τῶν Μυσῶν, ἐπὶ δρεπανηφόρων
ἁρμάτων ἐφιςάμεναι, τὴν μάχην συνεκρότουν,
σὺν τῇ δεσποίνῃ τῇ αὐτῶν πρὸ πάντων πρωτευχούσῃ,
ἣν ἀποσφάξας ὁ Νιρεὺς, κατέλυσε τὴν μάχην·
εὐθὺς γὰρ θρῆνος καὶ βοὴ Μυσῶν τε καὶ Ἑλλήνων,
ὡς εἶδον κάλλος ἄῤῥητον ἐκθερισθὲν ἀθρόως,
καὶ λύουσι τὸν πόλεμον σπεισάμενοι Τηλέφῳ,
σὺν τούτῳ κλαύσαντες πικρῶς τὴν συμφορὰν ἐκείνε.
Ὡς δὲ, μετὰ τὸν πόλεμον τοῦτον τὸν τοῦ Τηλέφε,
μόλις νικήσαντες Μυσὸς, ὡς εἶπον ἀνωτέρω,
πρὸς τὰς σκηνὰς τὰς ἑαυτῶν οἱ Ἕλληνες κατῆλθον,
λύκοι ποθὲν ἐρχόμενοι πρὸς τὰς σκηνὰς Ἑλλήνων
ἐκ μέσε πάντων ἥρπαζον ἀνθρώπες τε καὶ κτήνη.
Ὁ Ὀδυσσεὺς ἐρίζων δὲ τάχα τῷ Παλαμήδει,
καὶ θέλων ὄφελος ποιεῖν ὡς ὁ σοφὸς ἐκεῖνος,
λάβων τοξότας περισσοὺς ἐχώρει πρὸς τὰ ὄρη,
ὡς ἂν τοξεύων φθάρειε τὸ γένος τὸ τῶν λύκων·
ὁ Παλαμήδης δὲ σοφὸς ἐν ἅπασιν ὑπάρχων,
καὶ τὴν τοσαύτην πρὸς αὐτὸς λύκων ἀναισχυντίαν,
σημεῖον εἶναι λοιμικῆς καλῶς ὑπενοήσας,
γελῶν ἐλάλει πρὸς αὐτὸν τότε τὸν Ὀδυσσέα·

Digitized by Google

τί μετὰ τόξων, Ὀδυσσεῦ, σφάττειν τοὺς λύκους θέλεις;
οὐκ εἰς τὸν ἅπαντα καιρὸν ἐν ὄρεσιν οἱ λύκοι;
εἶδες αὐτοὺς ἀναίσχυντα τρέχοντας εἰς ἀνθρώπους·
τί ματαιάζεις, ἄνθρωπε, μετὰ τῶν τοξοτῶν σε;
νόσημα μέγα λοιμικὸν ἄρτι γενέσθαι μέλλει·
ἂν καταλείψῃς τοιγαροῦν τόξα καὶ τοὺς τοξότας,
ἂν παρεάσῃς καὶ αὐτὴν νῦν τῶν κρεῶν τὴν βρῶσιν,
καὶ τρώγειν ἄρξῃ λάχανα, πεισθεὶς ἐμοῖ τοῖς λόγοις,
φλεβοτομίας χρήσῃ δὲ καὶ πλέοις ἐν θαλάσσῃ,
φανήσῃ φρονιμώτερος καὶ λύκους ἀναιρήσεις,
τὴν λοιμικὴν τὴν μέλλουσαν ἄρτι γενέσθαι νόσον.
Οὕτως εἰπόντος τοῦ ἀνδρὸς, πάντες ἐποίουν οὕτως·
καὶ παυταχοῦ μετὰ μικρὸν τῆς νόσου γενομένης,
ἄνοσον πᾶν τὸ στράτευμα διέβη τῶν Ἑλλήνων,
καὶ ὡς θεὸν οἱ σύμπαντες εἶχον τὸν Παλαμήδην.
Ὁ Ὀδυσσεὺς δὲ τὸν θυμὸν αὔξων καὶ τὴν κακίαν,
καὶ τὸν θάνατον αὐτῷ παντοίως ἐμελέτα,
καὶ δὴ καὶ κατεσκεύασεν αὐτὸν ἀναιρεθῆναι.
Ὡς γὰρ μετὰ τὸν πόλεμον τὸν πρῶτον τῆς Μυσίας
σὺν Ἀχιλεῖ τὸ δεύτερον ἐπόρθει τὰ τῶν Τρώων,
ὁ Παλαμήδης ὁ σοφὸς, ὁ στρατηγὸς ὁ μέγας,
καὶ πόλεις ἐξεπόρθησεν εἴκοσι τρεῖς, ὡς εἶπον·
σαλμὸς δὲ γέγονε πολὺς διὰ τὸν Ἀχιλέα,
ὅτι τὴν κόρην ἔλαβε δίχα βουλῆς ἁπάντων·
ὁ δολερὸς ὡς ἐφεύρων ὃν περ καιρὸν ἐπόθει,
τοὺς βασιλεῖς ἐκίνησεν εἰς φόνον Παλαμήδους,
θανάτου τοῦτον ἄξιον τὸν ἄνθρωπον δεικνύων·
σὺν Ἀχιλεῖ γὰρ ἔλεγε θηρᾶν τὴν βασιλείαν.
Ὡς δ' εἶπον τότε πρὸς αὐτὸν οἱ βασιλεῖς Ἑλλήνων,
καὶ πῶς εὐκόλως γένοιτο φονεῦσαι Παλαμήδην,
τὸν Ἀχιλλέα συνεργὸν καὶ φίλον κεκτημένον,

Digitized by Google

τοὺς ἀμφοτέρους Αἴαντας, τὸν Νέζορα τὸν μέγαν,
τὸν Ἀθηναίων στρατηγὸν σὺν τούτοις Μενεσθέα,
τοῖς ἅπασι ποθούμενον Ἑλλήνων στρατηλάτας;
οὗτος ὁ δόλιος ἀνὴρ ὡς πρὸς αὐτοὺς εἰρῆκα·
ἐγὼ φροντίσω μηχαναῖς, αἷς περ αὐτὸν κρατήσω.
Καὶ δὴ τινὰ κρατήσαντες ἄνθρωπον ἐκ τῶν Τρώων,
τῷ Σαρπηδόνι χρήματα κομίζοντα πρὸς Τροίαν,
πείθουσι γράψαι Τρωϊκὰ γράμματα πρὸς χαρτίον,
ὡς ἐκ Πριάμου πρὸς αὐτὸν τάχα τὸν Παλαμήδην·
καὶ δὴ τὸν ἄνθρωπον αὐτὸν ἀπέσφαξαν εὐθέως,
ὁμόσαντες ἐλεύθερον ἂν γράψῃ καταλείψειν·
τὰ χρήματα δ' ἀφείλοντο καὶ χάρτην τὸν γραφέντα·
καὶ τὸν μὲν χάρτην πρὸς τινὰ δοῦλον τοῦ Παλαμήδους,
ἐν τῷ στρατῷ φυλάττοντα σκηνὰς τὰς Παλαμήδους,
ἐκεῖνο διατρίβοντος ἔτι περὶ τὴν Λέσβον,
δεδάκασι καὶ χρήματα βραχύτατα εἰπόντες·
ἂν θήσεις τοῦτον εἰς αὐτὴν κλίνην τοῦ Παλαμήδους,
ἄλλα σοὶ δῶρα δώσομεν πλείονα τῶν δοθέντων·
τὰ δ' ἄλλα πάντα χρήματα λαμβάνουσιν ἐκεῖνοι.
Καὶ δοῦλος μὲν ὁ δόλιος οὗτος τοῦ Παλαμήδους
ὑπὸ τὴν κλίνην ἔθετο τοῦ δόλου τὸ χαρτίον,
αὐτοὶ δὲ συντομώτατα πέμπουσι πρὸς τὴν Λέσβον·
κατὰ μὲν τὸ φαινόμενον καὶ τὸ δοκεῖν τοῖς πᾶσιν,
ἐπὶ ποιήσει μηχανῶν καλοῦντες Παλαμήδην,
κατὰ δὲ τὴν ἀλήθειαν χωρίζοντες τῶν φίλων,
ὅπως ἂν ἀβοήθητον φονεύσωσιν ἐκεῖνον·
οὕτως ἐχώρισαν αὐτὸν ἐξ Ἀχιλέως τότε.
Οὗτος ἐλθὼν πρὸς στράτευμα καὶ πρὸς τὴν γερουσίαν,
τάξει καὶ κοσμιότητι λέγει τοῖς βασιλεῦσιν.
Ὦ στρατηγοὶ καὶ βασιλεῖς, τί μηχανὰς ζητεῖτε;
ἔχετε ζώσας μηχανὰς, τοὺς Αἴαντας τοὺς δύο,

Digitized by Google

αἶ γαρ παρθείην ἐείσατο πόλεμε τῶν πολεμίων·
εἰ δέ γε χρεὼ ἔχετε καὶ μαχαιτῶν ἀρήγειν,
ἅς περ αἱ χεῖρες ἐμοὶ δημιουργεῦσι τέχνης,
ἕτοιμοι ἔχετε πατεῖν ὧς πρὸς τὴν γῆν τὴν Τρωϊκὴν.
Τρωϊάνες μὲν ἐ πάσσοφος ἔπαν ἀοιδὸ ἐκείνες·
τοῦ φθόνω καὶ σοῖ φένες δὲ τὸ ἄργαλεον τὸ μέγα
λόγων ἐκ λόγω παρεκυῶν εἰς ἔβρεις ἐξεκράπτα.
καὶ τῶ σφαντεύματος αὐτὰν προδέκην ἐτιμάλεν.
Ὡς δ' ἐκ τῆς κλένης ἤγαγεν καὶ τὰν πλαστὰν τὰν χάρτην,
λίθρεσε ὡς γύνη τὸν σφὸν ἀοιδὸν Πολαμώδη,
Ζευσύνδιος λιθάζοντες μένας καὶ Μωσηγάϊες,
τοῖσε μόνον τὸ λέγον κτεγάμενον εἰπέντα·
χαῖρε ἀλάθεια νικατά. προστετράπεσε γάρ μη.
Οἷσιν ἀδίνεσε φοῦ σοφὸ θαυόντος Πολαμώδες,
ἅπαν Ἑλλάνων ὁ στρατὸς ἐθέωρεν κυφίως,
τῷ βασιλέως σὺν ἀγῶν προύμαχος μεγάλως·
οὐ παρεχώρει δάπτειν γὰρ, ἀλλ' οὐδὲ κλαίειν τοῦτον·
κρυβῆς τὸν πολεμάντα πάντων τὸν Πολαμώδεν,
γαγάδεν κόνιν ἔβαλον, καὶ βρῶμα τῶν θηρίων.
Αἴας δ' ὁ μέγας ἐμαθὼν τὴν συμφορὰν ἐκείνην,
λεοντοῦν καὶ βρύχιον στυγάξας ἐκ καρδίας,
χωρεῖ πρὸς πολὺς λιθάζοντας ἐκπλέος ἐτσερόφρος.
καὶ πάντας μὲν ἐσκέδασεν ἄτρεκτος διαπτέρας,
αὐτὸς δὲ κόμην σιλάζον ἐξαγαγῶν ἐβίου.
καὶ γενιάδες τρόμασεν τὸ πρόσωπον ἐκέκα.
πίπτει πρὸς γῶν ὡς τὸν γρανὸν πεπλαθὼν ἐκεῖνον.
καὶ κατορῆ τὸν ἴδιον τῶν θάνατον ποήσας.
πηλοπερίστας καὶ σὺν γῆν ἐκ πῶν πολλῶν δορυφόρων,
ἀναλαβόμενος αὐτὰν κομεῖ τοῖς ἑκατέροις
καὶ δάπτει πρὸς Δεπάτμιον, ἔρος ἐν τῆς Μυθύμνης·
οἷος δ' ἑαυτῶν Ἕλληνες συμφορὰς ἐκ Νεοπτόλ-

Digitized by Google

ὃς Παλαμήδης ἦν πατὴρ, μικρὰ δοκεῖ μοι γράφειν.
Ὁ δ' Ἀχιλεὺς ὡς ἔμαθε τὸν φόνον Παλαμήδους,
διὰ τὴν Ἱπποδάμειαν Βρισέως θυγατέρα,
τὸν Παλαμήδην μὲν αὐτὸς περιπαθῶς ἐθρήνει,
τὴν κόρην δὲ τοῖς Ἕλλησιν ἀπέπεμψεν εὐθέως,
καὶ ὀργισθεὶς ἐπαύσατο συμπολεμεῖν ἐκείνοις,
καὶ λοιμικὴ δὲ γέγονεν εἰς τὸν στρατὸν Ἑλλήνων·
ὁ Παλαμήδης γὰρ οὐκ ἦν προλέγειν θεραπείας.
Ἄλλοι μετὰ τὸν θάνατον φασὶ τοῦ Παλαμήδους
εἰς τὸ κοινὸν οἱ Ἕλληνες ἔλαβον καὶ τὴν κόρην,
τοῦ Ἀχιλέως ἄκοντος, οὐ θελούσῃ γνώμῃ,
καὶ τοῦτον εἶναι στρατηγὸν ἀπέπαυσεν Ἑλλήνων,
ὅθεν ὀργίζετο σφοδρῶς τοῖς Ἕλλησιν ὁ ἥρως.
Ὡς ἔμαθον οἱ Τρῶες δὲ τὴν μῆνιν Ἀχιλέως
καὶ λοιμικὴν δαμάζουσαν τοὺς Ἕλληνας ἀμέτρως,
θαρρήσαντες ἀνέῳξαν τὰς πύλας τὰς τῆς Τροίας,
καὶ πολεμεῖν ἀπήρξαντο τοῖς Ἕλλησι γενναίως.
Ὁ δ' Ὅμηρος, δεινότατος ὑπάρχων λογοφράφος,
τὰ μέχρι τούτου σύμπαντα πανσόφως παρατρέχει,
καὶ Παλαμήδην οὐδαμῶς ἔγραψε τῇ ποιήσῃ,
ἵνα τὸν Ἀχιλέα μὲν ἐπίορκον μὴ δείξῃ,
τὸ κράτιστον κεφάλαιον αὐτῷ τῶν ἐγκωμίων
διὰ γυναῖκα ποδαπὴν τοὺς ὅρκους παραβάντα,
καὶ πάντας δὲ τοὺς ἥρωας, μᾶλλον τὸν Ὀδυσσέα,
ὅπως μὴ δείξῃ μυσαροὺς ἀνθρώπους ἀνοσίους,
ἄνδρα τοιοῦτον κτείναντας, ἰσόθεον τοῖς τρόποις·
ὅθεν οὐδὲ τὴν πόρθησιν τῆς Τροίας ἀφηγεῖται,
στγᾷ δὲ, μέχρι τῆς σφαγῆς Ἕκτορος ῥαψῳδήσας·
τὴν πόρθησιν τῆς Τροίας δὲ παρέδραμε πανσόφως,
πρὸ γὰρ αὐτῆς ὁ Ἀχιλεὺς γυναικωδῶς ἐσφάγη.
Οὕτω πανσόφως καὶ δεινῶς ῥητορικῷ τῷ τρόπῳ,

Digitized by Google

πρὸς μὲν τὸ τέλος εἴασε τὴν πάρθησιν τῆς Τροίας·
ἐκ τῆς ἀρχῆς δὲ μέχρι νῦν τοῦ χρόνου τοῦ δεκάτου,
τὰ πάντα παρατρόχασε δεινὸς ὢν λογογράφος.
Ἄρχεται δ' ἐκ τῆς μήνιδος δεινότητος μεθόδῳ,
γράφων αὐτὴν ὡς βούλεται, καὶ γράφει γεγονέναι
διὰ γυναῖκας, καὶ αὐτὸς λέγων αὐτὴν γενέσθαι,
τὴν Χρυσηΐδα τὲ ὁμῶ λέγων καὶ Βρισηΐδα,
τὰς ἅς περ εἶπον καὶ αὐτὸς γυναῖκας ἀνωτέρω·
πλὴν παρεκκλίνει τὸν εἰρμὸν πρὸς τοῦτο τὸ συμφέρον·
λέγων γὰρ ταύτας ἐκ Θηβῶν εἶναι δορυαλώτους,
καὶ δι' αὐτὰς καὶ τὴν ὀργὴν γενέσθαι Ἀχιλέως,
ὥς περ καὶ πᾶς ἑξαπλοῦς συγγράψει περὶ τούτων,
οὐχ ὡς περ εἴπομεν ἡμεῖς ἐκ τῶν συγγραψαμένων·
λέγει καὶ οὗτος τὴν ὀργὴν διὰ τὴν Βρισηΐδα,
μᾶλλον τῇ Χρυσηΐδι δὲ προσάπτει τὴν αἰτίαν.
Ἀνερωτῶν τὴν μῆσαν γὰρ, τὴν γνῶσιν τὴν οἰκείαν,
δι' ἣν αἰτίαν γέγονεν ἡ μῆνις Ἀχιλέως,
καὶ συμφορὰς ἐπήγαγε τοῖς Ἕλλησι μυρίας,
παράγει ταύτην λέγουσαν ὡς ἀποκρινομένην,
ὡς ἐκ Θηβῶν ἐκράτησαν τέχα γυναῖκας δύο,
τὴν Χρυσηΐδα τὲ αὐτὴν καί γε τὴν Βρισηΐδα·
καὶ Βρισηΐδα δωρεὰν τῷ Ἀχιλεῖ παρέσχον,
τὴν Χρυσηΐδα δὲ αὐτὴν ἔλαβεν Ἀγαμέμνων,
παῖδα Χρύσου τυγχάνουσαν, Χρύσου τοῦ ἱερέως.
Ὅς περ Χρύσης ἱερεὺς Ἀπόλλωνος ὑπάρχων,
λαβὼν τὸ σκῆπτρον τοῦ θεοῦ, θάφνινον ὑπηργμένον,
καὶ τὸ χρυσοῦν τὸ μαντικὸν σκῆπτρον μετὰ καὶ δώρων,
ἦλθεν ἐξωνησόμενος αὐτῷ τὴν θυγατέρα.
Τοῦ Ἀγαμέμνονος δ' αὐτὸν διώξαντος ὀργίλως,
ηὔξατο τῷ Ἀπόλλωνι ὁ Χρύσης καθ' Ἑλλήνων·
ὁ δὲ λοιμὸν βαρύτατον Ἕλλησιν ἐπιπέμπει·

Digitized by Google

τῇ λοιμικῇ δὲ τῦ στρατῦ παντὸς συμφθειρομένυ,
τοῦ Ἀγαμέμνονος αὐτῦ ὁ Ἀχιλεὺς ἐδεῖτο,
τὴν Χρυσηΐδα τῷ πατρὶ Χρύσῃ πεμφθῆναι τότε,
ὡς μὴ φθαρῇ τὸ στράτευμα νόσῳ τῇ βαρυτάτῃ.
Ὁ δ' Ἀγαμέμνων ὀργισθεὶς, τὴν Χρυσηΐδα πέμπει
μετὰ στεφάνων καὶ τιμῆς πρὸς τὸν αὐτῆς πατέρα·
αὐτὸς δὲ τὸν Ταλθύβιον πέμψας καὶ Εὐρυβάτην,
τὴν Ἀχιλέως ἔλαβε γυναῖκα Βρισηΐδα·
ὅθεν ὁ ἥρως Ἀχιλεὺς τοῖς Ἕλλησιν ὠργίσθη,
καὶ παντελῶς ἀπέπαυσε τῆς μάχης καὶ πολέμυ·
οἱ Τρῶες δὲ θαῤῥήσαντες ἀνέῳξαν τὰς πύλας·
τὰ δὲ λοιπὰ συνῳδοῦσιν Ὁμήρυ καὶ τῶν ἄλλων.
Καὶ τοῦ Ὁμήρυ μὲν ἐστὶν ἡ πρώτη ῥαψῳδία
τὴν μῆνιν περιέχουσα ταύτην τοῦ Ἀχιλέως.
Ἐγὼ δ' οὐκ οἶδα τὸν σκοπὸν τῶν σῶν ἐνθυμημάτων,
εἴ τε συντόμως παντελῶς βούλει με ταῦτα γράφειν,
εἴ τε πρὸς πλάτος μερικῶς τεφαλαιωδεστέρως
τῦ ἄλφα καὶ τῦ βῆτα σοι καὶ τῶν λοιπῶν γραμμάτων,
τὰς ὑποθέσεις γράφειν με τὰς ἀναγκαιοτέρας,
τὸ τὶς καὶ τὶς, παρά τινος καὶ τίνος ἐφονεύθη,
καὶ μερικῶς ἀλληγορεῖν ὀλίγα τῶν χρησίμων,
ταχέως δηλωθήτω μοι, διαπορῶ γὰρ πάνυ.

Digitized by Google

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΑΛΦΑ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Τῆς ἄλφα ἡ ὑπόθεσις Ὁμήρου ῥαψῳδίας,
ἵνα πρὸς σὴν ὠφέλειαν πάλιν ἐπαναλάβω,
τάδε δηλοῖ κατὰ λεπτὸν, ἅπερ ἐνθάδε φράσω·
Ὁ Ὅμηρος ὁ πάνσοφος τὴν γνῶσιν τὴν οἰκείαν,
ὡς Καλλιόπην, ὡς θεὰν, ὡς μῦσαν παρεισάγων,
ἀνερωτᾷ τὸ αἴτιον ὀργῆς τῆς Ἀχιλέως,
ἀφ' οὗ πρὸς Ἀγαμέμνονα διήχθρευσεν ἐρίσας·
ἡ δὲ φησὶν, ὡς πρὸς αὐτὸν, δῆθεν τὸ πᾶν βιβλίον,
οὕτως ἐντεῦθεν τὴν ἀρχὴν τοῦ λόγου ποιουμένη.
Ὁ τῆς Λητοῦς καὶ τοῦ Διὸς ἥλιος παῖς Ἀπόλλων
τῆς ἔχθρας καὶ τῆς μήνιδος αἴτιος ἐγεγόνει·
ὁ Χρύσης ἦν γὰρ ἱερεὺς Ἀπόλλωνος ἡλίου,
ἤγουν σοφὸς, καὶ ἐπῳδὸς, ἀστρονομῶν καὶ μάγος,
ἐκ τοῦ ἡλίου σύμπαντα ποιῶν καὶ σὺν ἡλίῳ·
οὗτος τὸ στέφος τοῦ θεοῦ τὸ δάφνινον κατέχων,
καὶ σκῆπτρον τούτου τὸ χρυσοῦν, καὶ περισσὰ δὲ δῶρα,
ἦλθεν ἐξωνησόμενος αὐτοῦ τὴν θυγατέρα·
οἷον, ἵνα σαφέστερον τὸ πᾶν σοι διαρθρώσω,
ὁ Χρύσης, ὅν περ εἴπομεν μάγον καὶ ἀστρολόγον,
ἐστολισμένος μαγικῶς, καὶ μαντικῶς, εἰσῆλθε
χερσὶ κατέχων στέφονον Ἀπόλλωνος ἡλίου,
τουτέστιν εὐωδέστατον θάλλοντα κλάδον δάφνης,
ἣν περιτρέχων ἥλιος τὸν κύκλον τὸν τοῦ χρόνου
θάλλουσαν δέδορκεν ἀεὶ, μὴ χέουσαν τὰ φύλλα·
καὶ σὺν αὐτῷ κατεῖχε δὲ καὶ τὸ χρυσοῦν τὸ σκῆπτρον,
τιμέαν ῥάβδον μαντικὴν, χρυσὴ γὰρ οὐχ ὑπῆρχεν,
ἀλλὰ ξυλίνη καὶ κυρτὴ, χρήσιμος δὲ μαντείαις·

Digitized by Google

Κατὰ τῆς γῆς γὰρ χέοντες τέφραν ἐκ τῆς ἑστίας,
τῇ ῥάβδῳ ταύτῃ τεχνικῶς ἔγραφον τὰς μαντείας,
βλέποντες πρὸς τὸν ἥλιον καὶ λέγοντες τὸ μέλλον·
ταύτην τὴν ῥάβδον Πλούταρχος λίτυον ὀνομάζει,
λίτυους δὲ Κοισκιανὸς Κάσσιος Δίων λέγει.

Οὕτως ὁ Χρύσης μαντικῶς ἐστολισμένος ἦλθε
σὺν δώροις ὠνησόμενος αὐτῆ τὴν θυγατέρα·
ὡς δ' Ἀγαμέμνων μετ' ὀργῆς ἐξήλασεν ἐκεῖνον,
ηὔξατο τῷ Ἀπόλλωνι ὁ Χρύσης κατ' Ἑλλήνων,
ἤγουν ἐπηύξατο σφοδρὸν τὸν ἥλιον γενέσθαι·
ὁ δὲ σφοδρὸς γενόμενος μετὰ πολλὰς τοὺς ὄμβρους,
εἰς στράτευμα πολυπληθὲς πύκνωμα σκηνωμάτων,
ἀτμὰς δυσώδεις ἀνιμῶν καὶ κόπρων καὶ πτωμάτων,
μιάνας, δυσκρατώσας δὲ σύμπαντα τὸν ἀέρα,
ὡς συνεργοῦντος καὶ αὐτῆ ταῖς μαγικαῖς ταῖς τέχναις,
λοιμοὺς ἐπήγαγε δεινοὺς, φθείρας ἀνθρώπους, κτήνη.

Καὶ πρῶτον μὲν ἀπήρξατο τὰ κτήνη διαφθείρειν,
ὡς κεκυφότα πρὸς τὴν γῆν, ἧς ὁ λοιμὸς ἐκτρέχει,
καὶ ὡς εὐσσφραντότερα κατὰ πολὺ ἀνθρώπων·
μετὰ μικρὸν δ' ἀπήρξατο κτείνειν καὶ τοὺς ἀνθρώπους.

Ἐννέα μὲν ἐκράτησε τὸ νόσημα ἡμέρας,
καὶ τῶν νεκρῶν ἀπανταχῆ συνήχοντο σωρεῖαι·
δεκάτῃ δὲ συνέδριον ὁ Ἀχιλεὺς ποιήσας,
ἠρώτα τί τὸ αἴτιον τῆς νόσου τῆς λοιμώδους.

Ὁ Κάλχας δ' ὁ τοῦ Θέστορος υἱὸς καὶ Ἡλυμήλας,
οἶδα μὲν, εἶπεν, Ἀχιλλεῦ, τῆς νόσου τὴν αἰτίαν,
τὸν βασιλέα φρίττω δὲ, τοῦτο γὰρ ἡ αἰτία·
τοῦ δὲ θαῤῥύναντος αὐτὸν, ἄρχεται λέγειν αὖτος.

Τὸ λοιμικὸν ἐνέσκηψε νόσημα στρατοπέδῳ,
ἀνθ' ὧν ἀτίμως ἤλασε τὸν Χρύσην Ἀγαμέμνων,
ἄνθρωπον μάγον καὶ δεινὸν εἰς τὰ μεγάλα βλέπειν,

Digitized by Google

ἐλθόντα πρὸς ἐξώνησιν παιδὸς τῆς Χρυσηΐδος·
οὗτος γὰρ ἄκρως λυπηθεὶς ἐν μαγικαῖς ταῖς τέχναις,
εὑρὼν καὶ τὴν ἐκφλόγωσιν ἡλίῳ συνεργοῦσαν,
ἐπήγαγε τὸ νόσημα καὶ παῦσις οὐκ ἐσεῖτα
πρὶν ἂν ἀποκομίσαιμεν αὐτῷ τὴν θυγατέρα,
μετὰ καὶ δώρων καὶ τιμῆς αὐτὸν ἐξιλεοῦντες·
καὶ τότε τρέφει τὸν λοιμὸν ἐν ἐπῳδαῖς ἑτέραις.
Οὕτω τοῦ τότε Κάλχαντος εἰπόντος τὴν αἰτίαν,
ὁ Ἀγαμέμνων μετ' ὀργῆς ὁ βασιλεὺς ἀνέστη
καὶ πέμπων πῦρ ἐξ ὀφθαλμῶν κατολογεῖ τὸν μάντιν·
ὁ δ' Ἀχιλεὺς ὑπερμαχῶν τοῦ μάντεως ἀνέστη,
καὶ πρὸς τὸν Ἀγαμέμνονα φησὶ τὸν βασιλέα·
πέμψον τὴν κόρην, βασιλεῦ, τὴν Χρύσου θυγατέρα
ὑπὲρ παντός σου τοῦ στρατοῦ καὶ τούτου σωτηρίας·
ἡμεῖς δ' ἂν περ πορθήσωμεν τὴν Τρωϊκὴν τὴν πόλιν,
διπλᾶ, τριπλᾶ σοι, τετραπλᾶ δώσομεν ὑπὲρ ταύτης·
ὁ δὲ φησὶ καὶ πρὸς αὐτὸν οὕτω τὸν βασιλέα·
ἐγὼ μὲν ἕτοιμος εἰμὶ τὴν Χρυσηΐδα πέμπειν,
τὴν Βρισηΐδα δὲ τὴν σὴν αἰχμάλωτον λαμβάνω.
Τούτων ἀκούσας Ἀχιλεὺς τῶν λόγων ἐθυμώθη,
διπλᾶ δὲ λογιζόμενος ὑπῆρχε τῇ καρδίᾳ,
ἢ ξίφος ἑλκυσάμενος κτεῖναι τὸν βασιλέα,
ἢ κατασταῦσαι τὴν ὀργήν, ὡς περ ἀνὴρ ἐχέφρων·
ἐν τούτοις ὄντος τοῦ ἀνδρὸς τοῖς λογισμοῖς, ὡς ἔφην,
ἦγουν ὀργῆς καὶ λογισμῷ μέσον καθιστάτος,
καὶ τῆς ὀργῆς ὡς πρὸς σφαγὰς τὸν ἥρωα κινούσης,
τοῦ λογισμοῦ δὲ θέλοντος παύειν θυμῷ τὸ ζέον,
παρὰ τῆς Ἥρας Ἀθηνᾶ ἐξ οὐρανοῦ ἐπέμφθη,
ἐκ τῆς ψυχῆς ἡ φρόνησις, ἐκ κεφαλῆς, ἐλθοῦσα,
ἤ τις ἐστὶ σφαιροειδὴς εἰς οὐρανοῦ τὸ σχῆμα,
ἔπεσε τοῦτον παῦσαι μὲν τὸ ξίφος καθελκύειν,

Digitized by Google

λόγοις λοιδόροις δὲ πολλοῖς πλῆξεν τὸν βασιλέα,
καὶ τέλος ἐξεμάσσετο μὴ συμμαχεῖν ἑταίροις,
μηδὲ βοήθειαν τινὰ ταῖς Ἕλλησι παρέχειν·
ἐκ τοῦ ἑτέρου μέρους δὲ πάλιν τοῦ βασιλέως
ὀργιζομένου χαλεπῶς καὶ μηνῶντος ἄγαν.
Ὁ Νέστωρ ἦ τῶς Χλώριδος υἱὸς καὶ τοῦ Νηλέως,
κατὰ τιμὰς ἑτέρους δὲ Νηλέως, Πελιμήδης,
τραγέρων ὢν καὶ βασιλεὺς Πυλίων γλυκυλόγος,
ὡς πρὸς συμβάσεις ἔσπευδε φυσιαγωγεῖν πρὸς θεόν,
τὸν βασιλέα παρακλῶν ἑπταιοῖς ἐν λόγοις
καταλιπεῖν τῷ Ἀχιλεῖ κεκτεῖσθαι Βρισηΐδα,
πύργον τὸν ἄνδρα τοῦ στρατοῦ λέγων Ἑλλήνων εἶναι,
τὸν δ' Ἀχιλέα ἀνυπέτων πάσαν τὰς αὐθαδείας,
τῷ βασιλεῖ δὲ μηδαμῶς ἐθέλειν ἀκτερίξειν.
λέγων πρὸς ταῦτα· ἃ κρατῶν ἐκ τοῦ Διὸς τὸ σκῆπτρον,
οὐκ ἔστι σοι ὁμότιμος, ὦ Ἀχιλεῦ, σὺν ἔστιν·
εἰ ῥωμαλέος ἔφυς δὲ, καὶ θεᾶς ὑπάρχεις,
τοῦτ' ἔστιν ἔχεις ἀφετὴν κτὴν πρωτεῖαν ἐν μάχαις·
ἀλλ' αὐτὸς χαίσασιν σοι πολὺ, πολλῶν γὰρ βασιλῆες.
Οὕτω τοῦ Νέστορος αὐτὰς ἔχοντος πρὸς συμβάσεις,
ἀσύμβατοι διέμειναν· ἐκφάντες δ' ἀπ' ἀλλήλων,
ἦλθεν αὐτῶν ἑκάτερος σκηνώμασιν ἰδίοις·
ὁ Ἀχαιμέμνων μὲν αὐθὺς πέμπει τὴν Χρυσηΐδα
πρὸς τὸν πατέρα τὸν αὐτῆς σὺν δώροις καὶ θυσίαις,
τοῦ Ὀλυμπέως σὺν καὶ κομίζοντος ἐπέμψαν,
αὐτὸς δὲ τὸν Ταλθύβιον καὶ Εὐρυβάτην πέμψας,
τοῦ Ἀχιλέως ἔλαβε δῶρον τὴν Βρισηΐδα.
Ὁ δ' Ἀχιλεὺς μπέρεντλος νενόμενος ἐκ λύπης,
εὐθέως πάντων χωρισθεὶς τῶν φίλων τῶν ἑαυτοῦ,
ἐλθὼν παρὰ τὴν θάλασσαν ἐκάθητο θεωρῶν,
βλέπων ὡς πρὸς τὸ πέλαγος, καὶ τῇ μητρὶ προσλέγων,

Digitized by Google

τῇ τοῦ Νηρέως Θέτιδι δῆθεν τῇ Νηρηΐδι.

Μῆτερ, ἐπεί μ' ἔτεκες ὄντα τῶν βραχυχρόνων,
ὁ Ζεὺς ὀφείλων μοι τιμὴν ὑπῆρχε διὰ τοῦτο·
νῦν δὲ καὶ βραχυχρόνιος καὶ ἄτιμος ὑπάρχω·
ὁ Ἀγαμέμνων γὰρ αὐτὸς ἔλαβε νὴν τιμήν μου,
τὴν κόρην τὴν αἰχμάλωτον, ἣν εἶχον, Βρισηΐδα.

Οὕτως αὐτοῦ δακρύοντος, ἀνέδραμεν ἡ Θέτις
ἐκ τῆς θαλάσσης τοῦ βυθοῦ καθαπερεὶ ὀμίχλη·
χειρί τε ὁμαλίσασα, ἠρώτα τὴν αἰτίαν·
ὁ δὲ τὰ σύμπαντα λεπτῶς ἐκείνῃ διηγεῖται,
μέχρι τῆς ἀφαιρέσεως τῆς κόρης Βρισηΐδος,
καὶ ἱκετεύει ἀνελθεῖν εἰς οὐρανὸν πρὸς Δία,
καὶ ἱκετεῦσαι βοηθὸν τοῖς Τρώεσι γενέσθαι,
τοὺς Ἕλληνας συγκλεῖσαι δὲ καὶ τρέπειν πρὸς τὰ πλοῖα,
φονευομένους ὑπ' αὐτῶν τῶν Τρώων ἐν τῇ μάχῃ,
εἴ ποτε Δία ἔσωσε μέλλοντα δεσμηθῆναι
ἐκ Ποσειδῶνος, Ἀθηνᾶς, καὶ σὺν αὐτοῖς ἐξ Ἥρας.

Ἡ Θέτις δ' εἶπε πρὸς αὐτὸν πάλιν τὸν Ἀχιλέα·
ὁ Ζεὺς περὶ Αἰθίοπας νῦν πότοις δεξιοῦται,
μετὰ δ' ἡμέρας δώδεκα ἐλεύσεται Ὀλύμπῳ·
κἀγὼ δὲ τότε πρὸς αὐτὸν εἰς Ὄλυμπον ἀνέλθω,
καὶ παρακλήσεσιν αὐτὸν δεκεῖ μοι καταπείσω·
τοιαῦτα μὲν ὑπέσχετο τῷ Ἀχιλεῖ ἡ Θέτις.

Καὶ δὴ Διὸς εἰς Ὄλυμπον ἐλθόντος δωδεκάτῃ,
καὶ σὺν αὐτῷ καὶ τῶν θεῶν ἀνῆλθε καὶ ἡ Θέτις,
καὶ τῇ σκαιᾷ μὲν ἥψατο γονάτων τῶν ἐκείνου,
τῇ δεξιᾷ γενείου δὲ τοῦ καὶ ἀνθερεῶνος,
παρακαλοῦσα τὸν υἱὸν τιμῆσαι Ἀχιλέα·
οὗτος δ' ἐσίγα μὴ λαλῶν τῇ Θέτιδι μηδόλως,
ὡς δ' ἠνωχλεῖτο, ς-εναγμὸν ἐξέπεμψεν ἐκ βάθους,
ἐκείνην προτρεψάμενος πάλιν ἀποθημῆσαι,

Digitized by Google

τῇ κεφαλῇ δ' ἐπένευσεν ἐκείνῃ βοηθῆσαι.
Καὶ ἡ μὲν Θέτις πρὸς αὐτὴν τὴν θάλασσαν κατῆλθεν,
ὁ Ζεὺς δὲ πρὸς τὸν ἴδιον οἶκον εἰσῆλθε τότε·
πάντες δ' ἀνέστησαν θεοὶ ἐκ τῶν καθιδρυμάτων·
ἡ δ' Ἥρα δ' ὀργιλώτερον πρὸς Δία διετέθη,
ὅτι συνδιελέγετο Θέτιδι τῇ Νηρέως·
τούτου δὲ τὸ ἐμβρίμημα μεγάλως πτοηθεῖσα,
ἐκάθισε περίφοβος ἀμέτρως λυπουμένη,
καὶ πάντες ἀνεστέναξαν θεοὶ οἱ οὐρανίδαι.
Ὁ παντεργάτης δ' Ἥφαιστος παρηγορῶν τὴν Ἥραν,
διπλοειδὲς ποτήριον ἐδίδου συγκεράσας,
καὶ πρὸς αὐτὴν ἃ πέπονθεν ἐκ τοῦ Διὸς ἐλάλει·
εἰπὼν πῶς ἔρριψεν αὐτὸν ἐξ οὐρανοῦ εἰς Λῆμνον,
καὶ πῶς αὐτὸν οἱ Σίντιες ἀνέλαβον πεσόντα.
Οὕτως Ἡφαίστου λέγοντος ἐγέλασεν ἡ Ἥρα,
καὶ τὸν ποτῆρα δέχεται χειρὸς ἐξ Ἡφαιστίας,
ὁ δὲ καὶ πᾶσι τοῖς θεοῖς ἐκέρνα κατ' ἀξίαν·
οἱ καὶ πολὺν διήγειραν δι' Ἥφαιστον τὸν γέλων.
Οὕτω πανημερίως μὲν ἐδαίνυντο τῷ τότε,
τέρποντος τοῦ Ἀπόλλωνος ἐκείνους τῇ κιθάρᾳ,
καὶ τῶν μουσῶν τραγῳδουσῶν φωναῖς ἐν γλυκυτάταις.
Ἑσπέρᾳ δ' ἕκαστος αὐτῶν ἦλθε πρὸς τὴν οἰκίαν,
ἣν περ ἑκάστῳ Ἥφαιστος ἐποίησεν ἐντέχνως·
Ζεὺς δ' ὁ ποιῶν τὰς ἀστραπὰς ἦλθεν αὐτὸς τῇ κοίτῃ·
ἔνθα πεσὼν ἀφύπνωσε μικρὸν μετὰ τῆς Ἥρας.
Ταῦτα μὲν εἶπον μυθικῶς ὡς κεῖνται τῷ κειμένῳ,
τὸ δ' ἀληθὲς νῦν μάνθανε καὶ τὴν ἀλληγορίαν.
Ὁ Ἀχιλεύς, ὡς εἶπον πρίν, υἱὸς ἦν τοῦ Πηλέως,
καὶ Θέτιδος, τῆς θυγατρὸς Χείρωνος φιλοσόφου·
ὃς Χείρων ὁ φιλόσοφος πάππος τοῦ Ἀχιλέως
ἐκ λεπτομερείας τε καὶ σκέψεως ἀστέρων,

Digitized by Google

τὰ μέλλοντα συμβήσεσθαι τῷ Ἀχιλεῖ προεῖπε·
καὶ Θέτις μὲν ἡ Χείρωνος μήτηρ τοῦ Ἀχιλέως,
καὶ Θέτις δὲ ἡ θάλασσα τοῦ Ἀχιλέως μήτηρ,
διὰ τὸ ἄγριον αὐτῆς καὶ θυμικὸν καλεῖται,
καὶ ὅτι τὸ γενέθλιον ἔχων ἐν ὑδροχόῳ,
ἐν ταῖς παρύγροις μάχαις τε καὶ ταῖς διαπεντίοις,
καὶ τοῖς χειμῶσι δὲ καιροῖς μεγάλως συνηργεῖτο·
καὶ ὅτι ἐκ τοῦ ὕδατος καὶ λεκανομαντείας,
ὡς ἐκ μητρὸς ἐμάνθανε τὰ μέλλοντα γενέσθαι,
καὶ ὅτι μετὰ θάνατον αὐτῆς τοῦ Ἀχιλέως,
νεκρῷ τοῦ τούτου σώματος εἰσέτι προσεμένῃ,
ἡ θάλασσα ταράξασα κῦμα φρικτὸν καὶ μέγα,
ἐξῆλθε μέχρι τοῦ νεκροῦ περὶ Σιγείου τόπον,
ὡς πᾶν τὸ στράτευμα φυγεῖν κατακλυσμὸν δοκοῦντας·
ἡ δὲ θρηνῶδες γοερὸν ὡς περ ἐκμυκωμένη,
πάλιν εἰς κοίτην τὴν αὐτῆς εὐθέως ὑπεσ-ράφη.
ὅπερ καὶ θρῆνον Θέτιδος φασὶ καὶ Νηρηίδων,
καὶ ὅτι κατὰ Ὅμηρον πρῶτον στοιχεῖον ὕδωρ,
ἐκ τούτου δὲ καὶ τὰ λοιπὰ γενέθλια στοιχεῖα.

Κατὰ τοσούτους λέγεται ἡ θάλασσα τοὺς τρόπους
μήτηρ εἶναι τοῦ ἥρωος ἐκείνου Ἀχιλέως.

Ὡς οὖν ἐξ Ἀγαμέμνονος τὴν κόρην ἁφηρέθη,
ἔνδακρυς πρὸς γενέθλιον ὕδωρ θαλάσσης βλέπων,
αὐτὸς ἐλάλει πρὸς αὐτόν· Ποῦ μοι τὰ τῆς μαντείας,
ἃ περ ὁ Χείρων ἔλεγεν ὁ πάππος μοι γενέσθαι
ἐκ τῆς παρ' ὕδωρ μαντικῆς καὶ λεκανομαντείας;
ἰδὲ καὶ βραχυχρόνιος καὶ ἄτιμος ὑπάρχω·
ὁ Ἀγαμέμνων γὰρ λαβὼν ἔχει τὴν Βρισηΐδα·
ποῦ τοῦ Διός μοι ἡ τιμὴ, ἤ τοι τῆς εἱμαρμένης;

Τῆς ὁμιλούσης Θέτιδος τὰς ἀνελεύσεις μάθε·
περίλυπος καὶ ἔνδακρυς καθήμενος ὁ ἥρως,

Digitized by Google

καὶ ταῦτα λογιζόμενος περὶ αὐτῦ φρονίμως
ἀναθυμίασιν ὁρᾷ θαλάσσης ὁμιχλώδη,
περὶ ὁρῶν τοὺς πρόποδας, προλέγουσαν χειμῶνα,
ὅ περ ὁμάλισις ἐς-ὶ χειρὸς πρακτικωτάτης;
καὶ μήτηρ τούτῳ ὁ χειμῶν· λυσιτελῶν ἐκείνῳ·
ἡ γὰρ ἡμέρα πέφυκε καὶ μητρυιὰ καὶ μήτηρ,
τοῖς δυστιχοῦσι μητρυιὰ, τοῖς δ' εὐτυχοῦσι μήτηρ·
ἰδὼν οὖν τὸ κατάστημα τοῦτο τὸ ὁμιχλῶδες
πρὸς ἑαυτὸν τὰ σύμπαντα λέγων τὰ πεπραγμένα
εἰς τοῦτο τὸ κατάστημα χειμέριον ὁμίχλης,
εὔχεται τὸν οὐράνιον ἀέρα μεταβῆναι,
ὅπως κακῶς οἱ Ἕλληνες πάσχοντες ἐκ τῶν Τρώων,
εἰς παρακλήσεις ἔλθωσι τοῦ ἥρωος ἐκείνου·
ἡ δὲ Διὸς βοήθεια ἐκ Θέτιδος ὑπάρχει,
ὅτε τοῦτον ἐξέσωσε τῶν ἐπιβουλευόντων,
ὅπερ ἠλληγορήσαμεν ἐν κρίσει τῇ τοῦ μήλου,
ὅτε μετὰ διάρθρωσιν ἀέρος ἐκ τοῦ χάους,
παλιντροπία γέγονε καὶ σύγχυσις μεγάλη·
Ἥρας, τοῦ κατασταθμάτος, ὡς εἶπον, τοῦ πυρώδους,
τοῦ Ποσειδῶνος, τοῦ ὑγροῦ φημὶ καὶ τῶν ὑδάτων,
καὶ Ἀθηνᾶς, τοῦ ζοφεροῦ ἀέρος καὶ προσγείου·
ὑφ' ὧν περ ἐκινδύνευσε τὸ καθαρὸν ἀέρος,
τὸ χλιαρὸν καὶ ἔνυδρον καὶ κατηυκρατωμένον,
ὁ Ζεὺς αὐτὸς ὁ μυθικὸς, δεθῆναι καὶ κρυβῆναι·
εἰ μὴ τὸν Ἑκατόγχειρον ἥλιον ἐκ θαλάσσης,
τὸν εἰς πολλὰς ὑπάρχοντα λυσιτελῆ τὰς πράξεις,
συνέβη σὺν ὑγρότητι φανῆναι θαλασσίᾳ,
τὰ μὲν ὑγρὰ καθαίροντα τῇ ζέσει τῇ πορφόρῳ,
ὑγρότητι συμμέτρῳ δὲ κιρνῶντα τὸ φλογῶδες·
ὅπερ ἐκεῖ γοῦν ἔφημεν ὑπάρχειν Ἀφροδίτην,
τὸ μῆλον σχοῦσαν ἔπαθλον, τὸν κόσμον τὸν ὡραῖον·

Digitized by Google

νῦν τοῦτον ἑκατόγχειρον Βριάρεων τὲ λέγει,
Διὶ παρὰ τῆς Θέτιδος σύμμαχον ἀναχθέντα.
Ἐπεὶ δὲ Σεπτεμβρίῳ μὲν ἦν ὀκτωκαιδεκάτη,
ὅτε ταῦτα μετηύχετο ὁ Ἀχιλεὺς γενέσθαι,
κατὰ δὲ τὸν Ὀκτώβριον ἔμελλε γεγονέναι
τὸ ὄμβριον κατάκλυσμα, καὶ ψύξις τοῦ ἀέρος,
ὁ Ὅμηρος ὢν πάνσοφος ἐν τῷ τοὺς μύθους γράφειν,
καὶ περὶ ἀναβάσεως θέλων τῷ Νείλῳ λέγειν,
ποιεῖ τὴν Θέτιν, τὸ ὑγρὸν κατάκλυσμα, λαλῆσαν,
ὁ Ζεὺς νῦν πρὸς τὴν Αἴγυπτον δαῖτα μεγάλην ἔχει·
ἦγουν ἀὴρ ὁ κάθυγρος ἐστὶν ἐν τῇ Αἰγύπτῳ·
ἔτι γὰρ ἦν ἀνάβασις τοῦ Νείλου Αἰγυπτίοις·
ἐκ τέλους Ἰουλίου γὰρ δι' ὅλου Σεπτεμβρίου
γίνεται ἡ ἀνάβασις, τῷ δ' Ὀκτωβρίῳ λήγει,
καὶ γίνεται κατάκλυσμα χειμέριον ἐνθάδε.
Μετὰ δ' ἡμέρας δώδεκα ἐλεύσεται ἐνθάδε
ὁ Ζεὺς οἷον περ σὺ ποθεῖς ἀέρα τῶν ἐνύγρων,
ὃν περ ἡ Θέτις τὸ ὑγρὸν δύναται καταπείθειν·
ἐξ ὀκτωκαιδεκάτης γὰρ μηνὸς τοῦ Σεπτεμβρίου
ἡμέραι δώδεκα εἰσὶν εἰς πρώτην Ὀκτωβρίου·
ὡς γοῦν μετὰ τὰς δώδεκα, ἤγουν τῷ Ὀκτωβρίῳ,
χειμέριον κατάκλυσμα συνέβη γεγονέναι,
ὅ περ πρὸς Ὄλυμπον Διὸς ἔλευσιν ὀνομάζει,
καὶ τῶν ἑτέρων τῶν θεῶν, ἤγουν λοιπῶν στοιχείων,
οὗ γὰρ ἀὴρ ὁ ἔνυγρος καὶ κατηυγρατωμένος,
ἐκεῖ καὶ ὕδωρ τε καὶ πῦρ ἐστὶ καὶ γῆς τι μέρος.
Αἰὲν ἐόντα λέγων δὲ Ὅμηρος τὰ στοιχεῖα,
τὸν κόσμον τοῦτον ἄφθαρτον φαίνεται δογματίζων·
τοιούτου κατακλύσματος τῷ τότε γινομένῳ,
ὅ περ Διὸς πρὸς Ὄλυμπον ἔλευσιν ὀνομάζει,
ἐκ τῆς θαλάσσης πρὸς αὐτὸν ἀνῆλθε καὶ ἡ Θέτις,

Digitized by Google

νέφος παχὺ καὶ ἔνυδρον, μεμεςωμένον ὄμβρου,
καὶ τὸ μὲν λίαν πάχιςον καὶ τὸ βαρὺ τοῦ νέφους,
ὃ καὶ σκαιὰν τῆς Θέτιδος χεῖρα κατονομάζει,
τῶν κατωτάτων ἥπτετο μερῶν τῶν τοῦ ἀέρος,
ἅ περ αὐτὸς καὶ γόνατα Διὸς κατονομάζει·
τὸ δ' αὖ λεπτομερέςερον, χεὶρ ἡ δεξιωτάτη,
τῶν ἀνωτέρων ἥπτετο μερῶν τῶν τοῦ ἀέρος,
ἅ περ πανσόφως κέκληκε πάντως ἀνθερεῶνα·
ἐκεῖ γὰρ ἀναθρώσκοντα τὰ νέφη πνευματοῦνται.
Ἀναξαγόρας δ' ἐκ τῆς γῆς λεγέτω τοὺς ἀνέμους,
Ὁμήρου προδιδάξαντος πρὸ τοῦ Ἀναξαγόρου
πρό γε τετρακισίων τε τῶν χρόνων καὶ πλειόνων,
τὸ ὑλικὸν μὲν αἴτιον γένεσθαι τῶν πνευμάτων
ἐκ γῆς τε καὶ τοῦ ὕδατος· ὥς περ Ἀναξαγόρας
τὸ ὑλικὸν καὶ πρακτικὸν πάλιν, τοῖς ἄνω τόποις,
ὡς νῦν διδάσκει συνετῶς, μύθους δοκῶν συγγράφειν.
Τοιούτου νέφους πανταχοῦ τῷ τότε συναχθέντος,
συνέβη πάντα ζοφερὸν τυγχάνειν τὸν ἀέρα,
ἄλυτον· ὅ περ καὶ Διὸς σιγὴν κατονομάζει.
Ὁ ςεναγμὸς δὲ τοῦ Διὸς, ἡ κίνησις ὀφρύων,
ἡ Θέτιδος κατέλευσις ὡς πρὸς θαλάσσης τόπους,
Ἥρας τὸ φιλονείκημα, ἡ κέρασις Ἡφαίςου,
μέχρι τοῦ τέλους ἔχουσι τοιάνδ' ἀλληγορίαν.
Ὁ ςεναγμὸς ὁ τοῦ Διὸς, ἀνέμου δηλοῖ πνεῦμα,
κινῆσαν τούτου τὰς ὀφρῦς, ἤγουν νεφῶν τὸ τάχος.
Ἡ Θέτιδος κατέλευσις, ὄμβρον δηλοῖ γενέσθαι,
ὅς τις καὶ συγκατάνευσις ἐςὶ τῆς βοηθείας.
Ἡ τοῦ Διὸς δὲ ἔλευσις πρὸς οἶκον τὸν οἰκεῖον,
τὸ πάλιν εἶναι καθ' αὑτὸν ὡς πρώην τὸν ἀέρα,
εἰς ὄμβρον ἐκλεπτύνοντα τὸ πάχος τὸ τοῦ νέφους.
Ἡ τῶν θεῶν ἀνάςασις ἐκ τῶν καθιδρυμάτων,

Digitized by Google

ἡ τῶν στοιχείων σύγχυσις καὶ τάραξις ὑπάρχει,
ἢ ἐκ τῆς συγκλαστήσεως νεφῶν ἐγγινομένη·
ἅ περ σφοδρότερον αἰθὴρ ἡ Ἥρα συναιλόνει,
ὅ περ καὶ ἔχθρα λέγεται τῆς Ἥρας πρὸς τὸν Δία·
αὕτη καθαίρει γὰρ ἀεὶ τὸ κάθυγρον ἀέρος.
Τὸ πτῆξαι δὲ καθίσασαν περίφοβον ἐκείνην,
τὸ, πάλιν τὸν ἀέρα δὲ νεφῶν συμπληρωθῆναι.
Ὁ στεναγμὸς δὲ τῶν θεῶν, κτύπος βροντῆς ὑπάρχει·
εἰ γὰρ καὶ Δία λέγουσιν αἴτιον βροντημάτων,
ἀλλ' εἰ μὴ νέφος κάθυγρον, ἔχον ξηρὸν ἀέρα,
τῷ βάρει μὲν συμπέσοιτο πρὸς ἄλλο πάλιν νέφος,
τῷ δὲ ξηρῷ βροντήσειεν, ὑπ' ἂν βροντὴ συναίη·
ἀλλ' οὐδὲ σέλας ἀστραπῆς τὸ σύνολον φανείη,
εἰ μὴ τὸ πνεῦμα λεπτυνθὲν ἐκθράσει τῇ συντρίψει.
Ὁ παντεργάτης δ' Ἥφαιστος, πῦρ τὸ θερμὸν ἀέρος,
μεταποιῶν ἀπήρξατο τὸ νέφος ἐμπυραίνειν,
ὅ περ τῆς Ἥρας λέγεται κρατῆρ· περιφερεία·
ἡ παντελὴς δὲ κάθαρσις ἡ κατηυκρατωμένη,
γέλως θεῶν καὶ τράπεζα, κρατὴρ καὶ πανθεσία·
καὶ μουσικὴ Ἀπόλλωνος, μουσῶν τε τραγῳδία,
διπλοειδὲς πατήριον, νεφῶν ἡ ἐρυθρότης·
ἥ τις ποτὲ μὲν, ὄμβρους τε καὶ πνεύματα σημαίνει,
ποτὲ δ' ἐμπαλιν γίνεται σημεῖον τῆς αὐδίας.
Βλέπε πῶς παίζων Ὅμηρος σπουδαῖα περιπλέκει
θέλων καὶ περὶ ῥίψεως τῶν κεραυνῶν γὰρ γράφειν,
ἐξ ὧν τὸ πῦρ ἐφέρηται τοῖς πρότερον ἀνθρώποις,
ἐν Λήμνῳ, κόσμῳ, σύμπαντες οὗ μένουσιν οἱ ὄχλοι,
οὓς περ καλεῖ καὶ Σίντιας τοὺς εὑρετὰς τῆς πράξεως·
εὑρόντες πᾶσαν τέχνην γὰρ ἐκ τοῦ πυρὸς ἐπείνει,
πάντα τὸν βίον ἔβλαψαν καὶ πάντας τοὺς ἀνθρώπους·
πρὸ γὰρ τεχνῶν, οὐ πόλεμος, ἐ δόλος, ἐ δεσπότης·

Digitized by Google

ἀλλ' ἐλευθέρως ἅπαντες ἔζων ἐν ὁμονοίᾳ.
Ἄλλοι δὲ Σίντιας φασὶ καλεῖσθαι τοὺς Λημνίους,
ὡς πρώτους πρὸς τὸν πόλεμον εὑρόντας ὁπλεργίας.
τέως βλέπε τὸν Ὅμηρον πῶς παίζων καὶ σπουδάζει.
θέλων γὰρ περὶ ῥίψεως τῶν κεραυνῶν συγγράφειν,
πῶς ὃν τὸ πῦρ ἀνωφερὲς, κάτω πρὸς γῆν ἐκρέει,
φέρει τὸ πῦρ, τὸν Ἥφαιστον λέγοντα πρὸς τὴν Ἥραν·
πείθε, μὴ μάχου τῷ Διΐ, δύναται γὰρ μεγάλα·
κἀμὲ γὰρ πρὶν βουλόμενον σοὶ συνεργῆσαι μῆτερ,
ἐν τῇ τοῦ κόσμου δηλαδὴ πρωτίστῃ διαθρόησε,
κἀθύγρος ὤν, ἀπέῤῥιπτε πρὸς Λῆμνον, ἤγουν κόσμον,
ἀπὸ πρωΐας τῶν καιρῶν μέχρι δυσμῶν ἡλίου,
ἐξ οὗ τὸ πῦρ ἐφεύρηται καὶ τέχναι τοῖς ἀνθρώποις.
Τὸ κρεῖμα νῦν τῆς μυσουσῆς Ἀπόλλωνος μοι μάθε,
καὶ τραγῳδίαν τῶν μυσῶν μέχρι τοῦ τέλους πάντα.
Ὁ μὲν Ἀπόλλων, ἥλιος· ἀστὴρ εἷς τῶν πλανήτων·
μοῦσαι δ' ἀστέρες οἱ λοιποὶ τῶν συμπλανήτων τούτου·
ἑπτὰ δ' εἰσὶν οἱ σύμπαντες, ὧν περ αἱ κλήσεις αὗται.
Κρόνος πάντων ἀνώτερος· ὁ Ζεὺς δὲ δευτερεύει·
Ἄρης τρίτος· ὁ ἥλιος τέταρτος μέσος πάντων·
ἡ Ἀφροδίτη, καὶ Ἑρμῆς, ὑστέρα δ' ἡ σελήνη·
οὗτοι γοῦν δίκην μουσικῆς ἁρίστης ἐπταχόρδου,
ἕκαστος σφαίραις ταῖς αὐτῶν κινέμενοί κροτοῦσι
μέλος τι λιγυρώτατον ἁρίστης ἁρμονίας·
καὶ μᾶλλον ἀνατέλλοντες· κατάρχοντος ἡλίου·
τοῦτο γοῦν βούλεται εἰπεῖν ὁ Ὅμηρος ἐνθάδε,
ὅτι μετὰ τὴν ἔλευσιν τῶν νέφων ἦν εὐδία,
εὐάρμοστος, ἀρκέσασα μέχρι δυσμῶν ἡλίου·
μετὰ τὴν νύκτα δ' ἕκαστον ἡρέμει τῶν στοιχείων.
οὗ περ αὐτοῖς ἐποίησεν τὸ πῦρ τὰς κατοικίας.
Ὁ παντεργάτης δ' Ἥφαιστος πάντα ποιῶν καὶ τρέφων·

Digitized by Google

τὸ πῦρ γὰρ κατὰ Ἕλληνας ἐν τῇ κοσμογενείᾳ
ἑκάστῳ κατεσκεύασε τοὺς τόπους κατ' ἀξίαν·
τὸ ὕδωρ ἐκλεπτῦναν γαρ, ἐποίησεν ἀέρα·
τοῦτον λεπτῦναν πλέον δὲ, ἐποίησεν αἰθέρα,
καὶ τοὺς ἀστέρας, μετ' αὐτόν· πυρώδεις τὴν οὐσίαν·
οὗτοι πάντες ἠρέμησαν ἐν τόποις τοῖς οἰκείοις,
καὶ Ζεὺς αὐτὸς ἠρέμησεν εὔθιος σὺν αἰθέρι.

## ὙΠΟΘΕΣΙΣ ΤΗΣ Β. ὈΜΗΡΟΥ ῬΑΨΩΔΙΑΣ

Τοῦ βῆτα ἡ ὑπόθεσις τὸν νοῦν ἔχει νοιόνδε·
οἱ ἄλλοι πάντες μὲν θεοί, τὰ σύμπαντα στοιχεῖα,
ἐκάθευδον, ἡσύχαζον, ἦσαν ἠρεμηκότα·
ὁ Ζεὺς, δ' ἀνὴρ, ἐφρόντιζε τιμῆσαι Ἀχιλέα·
ὁ ὕπνος ἐξ ἀέρος γαρ ὑγρότητος ὑπάρχει·
ἐξ ὕπνου δὲ οἱ ὄνειροι γίνονται τοῖς ἀνθρώποις·
ὁ ὄνειρος ἐδήλου δε τιμᾶν τὸν Ἀχιλέα·
Τῷ Ἀγαμέμνονι καὶ γὰρ ὄναρ ἐφάνη τότε·
ἐδόκησε τὸν Νέστορα τῇ κλίνῃ παραστάντα,
λέγειν. καθεύδεις βασιλεῦ; οὐ πρέπει σοι καθεύδειν·
ἄκουσον λόγων τῶν ἐμῶν, τὰ τοῦ Διὸς ἀγγέλλω·
τὰ εἱμαρμένα λέγω σοι τὰ μέλλοντα συμβῆναι·
καθόπλισον τὺς Ἕλληνας πανστρατιᾷ τὺς πάντας·
δῆλον, τὸ πᾶν σε στράτευμα μετὰ τοῦ Ἀχιλέως·
νῦν γὰρ καιρὸς πορθῆσαι σε τὴν Τρωϊκὴν τὴν πόλιν,
ὁμοφρονοῦσιν οἱ θεοὶ τῆς Ἥρας παρακλήσει·
τὰ πάντα κατηυκράτωται τῷ καθαρῷ ἀέρι·
ἐκ τοῦ Διὸς δ' ἐπήρτηται τοῖς Τρώεσιν ἡ βλάβη·
τουτέστι, βλάβη τοῖς Τρωσὶν ἐξ εἱμαρμένης ἔστω.

Digitized by Google

Τοῦτο τὸ ὄναρ ἅπασι τοῖς τῆς συγκλήτου λέγει,
καὶ βούλεται τὸ στράτευμα πρὸς πόλεμον ὁπλίζειν·
θέλων δὲ γνῶναι τοῦ στρατοῦ καλῶς τὴν προθυμίαν,
προλέγει πᾶσιν ἄρχουσι, τοῖς πρώτοις βουληφόροις·
ἐγὼ πειράζων τὸν στρατὸν, ὑποχωρεῖν κελεύσω,
ὑμεῖς δὲ λόγοις συνετοῖς, τούτους μὴ παρεᾶτε.
Ὁ Νέστωρ συναινέσας δὲ τοῖς βασιλέως λόγοις,
δεῦτε, φησὶν, ὁπλίσωμεν τὸ στράτευμα Ἑλλήνων·
καὶ πρῶτος ὥρμησεν ἐλθεῖν εἰς τὸν στρατὸν ἐκεῖνος,
καὶ μετ' αὐτὸν οἱ βασιλεῖς καὶ τῆς συγκλήτου πάντες,
καὶ μετ' αὐτοὺς, καὶ τὸ κοινὸν ὁρμᾷ τῶν στρατευμάτων,
ὡς βοτρυδὸν αἱ μέλισσαι χωροῦσι πρὸς τὰ ἄνθη·
πλησίον τῆς θαλάσσης δε συνήγοντο τὰ πλήθη,
μετὰ θορύβου καὶ κραυγῆς ὡς μέλλοντες ἐκπλέειν·
μόλις δ' ἐννέα κήρυκες κατέπαυσαν ἐκείνους.
Καὶ Ἀγαμέμνων βασιλεὺς δημηγορῶν ἀνέστη,
ἐξ βασιλέων ταῖς χερσὶ σκῆπτρον αὐτὸ κατέχων,
ἐξ ὧν αὐτὸς ἐκέκτητο πάντως τὴν ῥιζοτομίαν·
ἐν τούτῳ στηριζόμενος λέγει πρὸς πάντας τάδε.
Ὦ Ἕλληνες ἡμίθεοι, θεράποντες πολέμου,
ἐπὶ ματαίᾳ ἤλθομεν ἐνταῦθα εἰμαρμένῃ·
πλείους γὰρ ὄντες δεκαπλῶς παρὰ τῶν Τρώων πλῆθος,
ἐννέα ματαιάζομεν ἐν χρόνοις πολεμοῦντες,
πρὸς τὰς πατρίδας πλεύσωμεν, τὴν Τροίαν ἃ πορθῶμεν.
Οὕτως εἰπόντος ὥρμησε τὸ πλῆθος ἀποπλέειν,
εἰ μὴ κατέσχεν Ὀδυσσεὺς φρονήσει τῇ οἰκείᾳ
τοὺς εὐγενεῖς καὶ στρατηγοὺς ἐν πραστάτοις λόγοις,
τοὺς δ' ἀφανεῖς ἐν μάξιξι καὶ δημοτικωτέρως,
καὶ πάλιν ἀντανέστρεψε πρὸς τὴν βουλὴν ἐκείνους.
Ὡς δ' ὁ Θερσίτης ὕβριζε μόνον τὸν βασιλέα,
ὃς ἦν φοξὸς καὶ παραβλωψ, χολὸς, κυρτὸς, ψευδόθριξ,

Digitized by Google

τῷ σκήπτρῳ πλήξας καὶ αὐτὸν ὥς τε δακρύειν τοῦτον,
τοὺς δ' ἄλλους ἅπαντας γελᾷν, δεμηγορεῖ τοιάδε.
Ὦ Ἀγαμέμνων βασιλεῦ, τὸ ϛράτευμα Ἑλλήνων,
πᾶσιν ἀνθρώποις βούλεται σὸν κράτος καταισχῦναι·
οὐ γὰρ πληρῶσαι θέλουσιν αὐτῶν τὰς ὑποσχέσεις,
ὡς καρτερεῖν τὴν πόρθησιν ἐνθάδε τὴν τῆς Τροίας,
ἀλλ' ὥς περ βρέφη κλαίουσιν ἐλθεῖν εἰς τὰς οἰκίας·
μείνατε χρόνον, ἀδελφοὶ, βραχύτατον ἐνθάδε,
ἕως τὴν Τροίαν λάβωμεν τὴν πόλιν τοῦ Πριάμου·
νῦν ὁ καιρὸς ἐφέϛηκε τοῦ χρόνου τοῦ δεκάτου,
ὅτε ταύτης ἡ πόρθησις γενήσεται τῆς Τροίας,
ὥς περ ὁ μάντις ἔλεγεν ἡμῖν ἐν τῇ Αὐλίδι,
ἐκ τῶν ϛρουθῶν καὶ δράκοντος πάντα καλῶς νοήσας.
Οὕτως εἰπὼν ὁ Ὀδυσσεὺς, τοῖς πᾶσιν ἐπῃνέθη,
καὶ μετ' αὐτὸν δημηγορεῖν ἀπήρξατο καὶ Νέϛωρ.
Παισὶ μικροῖς ἐοίκαμεν, οἷς πόλεμος οὐ μέλει·
φιλονεικοῦμεν μάτην γὰρ ἐπὶ ματαίοις λόγοις·
ἀλλ' Ἀγαμέμνον βασιλεῦ, βουλεύου νῦν ὡς πρώην·
ϛρατήγει καὶ παράτασσε τὸ ϛράτευμα πρὸς μάχας,
ἕνα καὶ δύο φθείρεσθαι τῶν μὴ θελόντων ἔα·
ἡμεῖς τῶν Τρώων λάβωμεν γυναῖκας αἰχμαλώτους·
ἀλλὰ βουλεύου, βασιλεῦ, καὶ πείθου τοῖς φρονίμοις,
χώρισον πάντα τὸν ϛρατὸν πρὸς γενεὰς καὶ ἔθνη,
ὡς ἂν τὸ γένος βοηθῇ τῷ γένει τῷ οἰκείῳ·
τὸ δ' ἔθνος πάλιν ἔθνει δε· καὶ τότε γνώσῃ πάντως
τίς ἡγεμόνων ἄριϛος, τίς τῶν τῆς κάτω τύχης·
καὶ τότε γνώσῃ ἀκριβῶς, πῶς οὐ πορθεῖς τὴν Τροίαν
εἴ τε θεόθεν, ἢ κακῶν ὄντων τῶν ὑπὸ χεῖρα·
Ὁ βασιλεὺς ἐπῄνησε τοῦ γέροντος τοὺς λόγους,
καὶ τῆς ὀργῆς ἐμνήσθη δε τῆς πρὸς τὸν Ἀχιλέα,
ὡς γενομένης ἀπρεπῶς, κακῆς ἐξ εἱμαρμένης·

Digitized by Google

καὶ τὸν ἕκτον ἐκέλευσε συλλέξαι φάρυγας
αὐτὸς δὲ δίσκος βοῦν Διὶ τῷ εἰμαρμένῃ τάμε.
ἐπὰ τοῖς τρίτοις ἕκτορας καλεῖ τοὺς τῷ θείῳ
τὸν Νέστορ καὶ μετ' αὐτὸν Ἰδομενέα Κρῆτα
εἶτα τοὺς δύο Αἴαντας μετὰ τὸν Διομήδους,
καὶ Ὀδυσσέα μετ' αὐτοὺς Μενέλεως δὲ μόνος
ἦλθεν αὐτοῖς αὐτόκλητος. ἕζων τὸν βασιλέα
δυσίας ἅμα καὶ εὐχὰς τοῦτε δὲ γενέσθαι,
χαρόντες. Νέστωρ βουλὰς. ἀλλήλοις πρὸς τὴν μάχην·
οἱ στρατηγοὶ δὲ τῶν στρατῶν περίπυστοι ἦσαν,
σὺν τῇ γυναικὶ Ἀθηνᾶς. καὶ τῇ Ἀτρεΐδῃ ταύτης,
ταῖς πανυπάτοις μαχηταῖς αὐτῆς. ταῖς ὑπερτίμοις,
γυμνήτευσε δ' ὁ πόλεμος τούτοις ἐρανὴ τότε,
παρὰ πᾶν ἕκαστον αὐτῶν ἐλθεῖν πρὸς τὴν πατρίδα
αἱ πελτάζες ἔλαμπον ὡς πῦρ ὑπὸ τῶν ὅπλων.

Ὡς περ ἀγέλαι τῶν χηνῶν, γερανῶν, ἢ καὶ κύκνων
πέτονται περὶ Κάϋστρον τὸν ποταμὸν Ἀσίας,
οὕτως Ἑλλήνων ὁ στρατὸς Σκαμάνδρου πεδίοις
πολὺς εἰστήκει καὶ λαμπρὸς ἐν ὅπλων ποικιλίᾳ,
καὶ πρόθυμοι πρὸς πόλεμον, ὡς μυῖαι πρὸς τὸ γάλα.

Ὁ Ἀγαμέμνων δ' ἐν αὐτοῖς ὁ βασιλεὺς εἰστήκει
τὴν κεφαλὴν καὶ ὀφθαλμοὺς ἔχων Διὶ ὁμοίους,
τῷ λοξισμῷ παρόμοιος, φρόνιμος καὶ αἰδήμων·
τὴν ζώνην δὲ τῷ Ἄρει, τὸ στῆθος Ποσειδῶνι,
πολεμικὸς καὶ τὸν θυμὸν ἔχων ὁπόταν δέῃ,
κατὰ τὴν θάλασσαν αὐτὴν, οὐ γὰρ ἀεὶ πνεῖται,
ἀλλ' ὅταν πνεύσας ἄνεμος ἐκείνην κυματώσῃ.

Ὡς περ δὲ ταῦρος μέγας τις ἀγέλης ὑπερέχει,
τοσοῦτον ἐμφανέστερος καὶ τῶν λοιπῶν ὑπῆρχε·
τοιοῦτον μὲν ἐποίησε τότε τὸν βασιλέα
ἡ εἱμαρμένη φαίνεσθαι πάντων ὑπερτερῶντα.

Digitized by Google

Εἶτα πάλιν ὁ Ὅμηρος καὶ πρὸς τὰς μέσας λέγει,
τὴν γνῶσιν πάντως τὴν αὐτῶ· τὴν ἐκ τῶν μαθημάτων·
εἴπατε, μοῦσαι, πρὸς ἡμᾶς πάντας τοὺς ἡγεμόνας,
τὸ πλῆθος σύμπαν γὰρ ἐγὼ, καὶ πάντας τὲς ναυάρχας
οὐδ' ἂν περ δέκα στόματα καὶ δέκα γλώσσας εἶχον,
ἀρρηκτον δ' εἶχον τὴν φωνὴν καὶ σιδηρᾶν καρδίαν,
τοὺς σύμπαντας ἂν ἴσχυσα πρεπόντως καταλέξαι,
εἰ μή περ ὑπεμνήσατε πάντας ὑμεῖς, ἐκ βίβλων.
Οὕτως ἐνταῦθα συμπληροῖ τὴν βῆτα ῥαψῳδίαν·
καὶ μετ' αὐτὴν κατάρχεται λέγειν τὴν Βοιωτίαν,
ἣν Βοιωτίαν ἔγραψα τοῖς τόποις τοῖς οἰκείοις,
τοὺς ἡγεμένας λέγων σοι, καὶ τούτων ναυαρχίας,
καὶ κατ' ἐπαύξησιν, αὐτῶν μορφάς τε καὶ τὰ γένη·
μετὰ τὴν Βοιωτίαν δε κατάρχεται τοῦ γάμμα,
οὕτω ποιήσας τὴν ἀρχὴν ἀρξάμενος ἐνθένδε.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Γ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Ἐπεί δε παρετάξαντο μετὰ τῶν ἡγεμένων,
οἱ Τρῶες ἐπορεύοντο κλαγγῇ τε καὶ θορύβῳ
δίκην γεράνων φευγουσῶν εἰς Αἴγυπτον ἐκ Θράκης,
οὗ τοὺς Πυγμαίους κτείνουσαι τρώγουσαι τούτων στάχυς·
οἱ δ' Ἕλληνες ἐπήρχοντο καὶ σιωπῇ καὶ τάξει·
ὁ δὲ πολὺς κονιορτὸς πεζῶν καὶ τῶν ἱππέων,
ὡς περ ὀμίχλη σκότωσιν ἐποίησε βαθεῖαν.
Ὁ δὲ θεοῖς παρόμοιος Ἀλέξανδρος τὸ εἶδος,
ἦγουν, ὁ ὡραιότατος δίκην λαμπρῶν ἀστέρων,
ἢ μᾶλλον ὁ αὐτόχρημα γελῶν, ἐπιθυμία
πρῶτος τῶν ἄλλων προπηδῶν, τῶν Τρώων προεμάχετο,

Digitized by Google

Ἑλλήνων τὸν βουλόμενον ζητῶν μονομαχῆσαι·
ἰδὼν δε τὸν Μενέλαον τοῦ ἅρματος πηδῶντα,
ὡς πέρ τις δράκοντα ἰδὼν, ἔφυγεν ἀχριάσας·
Τοῦτον ὁ Ἕκτωρ ϑυμωϑεὶς, λόγοις λοιδόροις πλύνει·
ἀπατεὼν, γυναιμανὲς, εἶϑε νεκρός μοι εἴης,
παρὸ δακτυλοδείκτημα, καὶ Τρώων πάντων ὕβρις·
ὄντως μεγάλως χαίρουσι τὸ σὸν πράτεύμα Ἑλλήνων
τῷ λογισμῷ τῷ ἑαυτῶν ἄρισον σὲ δοκοῦντες,
ἀνϑ' ὧν ὁρῶσιν εὔμορφον ὡραῖον σοῦ τὸ εἶδος·
πῶς οὖν τοιοῦτος ὢν αὐτὸς, νύμφην ἀνδρῶν ἀφίσωον
ἁρπάξας, βλάβην ἤγαγες σύμπαντι Τρώων γένει;
εἰ καρτερεῖς, πολέμησον Ἑλένης τῷ συνεύνῳ,
καὶ γνώσῃ τίνος ἥρπασας νεάζουσαν γυναῖκα·
οὐκ ὠφελήσει σοὶ οὐδὲν ἡ μουσικὴ ϑανόντι,
οὐ κάλλος, οὐ δὲ τρίχωσις, τὰ Ἀφροδίτης δῶρα·
εἶτ' οὖν ἐπιϑυμίας τε, εἴ τε καὶ τοῦ ἀσέρος.
Οἱ γεννηϑέντες πάντες γαρ ἀσέρι Ἀφροδίτης,
καὶ μᾶλλον τῆς γενέσεως ὄντι μὴ παραινέτῃ
ἂν κεῖται μᾶλλον καὶ καλῶς οἷς περ ἁρμόζει τρόποις,
ὡραῖοι καὶ ἐπέρασοι γυναῖκες τε καὶ ἄνδρες
ἂν ἐν τῇ πρώτῃ μᾶλλον δὲ ἡ εἰκοσῇ ογδόῃ
μοίρᾳ καρκίνῳ φαίνωσιν αὐτὴν τὴν Ἀφροδίτην,
ϑεαῖς οἱ ἄνδρες μίγνυνται, τουτέσι βασιλίσσαις,
ἢ ἰσοϑέοις γυναιξὶν, ὡς Πτολεμαῖος γράφει,
γυναῖκες πάλιν δε ϑεοῖς, εἴ τε καὶ ἰσοϑέοις.
Οὕτω μὲν Ἕκτωρ πρὸς αὐτὸν Ἀλέξανδρον ἦν λέγων·
εἰ Μενελάῳ πόλεμον συνήρραξας, εὖ ἴσϑι,
οὐδέν σοι ἡ γενέϑλιος ὤνησεν Ἀφροδίτη·
ἀλλὰ δειλοὶ ὑπάρχουσιν, Ἀλέξανδρε, οἱ Τρῶες,
οἵ τινες οὐ κατέχωσαν βάλλοντές σε τοῖς λίϑοις·
πρὸς τοῦτον δὲ Ἀλέξανδρος οὕτως ἀντασακρίϑη.

Digitized by Google

Ἕκτορ, ἐπεί μ' ὕβρισας πρηπόντως, ἐπαξίως,
σὸς λόγος ὥς περ πέλεκυς κόπτει μου τὴν καρδίαν·
Θάρσους ἐμπλήσας, πείθει με μάχεσθαι Μενελάῳ·
σὺ δὲ μὴ κατονείδιζε τὸ κάλλος καὶ τὴν τρίχα,
τὰ τῶν θεῶν δωρήματα, ἀς-έρων γενεθλίων·
ἃ περ μοι κατωνείδισας τὴν κόμην καὶ τὸ κάλλος,
καὶ τὰ λοιπὰ τῶν ἀγαθῶν, ἀπόρριπτα οὐκ ἔ-στιν·
ὅσα παράσχωσιν αὐτοὶ, θέλων οὐκ ἄν τις λάβοι.
Σεμνῶς ἐνταῦθα καὶ δεινῶς ἀνθύβρισεν ὁ Πάρις·
οὕτω σεμνῶς ὑβρίσας δε, οὐκ ἔδοξεν ὑβρίζειν·
μέλας, ς-ραβός γαρ καὶ ψελλὸς ἦν Ἕκτωρ ὡς γνωρίζεις·
ἐν τῷ εἰπεῖν ὁ Πάρις δὲ θέλων δ' οὐκ ἄν τις λάβοι,
μονονουχὶ λέγει ταυτὶ τὰς ὕβρεις ἐπικρύπτων·
Ἕκτορ, καὶ σὺ ἂν ἤθελες τοιοῦτος γεγονέναι,
ἀλλ' εἱμαρμένην ἔσχηκας ἑτέραν· λοιπὸν παύε·
καὶ κάλλος μὴ καθύβριζε, μηδὲ τὴν τρίχωσίν μου·
εἰ βούλει δέ με μάχεσθαι μετὰ τοῦ Μενελάου,
τὸ Τρωϊκὸν μεν ς-ράτευμα παῦσον, καὶ τῶν Ἑλλήνων·
ἐγώ δε καὶ Μενέλαος μόνοι μονομαχῶμεν·
ὁ δὲ νικήσας ἅπαντα λαβέτω σὺν Ἑλένῃ,
οἱ δ' ἄλλοι παρερχέτωσαν εἰς τὰς αὐτῶν πατρίδας.
Οὕτως εἰπόντος Πάριδος, Ἕκτωρ τερφθεὶς τοῖς λόγοις
τοὺς Τρῶας μάχης ἔπαυε· μέσσε κρατῶν τὸ δόρυ·
οἱ δ' Ἕλληνες τοξεύμασιν ἔβαλλον καὶ τοῖς λίθοις,
μέχρις ἐπέσχε βάλλοντας ἐκείνους Ἀγαμέμνων,
καὶ τότε τοῖς ς-ρατεύμασιν Ἕκτωρ τοῖς δύο λέγει
γνώμην τὴν Ἀλεξάνδρειον περὶ μονομαχίας.
Πάντων ἡσυχασάντων δε, Μενέλαος ταῦτ' εἶπεν·
ὁ λόγος ἔ-στιν ἀρε-τὸς ὁ τῆς μονομαχίας,
ἀλλ' ὅρκοις βεβαιώσωμεν πρότερον τὰ τῆς μάχης·
παρέ-ω δὲ καὶ Πρίαμος αὐτὸς ἐν ταῖς θυσίαις·

Digitized by Google

ἄπις-ος γὰρ Ἀλέξανδρος καὶ παραβάτης ὅρκων.
Ἐχάρησαν οἱ Ἕλληνες καὶ Τρῶες ἐπὶ τούτοις,
παῦσιν εὑρεῖν ἐλπίζοντες τοῦ χαλεπῦ πολέμου·
συντόμως ἐφωπλίζοντο· πλησίον δὲ ἀλλήλων
οἱ Ἕλληνες ἐκάθηντο καὶ Τρῶες δίκην φίλων·
ὁ Ἕκτωρ πέμπει φέρειν δε πάντα τὰ πρὸς θυσίαν,
καλέσαι τὲ τὸν Πρίαμον τοῖς ὅρκοις συμπαρεῖναι·
καὶ Ἀγαμέμνων ἔπεμψεν ἐκ πλοίων ἄρνα φέρειν·
ἡ Ἶρις τῇ Ἑλένῃ δε πᾶν τὸ συμβὰν μηνύει
τὸν περὶ ταύτης πόλεμον καὶ τὴν μονομαχίαν,
ὁμοιωθεῖσα Δυγατρὶ Πριάμου Λαοδίκῃ·
τουτέ-τεν Ἶρις γέγονε τόξον τὸ νεφελῶδες,
ἐξ οὗ τὸ συμβησόμενον ἐνόησεν Ἑλένη·
ὡς εἴ περ τίς κατέλεξε πάντα καλῶς ἐκείνῃ,
ἦλθε δὲ πρὸς ἐνθύμιον εὐθὺς τοῦ Μενελάου,
καὶ τῆς πατρίδος τῆς αὐτῆς, ἀλλὰ καὶ γεννητόρων·
λεπτῷ δ' ἐπικαλύμματι κατακαλυψαμένη,
δυσὶ σὺν ἄλλαις ὥρμησε κλαίουσα πρὸς τὸν πύργον·
περὶ δὲ πύλας τὰς Σκαιὰς αὐτὴν διερχομένην
ἀπὸ τοῦ πύργου βλέποντες οἱ γέροντες τῶν Τρώων,
ἐκ γήρως μὲν ἀπόμαχοι, σύμβουλοι δὲ γενναῖοι,
Πριάμῳ συγκαθήμενοι καὶ ἀδελφοῖς Πριάμου,
καὶ Πάνθῳ καὶ Θυμοίτῃ τε καὶ Λάμπῳ, καὶ Κλυτίῳ,
καὶ σὺν τῷ Ἱκετάονι τῷ ἀδελφῷ τῷ ἕκτῳ,
ὁ Οὐκαλέγων τε αὐτὸς ἅμα καὶ ὁ Ἀντήνωρ,
ἐν ἡρεμαίᾳ τῇ φωνῇ ἀλλήλοις προσλαλοῦντες,
οὐ νεμέσις, ἐφθέγξαντο, διὰ τοιαύτην κόρην,
ἐπὶ πολὺ κακοπαθεῖν τοὺς Ἕλληνας καὶ Τρῶας.
λίαν ἐ-ὶ παρεμφερὴς αὐτῇ ἐπιθυμία·
ἀλλὰ καὶ κάλλος ἔχουσα τοιοῦτον, ἀπερχέσθω,
μὴ γένοιτο μετόπισθεν ἡμῖν καὶ τέκνοις βλάβη·

Digitized by Google

ταύτην δὲ Πρίαμος αὐτῆ πλησίον ἑδριάσας,
ἀνερωτῶν ἐμάνθανεν Ἑλλήνων τοὺς ἀρίστους.
Πρῶτον, τὸν Ἀγαμέμνονα ὃν περ καὶ μακαρίζει,
τὸν Ὀδυσσέα, δεύτερον· τὸν Αἴαντα δὲ, τρίτον·
μόνη δ' ὑπέδειξεν αὐτῷ καὶ τὸν Ἰδομενέα·
τοὺς ἀδελφούς δὲ Κάστορα ταύτης καὶ Πολυδεύκην,
ἀποθανόντας σύθαμὰ προσβλέπειν δυναμένη
μὴ συστρατεῦσαι τοῖς λοιποῖς ἐδόκησεν Ἑλλήνων·
ἢ, δι' αὐτὴν αἰσχύνεσθαι φανῆναι τῷ πολέμῳ·
οἱ κήρυκες λαβόντες δὲ πάντα τὰ πρὸς θυσίαν,
καλοῦσι καὶ τὸν Πρίαμον· ὁ δ' ἀναβὰς εἰς ἅρμα,
ἦλθε περὶ τὸ στράτευμα Ἑλλήνων τε καὶ Τρώων.
Στάντων πρὸς τὴν θυσίαν δὲ νιψάντων καὶ τὰς χεῖρας,
ὁ Ἀγαμέμνων τῶν ἀρνῶν τὰς τρίχας ἀποκόψας,
Ἑλλήνων διενείματο καὶ Τρώων τοῖς ἀρίστοις·
ηὔχετο δὲ πρὸς οὐρανὸν τὰς χεῖρας ἀνατείνας.
Ἧλιε, γῆ, καὶ οὐρανὲ, καὶ ποταμῶν τὸ ὕδωρ,
καὶ οἱ παρ' Ἅδην τιμωροὶ δαίμονες τῶν ἀδίκων,
ὑμεῖς ἔφοροι γίνεσθε, καὶ φύλακες τῶν ὅρκων.
κἂν μὲν Ἀλέξανδρος αὐτὸς Μενέλαον φονεύσῃ,
Ἑλένην καὶ τὰ χρήματα ταύτης ἐχέτω πάντα·
ὑμεῖς δὲ πορευσόμεθα πάλιν πρὸς τὰς πατρίδας·
ἂν δ' ἀντιστρόφως γένοιτο, γενέσθω τἐναντίον·
ἡμῖν τε πρίπουσα τιμὴ δεθήτω κατὰ νόμους,
τὸ τῶν χρημάτων ἥμισυ, δῆλον τῶν ἐν τῇ πόλει·
Οὕτως εἰπὼν, ἀπέσφαξε τοὺς ἄρνας Ἀγαμέμνων,
οἶνον δ' ἐπέχεεν αὐτοῖς· ηὔχετο πᾶς λαός δε,
χεθῆναι τὸν ἐγκέφαλον οὕτω τῶν ἐπιόρκων.
Ὁ δὲ Κρονίων οὐδαμῶς τούτων εὐχὰς ἐπλήρου,
ἡ σκοτεινὴ καὶ ἄδηλος ἅπασιν εἱμαρμένη·
ὁ Πρίαμος μερίδα δὲ λαβὼν ἐκ τῆς θυσίας,

Digitized by Google

ὀπισθοδρόμους ἤλασυνε πάλιν ὡς πρὸς τὴν Τροίαν
εἰπών· τὸν θάνατον αὐτῶν οἶδεν ἡ εἱμαρμένη,
ἐγὼ δ' οὐχ' ὑπομένω με βλέπειν τοῖς ὀφθαλμοῖς με
Ἀλέξανδρον μαχόμενον μετὰ τοῦ Μενελάου·
οὕτως εἰπὼν ὁ Πρίαμος εὐθέως ὑπεχώρει.

Τὸν τῆ μονομαχίᾳ δὲ τόπον συγκατεμέτρησαν·
Ἕκτωρ ὁμῶ καὶ Ὀδυσσεὺς, ἔβαλον δὲ καὶ κλῆρους
τοῦ Μενελάου, Πάριδος, ἐν περικεφαλαίᾳ,
ὅς τις ἂν πρότερος αὐτῶν λάχοι τὸ βέλος πέμψαι·
Ἕκτωρ δὲ βλέπων ὄπισθε τοὺς κλήρους ἀνεκίνει·
καὶ πρότερος ἐξέδραμεν ὁ κλῆρος Ἀλεξάνδρου·
οὗτοι δὲ μέσον ἔστησαν ὅπλοις πυτρεπισμένοι.

Καὶ πρῶτος μὲν Ἀλέξανδρος τὸ σάκος Μενελάου
ἄπρακτος ἔμεινε βαλών, κλασθέντος τοῦ σαυρωτῆρος·
δεύτερος δὲ Μενέλαος πέμψας αὐτῷ τὸ δόρυ,
ἔκοψε τὴν ἀσπίδα τε καὶ πᾶσαν πανοπλίαν,
πρὸς τὴν λαπάραν Πάριδος κλασθεὶς δ' αὐτὸς συντόμως,
ἐξέφυγε τὸν θάνατον δόρατος Μενελάου·
Μενέλαος τῷ ξίφει δε πλήξας τὴν κεφαλαίαν,
ἐκ τῆς χειρὸς τετράκλασον ἀπέβαλε τὸ ξίφος·
γυμναῖς ὁρμήσας τὸ λαπὸν εἵλκε χερσὶν ἐκεῖνον,
στρέφων καὶ πρὸς τοὺς Ἕλληνας ἐκ περικεφαλαίας·
καὶ τοῦτον ἂν ἀπέκτεινε Μενέλαος εὐθέως,
εἰ μή πως ἔσωσεν αὐτὸν ἡ Ἀφροδίτη τότε,
τὸν λῶρον ἀποκόψασα τῆς περικεφαλαίας,
καὶ τοῦτον ἁρπάξασα πρὸς τὸν αὐτῆ κοπῶνα,
ᾧ τις συνέκλεινεν αὐτῷ τότε καὶ τὴν Ἑλένην·
τῆς Ἀφροδίτης μάνθανε νῦν τὴν ἀλληγορίαν.

Οἱ Ἀφροδίτης ἔχοντες γενέθλιον ἀστέρα
κείμενον τόποις ἀγαθοῖς, σώζονται καὶ κινδύνων·
ἐπεὶ δὲ τὸ γενέθλιον τοιοῦτον Ἀλεξάνδρου,

Digitized by Google

οὕτως ἐξέφυγε σωθεὶς, τοῦ λαοῦ κεκομμένου,
ἐπεὶ δὲ δρᾷ καὶ ποθεινὸς τοὺς οὕτω γεννηθέντας,
πολλὰ ζυγομαχήσασαν πρὸς ἑαυτὴν Ἑλένην,
τὸ κάλλος εἵλκυσεν αὐτὴν καὶ μετὰ ποίαν ἥτταν·
καὶ τούτῳ συγκατέκλινεν ὥς περ νενικηκότι·
ὁ δὲ Μενέλαος αὐτὸν ὡς λέων ἀνηρεύνα·
ἔλεγε τότε τοιγαροῦν αὐτὸς ὁ Ἀγαμέμνων·
ἡ νίκη, Τρῶες, φαίνεται τυγχάνειν Μενελάου·
δότε λοιπὸν τὰ χρήματα, δότε καὶ τὴν Ἑλένην,
καὶ τὴν τριὰν τὴν πρέπουσαν, τὴν οὖσαν κατὰ νόμους,
τὸ τῶν χρημάτων ἥμισυ, δῆλον τῶν ἐν τῇ πόλει.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Δ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Οἱ δὲ Θεοὶ παρὰ Διὶ πρὸς γῆν κεχρυσωμένην
καθιδρυμένοι σύμπαντες, Ἥβης κρανώσης νέκταρ,
ἐθημηγόρουν βλέποντες τὴν πόλιν τὴν τῶν Τρώων,
καὶ περὶ τῆς παρθήσεως αὐτῆς ἐζυγομάχουν·
τέως κατῆλθεν Ἀθηνᾶ τῷ τότε πρὸς τοὺς Τρῶας,
καὶ Πάνδαρον παρέπεισε Μενέλαον τοξεῦσαι·
ἑστώτων τῶν ἁρίστων δὲ κύκλῳ τοῦ Μενελάου,
καὶ τοῦ Μαχάονος αὐτῷ τὸ τραῦμα θεωρέντος,
ἔνοπλον Τρώων τὸ πεζὸν ἐχώρει κατ' Ἑλλήνων·
ἀφεὶς δὲ τὸν Μενέλαον εὐθέως Ἀγαμέμνων,
τὸ στράτευμα καθώπλιζεν ἀθρόως πρὸς τὴν μάχην·
πεζὸς δὲ διερχόμενος πάντας τοὺς ἡγεμόνας,
τοὺς σπεύδοντας μὲν ὤτρυνεν ἐπαίνοις πρὸς τὴν μάχην
Ἰδομενέα, Αἴαντας, τὸν Νέστορα σὺν τούτοις·
τοὺς δὲ ῥαθύμους, αὐστηροῖς ἐπέπληττε τοῖς λόγοις,

Digitized by Google

Τοῦτο τὸ ὄναρ ἅπασι τοῖς τῆς συγκλήτου λέγει,
καὶ βούλεται τὸ στράτευμα πρὸς πόλεμον ὁπλίζειν·
θέλων δὲ γνῶναι τοῦ στρατοῦ καλῶς τὴν προθυμίαν,
προλέγει πᾶσιν ἄρχουσι, τοῖς πρώτοις βουληφόροις·
ἐγὼ πειράζων τὸν στρατὸν, ὑποχωρεῖν κελεύσω,
ὑμεῖς δὲ λόγοις συνετοῖς, τούτους μὴ παρεᾶτε.
Ὁ Νέστωρ συναινέσας δὲ τοῖς βασιλίως λόγοις,
δεῦτε, φησὶν, ὁπλίσωμεν τὸ στράτευμα Ἑλλήνων·
καὶ πρῶτος ὥρμησεν ἐλθεῖν εἰς τὸν στρατὸν ἐκεῖνος,
καὶ μετ' αὐτὸν οἱ βασιλεῖς καὶ τῆς συγκλήτου πάντες,
καὶ μετ' αὐτὸς, καὶ τὸ κοινὸν ὁρμᾷ τῶν στρατευμάτων,
ὡς βοτρυδὸν αἱ μέλισσαι χωρεῦσι πρὸς τὰ ἄνθη·
πλησίον τῆς θαλάσσης δε συνήγοντο τὰ πλήθη,
μετὰ θορύβου καὶ κραυγῆς ὡς μέλλοντες ἐκπλέειν·
μόλις δ' ἐννέα κήρυκες κατέπαυσαν ἐκείνους.
Καὶ Ἀγαμέμνων βασιλεὺς δημηγορῶν ἀνέστη,
ἐξ βασιλέων ταῖς χερσὶ σκῆπτρον αὐτοῦ κατέχων,
ἐξ ὧν αὐτὸς ἐκέκτητο πάντως τὴν ῥιζουχίαν·
ἐν τούτῳ στηριζόμενος λέγει πρὸς πάντας τάδε.
Ὦ Ἕλληνες ἡμίθεοι, θεράποντες πολέμου,
ἐπὶ ματαίᾳ ἤλθομεν ἐνταῦθα εἰμαρμένῃ·
πλείους γὰρ ὄντες δεκαπλῶς παρὰ τῶν Τρώων πλῆθος,
ἐννέα ματαιάζομεν ἐν χρόνοις πολεμοῦντες,
πρὸς τὰς πατρίδας πλεύσωμεν, τὴν Τροίαν ἀποπορθῶμεν.
Οὕτως εἰπόντος ὥρμησε τὸ πλῆθος ἀποπλέειν,
εἰ μὴ κατέσχεν Ὀδυσσεὺς φρονήσει τῇ οἰκείᾳ
τοὺς εὐγενεῖς καὶ στρατηγοὺς ἐν πραστάτοις λόγοις,
τοὺς δ' ἀφανεῖς ἐν μάχιξι καὶ δημοτικωτέρους,
καὶ πάλιν ἀντανέστρεψε πρὸς τὴν βουλὴν ἐκείνους.
Ὡς δ' ὁ Θερσίτης ὕβριζε μόνον τὸν βασιλέα,
ὃς ἦν φοξὸς καὶ παραβλωψ, χολὸς, κυρτὸς, ψευδόθριξ,

Digitized by Google

τῷ σκήπτρῳ πλήξας καὶ αὐτὸν ὥς τε θεησόμεν τοῦτον,
τοὺς δ' ἄλλους ἅπαντας γελᾶν, δεμηγορεῖ τοιάδε.
Ὦ Ἀγαμέμνων βασιλεῦ, τὸ στράτευμα Ἑλλήνων,
πᾶσιν ἀνθρώποις βούλεται σὸν κράτος καταισχῦναι·
οὐ γὰρ πληρῶσαι θέλουσιν αὐτῶν τὰς ὑποσχέσεις,
ὡς καρτερεῖν τὴν πόρθησιν ἐνθάδε τὴν τῆς Τροίας,
ἀλλ' ὥς περ βρέφη κλαίουσιν ἐλθεῖν εἰς τὰς οἰκίας·
μείνατε χρόνου, ἀδελφοί, βραχύτατον ἐνθάδε,
ἕως τὴν Τροίαν λάβωμεν τὴν πέλιν τοῦ Πριάμου·
νῦν ὁ καιρὸς ἐφέστηκε τοῦ χρόνου τοῦ δεκάτου,
ὅτε ταύτης ἡ πόρθησις γενήσεται τῆς Τροίας,
ὥς περ ὁ μάντις ἔλεγεν ἡμῖν ἐν τῇ Αὐλίδι,
ἐκ τῶν στρουθῶν καὶ δράκοντος πάντα καλῶς νοήσας.
Οὕτως εἰπὼν ὁ Ὀδυσσεὺς, τοῖς πᾶσιν ἐπηνέθη,
καὶ μετ' αὐτὸν δημηγορεῖν ἀπήρξατο καὶ Νέστωρ.
Παισὶ μικροῖς ἐοίκαμεν, οἷς πόλεμος οὐ μέλει·
φελονεικοῦμεν μάτην γὰρ ἐπὶ ματαίοις λόγοις·
ἀλλ' Ἀγαμέμνον βασιλεῦ, βουλεύου νῦν ὡς πρώην·
στρατήγει καὶ παράτασσε τὸ στράτευμα πρὸς μάχας,
ἕνα καὶ δύο φθείρεσθαι τῶν μὴ θελόντων ἔσω·
ἡμεῖς τῶν Τρώων λάβωμεν γυναῖκας αἰχμαλώτους·
ἀλλὰ βουλεύου, βασιλεῦ, καὶ πείθου τοῖς φρονίμοις,
χώρισον πάντα τὸν στρατὸν πρὸς γενεὰς καὶ ἔθνη,
ὡς ἂν τὸ γένος βοηθῇ τῷ γένει τῷ οἰκείῳ·
τὸ δ' ἔθνος πάλιν ἔθνει δε· καὶ τότε γνώσῃ πάντως
τίς ἡγεμόνων ἄριστος, τίς τῶν τῆς κάτω τύχης·
καὶ τότε γνώσῃ ἀκριβῶς, πῶς ὁ πορθεῖς τὴν Τροίαν
εἴ τε θεόθεν, ἢ κακῶν ὄντων τῶν ὑπὸ χεῖρα·
Ὁ βασιλεὺς ἐπήνησε τοῦ γέροντος τοὺς λόγους,
καὶ τῆς ὀργῆς ἐμνήσθη δε τῆς πρὸς τὸν Ἀχιλέα,
ὡς γενομένης ἀπρεπῶς, κακῆς ἐξ εἱμαρμένης·

Digitized by Google

καὶ τὸν στρατὸν ἐκέλευσεν ὁπλίζεσθαι φαγόντας·
αὐτὸς δὲ θύσας βοῦν Διΐ, τῇ εἱμαρμένῃ τάχα,
ἑπτὰ τοὺς πρώτους ἄρχοντας καλεῖ πρὸς τὴν θυσίαν·
τὸν Νέστορα καὶ μετ' αὐτὸν Ἰδομενέα Κρῆτα·
εἶτα τοὺς δύο Αἴαντας μετὰ τοῦ Διομήδους,
καὶ Ὀδυσσέα μετ' αὐτούς· Μενέλαος δὲ μόνος
ἦλθεν αὐτοῖς αὐτόκλητος, στέργων τὸν βασιλέα·
θυσίας ἅμα καὶ εὐχῶν τότε δὲ γενομένων,
φαγόντες, Νέστορος βουλαῖς, ὥρμησαν πρὸς τὴν μάχην·
οἱ στρατηγοὶ δὲ τὸν στρατὸν περέτασσον κοσμίως,
σὺν τῇ φρονήσει Ἀθηνᾶς, καὶ τῇ Αἰγίδι ταύτης,
ταῖς πολυπλόκοις μηχαναῖς αὐτῆς, ταῖς ὑπερτίμοις,
γλυκύτερος δ' ὁ πόλεμος τούτοις ἐφάνη τότε,
παρό περ ἕκαστον αὐτῶν ἐλθεῖν πρὸς τὴν πατρίδα·
αἱ πεδιάδες ἔλαμπον ὡς πῦρ ὑπὸ τῶν ὅπλων.

Ὡς περ ἀγέλαι τῶν χηνῶν, γεράνων, ἢ καὶ κύκνων
πέτονται περὶ Κάϋστρον τὸν ποταμὸν Ἀσίας,
οὕτως Ἑλλήνων ὁ στρατὸς Σκαμάνδρῳ πεδιάσι
πολὺς εἰστήκει καὶ λαμπρὸς ἐν ὅπλων ποικιλίᾳ,
καὶ πρόθυμοι πρὸς πόλεμον, ὡς μυῖαι πρὸς τὸ γάλα.

Ὁ Ἀγαμέμνων δ' ἐν αὐτοῖς ὁ βασιλεὺς εἰστήκει
τὴν κεφαλὴν καὶ ὀφθαλμοὺς ἔχων Διΐ ὁμοίως,
τῷ λογισμῷ παρόμοιος, φρόνιμος καὶ αἰδήμων·
τὴν ζώνην δὲ τῷ Ἄρεϊ, τὸ σῆθος Ποσειδῶνι,
πολεμικὸς καὶ τὸν θυμὸν ἔχων ὁπόταν δέῃ,
κατὰ τὴν θάλασσαν αὐτὴν, οὐ γὰρ ἀεὶ κινεῖται,
ἀλλ' ὅταν πνεύσας ἄνεμος ἐκείνην κυματώσῃ.

Ὡς περ δὲ ταῦρος μέγας τις ἀγέλης ὑπερέχει,
τοσοῦτον ἐμφανέστερος καὶ τῶν λοιπῶν ὑπῆρχε·
τοιοῦτον μὲν ἐποίησε τότε τὸν βασιλέα
ἡ εἱμαρμένη φαίνεσθαι πάντων ὑπερτερῶντα.

Digitized by Google

Εἶτα πάλιν ὁ Ὅμηρος καὶ πρὸς τὰς μέσας λέγει,
τὴν γνῶσιν πάντως τὴν αὐτῶ· τὴν ἐκ τῶν μαθημάτων·
εἴπατε, μοῦσαι, πρὸς ἡμᾶς πάντας τοὺς ἡγεμόνας,
τὸ πλῆθος σύμπαν γὰρ ἐγὼ, καὶ πάντας τὰς ναυάρχας
οὐδ' ἂν περ δέκα στόματα καὶ δέκα γλώσσας εἶχον,
ἀρρηκτον δ' εἶχον τὴν φωνὴν καὶ σιδηρᾶν καρδίαν,
τοὺς σύμπαντας ἂν ἴσχυσα πρεπόντως καταλέξαι,
εἰ μή περ ὑπεμνήσατε πάντας ὑμεῖς, ἐκ βίβλων.
Οὕτως ἐνταῦθα συμπληροῖ τὴν βῆτα ῥαψῳδίαν·
καὶ μετ' αὐτὴν κατάρχεται λέγειν τὴν Βοιωτίαν,
ἣν Βοιωτίαν ἔγραψα τοῖς τόποις τοῖς οἰκείοις,
τοὺς ἡγεμένας λέγων σοι, καὶ τούτων ναυαρχίας,
καὶ κατ' ἐπαύξησιν, αὐτῶν μορφάς τε καὶ τὰ γένη·
μετὰ τὴν Βοιωτίαν δε κατάρχεται τοῦ γάμμα,
οὕτω ποιήσας τὴν ἀρχὴν ἀρξάμενος ἐνθένδε.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Γ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Ἐπεί δε παρετάξαντο μετὰ τῶν ἡγεμένων,
οἱ Τρῶες ἐπορεύοντο κλαγγῇ τε καὶ θορύβῳ
δίκην γερανῶν φευγουσῶν εἰς Αἴγυπτον ἐκ Θράκης,
οὗ τοὺς Πυγμαίους κτείνεσι, τρώγουσαι τούτων στάχυς·
οἱ δ' Ἕλληνες ἐπήρχοντο καὶ σιωπῇ καὶ τάξει·
ὁ δὲ πολὺς κονιορτὸς πεζῶν καὶ τῶν ἱππέων,
ὡς περ ὀμίχλη σκότωσιν ἐποίησε βαθεῖαν.
Ὁ δὲ θεοῖς παρόμοιος Ἀλέξανδρος τὸ εἶδος,
ἦγον, ὁ ὡραιότατος δίκην λαμπρῶν ἀστέρων,
ἢ μᾶλλον ὁ αὐτόχρημα γελῶν, ἐπιθυμίᾳ
πρῶτος τῶν ἄλλων προπηδῶν, τῶν Τρώων προεμάχετο,

Digitized by Google

Ἑλλήνων τὸν βουλόμενον ζητῶν μονομαχῆσαι·
ἰδὼν δὲ τὸν Μενέλαον τοῦ ἅρματος πηδῶντα,
ὡς πέρ τις δράκοντα ἰδὼν, ἔφευγεν ὠχριάσας·
Τοῦτον ὁ Ἕκτωρ θυμωθεὶς, λόγοις λοιδόροις πλύνει·
ἀπατεὼν, γυναιμανὲς, εἴθε νεκρός μοι εἴης,
παρὸ δουρυλοδείκτημα, καὶ Τρώων πάντων ὕβρις·
ὄντως μεγάλως χαίρουσι τὰ στρατεύματα Ἑλλήνων
τῷ λογισμῷ τῷ ἑαυτῶν ἄρισον σὲ δοκοῦντες,
ἀνθ' ὧν ὁρῶσιν εὔμορφον ὡραῖον σοῦ τὸ εἶδος·
πῶς οὖν τοιοῦτος ὢν αὐτὸς, νύμφην ἀνδρῶν ἀρίστων
ἁρπάξας, βλάβην ἤγαγες σύμπαντι Τρώων γένει;
εἰ καρτερεῖς, πολέμησον Ἑλένης τῷ συνεύνῳ,
καὶ γνώσῃ τίνος ἥρπασας νεάζουσαν γυναῖκα·
οὐκ ὠφελήσει σοὶ οὐδὲν ἡ μουσικὴ θεαυτῇ,
οὐ κάλλος, οὐ δὲ τρίχωσις, τὰ Ἀφροδίτης δῶρα·
εἶτ' οὖν ἐπιθυμίας τε, εἴ τε καὶ τοῦ ἀέρος.
Οἱ γεννηθέντες πάντες γαρ ἀέρι Ἀφροδίτης,
καὶ μᾶλλον τῆς γενέσεως ὅντι μὴ παραινέτῃ
ἂν κεῖται μᾶλλον καὶ καλῶς οἷς περ ἁρμόζει τρόποις,
ὡραῖοι καὶ ἐπέραστοι γυναῖκες τε καὶ ἄνδρες·
ἂν ἐν τῇ πρώτῃ μᾶλλον δὲ ἢ εἰκοστῇ ογδόῃ
μοίρᾳ καρκίνου φαίνωσιν αὐτὴν τὴν Ἀφροδίτην,
θεαῖς οἱ ἄνδρες μίγνυνται, τουτέστι βασιλίσσαις,
ἢ ἰσοθέοις γυναιξὶν, ὡς Πτολεμαῖος γράφει,
γυναῖκες πάλιν δὲ θεοῖς, εἴ τε καὶ ἰσοθέοις.
Οὕτω μὲν Ἕκτωρ πρὸς αὐτὸν Ἀλέξανδρον ἦν λέγων·
εἰ Μενελάῳ πόλεμον συνήρραξας, εὖ ἴσθι,
οὐδέν σοι ἡ γενέθλιος ὤνησεν Ἀφροδίτη·
ἀλλὰ δειλοί ὑπάρχουσιν, Ἀλέξανδρε, οἱ Τρῶες,
οἵ τινες οὐ κατέχωσαν βάλλοντές σε τοῖς λίθοις·
πρὸς τοῦτον δὲ Ἀλέξανδρος οὕτως ἀνταπεκρίθη.

Digitized by Google

Ἕκτορ, ἐπεί μ᾽ ὕβρισας πρεπόντως, ἐπαξίως,
σὸς λόγος ὥς περ πέλεκυς κόπτει μου τὴν καρδίαν·
θάρσους ἐμπλήσας, πείθει με μάχεσθαι Μενελάῳ·
σὺ δὲ μὴ κατονείδιζε τὸ κάλλος καὶ τὴν τρίχα,
τὰ τῶν θεῶν δωρήματα, ἃς ἔρων γενεθλίων·
ἃ περ μοι κατωνείδισας τὴν κόμην καὶ τὸ κάλλος,
καὶ τὰ λοιπὰ τῶν ἀγαθῶν, ἀπόῤῥιπτα οὐκ ἔστιν·
ὅσα παράσχωσιν αὐτοί, θέλων οὐκ ἄν τις λάβοι.
Σεμνῶς ἐνταῦθα καὶ δεινῶς ἀνθύβρισεν ὁ Πάρις·
οὕτω σεμνῶς ὑβρίσας δε, οὐκ ἔδοξεν ὑβρίζειν·
μέλας, στραβός γαρ καὶ ψελλὸς ἦν Ἕκτωρ ὡς γνωρίζεις·
ἐν τῷ εἰπεῖν ὁ Πάρις δὲ θέλων δ᾽ οὐκ ἄν τις λάβοι,
μονονουχὶ λέγει ταυτὶ τὰς ὕβρεις ἐπικρύπτων·
Ἕκτορ, καὶ σὺ ἂν ἤθελες τοιοῦτος γεγονέναι,
ἀλλ᾽ εἱμαρμένην ἔσχηκας ἑτέραν· λοιπὸν παύε·
καὶ κάλλος μὴ καθύβριζε, μηδὲ τὴν τρίχωσίν μου·
εἰ βούλει δέ με μάχεσθαι μετὰ τοῦ Μενελάου,
τὸ Τρωϊκὸν μεν στρατευμα παῦσον, καὶ τῶν Ἑλλήνων·
ἐγώ δε καὶ Μενέλαος μόνοι μονομαχῶμεν·
ὁ δὲ νικήσας ἅπαντα λαβέτω σὺν Ἑλένῃ,
οἱ δ᾽ ἄλλοι παρερχέτωσαν εἰς τὰς αὐτῶν πατρίδας.
Οὕτως εἰπόντος Πάριδος, Ἕκτωρ τερφθεὶς τοῖς λόγοις
τοὺς Τρῶας μάχης ἔπαυε· μέσσε κρατῶν τὸ δόρυ·
οἱ δ᾽ Ἕλληνες τοξεύμασιν ἔβαλλον καὶ τοῖς λίθοις,
μέχρις ἐπέσχε βάλλοντας ἐκείνους Ἀγαμέμνων,
καὶ τότε τοῖς στρατεύμασιν Ἕκτωρ τοῖς δύο λέγει
γνώμην τὴν Ἀλεξάνδρειον περὶ μονομαχίας.
Πάντων ἡσυχασάντων δε, Μενέλαος ταῦτ᾽ εἶπεν·
ὁ λόγος ἔστιν ἀρεστὸς ὁ τῆς μονομαχίας,
ἀλλ᾽ ὅρκοις βεβαιώσωμεν πρότερον τὰ τῆς μάχης·
παρέστω δὲ καὶ Πρίαμος αὐτὸς ἐν ταῖς θυσίαις·

Digitized by Google

ἄπις-ος γὰρ Ἀλέξανδρος καὶ παραβάτης ὅρκων.
Ἐχάρησαν οἱ Ἕλληνες καὶ Τρῶες ἐπὶ τούτοις,
παῦσιν εὑρεῖν ἐλπίζοντες τοῦ χαλεποῦ πολέμου·
συντόμως ἐφωπλίζοντο· πλησίον δὲ ἀλλήλων
οἱ Ἕλληνες ἐκάθηντο καὶ Τρῶες δίκην φίλων·
ὁ Ἕκτωρ πέμπει φέρειν δὲ πάντα τὰ πρὸς θυσίαν,
καλέσαι τὲ τὸν Πρίαμον τοῖς ὅρκοις συμπαρεῖναι·
καὶ Ἀγαμέμνων ἔπεμψεν ἐκ πλοίων ἄρνα φέρειν·
ἡ Ἶρις τῇ Ἑλένῃ δὲ πᾶν τὸ συμβὰν μηνύει
τὸν περὶ ταύτης πόλεμον καὶ τὴν μονομαχίαν,
ὁμοιωθεῖσα θυγατρὶ Πριάμου Λαοδίκῃ·
τουτέ-την Ἶρις γέγονε τόξον τὸ νεφελῶδες,
ἐξ οὗ τὸ συμβησόμενον ἐνόησεν Ἑλένη·
ὡς εἴ περ τίς κατέλεξε πάντα καλῶς ἐκείνῃ,
ἦλθε δὲ πρὸς ἐνθύμιον εὐθὺς τοῦ Μενελάου,
καὶ τῆς πατρίδος τῆς αὐτῆς, ἀλλὰ καὶ γεννητόρων·
λεπτῷ δ' ἐπικαλύμματι κατακαλυψαμένη,
δυσὶ σὺν ἄλλαις ὥρμησε κλαίουσα πρὸς τὸν πύργον·
περὶ δὲ πύλας τὰς Σκαιὰς αὐτὴν διερχομένην
ἀπὸ τοῦ πύργου βλέποντες οἱ γέροντες τῶν Τρώων,
ἐκ γήρως μὲν ἀπόμαχοι, σύμβουλοι δὲ γενναῖοι,
Πριάμῳ συγκαθήμενοι καὶ ἀδελφοῖς Πριάμου,
καὶ Πάνθῳ καὶ Θυμοίτῃ τε καὶ Λάμπῳ, καὶ Κλυτίῳ,
καὶ σὺν τῷ Ἱκετάονι τῷ ἀδελφῷ τῷ ἕκτῳ,
ὁ Οὐκαλέγων τε αὐτὸς ἅμα καὶ ὁ Ἀντήνωρ,
ἐν ἡρεμαίᾳ τῇ φωνῇ ἀλλήλοις προσλαλοῦντες,
οὐ νεμέσις, ἐφθέγξαντο, διὰ τοιαύτην κόρην,
ἐπὶ πολὺ κακοπαθεῖν τοὺς Ἕλληνας καὶ Τρῶας.
λίαν ἐ-ἰ παρεμφερὴς αὐτῇ ἐπιθυμία·
ἀλλὰ καὶ κάλλος ἔχουσα τοιοῦτον, ἀπερχέσθω,
μὴ γένοιτο μετόπισθεν ἡμῖν καὶ τέκνοις βλάβη·

Digitized by Google

ταύτην δε Πρίαμος αὐτῆ πλησίον ἑδριάσας,
ἀνερωτῶν ἐμάνθανεν Ἑλλήνων τοὺς ἀρίστους.
Πρῶτον, τὸν Ἀγαμέμνονα ὃν περ καὶ μακαρίζει,
τὸν Ὀδυσσέα, δεύτερον· τὸν Αἴαντα δὲ, τρίτον·
μόνη δ' ὑπέδειξεν αὐτῷ καὶ τὸν Ἰδομενέα·
τοὺς ἀδελφούς δε Κάστορα ταύτης καὶ Πολυδεύκην,
ἀποθανόντας σὺθαμὰ προσβλέπειν δυναμένη
μὴ συστρατεῦσαι τοῖς λοιποῖς ἐδόκησεν Ἑλλήνων·
ἦ, δι' αὐτὴν αἰσχύνεσθαι φανῆναι τῷ πολέμῳ·
οἱ κήρυκες λαβόντες δε πάντα τὰ πρὸς θυσίαν,
καλοῦσι καὶ τὸν Πρίαμον· ὁ δ' ἀναβὰς εἰς ἅρμα,
ἦλθε περὶ τὸ στράτευμα Ἑλλήνων τε καὶ Τρώων.
Στάντων πρὸς τὴν θυσίαν δε νιψάντων καὶ τὰς χεῖρας,
ὁ Ἀγαμέμνων τῶν ἀρνῶν τὰς τρίχας ἀπεκόψας,
Ἑλλήνων διενείματο καὶ Τρώων τοῖς ἀρίστοις·
ηὔχετο δὲ πρὸς οὐρανὸν τὰς χεῖρας ἀνατείνας.
Ἥλιε, γῆ, καὶ οὐρανὲ, καὶ ποταμῶν τὸ ὕδωρ,
καὶ οἱ παρ' Ἅδην τιμωροὶ δαίμονες τῶν ἀδίκων,
ὑμεῖς ἔφοροι γίνεσθε, καὶ φύλακες τῶν ὅρκων.
κἂν μὲν Ἀλέξανδρος αὐτὸς Μενέλαον φονεύσῃ,
Ἑλένην καὶ τὰ χρήματα ταύτης ἐχέτω πάντα·
ὑμεῖς δὲ παρευσόμεθα πάλιν πρὸς τὰς πατρίδας·
ἂν δ' ἀντιστρόφως γένοιτο, γενέσθω τἐναντίον·
ἡμῖν τε πρίπουσα τιμὴ δοθήτω κατὰ νόμους,
τὸ τῶν χρημάτων ἥμισυ, ὃ ἦλον τῶν ἐν τῇ πόλει.
Οὕτως εἰπὼν, ἀπέσφαξε τοὺς ἄρνας Ἀγαμέμνων,
οἶνον δ' ἐπέχεεν αὐτοῖς· ηὔχετο πᾶς λαός δε,
χεθῆναι τὸν ἐγκέφαλον αὕτω τῶν ἐπιόρκων.
Ὁ δὲ Κρονίων οὐδαμῶς τούτων εὐχὰς ἐπλήρου,
ἡ σκοτεινὴ καὶ ἄδηλος ἅπασιν εἱμαρμένη·
ὁ Πρίαμος μερίδα δὲ λαβὼν ἐκ τῆς θυσίας,

Digitized by Google

ὀπισθοδρόμως ἤλαυνε πάλιν ὡς πρὸς τὴν Τροίαν
εἰπών· τὸν θάνατον αὐτῶν οἶδεν ἡ εἱμαρμένη,
ἐγὼ δ' οὐχ' ὑπομείναμι βλέπειν τοῖς ὀφθαλμοῖς μου
Ἀλέξανδρον μαχόμενον μετὰ τοῦ Μενελάου·
οὕτως εἰπὼν ὁ Πρίαμος εὐθέως ὑπεχώρει.

Τὸν τῆ μονομαχίᾳ δε τόπον συγκατεμέτρην
Ἕκτωρ ὁμῶ καὶ Ὀδυσσεὺς, ἔβαλον δὲ καὶ κλήρους
τοῦ Μενελάου, Πάριδος, ἐν περικεφαλαίᾳ,
ὅς τις ἂν πρότερος αὐτῶν λάχοι τὸ βέλος πέμψαι·
Ἕκτωρ δὲ βλέπων ὄπισθε τοὺς κλήρους ἀνεκίνει·
καὶ πρότερος ἐξέθραμεν ὁ κλῆρος Ἀλεξάνδρου·
οὗτοι δὲ μέσον ἔστησαν ὅπλοις ηὐτρεπισμένοι.

Καὶ πρῶτος μὲν Ἀλέξανδρος τὸ σάκος Μενελάου
ἄτρωστος ἔμεινε βαλών, κλιθέντος τοῦ αἰθέρος·
δεύτερος δὲ Μενέλαος πέμψας αὐτῷ τὸ δόρυ,
ἔκοψε τὴν ἀσπίδα τε καὶ πᾶσαν πανοπλίαν,
πρὸς τὴν λαπάραν Πάριδος κλινθεὶς δ' αὐτὸς συντόμως,
ἐξέφυγε τὸν θάνατον δόρατος Μενελάου·
Μενέλαος τῷ ξίφει δε πλήξας τὴν κεφαλαίαν,
ἐκ τῆς χειρὸς τετράκλασον ἀπέβαλε τὸ ξίφος·
γυμναῖς ὁρμήσας τὸ λαπὸν εἵλκε χερσὶν ἐκεῖνον,
στρέφων καὶ πρὸς τοὺς Ἕλληνας ἐκ περικεφαλαίας·
καὶ τοῦτον ἂν ἀπέκτεινε Μενέλαος εὐθέως,
εἰ μή πως ἔσωσεν αὐτὸν ἡ Ἀφροδίτη τότε,
τὸν λῶρον ἀποκόψασα τῆς περικεφαλαίας,
καὶ τοῦτον ἁρπάξασα πρὸς τὸν αὐτῆ κοιτῶνα,
ἥ τις συνέκλινεν αὐτῷ τότε καὶ τὴν Ἑλένην·
τῆς Ἀφροδίτης μάνθανε νῦν τὴν ἀλληγορίαν.

Οἱ Ἀφροδίτης ἔχοντες γενέθλιον ἀέρα
κείμενον τόποις ἀγαθοῖς, σώζονται καὶ κινδύνων·
ἐπεί δε τὸ γενέθλιον τοιοῦτον Ἀλεξάνδρου,

Digitized by Google

οὕτως ἐξέφυγε σωθεὶς, τοῦ λάρου κεκομμένα,
ἐπεὶ δὲ δρᾷ καὶ ποθεινὰς τοὺς οὕτω γεννηθέντας,
πολλὰ ζυγομαχήσασαν πρὸς ἑαυτὴν Ἑλένην,
τὸ κάλλος εἴλκυσεν αὐτὴν καὶ μετὰ ποίαν ἦτταν·
καὶ τούτῳ συγκατέκλινεν ὥς περ νενικηκότι·
ὁ δὲ Μενέλαος αὐτὸν ὡς λέων ἀνηρεύνα·
ἔλεγε τότε τοιγαροῦν αὐτὸς ὁ Ἀγαμέμνων·
ἡ νίκη, Τρῶες, φαίνεται τυγχάνειν Μενελάου·
δότε λοιπὸν τὰ χρήματα, δότε καὶ τὴν Ἑλένην,
καὶ τὴν τιμὴν τὴν πρέπουσαν, τὴν οὖσαν κατὰ νόμους,
τὸ τῶν χρημάτων ἥμισυ, δῆλον τῶν ἐν τῇ πόλει.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Α. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Οἱ δὲ θεοὶ παρὰ Διὶ πρὸς γῆν κεχυσωμένην
καθιδρυμένοι σύμπαντες, Ἥβης χρυσώσης νέκταρ,
ἐθημηγόρουν βλέποντες τὴν πόλιν τὴν τῶν Τρώων,
καὶ περὶ τῆς παρθήσεως αὐτῆς ἐζυγομάχουν·
τέως κατῆλθεν Ἀθηνᾶ τῷ τότε πρὸς τοὺς Τρῶας,
καὶ Πάνδαρον παρέπεισε Μενέλαον τοξεῦσαι·
ἐξ ὧν τῶν ἁρίστων δὲ κύκλῳ τοῦ Μενελάου,
καὶ τοῦ Μαχάωνος αὐτῷ τὸ τραῦμα θεωρῆντος,
ἔνοπλον Τρώων τὸ πεζὸν ἐχώρει κατ' Ἑλλήνων·
ἀρεὶς δὲ τὸν Μενέλαον εὐθέως Ἀγαμέμνων,
τὸ στράτευμα καθώπλιζεν ἀθρόως πρὸς τὴν μάχην·
πεζὸς δὲ διεξιόμενος πάντας τοὺς ἡγεμόνας,
τοὺς σπεύδοντας μὲν ὤτρυνεν ἐπαίνοις πρὸς τὴν μάχην
Ἰδομενέα, Αἴαντας, τὸν Νέστορα σὺν τούτοις·
τοὺς δὲ ῥαθύμους, αὐστηροῖς ἐπέπληττε τοῖς λόγοις,

Digitized by Google

τὸν Μενεσθέα, καὶ αὐτὸν ἅμα τὸν Ὀδυσσέα,
καὶ Διομήδη σὺν αὐτοῖς υἱὸν τὸν τῦ Τυδέως.
Τῶν Τρώων καὶ Ἑλλήνων δὲ τῷ τότε μισγομένων,
θόρυβος ἤρθη φοβεροὺς καὶ κτύπος τῶν ἁρμάτων,
ὡς χειμερίων ποταμῶν ἐπιῤῥοὴ ῥαγδαίων
ἀπὸ πετρώδες ὑψηλῦ κρημνιζομένων ὄρες.
Καὶ πρῶτος μὲν Ἀντίλοχος, βαλὼν ἐν τῷ μετόπῳ,
ἀνῄρηκεν Ἐχέπωλον υἱὸν τῦ Θαλυσίε.
Ἀγήνωρ δ' Ἐλεφήνορα τὸν ςρατηγὸν Εὐρίπε
ἕλκοντα τὸν Θαλύσιον καὶ μέλλοντα σκυλεύειν,
τρώσας δορὶ κατὰ πλευρῶν ἀπέκτεινεν εὐθέως.
Αἴας δ' ὁ μέγας ἐν δορὶ βαλὼν κατὰ τὸ ςῆθος,
ἀνεῖλε Σιμοείσιον, νέον ὡραῖον, οἷον.
Ἄντιφος τῦ Πριάμε δε νόθος υἱὸς ὑπάρχων
σύροντα Σιμοείσιον γυμνῶσαι παυοπλίας
Λεῦκον τὸν Ἰθακήσιον, κτείνει βαλὼν βουβῶνι.
Νόθον δὲ Δημοκόωντα πάλιν υἱὸν Πριάμε
ὁ Ὀδυσσεὺς ἀνῄρηκε βαλὼν, κατὰ τὸν κόρσην.
Ὁ Πείρως ὁ Ἰαμβράκε δε, ὃς ἦν ἀπὸ τῆς Αἴνε
ἡγεμονεύων τῶν Θρακῶν τῶν παρελληςποντίων,
ἀπέκτεινε Διώρεα υἱὸν Ἀμαρυγκέως,
τῶν Ἐπειῶν τὸν ςρατηγὸν, τουτέςι τῶν Ἠλείων,
λίθῳ τραχεῖ τὴν δεξιὰν κνήμην ἐκείνε κόψας,
εἶτα καὶ δόρατος πληγῇ ἔντερα τούτε χέας.
Τὸν Πείρωα δ' ἀπέκτεινε τοῦτον, ὁ Θόας πάλιν
ὑπὲρ μαζὸν τῷ δόρατι τὸ πρῶτον δορατίσας,
εἶτα καὶ τὴν γαςέρα δὲ τούτε τῷ ξίφει τύψας.
Οὗτοι μὲν πάντες ἔπεσον ἄνδρες ἐξ ἡγεμόνων·
τοῦ δὲ κοινῦ πολυπληθεῖς ἦσαν νεκρῶν σωρεῖαι.
Τὰ μὲν τῆς ὑποθέσεως πάντα τῆς δέλτα τάδε·
τὴν δὲ θεῶν νῦν μάνθανε πᾶσαν ἀλληγορίαν.

Digitized by Google

Μὴ Χερουβίμ, μὴ Σεραφὶμ ὧδε θεοὺς μοι νόει,
ὡς περ Ψελλὸς ἐδίδαξεν ὁ πάνσοφος ἐκεῖνος,
οὐκ οἶδα πῶς εἰπεῖν παίζων ἢ καὶ σπεδάζων ἄρα·
σὺθὲν γὰρ πρὸς τὸν Ὅμηρον ἃ περ φησὶν ἐκεῖνος·
ἀσύντροχα πρὸς δόξαν γὰρ εἰσὶ τὴν Ὁμηρείαν,
ὡς περ ζωὴ καὶ θάνατος καὶ τῶν ἀντιθετόντων.

Ὁ Ὅμηρος ἐνταῦθα γὰρ ἀστρολογῶν νῦν γράφει·
μετὰ τὴν ἥτταν Πάριδος τὴν παρὰ Μενελάῳ,
ἐπιβλαβὲς θεμάτιον ὑπῆρχε τῶν ἀστέρων,
τοὺς, οὓς περ λέγει καὶ θεοὺς ἐν γῇ κεχρυσωμένῃ,
ἐνδρυμένους παρ' αὐτῷ τῷ ζωηφόρῳ κύκλῳ,
καὶ πίνοντας τοῦ νέκταρος Ἥβης οἰνοχούσης·
ἀεὶ δὲ περιτρέχοντας τὸν ζοφερὸν τὸν κύκλον,
δύνοντας, ἀνατέλλοντας, πάσας ποιοῦντας στάσεις·
τούτων τῷ τότε τοιγαροῦν ὁ Κρόνος καὶ ὁ Ἄρης,
οἱ τῶν ἀστέρων κάκιστοι καὶ βλαπτικοὶ τῶν ἄλλων,
ἦσαν τετραγωνίζοντες ἀλλήλους ἐν τῇ φαύσει·
τὸ δὲ τοιοῦτο, κάκιστον θεμάτιον ὑπάρχει,
καὶ πόρθησιν ἐσήμαινεν ὅσον οὐκ ἤδη Τροίας·
τέως δὲ τότε γέγονε καί τις ἀστὴρ κομήτης,
ὅς τις σημεῖον πέφυκε γίνεσθαι καὶ πολέμων,
ὃν Ἀθηνᾶς κατέλευσιν Ὅμηρος εἶναι λέγει
ἐξ Ἥρας παροτρύνσεως· ἤγουν, Ἑρμοῦ ἀστέρος·
ταῦτα γὰρ περιττώματα τυγχάνουσιν ἀέρος,
ἀρεϊκὰ τυγχάνοντα καὶ τοῦ Ἑρμοῦ ἀστέρος·
οἱ Πυθαγόρου δὲ φασὶν ἀστέρας εἶναι τίτυς,
ὡς τοὺς λοιποὺς τοὺς πλάνητας ἐν χρόνοις φαινομένους·
ἐπεὶ δὲ ταῦτα σήμαντρα τυγχάνουσι πολέμων,
ὁ Πάνδαρος ὡς εἴπομεν οὕτω κεκινημένος,
τοξεύει τὸν Μενέλαον πρὸς μέλος τῆ ζωστῆρος,
καὶ τότε μὲν ὁ πόλεμος εὐθέως ἀνερράγη,



Digitized by Google

καὶ πέπτωκε σφαττόμενος ὁ δεῖνα τε καὶ δεῖνα,
ὧν πρὸ μικροῦ κατὰ λεπτὸν ἐγράψαμεν τὰς κλήσεις·
ὅσον οὐκ ἤδη δε λοιπὸν κατέπιπτε καὶ Τροία,
οὕ περ καιρῦ παραδρομὴν εἰς πόρθησιν ἐκείνης,
θεῶν βουλὴν ὠνόμασεν βλεπόντων πρὸς τὴν Τροίαν·
Δία δ' ἐνταῦδα νόησον, ἀςέρα τὸν πλανήτην·
τὴν Ἥραν πάλιν, τὸν Ἑρμήν· τὴν Ἀθηνᾶν, σελήνην,
εἷς γὰρ ἀςὴρ ὁ Ἡρακλῆς, Ἑρμῆς τε καὶ ἡ Ἥρα·
εἷς πάλιν καὶ ἡ Ἄρτεμις, ἡ Ἀθηνᾶ, σελήνη.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ε. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Τότε τῷ Διομήδει τε τόλμαν καὶ καρτερίαν
ἡ Ἀθηνᾶ παρέσχηκε δοξάζουσα τὸν ἄνδρα·
ἐκ περικεφαλαίας δὲ τούτου καὶ τῆς ἀσπίδος
πῦρ ἀφλεγὲς κατέκαιεν ὅμοιον τῷ κυνάςρου.
Μάθε τὸ ἀλληγόρημα τοῦτο μικρὸν ὑπάρχον·
ὁ Διομήδης θέλων δὲ τότε γνωσθῆναι πᾶσι,
κάτοπτρον κατεσκεύασεν ἀσπίδι καὶ τῷ λόφῳ,
πυρὸς ἐκπέμπων δόκησιν ἀκτῖσι ταῖς ἡλίου,
οἷον ἐνῆν καὶ Ἀχιλεῖ φόβηςρον πολεμίοις·
οὐ καυςικὸν δὲ κάτοπτρον οἷον τοῦ Ἀρχιμήδους,
ᾧ περ ὁ γέρων ἔφλεξεν ὁλκάδας τὰς Μαρκέλλου
ἐκ τῆς ἀντανακλάσεως ἡλίου τῶν ἀκτίνων,
ἀλλ' ἀφλεγές· εἰς πτόησιν ταγμάτων ἐναντίων·
οὕτω γὰρ δρᾷν κελεύουσι πάντες μηχανογράφοι,
Φίλων καὶ Φιλεταίριος, Ἰσόης, Ἀρχιμήδης,
Ἥρων καὶ Διονύσιος, Σώστρατος τὲ καὶ Πάππος,
ὁ Παλλαδὰς, Ἀθήναιος σὺν τῷ Ἀπολλοδώρῳ,

Digitized by Google

Κτησίβιος, Ἀνθέμιος μετὰ τοῦ Πατροκλέους·
ἐξ ὧν περ ἀνεγνώκειμεν πολλὰς μηχανουργίας,
τοιαῦτα πάτοπτρα ποιεῖν λόφοις καὶ ταῖς ἀσπίσιν,
εἰ δυνατὸν καὶ θώραξιν, ἅμα καὶ σπάθαις τούτων,
ὅπως παντοίως ἔκπληξις εἴη τοῖς ἐναντίοις.
Τοιοῦτον ἔχων κάτοπτρον τοῖς ὅπλοις Διομήδης,
εἰς μέσον παρεισέδραμε τὸ στόμα τοῦ πολέμου.
Φηγέα δε τὸν Δάρητος ξίφει βαλὼν, ἀνεῖλε·
ὃς Δάρης πυρεργάτιδα μετήρχετο τὴν τέχνην,
οὓς ἱερεῖς ὁ Ὅμηρος εἶναι φησὶν Ἡφαίστου.
Ὁ δ' Ἀγαμέμνων δόρατι βαλὼν τῷ μεταφρένῳ
τῶν Βιθυνῶν ἀπέκτεινεν τὸν στρατηγὸν Ὀδίον.
Ἰδομενεὺς τὸν Φαῖστον δὲ τράσας κατὰ τὸν ὦμον
ἐκ Σάρδεων ὑπάρχοντα φίλον υἱὸν τοῦ Βώρου.
Τὸν τοῦ Στροφίου δὲ υἱὸν, Σκαμάνδριον τὴν κλῆσιν,
Μενέλαος ἀνήρηκεν· ἄριστον κυνηγέτην,
φεύγοντα τὸ μετάφρενον τρώσας τῷ δορατίῳ.
Φέρεκλον δὲ τὸν ναυπηγὸν τῶν Ἀλεξάνδρου πλοίων,
δορὶ βαλὼν κατὰ γλουτὸν ὁ Μηριόνης κτείνει·
εὐθὺς γὰρ ἐξεπέρασε τὸ δόρυ πρὸς τὴν κύστιν.
Πήδαιον δὲ Ἀντήνορος νόθον υἱὸν ὁ Μέγης,
ἐξόπισθε τῆς κεφαλῆς τὸ στόμα περονήσας.
Εὐρύπυλος δ' Ὑψήνορα ξίφει τεμὼν τὴν χεῖρα,
παῖδα τὸν Δολοπίονος, Σκαμάνδρου ἱερέως,
ἀνδρὸς ἰχθῦς θηρεύοντος ἐν ποταμῷ Σκαμάνδρῳ.
Τὸν Διομήδη δὲ πολλοὺς ὡς πρὸς φυγὴν κλονοῦντα
πρὸς δεξιὸν ἐτόξευσε Πάνδαρος ὦμον τότε·
τὸ βέλος δὲ πρὸς τοὔμπροσθεν κοιλὸν ὀστοῦν ἐξῆλθε·
ὁ Σθένελος ἀνέσπασεν, ὁ δ' ἀγριώνας μᾶλλον
δορὶ βαλὼν ὑπὲρ μαζὸν Ἀστύνοον ἀνεῖλεν·

Digitized by Google

ἀνεῖλε καὶ Ὑπείρονα πλήξας τὴν ὠμοπλεῖδα,
ξίφει τεμών τε παρεκτὸς τῆς ῥάχεως τὸν ὦμον,
Ἄβαντα καὶ Πολύϊδον τοὺς ἀδελφοὺς ἀνεῖλεν,
υἱοὺς τοὺς Εὐρυδάμαντος ἀνδρὸς ὀνειροκρίτου·
καὶ τοὺς υἱοὺς τοῦ Φαίνοπος, Θόωνά τε καὶ Ξάνθον,
Ἐχέμονα καὶ Χρόμιον υἱούς τε τοῦ Πριάμου,
ἀπέκτεινε καὶ Πάνδαρον βαλὼν περὶ τὴν ῥῖνα,
καὶ τὸν Αἰνείαν ἔθραυσε λίθῳ βαλὼν μεγάλῳ,
θλάσας αὐτῷ κοτύλην τε, κόψας καὶ τὰς νευρώσεις.
Ἡ δὲ γενέθλιος αὐτὸν ἔσωσεν Ἀφροδίτη,
καὶ τόπος ὁ τῆς Ἰδης δὲ ὅπου αὐτὸς ἐσπάρη·
ἔφευγε γὰρ τοῖς δένδρεσιν ὡς σκέπτη κεχρημένος·
ἃ περ φησὶν ὁ Ὅμηρος χεῖρας τῆς Ἀφροδίτης,
καὶ πέπλος πτύγμα φασινῷ σώσαντος τὸν Αἰνείαν.
Χειρὸς δὲ τρῶσιν νόησον εἶναι τῆς Ἀφροδίτης
ἢ ὅτι φεύγοντος αὐτῷ, δραμὼν καὶ πρὸς τὸ ὄρος,
οὗ περ αὐτὸς ἐσώζετο τὴν ὕλην συνδονήσας,
εἰς πλείονα τὴν πτόησιν ἐνέβαλεν ἐκεῖνον,
ἢ ὅτι προθυμούμενον ἔπαυσε τῷ πολέμῳ·
ὅθεν τὴν χεῖρα λέγουσι τρῶσαι τῆς Ἀφροδίτης·
τὴν πρακτικὴν γὰρ ἔσβεσεν ἐπιθυμίαν τούτῳ;
καὶ τὴν χροιὰν μετήλλαξε τῆς θέας τῷ προσώπῳ·
ὅθεν οὐδ' αἷμα γέγραφε τοῦ τραύματος ῥυῆναι,
οἷον ἰχῶρα δὲ τινὰ τὸν ὦχρον οὕτω λέγων.
Τότε λοιπὸν ὁ Σαρπηδὼν ἀνήγειρε τοὺς Τρῶας·
κτείνει δὲ Δηϊκόωντα πρῶτος ὁ Ἀγαμέμνων,
ὄντα φίλον Αἰνείᾳ μὲν, υἱὸν δὲ τῷ Περγάσῳ,
τούτῳ τὸ σάκος ἐν ὄρει τεμὼν καὶ τὴν χαλκέρα·
Θεραπευθεὶς Αἰνείας δὲ υἱὸς τοῦ Διοκλέους,
ἀπέκτεινε τὸν Κρήθωνα καὶ τὸν Ὀρσιλοχόν τε·

Digitized by Google

μαφοῦ καὶ τὸν Μενέλαον ἔκτεινεν ὃν σὺν τούτοις,
εἰ μὴ συντόμως παρ' αὐτὸν Ἀντίλοχος παρίστη
καὶ πέφευγεν Αἰνείας μέν· οὗτοι δ' ἀνεῖλον τότε,
ὁ μὲν τὸν Πυλεμένεα ἄρχοντα Παφλαγόνων,
ἑσῶτα τρώσας τῷ δορὶ κατὰ τὴν ὠμοκλεῖδα.
Ἀντίλοχος δὲ Μύδωνα ἡνίοχον τὸν τότε
λίθῳ βαλὼν τὸ πρῶτον μὲν εἰς μέσον τὸν ἀγκῶνα,
εἶτα, κατὰ τὴν μήνιγγα πλήξας αὐτῇ τῷ ξίφει.
Ὁ Ἕκτωρ δὲ σὺν Ἄρει, θυμῷ μηχανωτάτῳ,
Μενέσθην καὶ Ἀγχίαλον ἔκτεινε πρώτῃ μάχῃ.
Ὁ Αἴας δὲ τὸν Ἄμφιον υἱὸν τὸν τῆ Σελάγῃ,
κατὰ τὸ ὑπογάστριον τὸ δόρυ περονήσας,
ἀντιμαχῶν τῷ Ἕκτορι καὶ πᾶσι Τρωσὶ μόνος,
καὶ δόρατα δεχόμενος πλείονα καὶ χαλάζης,
ὅτε Τυδείδης ἦν τραπεὶς ὁ ἀριστεὺς ὁ μέγας
οὐκ αἰδεσθεὶς τὴν Ἀθηνᾶν τὴν τούτῳ συνεργῆσαν,
καὶ πῦρ ὅπερ ἐξέπεμπεν ἐκ περαλῆς, καὶ ἄμαυ.
Ὁ Σαρπηδὼν Τληπόλεμον βαλὼν δὲ πρὸς αὐχένα,
τοῦ Ἡρακλέους τὸν υἱὸν κτείνει καὶ Ἀσυόχης·
αὐτὸς δ' ἐλειποψύχησε μηρῷ προβεβλημένος,
ἐκ Τληπολέμῳ τοῦ δορὸς, ἄμφω γὰρ ἦκαν ἅμα.
Ὁ Ὀδυσσεὺς ἀνεῖλε δὲ πολλοὺς ἐκ τῶν Λυκίων,
τὸν Κόιρανον, Ἀλάστορα, τὸν Χρόμιον σὺν τούτοις,
Ἄλκανδρον, καὶ Νοήμονα, Πρύτανιν, Ἀλιόν τε.
Ἕκτωρ δὲ τὸν Οἰνόμαον, τὸν Τρῆχον, τὸν Ὀρέστην,
τὸν Τεύθραντα καὶ Ἕλενον μετὰ τῆ Ὀρεσβίῳ·
ἀλλ' ὅτε καὶ Περίφαντα υἱὸν τὸν Ὀχησίου
ἐφόνευσε σὺν Ἄρει, θυμῷ μαχεωτάτῳ,
ὁ Διομήδης ἔφιππος πέλας ἐλθὼν ἐκείνου,
ἐς κενεῶνα τίτρωκεν, ὁρμαίνοντα θυμῷδες·
Τρῶες δ' ὡς εἶδον τὴν πληγὴν δορὸς πρὸς τὴν λαπάρην,

Digitized by Google

νομίσαντες τὸν θώρακα τμηθῆναι καὶ τὰς σάρκας,
ἤδη πεσεῖν δὲ καὶ νεκρὸν τὸν Ἕκτορα δοκοῦντες,
σμερδνὸν πάντες ἐβόησαν, ἀντήχησαν τὰ ὄρη.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ζ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Τῶν Τρώων ἐμονώθη δὲ καὶ Ἀχαιῶν ἡ μάχη·
ἤγουν ἐρήμη γέγονε θεῶν τῆς συμμαχίας·
θεὺς ἐνταῦθα δὲ καλεῖ, τὰς ψυχικὰς δυνάμεις·
ἀφ' οὗ γὰρ Ἕκτορος θυμὸν κατέπαυσαν τὸν Ἄρην·
ἡ Διομήδους Ἀθηνᾶ, φρόνησις σὺν ἀνδρείᾳ,
χωρὶς θεῶν ἐμάχοντο Ἕλληνες τὲ καὶ Τρῶες·
ἀπῆν γὰρ Ἕκτορος θυμὸς καὶ δόλοι Διομήδους·
ἐξήπλωτο δ' ὁ πόλεμος, ἐξήνθησεν ἡ μάχη,
μετὰ τῶν δύο ποταμῶν Σιμόεντος καὶ Ξάνθου.
Πρῶτος δ' ὁ Τελαμώνιος Αἴας Ἑλλήνων πύργος
ἀνῄρηκεν Ἀκάμοντα υἱὸν τὸν τοῦ Εὐσώρου,
τὸν ἡγεμόνα Θρᾳκῶν τῶν ὄντων ἐκ τῆς Αἴνου,
δορὶ κατὰ τὸ μέτωπον ἐκεῖνον περονήσας.
Ὁ Διομήδης δ' Ἄξυλον τὸν ἐξ Ἀρίσβης κτείνει,
υἱὸν ὄντα τοῦ Τεύθραντος, σύναιμον τῆς Τεκμήσσης,
ἄνθρωπον πολυχρήματον πάντας ξενοδοχοῦντα,
αὐτὸν καὶ τὸν Καλήσιον δοῦλον ἀνεῖλε τούτου.
Τὸν Δρῆσον καὶ Ὀφέλτιον Εὐρύαλος ἀνεῖλε,
καὶ Αἴσηπον καὶ Πήδασον ἅμα σὺν τούτας κτείνει
υἱοὺς τοῦ Βουκολίωνος καὶ τῆς Ἀβαρβαρέης,
ὃς Βουκολίων ἀδελφὸς ἦν νόθος τοῦ Πριάμου.
Ἀστύαλον παρέπεμψε πρὸς Ἅδην Πολυπάτης,
ὁ Τεῦκρος Ἀρετάονα, ὁ Ὀδυσσεὺς Πιδύτην,

Digitized by Google

Ἀντίλοχος τὸν Ἄυλιν, Ἔλατον Ἀγαμέμνων,
παρὰ Σατνίῳ ποταμῷ τὴν Πήδασον οἰκοῦντα·
ὁ Βοιωτὸς δὲ Λήϊτος τὸν Φύλακον ἀνεῖλε,
Μελάνθιον δ' Εὐρύπυλος· τὸν Ἄδρηστον δὲ ζῶντα
κατέσχεν ὁ Μενέλαος· τῷ ἅρματος πεσόντα
ἐν γὰρ τῷ φεύγειν, τῷ ῥυμῷ θραυσθέντος ἐν μυρίκῃ,
κατέπεσε τῷ ἄφματος, οὕτω καὶ κατεσχέθη·
καὶ σώζειν τοῦτον ἔμελλε Μενέλαος οἰκτείρας,
ἀλλ' Ἀγαμέμνων ἔκτεινε λαπάραν δορὶ τρώσας·
Νέστωρ δ' ἐβόησεν βοῇ, λέγων Ἀργείοις τάδε·
τοὺς ἄνδρας, ἄνδρες, κτείνωμεν πρῶτον, ὡς ἔστι πρέπον,
εἶτα τὰς τούτων ἡσυχοι ὑμεῖτε πανσπλίας
μὴ δὲ σκυλεύοντες νεκροὺς πολέμου ῥαθυμεῖτε.
Ἕκτωρ Ἑλένῃ δὲ βυλαῖς ἐλθὼν καὶ πρὸς τὴν Τροίαν,
τὰς γηραιὰς ἀθροίσασθαι ἐκέλευσεν Ἑκάβην
ἐν τῷ ναῷ τῆς Ἀθηνᾶς θοῦσαι λαμπρὰν θυσίαν,
βοῦς ἐξ ἀγέλης δώδεκα τῶν ἐνιαυσιαίων,
καὶ πέπλον ποικιλόφαντον ἀπὸ τῶν Σιδωνίων
θεῖναι τοῖς τῆ ἀγάλματος γόνασιν, ὅπως παύσῃ
τὸν Διομήδη μάχεσθαι κατὰ τῶν Τρώων οὕτω.
Γλαῦκος τῷ Ἱππολόχῃ δὲ σύμμαχος ὢν τῶν Τρώων,
καὶ Διομήδης ἄριστος ὑπάρχων τῶν Ἑλλήνων,
τοὺς ἵππους ἀντεπήλασαν ἀλλήλοις ὡς πρὸς μάχην,
ἐκ λόγων δὲ γνωρίσαντες εἶναι πατρῶοι φίλοι.
Βελλεροφόντης γὰρ αὐτὸς, ὁ πάππος ὁ τῷ Γλαύκῳ,
ὁ παρεδὼν τὴν Ἀντειαν γυναῖκα τὴν τῷ Προίτῳ,
κατ' ἄλλως δὲ Σθενέβοιαν, ἔρωτα σχοῦσαν τούτῳ,
ἀνὴρ ὁ συνετώτατος, ὁ Χίμαιραν φονεύσας,
θηρίον τὸ τρικέφαλον τῷ πτερωτῷ Πηγάσῳ,
ἦγεν ὁ τροπωσάμενος ἔθνη τρίπλᾶ τῷ πλοίῳ
Σολύμους, Ἀμαζόνας τε, τὰς τῆς ἐνέδρας τρίτας·

Digitized by Google

Σολύμους μὲν, ὡς λέοντας ὄντας γενναίους ἄνδρας,
ὡς χίμαιραν, ὡς αἶγά δε κρημνοβατοῦσαν πάντα,
τῶν Ἀμαζόνων τὸν στρατὸν, Ἄρεος θυγατέρων·
ὡς δράκοντα τὴν ἔνεδραν τῶν ἐλλαχόντων τοῦτον·
καὶ θυγατέρα δι' αὐτὸ λαβὼν τὴν Ἰοβάτου,
τὴν κλῆσιν τοῦ ὀνόματος ἔχουσαν Φιλονόην,
φίλος ὑπῆρχε τῷ Οἰνεῖ τῷ πάππῳ Διομήδους·
ἀλλήλοις ἀνταμείβουσιν αὐτῶν τὰς πανοπλίας.
ὁ Διομήδης μὲν χαλκῆν ἀντὶ χρυσῆς πρὸς Γλαῦκον,
ὁ Γλαῦκος δ' ἔμπαλιν χρυσῆν ὡς πρὸς χαλκῆν ἀμείψας·
ἡ εἱμαρμένη γὰρ τὸν νοῦν ἐδόξασε τοῦ Γλαύκου,
χάριν φιλίας τὴν χρυσῆν ὡς πρὸς χαλκῆν ἀλλάξας.
Ἕκτωρ δὲ μετὰ κέλευσιν τῆς, ἧς εἶπον, θυσίας,
ἦλθε καὶ πρὸς Ἀλέξανδρον πρὸς πόλεμον ὀτρύνων,
καὶ παροτρύνας καὶ αὐτὸν, οἴκοις ἰδίοις ἦλθεν,
ἰδεῖν αὐτοῦ τὴν σύζυγον, τὴν κλῆσιν Ἀνδρομάχην,
τὴν παῖδα Ἠετίωνος Κιλίκων βασιλέως,
καὶ σὺν τῇ Ἀνδρομάχῃ δὲ τὸν πεφιλμένον παῖδα,
ὃν Ἕκτωρ μὲν ὠνόμαζε Σκαμάνδριον τὴν κλῆσιν,
οἱ δ' ἄλλοι Ἀστυάνακτα, ῥύστης γὰρ Τρώων Ἕκτωρ·
τὴν δ' ἐν τοῖς οἴκοις οὐδαμῶς εὗρεν, ἀλλ' ἐπὶ πύργον
ἑστῶσαν καὶ δακρύουσαν ἐν τῷ νικᾶσθαι Τρῶας·
ἣν λογισμοῖς τοῖς πρέπουσι σωφρόνως νουθετήσας,
καὶ τοῦ παιδὸς ἁψάμενος ὡς πατρικῶς φιλήσων,
καὶ τοῦτον, ἐπευξόμενος, ὡς οἶδε πτοηθέντα,
τὴν πανοπλίαν τὴν αὐτοῦ, καὶ πρὸς τροφὸν στραφέντα,
γελάσας καὶ πρὸς γέλωτα κἀκείνην δε κινήσας,
ὥρμησε πρὸς τὸν πόλεμον θρῆνον λιπὼν κατ' οἴκους·
οὐδὲ γὰρ ἦν προσδόκιμος νοστῆσαι τοῦ πολέμου·
Ἕκτορος δὲ πρὸς πόλεμον ὁρμῶντος ἀποτρέχειν,
ἐν δόμοις οὐδ' Ἀλέξανδρος ἐβράδυνεν οἰκείοις·

Digitized by Google

ἀλλ' ὁπλισθεὶς ἐξέδραμεν ὥς περ στατός τις ἵππος,
πρὸς παδιάδας παταμῶν γαυρούμενος ἐκτρέχει,
ὑψῶν αὐτῆ τὴν κεφαλήν, τινάσσων καὶ τὰς τρίχας·
οὕτως ἐξ ἀκροπόλεως ὁ Πάρις τότε τρέχων,
λαμπρὸς ἐν ὅπλοις καὶ φαιδρός, δίκην αὐγῆς ἠλίου,
τὸν Ἕκτορα προέφθασε πρὶν ἐξελθεῖν τῆς Τροίας·
ὃν περ ἐπαίνοις πρέπουσιν Ἕκτωρ εἰσδεδεγμένος,
ἐπεύξατο τοὺς Ἕλληνας τῆς Τροίας ἐξελάσαι.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Η. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Συνάμα τότω τῶν πυλῶν ἐξώρμησαν τῆς Τροίας
ἀμφότεροι πρὸς πόλεμον ἐμπείρως τεθηγμένοι.
Καὶ Πάρις μὲν ἀπέκτεινε Μενέσθιον ἐξ Ἄρνας,
υἱὸν τὸν Ἀρεθόου τε καὶ τῆς Φιλομεδούσης,
ὃν σύμπαντες Ἀίθοον ἐκάλουν κορυνήτην·
ὃ τάξοις γὰρ, ὃ δόρατι καὶ σὺν μαχαίρᾳ,
ἀλλὰ ῥοπάλῳ σιδηρῷ τὰς μάχας συνεκρότει.
Ἕκτωρ Ἠϊονέα δὲ βαλὼν πρὸς τὸν αὐχένα,
ὁ Γλαῦκος δὲ Ἰφίνοον τοῦ Δεξιᾶ τὸν παῖδα
ἀνῆρκε τῷ δόρατι βαλὼν κατὰ τὸν ὦμον.
Ἡ δὲ γλαυκῶπις Ἀθηνᾶ, ἡ φρόνησις Ἑλλήνων,
ἰδοῦσα τούτους κτείνοντας στρατὸν τὸν τῶν Ἑλλήνων,
ὁρῶσα καὶ τὸν ἥλιον νίκην Τρωσὶ διδόντα
τῷ πέμπειν κατὰ πρόσωπον Ἑλλήνων τὰς ἀστῖνας,
ἧπτε μονομάχιον Ἑλλήνων τε καὶ Τρώων·
καθιδρυνθέντων ἅμμιν δὲ λοιπὸν τῶν στρατευμάτων,
αὐτὸς ὁ Ἕκτωρ ἀναστὰς μέσον τῶν στρατευμάτων
ἧπτε τὸν βουλόμενον μονομαχεῖν Ἑλλήνων.

Digitized by Google

τῶν πάντων πτοηθέντων δε, Μενέλαος ὥπλίσθη
ὑβρίζων πάντας Ἕλληνας Ἕκτορα πτοηθέντας·
καὶ δὴ νεκρὸς ἂν ἔκειτο χερσὶ τοῖς Ἑκτορείαις,
εἰ μὴ κατέσχον ἅπαντες, ὁ δ' Ἀγαμέμνων πλέον.
Καὶ τότε Νέστωρ ἀνασὰς καὶ σχετλιάσας μέγα,
καὶ τὴν Ἐρευθαλίωνος εἰπὼν μονομαχίαν,
ὃν περ ἀνεῖλε νεαρὸς ὑπάρχων τῷ σαρκὶ,
καὶ τέλος θεὶς τοῖς ῥήμασιν, εἰ νέος ἦν εἰσέτι
καὶ ἂν πρὸς μονομάχιον Ἕκτορι συνεπλάκη,
ἄνδρας ἐννέα πέπεικεν Ἑλλήνων ἀνασῆναι·
πρῶτον τὸν Ἀγαμέμνονα, δεύτερον Διομήδην,
εἶτα τὼς δύο Αἴαντὰς καὶ τὸν Ἰδομενέα,
τὸν Μηριόνην μετ' αὐτὼς, Εὐρύπυλον σὺν τέτοις,
καὶ Θόαντα, καὶ πατέγνητον Ὁμήρῳ, Ὀδυσσέα,
οὗτοι πάντες ἀνέστησαν τάχα μονομαχῆσαι·
πάντων δὲ λόγους Νέστορος κλήρους βαλόντων τότε
κυνῇ τῷ Ἀγαμέμνονος, τῷ Αἴαντος ἐξῆλθεν,
εἴ τε τυχαίως προσθραισὼν ἢ κατ' οἰκονομίαν
ὁ Νέστωρ τότε γὰρ κενῶν ἐτύγχανε τὼς κλήρους.
Ἐκ κήρυκος τὸν κλῆρον δὲ δεξάμενος ὁ Αἴας
ὥρμησε καθοπλίζεσθαι, τοῖς Ἕλλησι δὲ λέγει·
Ἕκτορα, φίλοι Ἕλληνες, δοκῶν νικῆσαι, χαίρω·
ἀλλ' ἕως ἂ ἐνδύσομαι αὐτὸς τὴν πανοπλίαν,
τῇ ἀφανεῖ καταύχεσθαι σύμπαντες εἰμαρμένῃ,
σιγῇ καὶ λάθρα καθ' αὑτὼς, μὴ μάθωσιν οἱ Τρῶες·
εἴ τε καὶ φανερώτερον, φόβος οὐδεὶς ὑπάρχει·
οὕτως εἰπὼν καὶ ὁπλισθεὶς, κρασταίνων καὶ τὸ δόρυ,
τρανῶς ἐβόδιζε γελῶν ἐκπληκτικῷ προσώπῳ·
ὃν περ μεγάλως ἔχαιρον οἱ Ἕλληνες ὁρῶντες,
τρόμος πολὺς δὲ τοῖς Τρωσὶ καὶ Ἕκτορι σὺν τέτοις·
Αἴας δὲ φέρων θυρεὸν ἑπτάβοιον ὡς πύργον,

Digitized by Google

τὸν ὅν περ κατεσκεύασε Τύχιος ὁ Ὑλαῖος,
ἑπτὰ βοῶν μὲν ἔχοντα βύρσας ὀχυρωτάτας,
ἄνω πασῶν δε τῶν βυρσῶν, σίδηρον ὥς περ βύρσαν·
ἕςη πλησίον Ἕκτορος καὶ μάχην συνεκρότει.
Καὶ πρῶτος Ἕκτωρ μὲν βαλὼν τὴν Αἴαντος ἀσπίδα,
τὸν σίδηρον ἐξέκοψεν, ἕξ τε βοείας βύρσας·
ἐν βύρσῃ τῇ ἑβδόμῃ δὲ τὸ δόρυ κατεσχέθη·
δεύτερος Αἴας δὲ βαλὼν, κόπτει καὶ τὴν ἀσπίδα,
καὶ θώρακα τὸν Ἕκτορος, μικρῦ καὶ τὴν λαπάραν,
εἰ μή πυ κλίνας τὸ πλευρὸν ἐξέφυγε τὸν μόρον·
ἐξπάσαντες δὲ δόρατα, συνέπεσον ἀλλήλοις·
καὶ πλήττει πάλιν Ἕκτωρ μὲν τῦ Αἴαντος τὸ σάκος,
καὶ τὸν χαλκὸν οὐκ ἔκοψε· κλίνεται δὲ τὸ ξίφος·
Αἴας πηδήσας πλήττει δε τὴν Ἕκτορος ἀσπίδα·
καὶ τὴν ἀσπίδα κόπτει μὲν, καὶ μέρος τῦ τραχήλυ·
κρουνοί δ' ἐχώρυν αἵματος· Ἕκτωρ δ' ὐχ ὑπεχώρει·
ἄρας δὲ λίθον μέλανα μέγα τραχὺν τῷ τότε,
πρὸς ὄμφαλον τῦ Αἴαντος πάλιν τὸ σάκος βάλλει·
καὶ πλεῖον γέγονεν ὐδέν· ἤχησε δὲ τὸ σάκος·
δεύτερος Αἴας δὲ βαλὼν μείζονα τύτυ λίθον
ςρογγύλον, ἔπεμψε ςερρῶς, καὶ λύει τὴν ἀσπίδα,
λύει καὶ γόνυ Ἕκτορος· ὁ δ' ὕπτιος ἡπλώθη
ἀσπίδι τύτυ ςηριχθεὶς, τὸν δ' ὤρθωσεν Ἀπόλλων·
Αἴαντος κατὰ πρόσωπον ἥλιος γὰρ ἐκλάμπων,
αὐτὸν ἐπώλυσεν ἰδεῖν τὴν Ἑκτορείαν πτῶσιν·
τὸν Ἕκτορα δ' ἀνήγειρεν, Αἴαντος ὐκ ἰδόντος·
καὶ τότε δὴ καὶ ξίφεσιν ἔτρωσαν ἂν ἀλλήλυς,
εἰ μὴ Ταλθύβιος αὐτὺς εἶρξε καὶ ὁ Ἰδαῖος·
ἡ νὺξ γὰρ κατελάμβανεν, ἡμέρας πληρουμένης·
οὕτω μονομαχήσαντες, ἔδον ἀλλήλοις δῶρα.
ὁ Ἕκτωρ μὲν τῷ Αἴαντι ξίφος σὺν ξιφοθήκῃ,

Digitized by Google

καὶ πᾶσι παραρτύμασι καὶ τῇ σκευῇ τῇ τούτου·
ὁ Αἴας δὲ τῷ Ἕκτορι κοκκοβαφῇ ζωστῆρα,
καὶ τούτῳ τῷ ζωστῆρι μὲν Ἕκτωρ ἐξ Ἀχιλέως
θανὼν, δεθεὶς ἐσύρετο μετὰ μικρὸν τὸν χρόνον,
Αἴας δ' ἀνεῖλεν ἑαυτὸν τοῦ Ἕκτορος τῷ ξίφει·
ἀλλὰ ταυτὶ μὲν ὕστερα· τότε δὲ χωρισθέντες,
Αἴας ἀπῆλθεν Ἕλλησι, τοῖς δὲ Τρωσὶν ὁ Ἕκτωρ.
Ὁ δ' Ἀγαμέμνων θύσας βοῦν, εὐώχει τοὺς ἀρίστους·
ἐτίμα δὲ τὸν Αἴαντα ῥάχιν βοὸς παρέχων·
μετὰ τροφὴν ὁ Νέστωρ δὲ δημηγορεῖ γενέσθαι
συναγωγὴν τὴν αὔριον, Ἑλλήνων τῶν σφαγέντων
καὶ τάφον ἕνα, καὶ πυρὰν μίαν κοινὴν ἁπάντων,
καὶ πόλιν εἰς ἀσφάλειαν τῶν ζώντων καὶ τῶν πλοίων.
Ἀντήνωρ λέγει δὲ Τρωσὶν Ἑλένην ἀποδοῦναι,
μηδὲ ματαίως μάχεσθαι πατήσαντας τοὺς ὅρκους·
Ἀλέξανδρος δ' ἀντέλεξεν οὐχὶ διδοὺς Ἑλένην·
ὅσα δ' ἐξ Ἄργους ἔλαβε χρήματα δοῦναι λέγων,
καὶ ἔτι τούτων πλείονα· Πρίαμος δ' ἔφη τότε·
νῦν μὲν δειπνοποιήσασθε· καὶ φυλακὴν ποιεῖσθε·
τῇ αὔριον Ἰδαῖος δὲ τοῖς Ἕλλησι λεγέτω
ὅσα φησὶν Ἀλέξανδρος τανῦν περὶ Ἑλένης·
καὶ παῦσιν αἰτησάσθω δὲ πολέμου παρ' ἐκείνων,
ὡς κλαύσωμεν καὶ καύσωμεν νεκροὺς τοὺς πεπτωκότας.
Ἐλθόντος τῇ ἐπαύριον παρ' Ἕλληνας Ἰδαίου,
καὶ καταγγείλαντος αὐτοῖς τὴν γνώμην τὴν τῶν Τρώων,
ἤρεσε μόνον, τὸ νεκρῶν στρατοῖς τοῖς ἀμφοτέροις·
ἐφ' ἁμαξῶν δ' ἀθροίσαντες, καίουσιν ἄμφω τούτους,
τοὺς ἑαυτῶν ἑκάτεροι δακρύσαντες ὡς δέον·
Ἕλληνες δὲ διέπραξαν ὥς περ ὁ Νέστωρ εἶπεν·
καὶ τάφον ἕνα καὶ πυρὰν δειμάμενοι καὶ πόλιν,
τὴν ἥν περ ἀπηργάσαντο μονοημέρῳ τάχει,

Digitized by Google

ὣς περ ὁ Σαρδανάπαλος Ταρσὸν καὶ Ἀγχιάλην
ὁ Ἀσυρίων βασιλεὺς παῖς Ἀνακυνδαράξε.
Ὁ Ποσειδῶν ὁ λέγων δὲ Διὶ περὶ τῷ τείχυς,
ὅτι τὸ τεῖχος ἔκτισαν ἄνευ θεῶν θυσίας,
καὶ τῷ Διὸς οἱ λόγοι δὲ ταῦτα δηλῶσιν εἶναι.
Ἐν τροπικοῖς οἱ Ἕλληνες ἦσαν πυργοποιοῦντες,
οὐχὶ χρησ-ὰν θεμάτιον κρατήσαντες ἀς-έρων,
ὅθεν συντόμως ἔμελλε καταπεσεῖν τὸ τεῖχος
ἐπαφορᾶις ὑδάτων τε καὶ κύμασι θαλάσσης
μετὰ τὴν ὑποδ-ησιν Ἑλλήνων πρὸς Ἑλλάδα·
ἐπεὶ βρονταὶ γεγόνασι, τότε δὲ πυργωμένυς,
αἱ δὲ βρονταὶ πεφύκασιν ὑδάτων καὶ ἀέρος,
εἰκότως ἄγει λέγοντα Διὶ τὴν Ποσειδῶνα·
ὅτι δ' εἰσὶν εὐέμπτωτα τὰ τροπικοῖς πραχθέντα
πᾶς ἀς-ρολόγος ἐκβοᾷ, καὶ καταρχαῖς ὁ Ἄρμων·
ἡλίε δ' ὄντος ἐν ζυγῷ τῶν τροπικῶν ζωδίων,
ἐπύργωσαν οἱ Ἕλληνες ἐκείνην τὴν πολίχνην
ἐν Ὀκτωβρίῳ τῷ μηνὶ, κατὰ φωνὴν Λατίνων·
εἰ δ' ἦν τῷ τότε τροπικοῖς σῦσα καὶ ἡ σελήνη
χωρὶς ἄλλης καθώσεως καὶ βλάβης τῶν ἀς-έρων,
ἦρπεσαν ἂν κατάπτωσιν οὗτοι ταχέως πραξαι.
Μετὰ θυσμὸς ἡλίε δὲ τῷ τείχυς πληρωθέντος,
ἐγίνοντο βυσφάγια καὶ δεῖπνοι τῶν Ἑλλήνων·
ἐλθόντων ἐκ τῆς Λήμνυ δὲ καὶ πλοίων οἰνοφόρων,
ἃ περ ὁ Εὔηνος υἱὸς Ἰάσονος ἦν πέμψας,
ἔπινον ἐξωνύμενοι. δαπανύμενοι παννύχως·
ὁμοίως καὶ οἱ Τρῶες δὲ πάλιν κατὰ τὴν Τροίαν·
ὁ δ' οὐρανὸς παννύχιον ἐξαίσιον ἐβρόντα·
ὡς ὠχριῶν τὺς σύμπαντας τῷ φόβῳ ψυχομένυς·
εἶτα τῇ εἱμαρμένῃ δὲ θέσαντες κοιμηθῆναι.

Digitized by Google

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Θ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Ἡμέρα μὲν ἐξήπλωτο πάσης τῆς γῆς τὸ πλάτος,
ὁ Ζεὺς δὲ πᾶσι τοῖς θεοῖς ἐδημηγόρει λέγων·
μή τε θεά τις θέλοιμι, μή τε θεῶν ἀρρένων
τοῖς Ἕλλησιν ἢ Τρώεσσι νῦν βοηθὸς γενέσθω,
εἰ μὴ τὴν ἀγανάκτησιν παθεῖ τὴν ἡμετέραν·
ἢ γὰρ εἰς οὐρανὸν ἔλθοι πλαγιὲς αἰπρεπεςέτους,
ἢ ῥίψω πρὸς τὸν Τάρταρον ὡς γνώσῃ μι τὸ κράτος·
εἰ βούλεσθε δ' ἀπόπειραν λαβεῖν μι τῆς ἰσχύος,
σειρὰν χρυσῆν κρεμεάσαντες, πάντες καθέλκετέ μι·
ἀλλ' ἐ καθέξατε πρὸς γῆν· ἐγὼ δ' ἂν περ ἕλκυσω,
ἀνάξω γῆν καὶ θάλασσαν, τοσῶτον γὰρ ἰσχύω.

Τοιαῦτα τοιαύτην ἔχουσι σοφὴν ἀλληγορίαν·
μετὰ βροντὰς, ἃς εἴπομεν, ἐκείνας τὰς πανύχιας,
ἡμέρας ἦν ὁ οὐρανὸς μέσως τεθολωμένος·
μὴ καθαρὸς, μὴ δ' ἔνομβρος, ἀλλ' ὡς περ εἶπαν μέσος·
ὅ περ καὶ ἔκρασεν σιωπὴν θεῶν κατανομάζει·
ὅ περ καὶ κώλυμα φησὶν ἀμφῶν τῆς βοηθείας·
μετὰ μικρὸν δὲ κινηθεὶς, βραχὺ φαιδρὸς ἐφάνη·
ὅ περ καὶ λόγους Ἀθηνᾶς, καὶ γέλων Διὸς λέγει·
τὴν ἐπὶ πλεῖον κίνησιν, ἵππους δὲ λέγει τούτου·
τὴν περὶ Ἴδην ςάσιν δὲ, πύκνωσιν πάλιν νέφους
ἐκ τῶν ἐνύδρων τῶν ἀτμίων τῆς παδακώδους Ἴδης.

Ἐπεὶ γῶν ἦσαν εὐτελὴ τὸ τὰ τοιαῦτα γράφειν
εἰς ὄγκον, εἰς ἀξίωμα καὶ μέγεθος, τὸν λόγον
ὁ Ὅμηρος ὁ πάνσοφος ῥητορικῶς ἀνάγων,
μεγὰς τοῖς ῥητορεύμασι καὶ τὴν φιλοσοφίαν,
ποιεῖται νῦν τὴν σύγκρισιν ςοιχείων τῶν τεσσάρων
καὶ θέλων πάντων κρείττονα δεικνύειν τὸν ἀέρα,

Digitized by Google

ὡς τε πυρώδες τὸ φαεθρὸν συγκρύπτοντα νεφέεσι,
ὡς ἀναστῶντα τὰς ἀτμὰς ἐκ γαίης καὶ τῆς θαλάσσης
σὺν τῷ ἠελίῳ, τῇ χρυσῇ συρῇ τῇ λελεγμένῃ,
αὐτῇ δὲ πρὸς τὸ κάταντες γῆς μὴ καθηκομένη,
ἀνθρωποπρεπωδέστερον νῦν προσωποποιήσας,
ὡς βασιλέα τῶν θεῶν πλάττει δημηγορῶντα
μεγαληγόρῳ τῇ φωνῇ καὶ λέγοντα τοιαῦτα.

Τοιοῦτο τὸ κατάστημα τῷ τότε μὲν ὑπῆρχεν·
οἱ δ' Ἕλληνες ὡπλίζοντο, τὸ πρῶτον ἐμφαγόντες,
ὁμοίως καὶ οἱ Τρῶες δὲ καὶ τῶν πυλῶν ἐξῆλθον,
πεζὸς λαός τε καὶ ἱππῆς, καὶ μάχην συνεκρότεν·
καὶ μέχρι μεσημβρίας μὲν ἰσοπαλὴς ἡ μάχη,
ἐξ ἀμφοτέρων τῶν μερῶν πολλῶν ἀναιρεμένων·
ἡ εἱμαρμένη τότε δὲ κλίνει ζυγὸν Ἑλλήνων,
ἦγεν τροπὴν ἐδήλωσεν τῷ γένει τῶν Ἑλλήνων,
βροντῆς καταῤῥαγήσης γὰρ μεγάλης ἐξαισίας,
ἀρχὴς κατήχθη κεραυνὸς στρατῷ τῷ τῶν Ἑλλήνων·
λοιπὸν σὺν δέει σύμπαντες τῆς μάχης ὑπεχώρουν,
Ἰδομενεύς, Ἀτρείδης τε καὶ Αἴαντες οἱ δύο,
ὁ Νέστωρ ὅσων ἔμενε τῷ ἵππῳ ταξευθέντος
ἐξ Ἀλεξάνδρου πρὸς αὐτῆς τῆς κορυφῆς τὰς τρίχας,
καὶ δὴ μικρὸν ὑφ' Ἕκτορος πικρὸς ἦν ὁ γέρων,
εἰ μή περ τῦτον κατιδὼν ὁ Διομήδης τότε,
τὸν Ὀδυσσέα φεύγοντα κέκραγε συνεργῆσαι·
ὡς δ' ἐδαμῶς ἠδύνατο πείθειν ἀνθυποστρέφειν,
μόνος στρατὸς ἐξέσωσεν ἅρματι τῷ οἰκείῳ·
τὸ ἅρμα δὲ τῦ γέροντος Σθένελος, Εὐρυμέδων
κομίζοντες ἐξήνεγκαν εἰς τὸν στρατὸν Ἑλλήνων·
αὐτὸς δὲ σὺν τῷ γέροντι τῦ Ἕκτορος ἀντίος
ἐλθὼν ἀπέκτεινε δορὶ ἡνίοχον ἐκείνε,
Ἡνιοπία, πρὸς μαζὸν βαλὼν κατὰ τὸ στῆθος,

Digitized by Google

Ἕκτορι δ' Ἀρχεπόλεμος ἡνίοχος ἀνῆλθε,
καὶ Διομήδης μέλλοντος ἀνδραγαθεῖν καὶ πάλιν,
βροντὴ φρακώδης σὺν αὐτῇ καὶ κεραυνὸς ἀργήτης,
πρὸ τῶν ποδῶν ἐκπέπτωκε τῶν ἵππων Διομήδους·
οἱ ἵπποι πτοηθέντες δὲ κρύπτονται πρὸς τὸ ἅρμα,
ἐκ τῶν χειρῶν δὲ Νέστορος ἔπεσον τὰ ἡνία·
καὶ πρὸς φυγὴν παρήλασε πείσας τὸν Διομήδην·
ὡς δ' Ἕκτωρ ἀνεβόησε, φεύγεις υἱὲ Τυδέως,
ὁ Διομήδης ἔμελλε πάλιν τὼς ἵππους στρέφειν,
καὶ τοῦτῳ συνεισφέρεσθαι πρὸς πόλεμον καὶ μάχην.
Τρισσάκις ὥρμησεν αὐτὸ ποιῆσαι Διομήδης,
καὶ τρὶς ἐξ Ἴδης ἀρανὸς ἐβρόντησε μεγάλως,
νίκην σημαίνων τοῖς Τρωσίν· Ἕκτωρ βοῶν δὲ μέγα
τὼς ἑαυτῷ παρώτρυνεν ἐμβαίνειν πρὸς τὸ τεῖχος,
καὶ πῦρ ζητεῖν ὡς πρήσωσιν Ἑλλήνων τὰς ὁλκάδας,
καὶ πρὸς τὼς ἵππους τὼς αὐτῷ τὸν Ξάνθον καὶ τὸν Λάμπον,
εἴ τε μὴν καὶ πρὸς τέσσαρας ἵππους τοιάδε λέγει·
νῶν μοι τὴν ἐπιμέλειαν ἀπόδοτε, ὦ ἵπποι,
ἣν περ ἐμῷ ἡ σύζυγος ὑμῶν ἐπεμελεῖτο,
παρὸ ἐμοῦ διδοῦσα μοι σῖτον φαγεῖν καὶ οἶνον,
ὁπόταν ἤθελον αὐτός· ὅθεν σπεύδασατέ μοι
ὡς τὴν χρυσῆν τῷ Νέστορος κρατήσωμεν ἀσπίδα,
καὶ Διομήδους θώρακα ἐξ ὠμων τῶν ἐκείνου·
εἰ ταῦτα λάβω, φεύγουσιν Ἕλληνες νῦν Ἑλλάδι.
Ἡ λαλιὰ τῆς Ἥρας δὲ καὶ στόνος Ποσειδῶνος,
πνευμάτων κίνημα δηλοῖ καὶ μύκημα θαλάσσης·
οἱ Ἕλληνες δὲ φεύγοντες ἐπλήρωσαν τὸν τόπον,
ὅσον ὑπῆρχεν ἐξ αὐτῆς τῆς τάφρου πρὸς τὸ τεῖχος,
ἔνδον ἀπὸ τοῦ τείχους δὲ πάλιν, ὡς πρὸς τὰ πλοῖα,
ὃ λέγεται πωμήριον κατὰ Λατίνων γλῶσσαν·
καὶ δὴ πυρὶ κατέφλεξεν Ἕκτωρ Ἑλλήνων νῆας,

Digitized by Google

εἰ μὴ τὸν Ἀγαμέμνονα Ἥρα, ψυχὴ οἰκεία,
παρώτρυνεν ὀνείδεσι ζῆσαι τοὺς πεφυγότας,
λέγοντα πάντας Ἕλληνας, Ἕκτορος ὐκ ἀξίως,
καί γε καταμεμφόμενον πολλὰ τῇ εἰμαρμένῃ.
Τότε δὲ σχετλιάζοντος διὰ τὰς ἀτυχίας,
ἕλαφε μέσχον ἀετὸς ἀπέρρῖψε βαζάζων·
οἱ δ' Ἕλληνες θαρσήσαντες ἐπ' ἀγαθῷ σημείῳ,
κατὰ τῶν Τρώων ὥρμησαν καὶ μάχην συνεκρότουν.
Πρῶτος δὲ πάντων ἤλασε τοὺς ἵππους Διομήδης,
καὶ κτείνει παῖδα Φράδμονος, Ἀγέλαον τὴν κλῆσιν,
φεύγοντα, τὸ μετάφρενον δόρατι περονήσας·
καὶ μετ' αὐτὸν καὶ οἱ λοιποὶ χωροῦσι κατὰ Τρώων,
Ἀτρεΐδαι τε καὶ Αἴαντες, Ἰδομενεὺς σὺν τέτοις,
ὁ Μόλος Μηριόνης τε μετὰ τῶ Εὐρυπύλου·
ἦλθε καὶ Τεῦκρος ἔννατος, τόξοις ηὐτρεπισμένος,
καὶ περιβλέπων ἔκτεινε τοξεύμασι τοὺς Τρῶας·
τοξεύων δ' ὑπεκρύπτετο τῇ Αἴαντος ἀσπίδι,
ὡς πάρ τις παῖς κρυπτόμενος ταῖς μητρικαῖς ἀγκάλαις.
Ὀκτὼ μὲν ἓν ἀνήρηκεν οὗτος ἐκ τοξευμάτων·
Ὀρσίλοχον καὶ Ὄρμενον, Δαίτορα, Ὀφελέστην,
Χρόμιον καὶ Μελάνιππον, σὺν τέτοις Δυκοφόντην,
καὶ τότε τὸν ἀκόλουθον, τὸν Πολυαιμονίδην·
ὁ Ἀγαμέμνων τοῦτον δὲ βλέπων ἐχάρη μέγα,
καὶ δωρεὰς ὑπέσχετο δοῦναι λαμπρὰς ὑσέρως·
ὁ δὲ, κατὰ τοῦ Ἕκτορος τόξευμα πέμψας ἄλλο,
ἀποτυχὼν, ἀπέκτεινε νόθον υἱὸν Πριάμου,
Καστιανείρης παλλακῆς ὄντα, τῆς ἐξ Αἰσύμης,
τὴν κλῆσιν Γοργυθίωνα, βαλὼν κατὰ τὸ ζῆθος·
ὁ δ' ἔκλινε τὴν κεφαλὴν ὡς ἔνδροσος κωδεία
Τεῦκρος δὲ πάλιν ἀσχεῖ καθ' Ἕκτορος τοξεύσας,
ἤλπε βλάψαντος αὐτὸν, παρὰ μαζὸν βαλών δε,



Digitized by Google

κτείνει τὸν Ἀρχεπτόλεμον ἡνίοχον ἐκείνου·
πέπτωκε δ' ἐκ τοῦ ἅρματος, ταράσσονται αἱ ἵπποι·
τούτου συμβάντος Ἕκτωρ δὲ συντόμως ἐλυπήθη,
καὶ τοὺς μὲν ἵππους ἀδελφῷ διδοῖ τῷ Κεβριόνῃ,
αὐτὸς δ' ἀπὸ τοῦ ἅρματος μέγα βοῶν κατῆλθε·
καί γε τὸν Τεῦκρον μέλλοντα πάλιν τοξεύειν τοῦτον,
πρὸς στῆθος καὶ τὸν τράχηλον λίθῳ βαλὼν μεγάλῳ,
φοράδην ἔπεισιν αὐτὸν ἀχθῆναι πρὸς τὰς τῆας,
Ἀλάστορος βαστάζοντος τοῦτον καὶ Μηκιστέως·
καὶ πάλιν Τρῶες τρέπουσιν Ἕλληνας πρὸς τὰν νῆας.
Ἡλίου βοηθήσαντος Τρώων παντὶ τῷ δήμῳ,
ὁ Ἕκτωρ δ' ἔχων ὄμματα Γοργοῦς τῆς Νηρηΐδος,
καλῶς τοὺς ἵππους ἔστρεφεν αὐτοῦ τοὺς καλλιτρίχους.
Ὁ ἔλεος τῆς Ἥρας δὲ καὶ Ἀθηνᾶς οἱ λόγοι,
ὥς περ φησὶ δι' Ἡρακλῆν ἐξ Ἅδου σεσωσμένον,
καὶ ὅ περ λέγει πλήρωμα Θέτιδος ἱκεσίας,
καὶ ζεῦξις ἡ τοῦ ἅρματος τῆς Ἀθηνᾶς καὶ Ἥρας,
ἀποστολή τε Ἴριδος πρὸς τὸ κωλῦσαι πάντας,
καὶ τοῦ Διὸς ἡ δίφρευσις πρὸς οὐρανὸν ἐξ Ἴδης,
ἐκ Ποσειδῶνος λύσις τε Ζηνὸς ἅρματος ἵππων,
καὶ τὰ ταιάδε σύμπαντα, τοιῶσδε συνεγράφη.
Ὁ Ὅμηρος ὡς χρονικὸς, ὡς συγγραφεὺς τῶν τότε,
ἅπαν μὲν γράφει τὸ πραχθὲν καὶ τὸ συμβὰν τῷ τότε.
τὰ δέ γε περιπέζια καὶ τῶν εὐτελεστέρων
τρέπων, ὡς πρὸς ἀξίωμα καὶ μέγεθος τοῦ λόγου,
σεμνῶς συγγράφει καὶ δεινῶς· δεινὸς ὢν λογογράφος.
Μετὰ βροντὰς, ἃς εἶπον γὰρ καὶ τοὺς δεινοὺς ἀργῆτας,
πνεῦμα λεπτὸν ἐπήρξατο καθαίρειν τὸν ἀέρα·
μετὰ μικρὸν ἐφάνη δε τῷ οὐρανῷ ἡ Ἶρις,
εἶτα καὶ νέφος κάθυγρον ἐξαναχθὲν ἐξ Ἴδης,
τὸν οὐρανὸν ἐπλήρωσεν· εἶτα ῥαγέντος ὄμβρου,

Digitized by Google

ὁ λύσις ἔστι τῶν Διὸς ἁρμάτων Ποσειδῶνι,
χρυσοειδὴς ὁ οὐρανὸς ἐκ πνεύματος ἐφόνει,
οἷα συμβαίνει γίνεσθαι πάντως ὀμβροευδέσις,
καὶ μᾶλλον καταστόμασι φθινοπωρινωτάτοις.
Ταῦτα μὲν ἦν ἐκ τῶν πεζῶν καὶ τῶν ἀσφελαστάτων,
ὅθεν τὴν ἀναπάθαρσιν ἐκείνην τοῦ ἀέρος
Ἥραν καλεῖ καὶ Ἀθηνᾶν καὶ ἔλεος Ἑλλήνων,
καὶ ζεῦξιν Ἥρας, Ἀθηνᾶς ἁρμάτων χρυσαμπύκων·
ὁ Ἡρακλῆς, ὁ ἥλιος ἐστὶν ἐν τοῖς ἐνθάδε,
ὡς κλέος Ἥρας καὶ τῆς γῆς, ὃν Εὐρυσθεὺς ἐκπέμπει,
ἡ σφαῖρα ἡ οὐράνιος, ἥ τις εὐθέως θέει,
ἄθλους τελέσαι δώδεκα, τὸν χρόνον ἐκπληρῶσαι,
δώδεκα περιτρέχοντα τμήματα τῶν ζωδίων·
Κριὸν, Ταῦρον, καὶ Δίδυμον, Καρκῖνον, Λέοντά τε,
Παρθένον ἅμα καὶ Ζυγὸν, Σκορπίον καὶ Τοξότην,
Αἰγόκερων, Ὑδρόχουν τε καὶ σὺν αὐτοῖς Ἰχθύας·
οὓς ἄθλους ἀπεργάζεται τρέχων οἰκείους δρόμους,
δυσπόθεν πρὸς ἀνατολὰς τῆς σφαίρας ἐναντίως·
οὗτος οἰκεῖος δρόμος γὰρ τυγχάνει πῶν πλανήτων·
ἔστι καὶ δρόμος ἕτερος τούτων τῶν ἀνοικείων,
ὃν καθ' ἑκάστην τρέχει πὲν ἐξ ἕω πρὸς τὴν δύσιν,
ἄκων περιφερόμενος σφαίρᾳ τῇ οὐρανίῳ,
δύνων καὶ ἀνερχόμενος ποιῶν τὰς νυχθημέρους,
τὰς ἅς περ δύσεις, κάθοδον πρὸς Ἅδην εἶναι λέγει·
Ἅδου δὲ κύνα, τὸ ὑγρόν· καὶ τῶν ὑδάτων φύσιν·
ἐξ ὧν περ ἀπαρύεται ἥλιος γῆς ἐκτρέχων·
ἐκ γοῦν τοῦ λέγειν Ὅμηρος ἐξ Ἀθηνᾶς τοιαῦτα,
ὡς εἰ μὴ τοῦτον ἔσωζον οὐκ ἂν ἀνῆλθεν αὖθις,
ἐξ ἀναθυμιάσεων δοκεῖ κινεῖν τὴν σφαῖραν,
ὡς οἱ λοιποὶ φιλόσοφοι, πλὴν Ἀριστοτελείων·
Ἀριστοτέλης δ' ἄναρχον εἶναι τὴν σφαῖραν λέγων,

Digitized by Google

αὐτοκινήτως ὑφ' αὑτῆς πνεῖσθαι δογματίζει.

Τῆς ἱκεσίας Θέτιδος ἡ πλήρωσις τυγχάνει,
τὸ γεγονέναι κάθυγρον τὸν ἠρανὸν, ὡς εἶπον·
τὰ δ' ἄλλα πάντα σοι σαφῆ μακρηγορεῖν ὐ πρέπει.
Μετὰ γῶν τὸ κατάκημα τῦτο νυκτὸς ἐλθύσης,
Ἕκτωρ ἐδημαγόρησε τροφὰς ἐκ Τροίας ἄξαι,
ὅσα τὲ τέτοις ἕτερα τῶν χρειωδῶν ὑπάρχει·
ἔξωθεν δὲ τῆς πόλεως πάντας δεῖπνοποιεῖσθαι,
πυρκαϊὰς ἀνάπτειν τε μέχρι καὶ τῆς ἡμέρας,
μὴ κατὰ νύκτα φύγωσιν Ἕλληνες ταῖς ὁλκάσι·
τοῖς κήρυξι δ' ἐκέλευσε συλλέγειν κατὰ Τροίαν
τὲς παῖδας καὶ τὲς γέροντας εἰς φυλακὴν τῶν πύργων,
τῶν γυναικῶν ἑκάστην δὲ πῦρ ἔχειν ἐν οἰκίαις,
καὶ φυλακὴν καὶ προσοχὴν ἀκριβεστάτην εἶναι,
μὴ λάθῃ λόχος, ἔνεδρα, δραμεῖν ὡς πρὸς τὴν πόλιν,
καὶ ταύτην ἐκπορθήσωσιν, ἀπόντων στρατευμάτων·
ἔτως εἰπόντος Ἕκτορος, ἀπεπληρῦντο πάντα·
μέσον δὲ τῦ Σκαμάνδρε καὶ τῦ τείχες τῶν Ἑλλήνων
οἱ Τρῶες ἦσαν καίοντες πυρκαϊὰς χιλίας·
ἄνδρες δ' ἦσαν πεντήκοντα πυρκαϊᾷ ἑκάστῃ,
τῶν ἐγχωρίων τὸ ποσὸν Τρώων ἐνταῦθα γράφει,
πεντήκοντα χιλίες σοι λέγων τὲς πάντας εἶναι,
πλὴν μέν τοι τῶν συμμάχων τε καὶ τῶν ἐπικερύντων·
οὗτοι γὰρ τριπλασίονες τῶν ἐγχωρίων ἦσαν·
ὅταν δ' ὁ Μέμνων ἅμα τε καὶ Πολυδάμας ἦλθε,
τίς ἀριθμήσει τὸν στρατὸν τὸν συνηγμένον τότε;

Digitized by Google

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ι. ΟΜΗΡΟΥ ΡΑΨΩΙΑΣ

Οὕτως οἱ Τρῶες μὴ φυγεῖν τοὺς Ἕλληνας ἐτήρων·
Ἕλληνες πάντες δὲ φυγῇ κατείχοντο καὶ φόβῳ·
πένθος δ' ἀνυπομόνητον εἶχε τοὺς ἀριστέας·
καθάπερ ὁ Βορέας δε πνεύσας ὁμοῦ καὶ Νότος
ταράσσουσι τὴν θάλασσαν, ὑψοῦται δὲ τὸ κῦμα,
ἕως μερίμνας καὶ αὐτοὶ διπλαῖς ἐκυματοῦντο·
ὁ βασιλεὺς μεγάλως δε τῇ λύπῃ βεβλημένος,
ἀπανταχοῦ διήρχετο τοῖς κήρυξι κελεύων,
καλεῖν εἰς τὸ συνέδριον ὀνομαστὶ τοὺς πάντας·
ἄνευ βοῆς τῶν πάντων δε τότε συνηθροισμένων,
καὶ περὶ τὸ συνέδριον ἐν θλίψει καθεσθέντων,
ὁ Ἀγαμέμνων ἀναστὰς δάκρυα χέων λέγει·
ὦ στρατηγοὶ καὶ βασιλεῖς Ἑλλήνων πεφιλμένοι,
ὁ Ζεύς, ἡ εἱμαρμένη, με μεγάλως ἀεὶ βλάπτει·
λοιπόν, ὦ φίλοι, φεύγωμεν πλοίοις εἰς τὰς πατρίδας,
ἐπάτι τὴν πλατύοδον πορθησομεν γὰρ Τροίαν·
πάντων ἡσυχαζόντων δε, φησὶν ὁ Διομήδης.
Οὕτω δοκεῖς ἀπόλεμον τὸ γένος τῶν Ἑλλήνων;
εἰ περ αὐτός, ὦ βασιλεῦ, ἀνθυποστρέφειν θέλεις,
ἀπέρχου, πάρεστιν ὁδός· πλησίον τῆς θαλάσσης
ὁλκάδες, ἃς περ ἤγαγες πολλὰς ἐκ τῆς Μυκήνης·
ἄλλοι δὲ καρτερήσουσιν εἰς πόρθησιν τῆς Τροίας·
εἰ δὲ καὶ ἕτοι θέλουσι, φευγέτωσαν οἱ πάντες·
ἐγὼ δέ, καὶ ὁ Σθένελος ἐγκαρτερῶμεν μόνοι.
Πάντες μὲν οὖν ἐβόησαν θαυμάσαντες τὸν λόγον·
ἀνέστη καὶ ὁ Νέστωρ δε καὶ τοῦτον ἐπῄνεσας,
λόγον παρέῤῥιψε δεινῶς, ῥητορικῷ τῷ τρόπῳ,
τὴν ἔριν Ἀγαμέμνονος σύρων καὶ Ἀχιλέως·

Digitized by Google

εἶπε γάρ· ὅς τις ἔρωτα μάχης ἐμφύλου τρέφει,
χωρὶς ὑπάρχει συγγενῶν, ἄδικος τὲ καὶ πένης·
ἀλλὰ πεισθῶμεν νῦν νυκτὶ νυκτερινὸν φαγόντες,
φύλακας δὲ χωρίσωμεν ἔξω πρὸς τάφρον μένειν·
σὺ, βασιλεῦ, πρὸς τράπεζαν κάλει δὲ τοὺς ἀρίστους,
καὶ συμβουλεύου μετ' αὐτῶν· χρεία βουλῆς μεγάλης·
ἐγγὺς γὰρ οἱ πολέμιοι πυρκαίοντες παννύχως·
ἡ νὺξ δὲ σώσει τὸν στρατὸν ἢ φθείρει πάντως αὕτη.

Οὕτως εἰπόντος, ὥρμησαν εἰς φυλακὴν ἐνόπλως
φύλακες ἑπτακόσιοι, ἑπτὰ δὲ στρατηλάται,
Ἀσκάλαφος, Ἰάλμενος, ἅμα καὶ Θρασυμήδης,
ὁ Μηριόνης, Ἀφαρεὺς, Δηΐπυρος σὺν τούτοις,
καὶ Λυκομήδης Κρέοντος φίλος υἱὸς ὑπάρχων·
ἐλθόντες δ' ἐκαθέσθησαν τείχους καὶ τάφρου μέσον,
καὶ πῦρ ἀνάψαντες ἐκεῖ, νυκτερινῶς σιτοῦνται.

Ὁ βασιλεὺς καλέσας δὲ τοὺς πρώτους τῆς συγκλήτου,
ἁβραῖς τραπέζαις καὶ τροφαῖς δέχεται βασιλείοις·
μετὰ τροφὴν ἀνέστη δὲ Νέστωρ βουλεύων τάδε·
ἐξευμενίσαι τῷ στρατῷ παντὶ τὸν Ἀχιλέα,
ἐν λαμπροτάταις δωρεαῖς καὶ λόγοις πραοτάτοις·
συγκατετέθη τοῦ λοιποῦ τοῖς λόγοις Ἀγαμέμνων,
ἑπτὰ μὲν δοῦναι τρίποδας, μήπω πρὸς πῦρ τεθέντας,
ἑξήκοντα νομίσματος χρυσίου χιλιάδας,
λέβητας οἴκοσι πρὸς πῦρ καὶ πρὸς λουτρὰ χρησίμους,
ἵππους ἐκαρίτους ἀθλητὰς δώδεκα νικηφόρους,
ποικιλεργοὺς ὡραίας δὲ κόρας ἑπτὰ Λεσβίδας,
σὺν αἷς καὶ Ἱπποδάμειαν ὀγδόην, τὴν Βρισίως·
ὀμώσας, τί τὸ σύνολον αὐτῇ μὴ συνειδέναι.

Ταῦτα δοθῆναι Ἀχιλεῖ καθυπεσχέθη τότε·
μετὰ δὲ Τροίας πόρθησιν καθυπισχνεῖτο πάλιν
πλοῖον χρυσοῦ τε καὶ χαλκοῦ πλῆρες αὐτῷ δοθῆναι,

Digitized by Google

καὶ αἰχμαλώτους Τρωϊκὰς εἴκοσι τῶν ὡραίων·
εἰς Ἄργους δ' ὑποστρέψαντες, γαμβρὸν αὐτὸν ποιῆσαι·
ἰσότιμον ποιῆσε τε Ὀρέστῃ τῷ φιλτάτῳ,
λαβόντα τούτου τῶν τριῶν ἣν θέλει θυγατέρα,
τὴν πρώτην τὴν Χρυσόθεμιν, εἴ τε τὴν Λαοδίκην,
εἴ τε τὴν Ἰφιάνασσαν, φερνὴν δ' αὐτῷ δοθῆναι
πόλεις ἑπτὰ πρὸς θάλασσαν κειμένας τὰς ἁπάσας,
Πήδασον, Αἴπειαν, Φηρὰς, Ἄνθειαν καὶ Ἐνόπην,
τὴν βοτανώδη τὲ Ἱρὴν, ἅμα καὶ Καρδαμύλην.
Ἐν τούτοις πρόσβεις πέμπουσιν ὡς πρὸς τὸν Ἀχιλέα,
Φοίνικα καὶ τὸν Αἴαντα μετὰ τοῦ Ὀδυσσέως,
καὶ κήρυκας Ταλθύβιον ἅμα καὶ Εὐρυβάτην,
ὅπως τοῖς δώροις τὴν ὀργὴν πείσωσιν ἀποθέσθαι·
πολλὰ δ' εἰπόντος πρὸς αὐτὸν πρῶτα τοῦ Ὀδυσσέως,
ὁ Ἀχιλεὺς ἀντέλεξε σφοδρῶς τε καὶ ταχέως·
καὶ Φοίνικος δακρύοντος ἐλεεινολογίαις,
καὶ τὴν φυγὴν τὴν ἐκ πατρὸς τοῦ ἑαυτοῦ λαλοῦντος,
διὰ τὴν μίξιν παλλακῆς τῆς τοῦ πατρὸς συμβᾶσαν·
καὶ πᾶς αὐτὸν ἀνέθρεψεν ἐκ βρεφικῶν σπαργάνων,
καὶ δεομένου καὶ αὐτοῦ τὴν μῆνιν ἀπορρίψαι,
λέγοντος μετατρέπεσθαι καὶ τοὺς θεοὺς θυσίαις,
ἤγουν ἐν λόγοις ἐπῳδῶν τὴν φύσιν τῶν στοιχείων,
ἢ εἱμαρμένην φυσικὴν, ὡς Πτολεμαῖος γράφει·
διττὰς αὐτός γὰρ βούλεται τὰς εἱμαρμένας εἶναι,
θείαν, τὴν ἀμετάτρεπτον, καὶ τὴν φυσικωτάτην,
ἥν περ καὶ μετατρέπεσθαι φησὶν, ὡς κληματοτῆρας·
ὁ μὲν γὰρ ὄμβρους τῶν σοφῶν, ὁ δ' ἔπαυσεν ἀνέμους
Ὀρφεὺς καὶ Πυθαγόρας τε σὺν τῷ Ἀναξαγόρᾳ,
Ἐμπεδοκλῆς Μελίτωνος, ὁ καὶ κωλυσανέμας,
ὁ πανδαὴς Δημόκριτος, ὁ Τυανεὺς ὑστέρως·
Τοιαῦτα καὶ τοῦ Φοίνικος δάκρυσι δεομένου,

Digitized by Google

ὡς τῷ θυμῷ κατάπαυσιν ποιήσαιτο τοῖς θάρσεσι,
καὶ τιμηθῇ τὰ μέγιστα τοῖς σύμπασιν Ἀργείοις·
μὴ ἄνευ παρακλήσεως μόνος ἐλθὼν ὑσ-έρως,
πάθῃ ταὐτὸν ὁ πέπονθε Μελέαγρος ἐκεῖνος.

Οὗτος υἱὸς ὑπάρχων γὰρ Οἰνέως καὶ Ἀλθαίας,
ὡς ἀνερρήγη πόλεμος χάριν τῷ χοίρῳ τότε
Ἀμβρακιώταις καὶ αὐτῶν τῶν Αἰτωλῶν τῷ γένει,
ἀφεὶς τὴν μάχην ὡς θλιβεὶς ἐκ τῆς μητρὸς Ἀλθαίας,
τῇ ἑαυτῦ συνέδρευε συζύζῳ Κλεοπάτρᾳ·
Κυρῆτες, Ἀκαρνάνες δὲ, ἦγεν Ἀμβρακιῶται,
τὲς ἕς περ μετεκάλεσε Καῖσαρ Νικοπολίτας,
νικήσας τὸν Ἀντώνιον ἐκεῖ καὶ Κλεοπάτραν,
ἔβαλλον πύργες Αἰτωλῶν ἦγεν τῶν Ναυπακτίων,
ἔβαλλον πύργες Αἰτωλῶν καὶ πύλας τὰς ἐκείνων·
τὴν Καλυδῶνα, Ναύπακτον, αὐτὴν πυργομαχοῦντες·
πάντες λοιπὸν οἱ τῆς βελῆς καὶ μαγισ-άνες πάντες,
καὶ ἱερεῖς οἱ τῶν θεῶν, οἱ πρὄχοντες ἁπάντων,
καὶ ἀδελφαὶ καὶ ἀδελφοὶ, καὶ ὁ πατὴρ ὁ τότε
γονυκλινῆντες καὶ πολλὰ δῶρα δεδόντες τότῳ,
γῆν περισσὴν φυτεύσιμον, καὶ γῆν τῶν ἀροσίμων,
ὡς πρὸς τὴν μάχην ἐξελθεῖν ἐκ ἔπεισαν ἐκεῖνον·
ὑσ-έρον βαλλομένε δε καὶ τῦ κοιτῶνος τότε
ἐν λίθοις καὶ τοῖς βέλεσι, καὶ πυργομαχομένε,
τοῖς τῆς ἰδίας γυναικὸς θρήνοις ἐμβὰς πρὸς μάχην,
καὶ συμβολῇ πολέμε δε τρέψας τὲς Ἀκαρνάνας,
τὴν θαρσεὰν ἐκ ἔλαβεν· ὁ γὰρ ἐξῆλθε τότε,
ὅταν αὐτὸν οἱ σύμπαντες ἦσαν γονυκλιτῆντες.

Τοιαῦτα καὶ τῷ Φοίνικος τῷ τότε δεομένε,
καὶ Μελεάγρῳ μὴ παθεῖν τὰ ἴσα παρανῆντος,
καὶ πρὸς αὐτὸν ὁ Ἀχιλεὺς τάς δε φησὶ τὲς λόγες·
παύε τροφεῦ μι γηραϊ, παύε τροφεῦ μι Φοίνιξ,

Digitized by Google

μὴ τὴν καρδίαν τὴν ἐμὴν σοῖς λόγοις τήκειν θέλε,
χάριν ποιῶν τῷ βασιλεῖ· τῦτον ὲ χρὴ φιλεῖν σε,
ὅπως μὴ μισηθείης μοι πάμπολλα σε φιλῦντι.
καλὸν ὑπάρχει σὺν ἐμοὶ θλίβειν τὸν θλίβοντά με·
ἀλλὰ, σὺ μεῖνον μεθ' ἡμῶν, αὐτοὶ δ' ἀπαγγελῦσι.
Πρὸς ἓν τὲς λόγυς τὸ λοιπὸν τάτες ὁ Αἴας εἶπεν·
ἀπέλθωμεν· εἰς μάτην γαρ ὡς ἔοικε ληρῦμεν·
ἔτος σκληρύψυχος ἐςὶ διὰ γυναῖκα ποίαν·
ἑπτὰ δὲ νῦν παρέχομεν ἀρίςας ἀντ' ἐκείνης,
καὶ σὺν αὐταῖς ἐκείνην τε· ἔτος δ' ὀργὴν ὲ παύει.
Ταῦτα τοῖς πᾶσιν Ἕλλησι λέγεσιν ἀπελθόντες,
ἅ περ αὐτοῖς ὁ Ἀχιλεὺς πρεσβεύεσιν ἀντεῖπε·
πρὸς ταῦτα Διομήδης τε φησὶ πρὸς τὸν Ἀτρέως.
Ὦ βασιλεῦ, μὴ ὄφελες ἄνδρα τῶν ἀλαζόνων
παρακαλεῖν πρὸς πόλεμον, τὸν Ἀχιλέα λέγω·
καὶ τῶν ἀλαζόνων γαρ ὑπάρχοντα τὸν ἄνδρα,
τανῦν ἀλαζονέςερον ἐποίησας καὶ πλέον·
καταληρθήτω μὲν αὐτὸς, ἡμεῖς δὲ κοιμηθῶμεν,
οἶνῳ καὶ σίτῳ καὶ τροφῆς ἁπάσης κορεσθέντες·
ὅταν δ' αὐγάζειν ἄρξηται τὸ φῶς τὸ τῆς ἡμέρας,
σπεύδ'ζων πάντα τὸν ςρατὸν παράταττε πρὸς μάχην·
καὶ σὺ σὺν τοῖς προμάχοις δε μάχυ καὶ πρωτος άτας.
Πάντες ἐπήνεσαν λοιπὸν τὲς λόγυς Διομήδυς,
καὶ παρελθὼν ἐν ταῖς σκηναῖς ἕκας ος κατηυνάσθη.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Κ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Ἄλλοι μὲν πάντες ἀφίστεῖς ἐκάθευδον παννύχιοι,
ὁ δ' Ἀγαμέμνων ἄγρυπνος ὑπῆρχε ταῖς φροντίσιν,
ἀπὸ καρδίας συνεχῶς δίκην βροντῆς στενάζων
πυρκαϊὰς δὲ βλέπων μὲν ἐν τεῖς Τρωσὶν ἐπείρας,
ἀκούων δὲ καὶ σύμφωνον μέλος αὐλῶν, σαρίγγων,
καὶ τῶν ἀνδρῶν τὸν θόρυβον, ἐθαύμαζε μεγάλως·
γραφεὶς δὲ πρὸς τοὺς Ἕλληνας καὶ βλέψας πρὸς τὰ πλοῖα,
ἀνέσπα τρίχας παραλῆς τῆς ἑαυτοῦ προρρίζους·
λοιπὸν ἓν ἔδοξεν αὐτῷ πολλὰ λογιζομένῳ·
ἐλθεῖν ὡς πρὸς τὸν Νέστορα χάριν βουλῆς γενναίας·
δέρμα λαβὼν δὲ λέοντος γνώρισμα καὶ σημεῖον,
λαβὼν καὶ δόρυ τὸ αὐτοῦ συνάμα καὶ τὸ ξίφος,
ἔμελλε πρὸς τὸν Νέστορα πειθῆσθαι τὴν πορείαν,
ὡς ἴδωσι τοὺς φίλακας τὸν ὄντας περὶ τάφρον,
μὴ καταφρονήσωσι καὶ κρατηθῶσιν ὕπνῳ.
Ὁμοίως καὶ Μενέλαος ἄγρυπνος ὢν φροντίσι,
πτοούμενος μὴ πάθῃ τι τὸ στράτευμα Ἑλλήνων,
νεότους παρθένους δωρὰν εἰς γνώρισμα φορέσας,
καὶ περικεφαλαίαν δὲ πρὸς περιωπὴν ὑφάσας,
καὶ δόρυ φέρων τῇ χειρὶ ὁρμαίως, ὡς ἐξεγείρων
τὸν βασιλέα, εὗρεν ἔτοιμος ἠτρεπισμένον·
ὃν ἀδελφὸν Μενέλαον ὁ βασιλεὺς ἐκπέμπει,
Ἰδομενέα καὶ αὐτὸν τὸν Αἴαντα καλέσαι,
εἰπὼν ὅποι διέρχοιτο καλεῖν ἐγρηγορέναι,
ἀπὸ πατρὸς καὶ γενεᾶς καλοῦντα τὸν καθένα,
μηδὲν σοβαρευόμενον, τοὺς σίμπαντας τιμῶντα·
αὐτὸς δ' ἐλθὼν ὁ βασιλεύς, ὃ περ κατῴκει Νέστωρ,
ἀνήγειρε τὸν Νέστορα, καὶ σὺν ἐκείνῳ πάλιν

Digitized by Google

τὸν Ὀδυσσέα πρῶτα μεν, εἶτα καὶ Διομήδην·
ὁ Διομήδης Μέγητα καὶ τὸν Λοκρὸν ἐγείρει·
ὡς δὲ παρὰ τοὺς φίλακας ἦλθον εἰς τάφρον πάντες,
τοὺς τῶν φυλάκων ἀρχηγοὺς καθεύδοντας οὐχ' εὗρον,
ἐνόπλους πάντας ὄντας δε, πάντας ἐγρηγορότας·
οὓς περ ὁ γέρων κατιδὼν, οὓς περ θαρσύνας, χαίρων,
τὴν τάφρον διεπέρασε σὺν τοῖς λοποῖς στρατάρχαις,
καὶ σὺν αὐτοῖς ὁ Νέστορος υἱὸς, καὶ Μηριόνης·
πάντων ἑδριασθέντων δε πάλιν φησὶν ὁ Νέστωρ.
Ὦ ἄνδρες φίλοι Ἕλληνες, τίς τῶν θρασυκαρδίων
κατάσκοπος τολμήσειε γενέσθαι πρὸς τοὺς Τρῶας,
ἐπὶ τιμαῖς μεγάλαις τε καὶ δώροις ἁρμοδίοις;
πάντων ἡσυχαζόντων δε, φησὶν ὁ Διομήδης·
ἐγὼ κατάσκοπος θαρρῶ τοῖς Τρώεσσι γενέσθαι,
ἄν περ ἀνὴρ τίς ἕτερος ἐστὶν ἀκολουθῶν μοι·
πολλῶν προθυμησάντων δε, κρίνει τὸν Ὀδυσσέα·
καὶ ὁπλισθέντες ὥρμησαν χωρεῖν κατὰ τῶν Τρώων·
ἐρωδιὸς ὁ δεξιὸς, ἤγουν ἐκ τῆς ἑώας,
πετάσας τούτοις ἀφανὴς, ἔκλαγξε δι' ἀέρος·
οὗτοι δ' ἐχάρησαν λοιπὸν ἐπ' ἀγαθῷ σημείῳ·
Ζωΐλος γέρων δε μαθὼν τὴν οἰωνοσκοπίαν,
πρὸς τὰς εὐτραπελίας δε καὶ φάμουσα νοῦν ἔχων,
ληρεῖ κἀνταῦθα φληναφῶν, ἀλλ' ἐατέον τοῦτον.
Ἕκτωρ δ' ἐπίσης Ἕλλησι κατάσκοπον ἐκπέμπει,
Δόλωνα κήρυκος υἱὸν, ἄνδρα τινὰ τῶν Τρώων,
δώσειν εἰπὼν σὺν ἅρματι τοὺς ἵππους Ἀχιλέως·
ὅν περ κρατοῦσιν Ὀδυσσεὺς ἅμα καὶ Διομήδης·
ἐξ οὗ μαθόντες ἅπαντα βουλεύματα τῶν Τρώων,
γελῶσι πρῶτα μὲν τρανῶς δι' ἵππους Ἀχιλέως·
ἐκείνῳ παρὰ Ἕκτορος δῶρον ὑποσχεθέντας·
εἶτα δὲ κτείνουσιν αὐτὸν, οὗ περ καὶ συναντῶσι,

καὶ τὴν δορὰν τὴν λύκειον ἐκεῖνε καὶ τὰ τόξα,
ὑποστροφαῖς ὡς λάβωσιν, ἔθεντο πρὸς μυρίκην·
ἔπειτα λόγους ἀδηγοὺς ἔχοντες τοὺς ἐκείνου,
ἐλθόντες εἰς τὸ στράτευμα τῶν Τρώων, ἀναιροῦσι
δώδεκα Θρᾴκας ἀρχηγοὺς τοὺς ὑπεροχωτάτους,
καὶ σὺν αὐτοῖς τὸν Ῥῆσον δε τὸν τέτων βασιλέα,
χρυσῆν αὐτῷ τὴν σύμπασαν ἔχοντα πανοπλίαν,
ἅρμα χρυσοκατάδετον, ἵππους ἀπαραμίλλους,
χιόνος λευκοτέρους μεν, ἀνέμων ταχυτέρους·
οὓς καὶ λαβόντες, ἤγαγον εἰς τὸν στρατὸν Ἑλλήνων,
καὶ τέτους μὲν ἀπήγαγον εἰς φάτνας Διομήδους·
τὰ τόξα δὲ τῷ Δόλωνος καὶ τὴν δορὰν τῷ λύκε
ὁ Ὀδυσσεὺς κατέθηκεν ὁλκάδι τῇ οἰκείᾳ·
αὐτοὶ δ' ἐμβάντες ἔπλυναν θαλάσσῃ τὸν ἱδρῶτα·
εἶτα δὲ καὶ λουσάμενοι θερμὸν, ἀλλ' ἐν ταῖς σκάφαις,
ἔπω γὰρ ἦσαν γνώριμοι τοῖς παλαιοῖς λατρῶνες,
ἐλαίῳ τε χρισάμενοι μετὰ λατρὸν ῥοδίνῳ,
εἰς βρῶσιν κατεκλίθησαν· ἔστησαν δὲ κρατῆρα,
ἐξ οὗ περ ἀρυόμενοι, ἔθυσν τῇ φρονήσει.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Λ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Ἡμέρα μὲν ἐξέτρεχεν ἐκ Τιθωνοῦ τῆς κοίτης·
ἡ τοι μετὰ τὴν θέσιν δε πάντων τῶν πωλεμένων,
τὸ πρωῖνὸν κατάστημα ὁ Τιθωνὲς καλεῖται·
ἡμέρα μὲν ἐπλάτυνεν ἀνθρώποις καὶ στοιχείοις,
ἡ εἱμαρμένη δὲ δεινὴν ἀνήγειρε τὴν μάχην,
ἐν Ὀδυσσέως τῇ νηῒ μέσον πασῶν ἑστώσῃ·
δεινὴ δὲ γέγονε βοὴ τῆς μάχης κροτεμένης·

Digitized by Google

τοῖς δ' Ἕλλησι δ' ὁ πόλεμος γλυκύτερος ἐφάνη
τῷ ὑποστρέφειν ἐν ναυσὶν εἰς τὰς αὐτῶν πατρίδας·
ὁ βασιλεὺς δ' ἐβόησεν ὁπλίζεσθαι τοὺς πάντας·
ὡπλίσθη τότε καὶ αὐτὸς τὴν πᾶσαν πανοπλίαν,
πρῶτον ὑποδυσάμενος ἐν τοῖς ποσὶ κνημίδας,
δεύτερον ἐν τοῖς στήθεσιν ἐνδὺς τερπνὸν χιτῶνα,
τὸν, ὃν Κινύρης ἔδωκεν ὡς μὴ στρατεύσῃ Τροίᾳ·
ἦ τινος δέκα μὲν γραμμαὶ ἦσαν ἐξ ὀρειχάλκου,
ἀπὸ χρυσοῦ δὲ, δώδεκα, εἴκοσι, κασσιτέρου,
ἐξ ὀρειχάλκου δράκοντας εἶχεν ἐγγεγραμμένους,
ὡς πρὸς τὸν τράχηλον αὐτοῦ δοκοῦντας ὑφαπλοῦσθαι·
ἐξ ἑκατέρου μέρους τρεῖς· Ἴριστι παρομοίους·
τοῖς ὤμοις περιέθηκε ξίφος τῶν χρυσοήλων,
καὶ ξιφοθήκην ἀργυρᾶν χρυσοῖς ἐν κρεμαστῆρσιν·
ἔλαβεν ἀμφιβρότην δὲ πολεμικὴν ἀσπίδα,
μανδύα δίκην σκέπουσαν ἔμπροσθεν ὀπισθίως,
δέκα μὲν ἔχουσαν τροχοὺς καὶ κύκλους χαλκηλάτους·
εἴκοσι δὲ τοὺς ὀμφαλοὺς, ὅλους ἐκ κασσιτέρου·
ἐν μέσοις δὲ τοῖς ὀμφαλοῖς τοῖς χαλκοτεύκτοις τούτοις,
ἄλλος ἦν μέγας ὀμφαλὸς μέλανος ὀρειχάλκου·
ἦσαν ἐν τῇ ἀσπίδι δὲ ταύτῃ ζωγραφηθέντα,
Γοργὼν ἄγριον βλέπουσα, καὶ Δεῖμος τε καὶ Φόβος·
ὁ κρεμαστὴρ ἦν ἀργυροῦς ἐκείνης τῆς ἀσπίδος,
εἰς δράκοντα τρικέφαλον καλῶς ἐξειργασμένος·
τῇ κεφαλῇ δὲ κάλλιστον ἐπέθηκε τὸ κράνος·
οὕτω τοῖς πᾶσιν ὁπλισθεὶς, καὶ δόρατα λαμβάνει
βροντὴ δ' εὐθὺς γέγονεν, ὁ Ἀθηνᾶ καὶ Ἥρα,
σημεῖον νίκης τῆς αὐτοῦ καὶ τῆς ἀνδραγαθίας·
οἱ πλείους μὲν ἐπέβησαν τῶν ἵππων, τῶν ἁρμάτων·
μετὰ βοῆς ἐξώρμων δὲ πεζοὶ συντεταγμένοι·
μεγάλως δὲ προέφθασαν πρὸς τόφρον τοὺς ἱππέας·

Digitized by Google

οἱ δὲ ἱππεῖς κατόπισθεν ἐχώρουν βραδυτέρως·
ἡ εἱμαρμένη δὲ θεννὴν ἀνήγειρε τὴν μάχην,
ἐξ οὐρανοῦ δ' ἐψέκασεν ὄμβρος αἱμάτων τότε.

Ἐκ τοῦ ἑτέρου μέρους δὲ ὡπλίσθησαν οἱ Τρῶες
περὶ τὸν Πολυδάμαντα καὶ Ἕκτορα τὸν μέγαν,
καὶ τὸν Αἰνείαν καὶ αὐτοὺς τοὺς τρεῖς Ἀντηνορέδας,
Ἀκάμαντα καὶ Πόλυβον, Ἀγήνορα σὺν τούτοις.
πρὸ πάντων πρῶτος Ἕκτωρ δὲ φέρων στρογγύλον σάκος,
ἐξώρμα καὶ προέτρεχε πρὸς συμβολὴν πολέμου.

Ὡς περὶ δ' ὁ Κύνος τὸν ἀστὴρ λάμπει λαμπρὸν ἐκ νύκτος,
καὶ πάλιν ἀφανίζεται κρυπτόμενος τῷ νέφει,
οὕτως ὁ Ἕκτωρ ἔμπροσθεν ποτὲ καθεώρατο,
ποτὲ δ' ἐν τοῖς στρατεύμασιν ἐκεῖνος τοῖς ὀπίσω,
κελεύων, παρατρύνων τε πάντας ὡς πρὸς τὴν μάχην,
διατασσόμενος καλῶς πᾶσι τὰ τῷ πολέμῳ·
ὡς ἀστραπὴ δ' ἀπέλαμπεν αὐτοῦ τῇ παναπλίᾳ.

Ὡς περ δ' ἐν θέρει θερισταὶ στάντες ἐξεναντίας
ἐρίζουσι θερίζοντες στάχυς κριθῶν ἢ σίτου,
εἰς γῆν δὲ τὰ χειρόβολα συνεχέστερος πίπτει·
οὕτω Τρῶες καὶ Ἕλληνες συνέκοπτον ἀλλήλους·
φυγῆς δ' οὐκ ἦν ἀνάμνησις, ἰσοκεφάλως δ' εἶχον·
οἱ Τρῶες δὲ καὶ Ἕλληνες ἐξώρμων ὡς πῦρ λύκοι,
Ἔρις δ' ἡ πολυστένακτος ἔχαιρεν εἱστρῶσα,
θεοὶ δ' οἱ ἄλλοι σύμπαντες ἦσαν ἀποδημοῦντες·

Ἐκεῖ γὰρ ἐκατίσχυε φρόνησις, παιδεία,
καὶ εὐρεσιλογία τις Ἑρμαϊκῶν ἐκ δόσεων,
ὁ δὲ θεὸς τις ἕτερος τὴν μάχην παρεκρούων·
καὶ μέχρι μεσημβρίας μὲν ἰσοπαλὴς ἡ μάχη,
καθ' ὃν καιρὸν ἐπεθύμει γεύσασθαι τῶν βρωμάτων
ἀνὴρ δρυτόμος κωμῶν, τέμνων ἐκ δενδρῶν ξύλα·
εἶτα δὲ γίνεται τροπὴ στρατεύματι τῶν Τρώων.

Digitized by Google

Ὁ Ἀγαμέμνων πρῶτος μὲν Βιήνορα φονεύει·
εἶτα τὸν Ὀϊλέα δε τρώσας δορὶ μετώπῳ,
καὶ τούτους μὲν κατέλειψεν ἐκεῖσε κατακεῖσθαι,
τοὺς λάμποντας ἐν στήθεσι χιτῶνας ἀποδύσας·
τὸν Ἶσον τε καὶ Ἄντιφον κτείνει τοὺς Πριαμίδας,
πλήξας τὸν μὲν, δορὶ μαζόν· ξίφει δὲ οὖς Ἀντίφου·
σπουδαίως δ' ἀπεγύμνωσε καὶ τούτων πανοπλίας·
ὡς λέων δὲ συνέτριψεν ἐν κρατεροῖς ὀδοῦσιν
ἐλάφου τέκνα νήπια, ἣ δὲ πλησίον οὖσα,
αὐτοῖς οὐκ ἔχει βοηθεῖν, ἀλλὰ πρὸς ὄρη τρέχει·
οὕτω καὶ τούτοις βοηθεῖν οὔ τις εἶχε τῶν Τρώων,
ἀλλὰ καὶ οὗτοι φεύγοντες ἦσαν ὑπὸ Ἑλλήνων·
εἶτα καὶ τὸν Ἱππόλοχον καὶ Πείσανδρον ἀνεῖλεν,
τοῦ Ἀντιμάχου τοὺς υἱοὺς, τοῦ πρὶν ποτὲ τῇ Τροίᾳ
σπεύδοντος τὸν Μενέλαον ἐν δόλοις κατακτεῖναι,
τὸν Πείσανδρον παρ' ἅρματι δορὶ βαλὼν τῷ στήθει,
Ἱππόλοχον δ' ἀπέκτεινεν ἅρματος ἀποβάντα·
τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ πόδας ξίφει κόψας,
τὸν δ' ὅλμον ἤτοι θώρακα κυλίεσθαι παρῆκε·
νῦν γὰρ αὐτὸς μὴ πλανηθῇς ὅλμον τὴν ἴγδην λέγειν,
ὡς οἱ σοφοὶ σχολιασταὶ τῶν λέξεων Ὁμήρου·
ἀλλ' ὅλμον νῦν τὸν θώρακα λέγε, καθὼς περ εἶπον.
Τούτους μὲν οὕτως ἔκτεινεν ὡς εἶπον Ἀγαμέμνων·
πρὸς τε τοὺς ἄλλους ὥρμησε καὶ τὴν πληθὺν τῶν Τρώων·
οὗ τοὺς πεζοὺς μὲν οἱ πεζοί, ἱππεῖς δ' ἱππεῖς ἀνήρουν·
ὁ Ἀγαμέμνων δ' εἵπετο σπουδαστικῶς κελεύων·
ἀεὶ δὲ τὸν ὀπίσθιον ἀνήρει τῶν φευγόντων·
ὥς περ δὲ πῦρ ἐφευρηκὸς ὕλην πλειόνων ξύλων,
εἰ τῶν ἀνέμων τὴν πνοὴν κέκτηται συνεργοῦσαν,
εὐθὺς ῥιπτεῖ κατὰ τῆς γῆς θάμνους προῤῥίζους ὅλας·
οὕτως Ἀτρείδης ἔῤῥιπτε τὰς κεφαλὰς τῶν Τρώων,

Digitized by Google

εἰς γῆν συρόντων ἅρματα καὶ τῶν ἵππων τότε·
τὸν Ἕκτορα δ' ἐξήγαγεν ἐκ τῆς ἀνδροκτασίας,
καὶ τῇ παλέμᾳ τῇ δεινῇ ὁ Ζεὺς, ἡ εἱμαρμένη·
φυγὴν δ' οἱ Τρῶες εἵλοντο καθάπερ τινὲς βόες,
ἃς ἐν τῷ μέσῳ τῆς νυκτὸς ἐφόβησεν ὁ λέων·
τῇ μὲν, δεικνύων ὄλεθρον· τῇ δὲ, λαβὼν αὐχένα,
λαφύσσων αἷμα σὺν αὐτοῖς ταῖς ἅπασιν ἐγκάτοις·
καθὼς περ δὲ τὴν τίκτουσαν ὀξὺ τιτρώσκει βέλος,
ὃ πέμπουσιν Εἰλείθυιαι τῆς Ἥρας θυγατέρες,
τότε αἱ κακοπάθειαι γέννας, ἃς ἀὴρ αὔξει,
καὶ γὰρ αἱ κακοπάθειαι τῆς γέννας ἐξ ἀέρος,
τὴν γέννησεν ἐσχήκασιν, ὅτι τὸ βρέφος ἔνδον
ἀέρος ἐπισπώμενον αὐξάνει τὰς ἀδύνας,
ὡς μείζονος αὐξύσεως ἔνδον μεταλαμβάνον·
ὅτω τὸν Ἀγαμέμνονα τὸ τῆς ἀδῖνης βέλος
ἐτίτρωσκεν, ἐδάμαζε, κατέτηκεν, ἐλύπει·
οἱ Τρῶες δὲ καὶ Ἕλληνες ἰσοπαλεῖς ὑπῆρχον·
εὐδοκησάσης ὅτω πῶς ἐξ ὕψους εἱμαρμένης,
Ἰριδος τότε τὸ λοιπὸν ἐξ οὐρανῦ φανείσης·
Ἕκτωρ δ' ὁρμήσας τὸν στρατὸν πρὸς πόλεμον καὶ μάχην,
ἀνέῤῥωσε τὴν δύναμιν ἐκείνων πρὶν φευγόντων.
Τῆς μάχης συῤῥαγείσης δὲ πάλιν ὁ Ἀγαμέμνων
ἀνεῖλεν Ἰφιδάμαντα· πλήξας αὐχένα ξίφει.
Κόων δὲ τότε ἀδελφὸς δορὶ πρὸς τὸν ἀγκῶνα
ἔτρωσεν Ἀγαμέμνονα, δεῖλθε δὲ τὸ δόρυ·
μέγιστα δειλιάσας δὲ, ὅμως οὐχ ὑπεχώρει,
ἀλλ' ἐφορμήσας καὶ αὐτὸν τὸν Κόωνα ἀνεῖλεν·
ὀδυνηθεὶς τὴν χεῖρα δε, τῷ ἄρματος ἀπέβη·
καὶ πρὸς τὰς νῆας ἤλαυνε, τοῖς ἄλλοις παραγγείλας.
Ἕκτωρ δ' ἀγείρας τὸν στρατὸν τῶν Τρώων καθ' Ἑλλήνων,
πρὸς πόλεμον ἐξώρμησεν· ἴσος σφοδρῷ ἀνέμῳ,

Digitized by Google

ὃς ἐμπεσὼν εἰς θάλασσαν μεγάλα κυμαίνῃσι·
καθὼς περ δέ τις κυνηγὸς τὼς κύνας παροτρύνει
εἰς χοῖρον ἀγριώτατον, ἢ λέοντά τε μέγαν,
ὕτως ὁ Ἕκτωρ ὤτρυνε κατ' Ἀχαιῶν τὼς Τρῶας·
ἀπέκτεινεν Ἀσαῖον δε, Αὐτόνοον, Ὀπίτην,
Ὀφέλτιον, Ἀγέλαον καὶ Δόλοπα Κλυτίδην,
Ἱππόνοον καὶ Αἴσυμνον ἀπέκτεινε καὶ Ὦρον,
τὼς πάντας τότυς στρατηγὼς Ἑλλήνων ἡγεμόνας.
Πληθύν δ' ὥς περ ὁ Ζέφυρος τὰ νέφη συνταράσσει,
ἀργέτα Νότα πνέοντος ἀπὸ ζαθέρα μέρυς,
ὕτω πυκνῶς αἱ κεφαλαὶ κατέπιπτον ἐκ τότα.
Ὁ Διομήδης ἔκτεινε τότε δε τὸν Θυμβραῖον,
ὁ Ὀδυσσεὺς Μολίονα τότα δὲ δῦλον κτείνει.
υἱὼς δύο τῦ Μέροπος ἀνεῖλε Διομήδης·
ὁ Ὀδυσσεὺς Ἱππόδαμεν μετὰ τῦ Ὑπερόχυ·
οἱ δ' Ἕλληνες ἀνέπνεαν τὸν Ἕκτορα φυγόντες.
Πάλιν Ἀγάστροφον δορὶ βαλὼν πρὸς τὸ ἰσχίον,
ὁ Διομήδης ἔκτεινεν· Ἕκτωρ δ' ἰδὼν ἐκείνυς
μέγα κραυγάζων κατ' αὐτῶν σὺν τοῖς Τρωσὶν ἐχώρει.
Τυδείδης τῦτον δὲ βαλὼν τῇ παρακεφαλαίᾳ,
κᾦν περ ἐκ ἐξεπέρασε τὸ δόρυ τραπλῆν ἔσαν,
ὅμως πλέθρον ἐποίησε δραμεῖν ἐξοπισθίως,
καὶ πρὸς τὰ γόνατα πεσεῖν, ὄμματα σκοτωθέντα·
ὀρμῶντος τῦτον κτεῖναι δὲ τότε τῦ Διομήδυς,
αὐτὸς ὁ Ἕκτωρ ἐπιβὰς ἐφ' ἅρματος ἦν φεύγων·
ὁ Διομήδης δ' ἀπειλῶν ἐκόμπαζε τοῖς λόγοις·
εἰ ἐκφυγέτερησας ἐμέ, κακῶς ἂν ὦλε κύων·
ἔσωσε δέ σε ἦλιος ὢν κατὰ πρόσωπον μυ·
τέλος αὐτὸν Ἀγάστροφον γυμνῶντα παναπλίαν,
πρὸς τὸν ταρσὸν τὸν δεξιὸν Ἀλέξανδρος τοξεύει·
τὸ βέλος δ' ὕτος ἐκβαλὼν, ἤλασυνε πρὸς τὰς νῆας,



Digitized by Google

μόνον δὲ παρέλειπον οἱ Τρῶες Ὀδυσσέα·
ὡς πέρ δε κύνες θαλεροὶ πρὸς κάπρον ἀφορμῶσιν,
ὅ δ' ἐκ τῆς ὕλης εἰσπηδῶν ὀδόντας κροταλίζει·
ἕτως οἱ Τρῶες ὥρμησαν ἐπὶ τὸν Ὀδυσσέα·
δορὶ κατ' ὤμων δὲ βαλὼν, κτείνει τὸν Δηΐπίτην·
εἶτά δε καὶ τὸν Θόωνα καὶ Ὄρμενὸν ἀνείλε·
δορὶ δὲ κατὰ πρότμησεν, ὃν ὀμφαλὸν καλῶσι,
τρώσας καὶ Χερσιδάμαντα κτείνει σὺν τοῖς ἑτέροις·
ἀπέκτεινε καὶ Χάροπα υἱὸν τὸν τῆ Ἱππάσυ·
Σῶκος δ' ὁ τότε ἀδελφὸς κατεπλευρίως τρώσας,
ἀπέπαυσε τῆ μάχεσθαι τότε τὸν Ὀδυσσέα·
ἡ πανεργία γὰρ αὐτῆ καὶ φρόνησις τὸ πλέον,
τὸ ξίφος ὃ κατέλειψε πηχθῆναι τοῖς ἐγκάτοις,
κἂν ἀνηρέθη καὶ αὐτὸς αὐτῷ πλήγεις τὴν ῥάχιν·
ἐξ Ὀδυσσέως δε πλευρῶν Τρῶες ἐδόντες αἷμα,
ὅ περ αὐτῷ προσέφερεν τὸ ξίφος τὸ τῆ Σώκυ,
ὥρμησαν πάντες ἐπ' αὐτόν· ὁ δ' ἐξοπίσω φεύγων
τρὶς μὲν ἐβόησε τρανῶς ὡς τύχῃ βοηθείας·
Μενέλαος ἀκούσας δὲ σὺν Αἴαντι παρῆν,
καὶ τῶτον μέλλοντα θανεῖν ἐξέσωσαν ἐκ Τρώων·
ὡς περ δὲ θῶπες ἔπονται ἐλάφῳ βεβλημένῳ
ἐκφεύγοντι τὸν τρώσαντα μέχρι δύναμιν ἔχει,
τῆ τόξυ δὲ δαμάσαντος μὴ δυναμένῳ τρέχειν,
δαρδάπτουσιν ἐν ὄρεσιν οἱ ὠμοφάγοι θῶπες·
ὑπέτρεσαν δὲ λέοντα ποθὲν ἰδόντες μέγα·
ἕτως οἱ Τρῶες Ὀδυσσεῖ ἐπηκολόθουν πάντες·
ἦλθε δ' ὁ Αἴας πρὸς αὐτὲς, ὃν κατιδόντες Τρῶες
ὑπέπτηξαν ὡς λέοντα θῶπες ἰδόντες ὄρει.
Ὁ Αἴας δε τοῖς Τρώεσιν ὡς λέων ἐκπηδήσας,
ἀπέκτεινε τὸν Δόρυκλον νόθον υἱὸν Πριάμυ,
καὶ Πάνδοκον, καὶ Λύσανδρον, καὶ Πύρασον, Πυλάρτην.

Digitized by Google

Ὡς δὲ χειμάρρους ποταμὸς ἐξ ὄρεσφιν πλημυρήσας,
δρῦς κατασύρει μετ' ἀφρῷ καὶ πεύκας τῇ θαλάσσῃ,
ἔτω τῷ τότε παρορμῶν ὁ Αἴας συνεκλόνει
ἱππεῖς, καὶ ἵππους καὶ πεζούς, πάντας ὁμῶ συγκόπτων·
ἀριστεροῖς ὁ Ἕκτωρ δὲ τὴν μάχην συνεκρότει·
ὄχθας Σκαμάνδρου ποταμοῦ, θόρυβος ὅπου μέγας,
ὅπου παρ' ἕκαστον ἀνδρῶν αἱ κεφαλαὶ πρὸς πλέον,
περὶ τὸν μέγαν Νέστορα καὶ τὸν Ἰδομενέα.
Ἀλέξανδρος τοξεύει δὲ Μαχάονα τῷ τότε,
καὶ παύει τοῦτον τόλμης τε καὶ τῆς ἀνδραγαθίας,
βαλὼν κατ' ὦμον δεξιὸν ἐν τριβελεῖ τῷ βέλει,
ὃν Νέστωρ ἐν τῷ ἅρματι ἐκβάλλει τοῦ πολέμου.
Ὁ Κεβριόνης δὲ ἰδὼν τοὺς Τρῶας κλονουμένους,
ἡνιοχῶν τῷ Ἕκτορι φησὶν ὡς πρὸς ἐκεῖνον·
ἡμεῖς μὲν πρὸς τὰ ἔσχατα στρεφόμεθα τῆς μάχης,
οἱ δ' ἄλλοι Τρῶες συμμιγῶς, ἱππεῖς, πεζοὶ καὶ ἵπποι
συγκόπτονται παρ' Αἴαντος· ἔγνων καλῶς ἐκεῖνον·
φέρει περὶ τοὺς ὤμους γὰρ ὅτος πλατὺ τὸ σάκος·
ἐκεῖ γῦν ἄρτι καὶ ἡμεῖς ἐλαύσωμεν τὸ ἅρμα,
ὅπου πεζοί τε καὶ ἱππεῖς πολέμῳ βαρυτάτῳ
ἀλλήλους κατασφάττουσι, βοὴ δ' ἐστὶ μεγάλη·
ἔτως εἶπὼν ἐξήλασε διὰ νεκρῶν τὸ ἅρμα
συγκόπτων τότως τοῖς τροχοῖς καὶ τοῖς ποσὶ τῶν ἵππων·
καὶ τῶν λοιπῶν ἐπῆρχετο τάξεις Ἑλλήνων Ἕκτωρ,
ἐν ξίφει τε καὶ δόρατι καὶ λίθοις βαρυτάτοις
βαλλόμενος τοῖς Ἀχαιοῖς, ἀθύμενος μακρόθεν·
τῷ Αἴαντος δ' ἐξέφυγε τὴν κατὰ χεῖρας μάχην·
ὁ Ζεύς, ἡ αἱμαρμένη, δὲ τὸν Αἴαντα δειλαίνει·
ἔστη δὲ μόνος ἐκπλαγεὶς καὶ θεὶς ὀπίσω σάκος,
φύγει περιβλεψάμενος ἐν ἠρεμαίᾳ βάσει·
ὡς πῦρ δ' ἀποδιώκουσιν ἐκ τῶν βοῶν τῆς μάνδρας

Digitized by Google

κύνες καὶ ἄνδρες λέοντα διάπυρον καὶ μέγαν·
ὃ δ' ὁ πληρῶν τί δύναται; καὶ γὰρ τὰ ξίφη τρέμει,
τὰ κατ' αὐτῶ κινούμενα καὶ δάδας καιομένας,
πρωὶ δ' ἐξέφυγεν αὐτὸς θυμῷ λελυπημένῳ·
οὕτως ὁ Αἴας ἔφευγε λυπούμενος ἀμέτρως.
ὡς περ δ' εἰς ἄρνας ἐλθὼν ὄνος βιάζει παῖδας,
εἰς ὃν περ κατεάγησαν πλήθη πολλὰ ῥοπάλων,
ὁ δέ, ῥοπάλων παιδικῶν, ἐσθίει, μὴ φροντίζων·
μόλις δ' ἐξέλασαν αὐτὸν ἅρ' ἃ περ ἐχορτάσθη·
οὕτω τῶν Τρώων ἔνυσσεν τὸν Αἴαντα τὰ ξίφη·
σὺν τοῖς Τρωσὶ δ' ἐπίκειρι μέσον τὸ σάκος τύπτε
τοῖς δόρασι τιτρώσκοντες κατόπιν ἠκολούθουν·
οὗτος δ' ὑπέστρεφε ποτὲ καὶ μάχην συνεκρότει,
ποτέ δε πάλιν ἔφευγεν, εἶργε δ' ὡς εἶχε Τρῶας·
μέσος αὐτὸς ἱστάμενος Ἑλλήνων τε καὶ Τρώων,
τὰ ξίφη δὲ καὶ δόρατα καὶ βέλη τὰ παντοῖα,
ἄλλα τῷ σάκει τύπτε μὲν ἦσαν ἐκπεπαρμένα,
πολλὰ δ' εἰς γῆν ἐπέπηκτο δέλεντα τῦτον τρῶσαι·
τῦτον δὲ βιαζόμενον τοῖς βέλεσιν ὡς εἶδε,
στὰς παρ' αὐτὸν Εὐρύπυλος, πέμπει τὸ δόρυ τύπτε,
καὶ Ἀπισάονα βαλὼν ἀνεῖλε τὸν Φαυσίου·
ὁρμήσας τῦτον δὲ γυμνῶν αὐτῦ τῆς πανοπλίας,
τὸ δεξιὸν τεξεύεται μηρὸν ἐξ Ἀλεξάνδρε·
καὶ τὸ τῦ βέλους ξύλον μὲν εὐθέως ἀπελάσθη,
τὸν δὲ μηρὸν Εὐρύπυλος ὀδυνηθεὶς μεγάλως,
ἔφευγε πρὸς τὰς Ἕλληνας μέγα βοῶν καὶ κράζων.
Ὦ στρατηγοί, συστράφητε πάντες οἱ τῶν Ἑλλήνων,
καὶ στάντες βοηθήσατε· ὁ Αἴας κινδυνεύει,
πυγόμενος τοῖς βέλεσιν· ἃ δὲ φυγεῖν δοκεῖ μοι.
Οὕτως εἶπεν Εὐρύπυλος, οἱ δ' ἔστησαν πλησίον,
αὐτῶν τοῖς ὤμοις θέμενοι ἕκαστος τὰς ἀσπίδας;

Digitized by Google

ἐκτείναντες τὰ φόρματα· ἦλθε δ' αὐτὸς ὁ Αἴας,
ὡς περ καμπῖνος ὄπισθεν ποιήμενος τὴν βάσιν·
ἐπὰν δ' αὐτοῖς προσήγγισεν, εὐθέως μετεγράφη·
ὕτως οἱ μὲν ἐμάχοντο θερμῶς καὶ διαπύρως.
Νέστορος δὲ Μαχάονα ἐξάγοντος πολέμου,
ὁ Ἀχιλεὺς τὸν Πάτροκλον πέμπει μαχεῖν τίς εἴη·
ὁ δὲ πρὸς Νέστορος σκηνὰς παραδραμὼν εὐθέως,
ἐκαίνυς πίνοντας εὗρεν, Μαχάονα γνωρίζει.
πολλὰ δὲ παρὰ Νέστορος νουθετηθεὶς πρεπόντως,
ἢ πεῖσαι λόγοις ἐξελθεῖν εἰς μάχην Ἀχιλέα,
εἴτ' ἂν αὐτὸν, φορέσαντα τὴν τότε παυσπλίαν·
τοῦτον τοῖς λόγοις ἔπεισεν, ὃς ὑποστρέφων πάλιν,
εὗρεν Εὐρύπυλον μηρὸν τῷ βέλει τοξευθέντα,
καί περ σπεύδοντα πρὸς αὐτὸν ἐλθεῖν τὸν Ἀχιλέα
ὅμως αὐτὸν ἰάτρευσε· τὸ βέλος ἐκβαλών γαρ,
ἐν χλιαρῷ τῷ ὕδατι ἀπένιψε τὸ αἷμα·
τρίψας δὲ ῥίζαν τὴν πικρὰν τὴν τῶ Ἀριστολόχω,
τὴν παυστικὴν τῶν ὀδυνῶν ἐνέβαλε τῷ ἕλκει·
ἡ τὰς πάσας ἐπέπαυσεν ἐκείνας τὰς ὀδύνας·
τὸ ἕλκος ἐξηράνθη μὲν, ἐκαύθη δὲ τὸ αἷμα·

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Μ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Οὕτω σκηπαῖς ὁ Πάτροκλος Εὐρύπυλον ἰᾶτο·
οἱ δ' Ἕλληνες ἐμάχοντο καὶ Τρῶες κατὰ πλήθη·
τὸ τῶν Ἑλλήνων ἔμελλε τεῖχος δε καταπίπτειν·
ἐκτίσθη παρὰ γνώμην γὰρ θεῶν τῶν ἀθανάτων,
εἰς κάπιστον θεμάτιον ἐν τροπικῇς, ὡς εἶπον,
διὸ καὶ ὁ μακρόχρονον ἔμελλε πεφυκέναι·

Digitized by Google

μετὰ γὰρ ὑπονόςησιν Ἑλλήνων εἰς πατρίδας,
ὁ Ποσειδῶν, Ἀπόλλων τε, τὸ ὕδωρ καὶ ὁ χρόνος,
ὅς τις ἐκ τῆς κινήσεως πληροῦται τοῦ ἡλίου,
τὴν σφαῖραν περιτρέχοντες ἐν δρόμοις τοῖς οἰκείοις
πρὸς τὴν ἑῶαν ἐκ δυσμῶν, οἵ περ πλανήτων δρόμοι,
ἔμελλον βουλευόμενον τὸ τεῖχος ἀφανίσαι·
τόσους ἐξ Ἴδης ποταμοὺς πληρώσαντες ὑδάτων,
τὸν Ῥῆσον τὸν Ἑπτάπορον, Ῥόδιον, Καρησόν τε,
τὸν Γρήνικον, καὶ Αἴσηπον, Σκάμανδρον καὶ Σιμοῦντα·
ὅπου πολλαὶ μὲν ἔπεσον ἀσπίδες καὶ κυνέαι,
ὅπου περ πίπτει θερισθὲν γένος ἀνδρῶν ἡρώων·
τούτους τοὺς πάντας ποταμοὺς ἀναςομώσας χρόνος,
ἐνναημέρως ἔπεμπε ῥέοντας πρὸς τὸ τεῖχος,
ὀμβροῦντος ἅμα σὺν αὐτοῖς καὶ οὐρανοῦ, Διός δε,
καὶ Ποσειδῶνος πλήττοντος τὰ τείχη τῇ τριαίνῃ,
ἤγουν καὶ τρικυμίας δε μεγάλας τῆς θαλάσσης,
ποιησαμένης προσβολὰς, τὸ τεῖχος ἠφανίσθη.

Ταῦτα μὲν οὕτως ἔμελλον ὑςέρως γεγονέναι·
τότε δὲ πόλεμος σφοδρὸς ἐῤῥάγη πρὸς τὸ τεῖχος,
ἐκτύπει δὲ βαλλόμενα ξύλα τῶν πυργωμάτων,
Ἀργεῖοι δὲ τὸν Ἕκτωρα δεινῶς ἐπτοημένοι,
καὶ δαμασθέντες μάςιγι, δεινῇ τῇ εἱμαρμένῃ,
συγκεκλεισμένοι ταῖς ναυσὶν ἄκοντες ἐκαρτέρουν·
ὁ δὲ Τρωσὶν ἐκέλευε τὴν τάφρον ὑπερβαίνειν·
οἱ ἵπποι δ' ἐχρεμέτιζον τοῖς χείλεσι τῆς τάφρου,
περᾷν γὰρ ἐδειμαίνοντο τῶν κατακρήμνων οὖσαν,
πυκνοὺς, ὀξεῖς τε σκόλοπας ἔχουσαν πεπηγμένους,
ὅπου περ ἵππος οὐκ εἰςβῇ εὔτροχον ἅρμα σύρων.

Ὁ Πολυδάμας Ἕκτορι τότε δὲ συμβουλεύει
πεζεύσαντας τοὺς σύμπαντας πανόπλως ὡπλισμένους,
καὶ φραξαμένους πυργηδὸν, χωρεῖν ὡς πρὸς τὸ τεῖχος·

Digitized by Google

ἔτως εἰπόντος ἅπαντας ἀπέβησαν τῶν ἵππων,
πρώτῳ πρὸ πάντων Ἕκτορος ἄρματος ἀποβάντος,
εἰς πέντε στρατάρχίας δὲ καλῶς συντεταγμένοι,
οἱ πλεῖστοι μὲν καὶ ἄριστοι καὶ πνέοντες πολέμῳ,
καὶ τεῖχος ῥῆξαι σπεύδοντες καὶ μάχεσθαι τοῖς πλοίοις,
μετά τε Πολυδάμαντος, Ἕκτορος, Κεβριόνης·
οἱ δὲ μετὰ τῷ Πάριδος, Ἀγήνορος, Ἀλκάθῳ,
μετὰ δ' Ἑλένῳ ἕτεροι, Ἀσίῳ, Δηϊφόβῳ,
ἄλλοι μετ' Ἀρχιλόχῳ τε, Ἀκάμαντος, Αἰνείᾳ·
οἱ πέμπτοι δὲ τὰ ξεναικὰ καὶ τὰ τῶν ἐπικούρων
σὺν Σαρπηδόνι στρατηγῷ, Ἀστεροπαίῳ, Γλαύκῳ,
συνασπισμὸν ποιήσαντες, πύκνωσιν τῶν ἀσπίδων,
ὥρμων, δοκοῦντες Ἕλληνας πάντας ναυστάθμοις πτεῖναι·
βιαίῃς δὲ Πολυδάμαντος πάντων πεζῶν χωρούντων,
Ἄσιος μόνος τῶν λοιπῶν ἱππεὺς ἁρματηλάτης,
Θρασύς, ἐχώρει σοβαρὸς ὡς πρὸς αὐτὸ τὸ τεῖχος·
πρὸς πλοίων δὲ ἀριστερὸν ὥρμησαν ἕτοι μέρος,
ὅπου περ ἦσαν φεύγοντες Ἕλληνες ἐκ πεδίου·
ἔστος ἐκεῖ παρήλασσε τὸ ἅρμα καὶ τὼς ἵππους,
κομπαστικῶς· οἱ δ' ἤρχοντο κατόπισθεν βοῶντες·
ἤλπιζον γὰρ οἱ ἄφρονες Ἕλληνας παραυτίκα
πάντας ὁρμῆσαι πρὸς φυγήν, μὴ δ' ὑποστῆναι τύτες·
εὗρον ἠναγμένας δὲ πύλας Ἑλλήνων τείχους,
ἄνδρες αὐτὰς κατεῖχον δὲ, σώζοντες πεφευγότας·
εὗρον καὶ δύο στρατηγὼς τῶν Λαπιθῶν ἐν πύλαις·
Τὸν μέγαν Πολυποίτην τε καί γε τὸν Λεοντέα,
τὸν μὲν, Ἱπποδαμείας τε υἱὸν καὶ Πειριθόῃ,
τὸν Λεοντέα παῖδα δὲ Κορώνῃ, Κλεοβώλης·
ἕτοι πρὸ τῶν πυλῶν ἦσαν τῶν ὑψηλῶν ἑστῶτες·
ὡς ὑπερμήκεις κρατεραὶ καὶ τῶν εὐρίζων δρῦες,
αἵ περ ἀνέμοις ὄρεσι καὶ ὄμβρῳ καρτερῶσιν,

Digitized by Google

ἕτω καὶ ἕτοι ταῖς χεραὶ θαρρῦντες ἐκαρτέρεον·
οἱ δὲ περὶ τὸν Ἄσιον, Ἰαμενὸν, Ὀρέστην,
Ἀδάμαντα, καὶ Θόωνα μετὰ τῦ Οἰνομάϊ,
εἰς ὕψος ἀνατείναντες ἀσπίδας βοοδέρμῖς,
μετὰ μεγάλης τῆς κραυγῆς ἐχώρεν πρὸς τὸ τεῖχος.
Ὁ μέγας Πολυποίτης δε μετὰ τῦ Λεοντέως,
μέχρι τενὸς ὑπάρχοντες, ἔνδον ἑστῶτες τείχεος,
ὑπὲρ τῶν πλοίων πολεμεῖν τὲς Ἕλληνας παρώρμων·
ἀφ' ὗ τὲς Τρῶας εἶδον δὲ πρὸς πύλας ὁρμηθέντας,
τὲς Ἕλληνας δὲ φεύγοντας μετὰ κραυγῆς μεγάλης,
ἔμπροσθεν ἑστάντες τῶν πυλῶν τὴν μάχην συνεκρότεν.
Ὡς περ ὁ χοῖρος ἄγριος τρεφόμενος ἐν ὄρει
ἐκδέχεται τὸν θόρυβον κυνῶν τε καὶ ἀνθρώπων,
σύρριζον δὲ συγκατασπᾷ τὴν ὕλην πλαγιάζων,
κρότον καὶ κτύπον ἄπειρον ἐκ τῶν ὀδόντων πέμπων,
ἕτως καὶ τέτων ὁ χαλκὸς ἐκράτει βαλλομένων·
κτύπος ὑπῆρχε δε πολὺς ἀσπίδων καὶ θωράκων,
καὶ περικεφαλαίων δε συχνάκις βαλλομένων,
ἐκ τῶν ξιφῶν καὶ τῶν πετρῶν καὶ τῶν βελῶν ἁπάντων
δίκην χιόνος συνεχῆς χειρῶν ἐκπεμπομένων,
ἄλλοι παρ' ἄλλας πύλας δε τὴν μάχην συνεκρότεν·
πρὸς πᾶν τὸ τεῖχος δε τὸ πῦρ ἔλαμπεν ἐκ τῶν ὅπλων.
Ὁ Πολυποίτης τότε δε τῇ περικεφαλαίᾳ
δορὶ βαλὼν τὸν Δάμασον, ἐδάμασεν αὐτίκα·
ἔπειτα καὶ τὸν Πύλωνα καὶ Ὄρμενον ἀνεῖλεν.
Ὁ Λεοντεὺς δ' Ἱππόμαχον βαλὼν κατὰ ζωστῆρα,
ἑλκύσας καὶ τὸ ξίφος δε, κτείνει τὸν Ἀντιφάτην·
ἔπειτα καὶ τὸν Μένωνα, Ἰαμενὸν, Ὀρέστην,
ἕως τέτες ἀπέκτεινον οἱ περὶ Πολυποίτην,
τοῖς σὺν τῷ Πολυδάμαντι καὶ Ἕκτορι ἀρίστοις,
μέριμνα γίνεται πολλὴ περὶ τὴν τάφρον ἕστ

Digitized by Google

τέρας ἐφάνη γὰρ αὐτοῖς ἀπὸ τῶν ἀπαισίων,
δράκοντα φέρων ἀετὸς ζῶντα, δηχθεὶς ἐκ τούτου,
μέσω τῶν Τρώων ἔρριψε καὶ κλάγξας ὑπεχώρει·
φόβος δὲ μέγας τοῖς Τρωσὶν ἡ τοῦ συμβάντος θέα.
Τοῦ Πολυδάμαντος λοιπὸν νοήσαντος τὸ τέρας,
ὅτι Τρωσὶ γενήσεται δεινὴ παλιντροπία,
Τρῶες δὲ πέσωσι πολλοὶ χερσὶ ταῖς τῶν Ἑλλήνων,
καὶ λέγοντος πρὸς πόλεμον τὸν τότε καταλεῖψαι,
ὠργήσθη καὶ καθύβρισεν Ἕκτωρ πικρῶς ἐκεῖνον,
μετὰ κραυγῆς δ' ἐξώρμησεν ὡς πρὸς αὐτὸ τὸ τεῖχος,
καὶ ξυλοπύργους πρὸς αὐτὸ ϛήσαντες δὴ τὸ τεῖχος,
τοὺς κρόσσας τε καὶ γρόμφας τε καὶ σκρόφας καλουμένας,
τοὺς προμαχῶνας πρὸς τὴν γῆν κατέβαλον τοῦ τείχους·
καὶ πάντα τὰ κριώματα μοχλεύοντες ἐρρίπτουν·
οἱ δ' Ἕλληνες συμφράξαντες ἀσπίσι προμαχῶνας,
ἔβαλλον Τρῶας, ἐξ αὐτῶν ὁρμῶντας πρὸς τὸ τεῖχος·
ἁπανταχοῦ τῶν πύργων δὲ ὁ Αἴας περιτρέχων,
σὺν τῷ Λοκρῷ τῷ Αἴαντι κελεύων καὶ προϛάσσων,
παρώτρυνε τοὺς Ἕλληνας ἐμβάλλων προθυμίαν,
λόγοις μὲν ἄλλον ϛερεοῖς, ἄλλον ἐν πράοις λόγοις·
αἱ τῶν πετρῶν δὲ χάλαζαι τῶν Τρώων τῶν Ἑλλήνων
ὑπὲρ χιόνα κρύπτουσαν γῆν, ὄρη, καὶ λιμένας.
Ὁ Σαρπηδὼν παρῄνει δὲ τότε τῷ Γλαύκῳ λέγων,
ὡς πρέπει τὸν τιμώμενον ἄρχοντα ϛρατιώτην,
τὸν ὄντα πρῶτον χρήμασι καὶ κτήμασι τοῖς ἄλλοις,
εἶναι καὶ πρὸς τὸν πόλεμον πρωτεύοντα τῶν ἄλλων,
ὅπως μὴ λέγῃ τις αὐτὸν εἰς μάτην δοξασθῆναι·
εἴ περ γὰρ τόν δε πόλεμον, ὦ Γλαῦκε, πεφευγότες
ἐμέλλομεν ἀθάνατοι καὶ ἄνευ γήρως εἶναι,
οὐκ ἂν μαχόμενος αὐτὸς ὑπῆρχον ἐν τοῖς πρώτοις,
ἀλλ' οὐδὲ σὲ παρώρμων ἂν εἰς πόλεμον καὶ μάχην·

Digitized by Google

ἐπεὶ δε τρόποι μὲν εἰσὶ μυρίοι τȣ̃ θανάτȣ,
ȣ̃ς περ ȣ̓κ ἔςι δυνατὸν ἄνθρωπον πεφευγέναι,
καρτερικῶς μαχόμενοι, κτείνωμεν ἢ κτανθῶμεν.
Οὕτως εἰπὼν παρώτρυνεν αὐτὸν καὶ τȣ̀ς Λυκίȣς·
καὶ πρὸς αὐτὸν ἐξώρμησαν τὸν πύργον Μενεσθέως·
ὁ Μενεσθεὺς δε πτοηθεὶς ἑώρα πρὸς τȣ̀ς πύργȣς,
τίς ἄρα τȣ́τῳ ςρατηγὸς ἀνὴρ προσβοηθήσει·
πλησίον δὲ τȣ̀ς Αἴαντας ἰδὼν, ἀλλὰ καὶ Τεῦκρον,
βοῶν αὐτȣ̀ς ȣ̓κ ἴσχυε ποιῆσαι κατακȣ̃σαι·
εἰς ȣ̓ρανὸν ὁ κτύπος γὰρ ὁ τότε διϊκνεῖτο
πύργων, πυλῶν καὶ τῶν τειχῶν, συχνάκις βαλλομένων,
καὶ περικεφαλαίων δε συνάμα ταῖς ἀσπίσι·
πέμψας Θοώτην ἔπειτα, τὸν Αἴαντα καλεῖ δε,
ὅς περ ἐλθὼν σὺν ἀδελφῷ τῷ Τεύκρῳ τῷ τοξότῃ,
τὰ τόξα τȣ́τȣ φέροντος Πανδίωνος τῷ τότε,
πρὸς πύργον δ' ἀναβαίνοντας τετυχηκὼς Λυκίȣς,
λίθῳ τραχεῖ τὸν Ἐπικλῆ τὸν Σαρπηδόνος φίλον,
βαλὼν ἐξ ὕψȣς ἔρριψεν ἀπὸ τȣ̃ πύργȣ κάτω·
θλάσας ὁμȣ̃ τὴν κεφαλὴν καὶ περικεφαλαίαν·
Ὁ Τεῦκρος δὲ βραχίονι τὸν Γλαῦκον ἐκτοξεύει,
πρὸς τεῖχος ἀνερχόμενον, ὃς πέφευγε πηδήσας,
ὡς μή τις ἐγκαυχήσεται τῶν Ἀχαιῶν τῇ τρώσει·
ὁ Σαρπηδὼν δ' Ἀλκμαίονα τρώσας δορὶ φονεύει,
τὸν προμαχῶνα τὲ χερσὶν ἑλκύσας ἀποκόπτει·
ἀπογυμνοῖ τὸ τεῖχος δε πᾶσιν ὁδὸν ποιήσας.
Τȣ̃τον ὁ Τεῦκρος δὲ βαλὼν βέλει πρὸς τελαμῶνα,
πρὸς τελαμῶνα δὲ φημὴ τȣ̃ θυρεȣ̃, ἀσπίδος,
ὁ Αἴας τὴν ἀσπίδα δὲ τῷ δόρατι τρυπήσας,
μικρόν τι παρεξέωσαν ἀπὸ τȣ̃ προμαχῶνος·
ȣ̃τος δὲ πάλιν σὺν αὐτοῖς ὥρμησε τοῖς Λυκίοις·
καὶ συγκροτȣ̃σι καρτερὰν καὶ ςερρότάτην μάχην.

Digitized by Google

Καθά περ δύο ἄνδρες δε πρὸς ἐπαοίνῳ τόπῳ,
ἐρίζωσιν ἐν ταῖς χερσὶν κατέχοντες τὰ μέτρα,
ὕτω καὶ ἕτοι ἤριζον ἕνεκα δὴ τῦ τείχυς·
ὐδ' ἕτως ἠδυνήθησαν Ἕλληνας ἐκφαβῦσαι
καθώς περ δὲ φελάληθος γυνὴ χειρωνακτῶσα,
τὸ τάλαντον ἐπέχει μὲν, ἰσάζυσα δ' ἀείλοισι,
ἐν ᾧ ςαθμὸν ἐνέβαλε συνάμια ταῖς εἰρίοις,
ὅπως τὺς παῖδας θρέψειεν ἐκ τῆς μισθοδοσίας,
ὕτως ἐταλαντεύετο καὶ τότοις ἴσα μάχη·
ὡς πόκον φέρει δὲ παιμὴν ἀμογητὶ προβάτυ,
ὕτως ὁ Ἕκτωρ ἔφερε τὸν λίθον τὸν ῥηθέντα·
ἀπαντάχῦ δ' οἱ πύργοι τε καὶ πέντες προμαχῶνες
ἐβάπτοντο τοῖς αἵμασιν Ἑλλήνων τε καὶ Τρώων·
οἱ Τρῶες δὲ, τῇ Ἕκτορος κελεύοντος ἐκείνας,
ὁμῦ πάντες ἀνέβαινον κλίμαξι πρὸς τὸ τεῖχος,
καὶ πύργοις, οἷς περ εἴπομεν, ξυλίνοις ὑπατρόχοις·
Ἕκτωρ δὲ λίθον μέγιςον ἄρας εἰς ὕψος τότε,
οἷον ἐκ γῆς πρὸς ἅμαξαν μόλις ἂν θῶτι δύο,
μέσας τὰς πύλας ἔβαλλε, τὰς ςρόφιγγας ἐκκόπτει·
ὁ λίθος ἔσω πέπτωκε, ἐκρότησαν αἱ πύλαι
σανίς δὲ πᾶσα τῶν πυλῶν τμηθεῖσα διεσπάρει·
δύο δὲ δόρατα κρατῶν, τῷ θωρακί τε λάμπων,
δεινὸς κατὰ τὸ πρόσωπον, πῦρ ὀφθαλμῶν ἐκπέμπων,
ὁ Ἕκτωρ εἰσεπήδησεν ἔνθεν τῇ τείχυς τότε·
ὃν περ ἐκ ἔν τις ἴσχυσεν ἄνευ θεῶν πωλῦσαι,
καὶ τοῖς Τρωσὶν ἐκέλευσεν ἐμβαίνειν πρὸς τὸ τεῖχος.
Οὗτοι μὲν ἔν εἰσέβαινον ἐκ τῶν πυλῶν καὶ πύργων,
πρὸς δὲ τὰς νῆας ὁ ςρατὸς ἦν φεύγων τῶν Ἑλλήνων,
βοὴ δ' ἤρθη καὶ θόρυβος, κατάπαυσιν ἐκ ἔχων.

Digitized by Google

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ν. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Ὁ Ζεὺς, ἡ εἱμαρμένη, δε σὺν Ἕκτορι τὺς Τρῶας,
ἀφ' ὗ πρὸς ναῦς προσήγαγεν, ἐκεῖσε καταλείπει,
ἀδιαλείπτως πολεμεῖν καὶ πόνυς ὑπομένειν·
μέχρι γὰρ πλοίων κατελθεῖν ἦν εἱμαρμένη Τρῶας,
5 ὐ μὴν καὶ περαιτέρω δε, ὅθεν φησὶ τοιαῦτα·
αὐτὸς ἑώρα Θρᾷτας δε ἄρδρας μαχιμωτάτυς,
ἤγυν τὺς ἐν ἑτέροις δε πολέμυς καθεώρα·
καὶ Σκύθας τὺς ἀμέλγοντας τὸ γάλα τὸ τῶν ἵππων,
ὕς περ Ἀβίυς τε καλεῖ καὶ τῶν δικαιοτάτων,
10 ζῶσι σκηνήτην βίον γὰρ ὐ τῶν πολυχρημάτων,
καὶ πρὸς ἀλλήλυς δε πολλῇ χρῶνται δικαιοσύνῃ,
ὑπὲρ ἡμᾶς τὺς τῷ Χριςῷ τάχα δεδυλωμένυς·
κλέπτης αὐτοῖς ὐδείς ἐςιν ὡς κλέψαι τί θρεμμάτων.
ὁ λόγος βεβαιότερος τύτοις ἐςὶ τῶν ὅρκων,
15 ὕς ἂν ὁ Καλχηδόνος τε ὀμόσῃ καὶ Κυζίκυ,
ὁμονοῦσιν ἅπαντες καὶ ζῶσι κρινοβίως·
πολλὰ τῆς δικαιότητος τύτοις ἐςὶ σημεῖα.

Ὁ ἐκ θαλάσσης Ποσειδὼν ὁ βοηθὸς Ἑλλήνων,
τοιυτοτρόπως βοηθεῖν τοῖς Ἕλλησιν ἐλέχθη·
20 νέφος παχύ τι πυκνωθὲν ἤρθη πρὸς Σαμοθράκην,
πρὸς ὄμβρον τῦτο δε ῥαγὲν, ἀνέμυς τε κινῆσαν,
κατεναντίυς ταῖς ναυσὶν ἔσχε μὴ φεύγειν τύτυς·
ἐκ τότε γὰρ οἱ Αἴαντες θαῤῥήσαντες μεγάλως,
γενναιοτέρως τοῖς Τρωσὶ τὴν μάχην συνεκρότυν·
25 ὐκ ἔτι γὰρ ὑπώπτευον ναυσὶ τὺς ἄλλυς φεύγειν,
φυγῆς τόπον ὐκ ἔχοντες κἀκεῖνοι συνεμάχυν.

Ὡύτω λοιπὸν οἱ Αἴαντες μετὰ τῶν ἀριςέων
συνασπισμὸν ποιήσαντες, πυκνώσαντες τὺς λόχυς,

Digitized by Google

τὰς περικεφαλαίας δε, τὰ δόρατα, τὰ σάκη,
τοὺς Τρῶας καὶ τὸν Ἕκτορα γενναίως ἐκαρτέρουν·
οἱ Τρῶες πάντες δὲ ὁμοῦ τύπτουσι πρῶτοι τούτους·
ὁ δ' Ἕκτωρ πάντων πρώτιστος ὥς περ στρογγύλος λίθος,
ὅν περ χειμάρρους ποταμὸς ἐξ ὄρους ἀποκόψει,
πρὸς τὸ πρανὲς ἐξ ὄρους δε κυλίεται σὺν κτύπῳ,
κόπτων τὴν ὕλην, κατακλῶν, ἀναπηδῶν εἰς ὕψος,
ἕως οὗ πρὸς ἰσόπεδον φθάσῃ, καὶ λεῖον τόπον,
τότε δ' οὐκ ἔτι δύναται κυλίεσθαι καὶ θρώσκειν·
οὕτως ὁ Ἕκτωρ ἀπειλῶν ἐκόμπαζε μεγάλως,
εὐκόλως διελεύσεσθαι σκηνὰς τὰς τῶν Ἑλλήνων,
σκηνὰς ὁμοῦ καὶ νῆας τε μέχρι θαλάσσης κτείνων.
Τοιαῦτα μὲν ἐκόμπαζε μέχρι τινὸς τοῦ χρόνου·
ἀλλ' ὅτε δὴ προσήγγισεν Αἰάντων παρατάξει,
καὶ τῶν σακῶν τὴν πύκνωσιν εἶδε καὶ τῶν δοράτων,
οἷα στερρὸν εὐάρμοστον πύργον πυκνοῖς τοῖς λίθοις,
τὰ κράνη δὲ καὶ θώρακας καὶ ξίφη τεθηγμένα,
καὶ σιδηρᾶν τὴν ἀστραπὴν ἐκπέμποντα τῇ στίλψει,
ἔστη μὴ θέλων ἔγγιστα, οἱ δ' Ἕλληνες ἀντίοι,
τοῖς ξίφεσι καὶ δόρασι τιτρώσκοντες ἐκεῖνον
ἀφ' ἑαυτῶν ἀπήλασαν· σύντρομος δ' ὑπεχώρει,
τοῖς δὲ Τρωσὶν ἐβόησεν· ὀλίγον καρτερεῖτε·
οὐ πρὸς μακρὸν οἱ Ἕλληνες κωλύσουσί με χρόνῳ,
κἄν περ κατεπυκνώθησαν ὥς περ στερρότης πύργου·
ἀλλὰ νομίζω πρὸς τροπὴν τῷ δόρατι κινήσω·
οὕτως εἰπὼν ἀνήγειρε τῶν Τρώων προθυμίαν.
Ὁ Μηριόνης τότε δε περιπατοῦντα Γαῦρον
Δηΐφοβον ἐφόβησε δορὶ βαλὼν ἀσπίδα,
τὸ πρόσθιον δὲ δόρατος συνθλάσας τοῦ οἰκείου,
πρὸς τὴν σκηνὴν ἀφώρμησεν ἄλλο κομίσαι δόρυ,
οἱ δ' ἄλλοι πάντες σὺν βοῇ τὴν μάχην συνεκρότουν.

Digitized by Google

Ὁ Τεῦκρος δὲ τὸν Ἴμβριον πρῶτος τῶν ἄλλων κτείνει,
υἱὸν ὄντα τοῦ Μέντορος, γαμβρόν δε τοῦ Πριάμου,
Μηδεσικάστην εἶχε γὰρ νόθην Πριάμου κόρην·
τοῦτον τρώσας ἀπέκτεινε πρὸς οὖς τῷ δορατίῳ.
Καθὰ δὲ δένδρον μέλινον ἱστάμενον ἐν ὄρει
ἠχειπεσὼν κατὰ τῆς γῆς τεμνόμενον σιδήρῳ,
οὕτω καὶ οὗτος ἔπεσεν, ἤχει δ' αὐτοῦ τὰ τεύχη·
ὡς δὲ φονεύσας, ὥρμησεν ἐκεῖνον καὶ γομνῶσαι,
Ἕκτωρ τὸ δόρυ κατ' αὐτοῦ βαλὼν ἐκπεφευγότος,
στήθει βαλὼν ἀπέκτεινεν Ἀμφίμαχον Κλεάτου·
ἐξώρμησε καὶ κράνος δε τὸ τούτου καθαρπάξαι,
Αἴας δὲ τοῦτον τῷ δορὶ πρὸς ὀμφαλὸν ἀσπίδος,
τρώσας δυνάμει κραταιᾷ παρέτρεψεν ὀπίσω·
τοὺς δὲ νεκροὺς οἱ Ἕλλήνες ἀνείλοντο τοὺς δύο,
Ἀμφίμαχον μὲν Στίχιος μετὰ τοῦ Μενεσθέως,
τὸν Ἴμβριον δ' οἱ Αἴαντες βαστάζοντες ἐγύμνουν.
Ὡς δ' ἐκ κυνῶν ἁρπάξαντες αἶγα λέοντες δύο,
ταῖς σιαγόσιν ἔχοντες φέρουσιν ἀνὰ θάμνους,
οὕτω καὶ δύο Αἴαντες ἐκτείνοντες πρὸς ὕψος
τὸν Ἴμβριον τοῦ Μέντορος υἱὸν, ἐσύλων τεύχη·
ὁ δὲ Λοκρὸς ἀπέκοψε τὴν κεφαλὴν ἐκείνου,
καὶ δίκην σφαίρας ἔπεμψε πρὸς Ἕκτορος τοὺς πόδας.
Ὁ Ποσειδῶν ὠργίσθη δε χάριν τοῦ Ἀμφιμάχου,
καὶ συνεργῶν τοῖς Ἕλλησιν, ἐχόλα κατὰ Τρώων·
Κτέατον δὲ μυθεύονται υἱὸν τοῦ Ποσειδῶνος,
ἀνθ' οὗ τοῦτον συνέλαβε πρὸς θάλασσαν ἡ μήτηρ·
ἐπεὶ γοῦν ὥς περ ἔφημεν ἡ θάλασσα συνήργει
τῷ μὴ παρέχειν ἐκφυγὴν τοῖς θέλουσιν ἐκφεύγειν,
καὶ πάντες πρὸς τὸν πόλεμον ἔστρεφον ἀκουσίως,
μετ' Ἀμφιμάχου θάνατον υἱὸν τὸν τοῦ Κτεάτου,
ὃν Ποσειδῶνος ἔφημεν παῖδα καλεῖσθαι πᾶσιν,

Digitized by Google

Ἰδομενεὺς ὡς ὥρμησε σὺν ἄλλοις πρὸς τὴν μάχην,
Ὅμηρος δι' Ἀμφίμαχον τὸν Ποσειδῶνα λέγει
ὀργίζεσθαι τοῖς Τρώεσιν, Ἕλληνας παροτρύνειν,
καὶ τὸν Ἰδομενέα δε σὺν ἄλλοις τῶν Ἑλλήνων.
Ὁ Μηριόνης δὲ λαβὼν ἐκ τῆς σκηνῆς τὸ δόρυ,
τρέχων συντόμως πρὸς αὐτὸν ἦλθεν Ἰδομενέα·
ὁρμῶσι δ' ἄμφω πρὸς σκαιὸν μέρος τῆς πλοίων μάχης,
καὶ συῤῥαγὴν συμβάλλουσι πολέμου κατὰ Τρώων.
Ἰδομενεὺς δ' ἀπέκτεινε πρῶτος Ὀθρυονέα,
ὅς περ ἐκ Τροίας Ἕλληνας ὑπέσχετο διῶξαι,
ἄν περ ὁ Πριάμος αὐτῷ σύνευνον δῷ Κασάνδραν·
ἀνεῖλε καὶ τὸν Ἄσιον ἐκείνῳ βοηθοῦντα,
πρὸς τὸν λαιὸν τῷ δόρατι βαλὼν ἀνθερεῶνα·
τούτου δὲ τὸν ἡνίοχον Ἀντίλοχος ἀνεῖλεν,
ἑςῶτα δίφρῳ, τῷ δορὶ πρὸς ςῆθος περονήσας·
τοὺς ἵππους δ' ὁ Ἀντίλοχος πρὸς Ἕλληνας κομίζει.
Δόρυ δ' ἐφεὶς Δηΐφοβος κατὰ Ἰδομενέως,
Ἰδομενέως πύψαντος, κρυβέντος τῇ ἀσπίδι,
βαλὼν πρὸς τὸ διάφραγμα κτείνει τὸν Ἱππασίδην·
Δηΐφοβος δ' ἐκόμπασε μέγα βοήσας τότε·
ἔχει πρὸς Ἅδην ὁδηγὸν Ἄσιος, ὃν παρέσχον·
τὸν μὲν νεκρὸν ἐξήγαγον ὁ Μηκιςεὺς, Ἀλάςωρ·
Ἰδομενεὺς δ' ἀπέκτεινεν Ἀλκάθου τὸν Αἰσύπου,
εἰς κόρην Ἱπποδάμειαν ὄντα γαμβρὸν Ἀγχίπου,
βαλὼν πρὸς ςῆθος τῷ δορὶ, δίκην ἑςῶτα ςήλης·
ἐκ γὰρ θαλάσσης κρατηθεὶς, τόπον φυγῆς οὐκ εἶχεν·
Ἰδομενεὺς δ' ἐβόησε τότε τῷ Δηϊφόβῳ·
ὦ καυχητὰ Δηΐφοβε, τρεῖς ἀνθ' ἑνὸς ἀνεῖλον·
ἀλλὰ καὶ σὺ πλησίον μου πορεύου καὶ νοήσεις·
Δηΐφοβος ἀπῆλθε δὲ σύμμαχον ἐρευνήσων·
τὸν δὲ Αἰνείαν εὕρηκεν ἑςῶτα τοῖς ἐσχάτοις,

Digitized by Google

ἀεὶ γὰρ ἕτερον ἀρχὴν ἔτος κατὰ Πρίαμος
γενναῖον τοῦτον ὄντα γὰρ Πριάμους ἐκ ἐτίμα
στὰς δὲ πλησίον ἔλεξε τὸν θάνατον Ἀλκάθοε,
ὃς ὧν γαμβρὸς ἐπ' ἀδελφῇ ἀνέθρεψεν Αἰνείαν.
Καὶ δὴ Αἰνείας, Πάρις τε, Δηΐφοβος, Ἀγήνωρ,
ἀπὸ δὲ τοῦ στρατεύματος ἑτέρωθεν Ἑλλήνων,
Ἰδομενεὺς καὶ Ἀφαρεὺς μετὰ τοῦ Μηριόνου,
Ἀσκάλαφος, Ἀντίλοχος, Δηΐπυρος σὺν τούτοις,
σὺν τοῖς λαοῖς ταῖς ἑαυτῶν πάλαμον συνεκρότουν.
Αἰνείας ἀκοντίσας δὲ κατὰ Ἰδομενέως,
ἐκείνου παρεκλίναντος, βάλλει τὴν γῆν τῷ βέλει·
Ἰδομενεὺς δ' Οἰνόμαον βαλὼν κατὰ μασχάλην,
τότε κενοῖ τὰ ἔντερα, τότε δ' ἀπερχομένου
ἀποτυχὼν Δηΐφοβος, Ἀσκάλαφον ἀνεῖλε·
Δηΐφοβος δ' ἀφήρπασε τὸ κράνος Ἀσκαλάφου
τῷ Μηριόνῃ, δὲ πληγεὶς πρὸς χεῖρα, ῥίπτει τοῦτο·
ὁ ἀδελφὸς Πολίτης δὲ τοῦτον ἐξάγει μάχης
καὶ ἀναβὰς ἐφ' ἅρματος στενάζων ὑπεχώρει.
Αἰνείας Ἀφαρέα δὲ πλήξας λαιμῷ, ἀνεῖλεν·
Ἀντίλοχος δὲ Θόωνα κατὰ τὸ νῶτον τρώσας,
ἀπέδυσε καὶ τότε δὲ πᾶσαν τὴν παννοπλίαν·
οἱ Τρῶες δὲ κυκλώσαντες, ἔπληττον τότε σάκος·
ἐγγὺς ἐλθὼν Ἀδάμας δὲ, καὶ ἔτος πλήττει σάκος·
θρασυνθέντος δὲ τοῦ δόρατος, τοῦτον ὑποχωροῦντα
κτείνει πρὸς ὑπογάστριον βαλὼν ὁ Μηριόνης.
Δηΐπυρον ὁ Ἕλενος ξίφει τὴν κόρσην πλήξας,
ἐξ τόξου βέλος πέμπει δὲ καὶ κατὰ Μενελάου·
ὁ ἐκ τοῦ θώρακος αὐτοῦ μοιρὰν ἐξαπεκρούσθη.
Μενέλαος τὴν χεῖρα δὲ τιτρᾷ τῷ δορατίῳ,
ἣν ἐκκρεμάσας ἔφευγε, σύρων ὁμοῦ τὸ δόρυ·
ὃ περ Ἀντήνωρ ἀναστᾶς δήσας καλῶς τὴν χεῖρα

Digitized by Google

Μενέλαος ἠγόχησε βαλὼν κατὰ Πεισάνδρε·
νύξας δὲ καὶ ὁ Πείσανδρος τὸ σάκος Μενελάε,
ἐπίσης τέτῳ καὶ αὐτὸς ἠγόχησε τῇ τρώσει·
καὶ ἅμα πάλιν ὥρμησαν οἱ δύο κατ' ἀλλήλων·
καὶ Πείσανδρος πελέκει μὲν πλήττει κατὰ τὸν λόφον,
Μενέλαος τῷ ξίφει δε μέτωπον πρὸς τὴν ῥῖνα·
οἱ ὀφθαλμοί δ' ἐχύθησαν σχισθέντων τῶν ὀχέων.
Ὁ Ἀρπαλίων δε υἱὸς κρατῦντος Παφλαγόνων,
νύξας τὸ σάκος εὐσθενῶς ἔφευγε Μενελάε·
ὁ Μηριόνης τῦτόν δε κατὰ γλυτὸν τοξεύει,
τὸ βέλος δ' ἐξεπέρασεν ἔμπροσθεν πρὸς τὴν κύστιν·
τέτε θανόντος, θυμωθεὶς, πέμπει καὶ Πάρις βέλος·
ἀπέκτεινε δ' Εὐχήνορα περὶ τὸ ἕς τοξεύσας,
γένει Κορίνθιον, υἱὸν μάντεως Πολυΐδε,
ὃς καὶ προεμαντεύσατο τὰ πεπρωμένα τέτῳ·
ἕτως οἱ μὲν ἐμάχοντο καρτερῇ καρδίᾳ,
ὁ Ἕκτωρ ἐκαρτέρει δὲ ἓ ῥήξας ἦν τὸ τεῖχος,
βαρὺν ἐγείρων πόλεμον, μάχην καρτερωτάτην,
ὅπε Πρωτεσιλάε τε καὶ Αἴαντος αἱ νῆες,
καὶ τεῖχος ἦν ἐχ ὑψηλὸν, ὐ μάλιστα χρειώδης·
πεζοί τε πάντες καὶ ἱππεῖς ἐγίνοντο πρὸς μάχην,
ὅπε Λοκροὶ καὶ Βοιωτοὶ καὶ Ἴωνες καὶ Φθῖοι,
Πρωθῖοι, Ἀθηναῖοι τε καὶ Ἐπειῶν τὰ ἔθνη,
δίκην πυρὸς τὸν Ἕκτορα σπευδαίως ἐφορμῶντα,
ἀφ' ἑαυτῶν ἐκ ἔσθενον ὄπισθεν ἐξελάσαι.
Ὁ Πετεὼ δὲ Μενεσθεὺς, Στίχιος τε καὶ Φείδας,
Μέγης, Ἀμφίων, Δράκιος, Μέδων τε καὶ Ποδάρκης,
ἄριστοι πάντες στρατηγοὶ μετὰ τῶν στρατευμάτων,
καὶ σὺν ἑαυτοῖς οἱ Αἴαντες πλησίον ἐστηκότες·
ἀλλὰ τῷ, Τελαμῶνος μὲν, ἄνδρες πολλοὶ παρῆσαν,
πολλοὶ καὶ κάλλιστοι ὠμῷ δεχόμενοι τὸ σάκος,



Digitized by Google

ὁπόταν κόπος καὶ ἱδρὼς κατέλαβεν ἐκεῖνον·
οἱ τῇ Λοκρῇ δ' ὑπάρχοντες πάντες γυμνοὶ ταξόται,
ἄνευ δοράτων καὶ σακῶν καὶ δίχα κρανωμάτων·
τούτων Τρωσὶ καὶ Ἕκτορι συςάδην μαχομένων,
αὐτοὶ σφενδόναις βάλλοντες ἐτάραττον καὶ τόξοις·
καὶ μετ' αἰσχρᾶς ἂν τῆς τροπῆς οἱ Τρῶες ὑπεχώρευν,
εἰ μή περ εἶπεν Ἕκτορι τῷ τότε Πολυδάμας
συναγαγεῖν τὰς ἀριςείας ἐκεῖ τῶν Τρώων πάντας·
ὡς ἂν οἱ πάντες εἰς ταυτὸ συνέδραμον ἐκεῖσε,
ἐπάγοντες τὸ ςράτευμα, πυκνώσαντες τὰς λόχας,
οἱ περὶ Πολυδάμαντα, τὸν Ἕκτορα, τὸν Πάριν,
τὸν Κεβριόνην, Φάλκην τε, Ὀρθαῖον, Πολυφοίτην,
Μόρυν τὸν Ἱπποτίωνος, Ἀσκάνιον, τὸν Πάλμυν,
οἵ περ κατὰ τὴν χθὲς ἦσαν ἐλθόντες ἐκ Νικαίας,
πόλεμον ἤγειραν δεινόν· θυμῷ δὲ πνέων Ἕκτωρ
πάντων προεπορεύετο· δεινὴν ἀσπίδα φέρων,
τὸ κράνος δ' ὑπεσείετο κροτάφοις τοῖς ἐκείνου·
πειράζων δὲ τὰς φάλαγγας Ἑλλήνων προεχώρει.

Αἴας δὲ τοῦτον προκαλεῖ πρῶτος εἰς μάχην λέγων·
ἐλθὲ πλησίον, ἄθλιε, τί ἐκφοβεῖς Ἀργείους;
ἆρα κρατῆσαι σὺ δοκεῖς τὰς ἡμετέρας νῆας;
ἡμεῖς ἴσθι πορθήσομεν πρότερον σὴν πατρίδα·
σοὶ δὲ καιρός ἐςι φυγῆς, ὁπότε φεύγων εὔξῃ
τοὺς ἵππους σε ταχύτερον τῶν ἱεράκων τρέχειν·
ὁ δὲ φησὶν ὡς πρὸς αὐτόν· Αἶαν καυχηματία,
καὶ ἐπηρμένῃ τῇ βοῇ, καὶ γαβριῶν τῷ σάκει,
ἦ νῦν ἡμέρα συμφορὰν Ἕλλησι πᾶσι φέρει,
καὶ σὺ σαρξὶ κορέσεις δὲ τοὺς κύνας καὶ τοὺς γύπας·
ἔτως εἰπόντος, ἤγειραν μάχην καρτερωτάτην,
τῶν ςρατευμάτων σὺν βοῇ μεγάλῃ συρραγέντων,
ἥτις βοὴ πρὸς οὐρανὸν ἔφθασεν ἀμφοτέρων.

Digitized by Google

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ξ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Ἡ δὲ κραυγὴ τῷ Νέστορι καὶ πίνοντι ἠκούσθη.
ἀφεὶς δὲ τὸν Μαχάονα καὶ πίνειν καὶ λεχθῆναι,
ἦλθε πρὸς Ἀγαμέμνονα, Τυδείδην, Ὀδυσσέα·
καὶ Ἀγαμέμνων εἰς φυγὴν εἶπε τὰ πλοῖα σύρειν·
ὁ Ὀδυσσεὺς δ' ἀπέπαυσε ταύτης τῆς γνώμης τοῦτον·
εἰπόντος Διομήδους δὲ χωρῆσαι πρὸς τὴν μάχην,
τοὺς ῥαθυμοῦντας θέλοντες Ἑλλήνων παροτρύνειν.
Ὁ Ποσειδῶν καὶ Ἥρα δὲ ταῦτα δηλοῦσιν εἶναι·
ἡ θάλασσα κεκίνητο πνεύμασιν ἐναντίοις,
πρὸς τὰς πατρίδας δ' Ἕλληνας φεύγειν ὁ παρεχώρει·
παρώτρυνε τοὺς πάντας δὲ μάχεσθαι σφοδρότερως·
ὃ πραττόμενον ἰδὼν ὁ Ἀγαμέμνων,
ὃ κράτησις καθ' Ὅμηρον χειρὸς ἐκ Ποσειδῶνος,
ἐν τούτοις ἐλογίζετο πῶς Ἀχιλεὺς ἂν χαίροι·
ἡ δὲ τῆς Ἥρας σὺν Διὶ μίξις ἡ μετ' ἀπάτης,
εὔδιον τὸ κατάστημα δεικνύει γεγονέναι,
καὶ πάλιν εὐμετάτρεπτον μετὰ βραχὺν τὸν χρόνον·
τότε λοιπὸν οἱ Ἕλληνες καλῶς συντεταγμένοι,
ἀλλήλων ἀνταλλάξαντες ἕκαστοι τὰ ὅπλα,
οἱ ἀριστεῖς τὰ κράτιστα, χείρονες δὲ τὰ χείρω,
κατὰ τῶν Τρώων ὥρμησαν, καὶ Τρῶες καθ' Ἑλλήνων·
ἐξῆλθε μὲν ἡ θάλασσα πρὸς τὰς σκηνὰς καὶ νῆας·
ὅτοι θορύβῳ δὲ δεινῷ τὴν μάχην συνεκρότουν.
Οὐ τόσος κτύπος γίνεται κυμάτων θαλασσίων,
πνοαῖς ἀνέμων χαλεπαῖς, ὅτε πυρός τις βρόμος,
καίοντος ὄρος ὑψηλὸν, καὶ βαθυτάτην ὕλην,
οὐδὲ σφοδρός τις ἄνεμος ἠχῶν καὶ πρὸς τοὺς δρυμοὺς,
οὐδὲ χειμάρρων ἐκροὴ πρὸς χαραδραίους τόπους,

Digitized by Google

ὁπόση γέγονε κραυγὴ τῶν Τρώων καὶ Ἑλλήνων,
συγκροτησάντων καρτερὰν τὴν μάχην κατ' ἀλλήλων.
Καὶ πρῶτος μὲν κατ' Αἴαντος ἠκόντισεν ὁ Ἕκτωρ·
κατὰ τῦ κρεμαστῆρος δὲ τῦ ξίφους καὶ ἀσπίδος
τὸ δόρυ τότε προσραγὲν, ἐκ ἔβλαψεν ἐκεῖνον.
Αἴας δὲ τῦτον σφίφοντα κατόπιν πρὸς τὰς Τρῶας,
λίθῳ τραχεῖ καὶ σιβαρῷ βαλὼν περὶ τὸ σῆθος,
ὡς σρόμβον περιέτρεψε ἐπισραφέντα πάντη·
ὡς δρῦς δὲ πίπτει πρόῤῥιζος ἐκ περαυνοβολίας,
βρόμος δὲ γίνεται πολὺς καὶ φόβος τοῖς ἰδῦσιν,
ὕτως ὁ Ἕκτωρ πίπτει γῇ, ῥίπτει δὲ καὶ τὸ δόρυ·
τὸ σάκος δ' ἐπλαγίασεν, εἰς μέρος παρετράπη·
μετὰ βοῆς δ' οἱ Ἕλληνες ἀπέδραμον κρατῆσαι
βάλλοντες καὶ τιτρώσκοντες τοῖς δόρασιν ἐκεῖνον,
ἀλλ' ὅτις τῦτον ἴσχυσεν ἰδὲ βαλεῖν ἢ τρῶσαι·
οἱ ἄριστοι τῶν Τρώων γὰρ ἀνήρπαξαν ἐκεῖνον,
καὶ πρὸς τὴν Τροίαν ἔσελλον ἐφ' ἅρματος οἰκείυ,
μεγάλως ὀδυνώμενον, σενάζοντα βαρέως·
περὶ δὲ Ξάνθον ποταμὸν ἅρματος ἀποβάντα
ἀνέψυξαν ῥαντίσαντες ἐν ὕδατι τὸν ἄνδρα·
ὁ δ' ἀναπνεύσας ἐκπετᾷ τὰς ὀφθαλμὰς καὶ βλέπει,
καὶ καθεσθεὶς ἐν γόνασιν, ἐξήρασε μὲν αἷμα,
καὶ πίπτει πάλιν ὄπισθεν τὰς ὀφθαλμὰς καλύψας·
οἱ Ἕλληνες τὰς Τρῶας δὲ μεγάλως συνεκλόνευν.
Πάντων δὲ πρῶτος ὁ Λοκρὸς κατὰ λαπάραν τρώσας,
ἀπέκτεινε τὸν Σάτνιον τῦ Οἴνοπος τὸν παῖδα.
Ὁ Πολυδάμας δὲ βαλὼν πρὸς δεξιὸν τὸν ὦμον
ἀνεῖλε Προθοήνορα υἱὸν Ἀρηΐλυκυ·
κατὰ δὲ Πολυδάμαντος Αἴας ὁ μέγας πέμψας,
ἐκείνυ παρεκλίναντος, Ἀρχέλοχον ἀνεῖλε,
τῆς κεφαλῆς τὸν σύνδεσμον βαλὼν καὶ τῦ τραχήλυ·

Digitized by Google

τῇ δὲ δυνάμει τῆς χειρὸς καὶ τῆς βολῆς τῇ βίᾳ
ἡ κεφαλὴ προσήγγισε πρώτη τῇ γῇ πρὸ πάντων.
Ἀκάμας Ἀρχελόχῳ δὲ ὁ σύναιμος ἀνεῖλε
Πρόμαχον τὸν Βοιώτιον τρώσας τῷ δορατίῳ·
Πηνέλεως δ' Ἀκάμαντος ἐξώρμησεν ἀντίος·
τῷ δὲ φυγόντος, Φόρβαντος υἱὸν Ἰλιονέα
περὶ τὸ ἄνω βλέφαρον πήξας τὸ δόρυ πρῶτον,
ἔπειτα τύτῳ κεφαλήν, ἐξαποκόψας ξίφει,
ἐμπεπηγμένην δόρατι τοῖς Τρώεσσιν ἐδείκνυ·
λοιπὸν τῷ τότε πρὸς φυγὴν ἐξώρμησαν οἱ πάντες.
Αἴας δ' ὁ μέγας ἔκτεινεν Ὑρτιον Γυρτιάδην
τῶν Πρυσαέων στρατηγόν· Μυσῶν τῶν Ὀλυμπίων·
τὸν Φάλκην δὲ καὶ Μέρμερον Ἀντίλοχος φονεύει,
Μόρυν σὺν Ἱπποτίωνι κτείνει δὲ Μηρίονης,
υἱὸν, πατέρα, Νικαεῖς, ἐξ Ἀσκανίας λίμνης·
Τεῦκρος δὲ τὸν Προθόωνα ὁμῶ καὶ Περιφήτην,
Ἀτρείδης Ὑπερήνορα βαλὼν κατὰ λαπάραν·
ἔντερα δ' ἐξεχύθησαν ἅτως ἐκείνῳ τότε·
ὁ δὲ Λοκρὸς ἀπέκτεινε πλείστους ποδῶν τῷ τάχει.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ο. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Ἐπεὶ δ' οἱ Τρῶες φεύγοντες διέβησαν τὴν τάφρον,
πολλοὶ δὲ ἀνῃρέθησαν ὑπὸ χερσὶν Ἑλλήνων,
οἱ μὲν περὶ τοῖς ἅρμασι μένοντες ἐκαρτέρουν
ὠχροὶ, τὸ περικάρδιον αἷμα ψυχθέντες φόβῳ.
Ἡ τῷ Διὸς δ' ἀνέγερσις δηλοῖ παλιντροπίαν
καὶ τὸ ἀέρος σύγχυσιν, Τρωσὶ προσβοηθῶσαν,
ὡς οἰκειρῶσιν, ἔχουσι τὴν πᾶσαν εὐτροφίαν,

Digitized by Google

σκέπην, κλίνας, ἐνδύματα καὶ τεθραμμένους ἵππους,
ὅπλα καινὰ καὶ βέλη δὲ καὶ τὰ χρειώδη πάντα,
τὸ μέγιστον ἁπάντων δε, τέκνα, γυναῖκας, φίλους,
ὃς βλέπων τὶς ἀφροντιστεῖ καὶ τῷ παρῷ θανάτῳ·
τοὺς Ἕλληνας δὲ βλάπτουσαν μεγάλαις ἐπηρείαις,
καὶ τοῖς ἐναντιώμασι τῶν Τρώων βοηθείας·
τοῖς γὰρ στρατοπεδεύουσιν ὑπαίθροις ἐκ στρατείας,
καὶ τῆς πατρίδος πόρρωθεν διάγουσιν ἐν ξένῃ,
ἐξ εἱμαρμένης καὶ χειμὼν καὶ πόλεμος καὶ καῦμα·
πλέον δὲ μᾶλλον ὁ χειμὼν σὺν οἷς πρ εἶπον ἄλλοις
βλάπτων τῶν τόξων τὰς νευρὰς, ἀποπτερῶν τὰ βέλη,
ἰῶν τὰ ξίφη· τὰς λοιπὰς τίς ἀ γνώσκει βλάβας;
εἵμαρται καὶ κεκύρωται, καὶ γὰρ δικαίως ἔτω,
τοῖς μὲν ἐγχώροις εὐπραγεῖν, κακοπραγεῖν τοῖς ξένοις·
ἔτως ἀὴρ ὁ ἔνομβρος Ἕλλησιν ἦν πρὸς βλάβην·
τὴν Ἥραν ἐκ ἠγνόηκας ὑπάρχειν τὸν αἰθέρα·
ἄκμονας, γῆν, καὶ θάλασσαν ποσὶ προσδεδεμένους,
χειρῶν δεσμὸν δὲ χρύσεον, ὑπέκκαυμα πυρῶδες,
θεοὶ δὲ οἱ ῥιπτέμενοι θέλοντες λύειν Ἥραν,
πῦρ, ὕδωρ τε, καὶ τὰ λοιπὰ πάντα τὰ δυσκρατῶντα.
Ὁ Ἡρακλῆς, ὁ ἥλιος, ὃς τῇ κοσμογενίᾳ
τῷ πόντῳ κατεκρύπτετο καὶ Κόῳ, τῇ κοιμήσει,
ἀφανισμῷ καὶ συντριβῇ καὶ ζάλῃ τῶν στοιχείων,
ἕως αὐτὸν ἀνήγαγεν εἰς Ἄργος, εἰς τὸν κόσμον,
εἰς φανερὰν κατάστασιν καὶ γνώριμον τοῖς πᾶσιν.
Ὁ Ζεὺς, ἀὴρ ὁ εὔκρατος, ὁ πάντα διαρθρώσας,
ὥσπερ πολλάκις εἴπομεν, τὴν Ἥραν ἐκκρεμάσας,
ἦγεν ἀνωφερέστερον ποιήσας τὸν αἰθέρα,
ὑπέκκαυμα καὶ θάλασσαν καὶ γῆν δὲ διαρθρώσας.
Ὅς ἂν δὲ χρήζῃ μέθοδον δεινότητος μανθάνειν,
καὶ θέλῃ ῥήτορα δεινὸν καὶ θέλῃ γεωγράφον,

Digitized by Google

καὶ μεταφράσει χρῆσθαι δὲ καὶ τῇ μεταποιήσει,
καὶ λέγων πάλιν τὰ αὐτὰ δοκεῖν, ὡς ἄλλα λέγειν,
τὸν Ὅμηρον ἐχέτω μοι παράδειγμα τῆς τέχνης·
ποσάκις εἶπε τοῦτο γὰρ, ἄλλα δοκῶν διδάσκειν;
Γάμους γὰρ πρὶν εἶπεν αὐτὸς Θέτιδος καὶ Πηλέως,
καὶ διὰ μῆλον θεαινῶν ἔριν μεγάλην εἶπεν·
εἶτα θεῶν ἐπιβουλὴν διασπευδόντων δῆσαι,
Ἡφαίστου ῥίψαν ἔπειτα τῇ Ἥρᾳ συνεργοῦντος,
Ἡφαίστου εἶτα τεύξαντα θεῶν τὰς κατοικείας,
εἶτα Δία καυχώμενον δυνάμει τῇ οἰκείᾳ
καὶ τοὺς θεοὺς εἰ βούλοιτο λέγοντα ταρταρῶσαι,
ἢ γῆν ὁμοῦ καὶ θάλασσαν σειρᾷ μετεωρίσαι·
ἔπειτα πάλιν Ἀθηνᾶν σώζουσαν Ἡρακλέα
ἐξ ἄθλων, ὃς προσέταττεν ὁ Εὐρυσθεὺς ἐκείνῳ,
Ἅδου τε κατελεύσεως ἐκεῖνον ῥυομένην·
Ὠκεανὸν εἰσέπειτα πάντων γενάρχην λέγων,
Ὠκεανόν τε καὶ Τηθὺν, ἐκθρέψαντας τὴν Ἥραν·
καὶ νῦν δὲ Ἥραν δέσμιον διὰ τὸν Ἡρακλέα,
εἶτα πάλιν εἰσάξει σοι τοῦτον ὡς Ποσειδῶνα,
τρεῖς ἐκ τοῦ Κρόνου λέγοντος τοὺς ἀδελφοὺς γενέσθαι,
Δία καὶ Ποσειδῶνα δὲ, Ἅδην ἐν τούτοις τρίτον,
ἅπαντα λέγοντα τριπλῶς αὐτοῖς ἐκνεμηθῆναι·
Ἡφαίστου πάλιν ὡς χωλὸν κρυπτόμενον τῇ Ἥρᾳ,
ὃν τῷ πεσεῖν διέσωζε Θέτις καὶ Εὐρυνόμη,
ἐν αἷς καὶ παρεχάλκευεν ἐννάετῶς ποικίλα·
τοῦ Ἀχιλέως ἔπειτα πάλιν ἀσπίδα λέξει,
Ἡφαίστου ταύτην τεύξαντος, ἐν τῷ πυρὶ βαλόντος
χαλκὸν, χρυσὸν, κασσίτερον, καὶ τὰς λοιπὰς τὰς ὕλας,
ἃ περ ἐκεῖσε νόει μοι τὰ τέσσαρα στοιχεῖα·
Ἥραν ἐξαπατήσασαν εἶτα τὸν Δία λέγει·
πάλιν Ἥραν κρατήσασαν τοὺς τοκετοὺς Ἀλκμήνης,

Digitized by Google

τοῖς Ἡρακλέος τοκετοῖς καὶ Εὐρυσθέως ἅμα·
ἔπειτα Ποσειδῶνα δὲ Ἀπόλλω τε λαλοῦντας,
πόσα τῷ Λαομέδοντος ἔπαθον πρὶν ἡητείᾳ·
καὶ καθ' ἑτέρους τρόπους δὲ πόσους κενώσας λόγους,
τὴν μίαν τὴν ὑπόθεσιν ποικίλως διαγράφει
περὶ τῷ τῇδε σύμπαντος καὶ τῆς κοσμογενείας·
ὅτως ἀέρος γέγονε τότε παλιντροπία,
παρέπλεξε καὶ λόγους δὲ περὶ κοσμογενείας,
παραγαγὼν ἐμπρόσωπον λέγοντα τὸν ἀέρα·
Ἄρης τανῦν, Ἀρεϊκὸν σέλας ἐν τῷ ἀέρι,
ὅπερ τὸ κράνος Ἀθηνᾶ τῆς κεφαλῆς ἁρπάξει,
ὁρμῶντος πρὸς ἐκδίκησιν υἱῷ τῷ Ἀσκαλάφου·
Ἀπόλλων δὲ, ὁ ἥλιος· Ἶρις, νεφῶδες τόξον·
ἡ Ποσειδῶνος κέλευσις ἐξ Ἶριδος ὑπάρχει,
ἡ πρὸς τὴν θάλασσαν αὐτὸν, ἢ πρὸς θεὰς καλοῦσα,
ὅπερ φησὶν Ἐμπεδοκλῆς εἴ τέ τις τῶν ἑτέρων,
» Ἶρις δ' ἐκ πελάγους ἄνεμον φέρει ἢ μέγαν ὄμβρον·
ἐμοὶ βιβλιοθήκη γὰρ ἡ κεφαλὴ τυγχάνει·
βίβλοι δ' ἡμῖν ἃ πάρεισι δεινῶς ἀχρηματοῦσιν,
ὅθεν ἃ λέγειν ἀκριβῶς τὸν ποιητὴν γινώσκω.
Τοιοῦτον ἦν κατάστημα τότε συγκεχυμένον·
ἐφάνη δὲ καὶ Ἄρεος σέλας ἐν τῷ ἀέρι,
τὸ κράνος ἁφηρέθη δὲ τῇ Ἀθηνᾷ συντόμως,
ἤ τοι συντόμως κέκρυπτο ἀέρι τῷ ἐνύγρῳ,
καὶ Ἶρις ὤφθη τότε δὲ τόξον τὸ νεφελῶδες·
εἶτα καὶ ὄμβρος γέγονε σὺν τοῖς ἑτέροις τέτοις·
ἡ Ποσειδῶνος ἔλευσις πρὸς πέλαγος θαλάσσης,
καὶ σὺν αὐτοῖς δὲ καὶ σεισμὸς ἐγένετο τῷ τότε·
ὁ Ποσειδῶνος καὶ Διὸς Ὅμηρος λέγει μάχην,
γεγενημένην ἀκουστὴν θεοῖς τοῖς περὶ Κρόνον·
τοιαῦτα μὲν ἐγένετο συμβάματα τῷ τότε,

Digitized by Google

καί τι μικρὸν ὑπέλαμψε καὶ ἠλιος σὺν τέτοις.
Ἕκτωρ δ' ἀπὸ τῦ τρώματος ἀνέσφηλεν ὀλίγον.
ἰκέτι κατακείμενος, ἀλλ' ἀναψύχων ἤδη,
γνωρίζων καὶ τὰς φίλυς δε, ἔληγε δὲ τὸ αἷμα·
ἰδὼν δὲ τὸ κατάσημα, σημεῖα τὲ τοιαῦτα,
ὡς ἵππος ὥρμησε ςατὸς ἐν φάτνῃ κριθιάσας,
δεσμὸν ἐκρήξας τὸν αὐτῦ, πηδὼν κατὰ πεδίων,
ἔθος ὡς ἔχων λέεσθαι ῥεύμασι ποταμίοις,
γαυρύμενος, ἐπαίρων τε τὴν κεφαλὴν εἰς ὕψος,
ἅτως ὁ Ἕκτωρ ἐξορμῶν ὤτρυνε τὺς ἱππέας.
Ὡς δὲ τινὲς διώκοντες ἔλαφον κυνηγέται,
αἴφνης φανέντος λέοντος φεύγυσιν ὅπη τύχοι,
ἅτως οἱ Ἕλληνες πυκνῶς μέχρι τινὸς ἐξώρμων·
ὡς εἶδον δὲ τὸν Ἕκτορα πρὸς μάχην ἐξορμῶντα,
ἔφριξαν, πᾶσι δ' αἱ ψυχαὶ κατέπεσον εἰς πόδας.
Τῦτο πολλῆς δεινότητος ῥητόρων ἀποπνέει,
ἦγεν τῷ τάχει τῶν ποδῶν φεύγοντες ζῆν ἐδόκευν·
τότε δ' ὁ Θόας τὴν πληθὺν ἤλασε πρὸς τὰς νῆας·
αὐτός δε καὶ οἱ Αἴαντες μετὰ Ἰδομενέως,
ὁ Μηριόνης, Τεῦκρός τε καὶ ἀρις-εῖς οἱ ἄλλοι,
μάχην Τρωσὶ καὶ Ἕκτορι βαρείαν συνεκρότευν.
Πρῶτοι δ' οἱ Τρῶες ἔτρωσαν Ἕκτορος προορμῶντος,
λάμψαντος καὶ ἡλίυ δὲ πρὸς πρόσωπον Ἑλλήνων·
οἱ δ' Ἕλληνες ὑπέμειναν ὁμῦ συνηθροισμένοι,
κραυγὴ δ' ἐξ ἄμφω τῶν μερῶν ἐγείνετο βαρεῖα,
καὶ τῶν βελῶν ἦν χάλαζα, βροχαί τε τῶν αἱμάτων,
ἐξ ἀμφοτέρων τῶν μερῶν μέχρι τινὸς τῦ χρόνυ·
ἐπεί δ' ἐξέπεμψε φαιδρὰς ἥλιος τὰς ἀκτῖνας,
φεύγοντας Τρῶες κτείνυσι τὺς ςρατηγὺς Ἑλλήνων
Στίχιον Ἕκτωρ μὲν ὁμῦ σὺν τῷ Ἀρκεσιλάφῳ,
Αἰνείας δὲ τὸν Μέδοντα, καὶ Ἴασον ἀνεῖλεν·

Digitized by Google

ὁ Πολυδάμας δὲ αὐτὸν κτείνει τὸν Μηκιστέα,
Ἔχιον ὁ Πολίτης δὲ, τὸν Κλόνιον Ἀγήνωρ·
ὁ Πάρις δὲ Δηΐοχον δορὶ βαλὼν κατ' ὦμον·
οἱ δὲ φυγόντες ἔνδοθεν ἐσώζοντο τῆ τείχης.
Ἕκτωρ Τρωσὶ κελεύσας δὲ πῦρ φέρειν πρὸς τὰς νῆας,
σὺν πᾶσιν ἄλλοις μετ' ἠχῆς ἀπήλαυνε τὸ ἅρμα·
τὴν τῶν Ἑλλήνων τάφρον δὲ συγχέας ὁ Ἀπόλλων,
διαβατὴν ἐποίησε πᾶσι Τρωσὶ τῷ τότε
τὴν τάφρον ἔσαν ἀρυκτὴν καὶ μανωθεῖσαν ὄμβροις,
ὃ ἥλιος κατέσεισεν οἷα ξηρὸν ἀρτίσκον,
ἀραιωθέντα τῷ ὑγρῷ καὶ συντριβέντα τάχει·
οἱ Τρῶες δ' εἰσελάσαντες, μάχην ναυσὶν ἐκρότεν·
οἱ μὲν ἐφ' ἵππων ἔποχοι, οἱ δ' ἐκ νηῶν Ἀργεῖοι
ἐν κολλητοῖς τοῖς δόρασι, ναυμάχοις καλεμένοις,
ὥνπερ τὸ μῆκος ἔφερε πήχεις εἰκοσιδῦο·
ἀφεὶς δὲ τὸν Εὐρύπυλον ὁ Πάτροκλος ἰᾶσθαι,
ὥρμησεν ὡς πρὸς πόλεμον νύξαι τὸν Ἀχιλέα·
μεγάλη δ' ἦν ἡ συρραγὴ τῷ τότε τῆ πολέμη·
εἰς ναῦν δὲ μίαν Ἕκτωρ τε καὶ Αἴας ἐναυμάχεν,
ἑδεὶς τὸν ἄλλον πρὸς φυγὴν δυνάμενος κινῆσαι·
εἰς ναῦν δὲ πῦρ εἰσφέροντα Καλήτορα Κλυτίε,
Αἴας ὁ Τελαμώνιος ὁ πύργος τῶν Ἑλλήνων,
ςήθει βαλὼν ἀπέκτεινε, χειρὸς δαλὸς δὲ πίπτει·
ὁ Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιὸν πεσόντα,
πᾶσι Τρωσὶν ἐκέλευσε σώζειν τὸν πεπτωκότα·
τινὲς δ' εἰσὶν ἀνεψιοὶ σεμείωσαι καὶ νόει.
Ἀνεψιές μοι γίνωσκε τῶν ἀδελφῶν τὲς παῖδας,
ὡς πρὸς ἀλλήλες λέγεσθαι καθὼς ἐςὶν ἐνθάδε,
ὁ γὰρ Κλυτίος ἀδελφὸς ὑπῆρχε τῆ Πριάμε·
ἓς κοινοτέρως δὲ φασὶν ἀνεψιές, σὺ λέγε
ἀδελφιδὲς, εἴπερ εἰσὶ τῶν ἀδελφῶν τεκνία·

Digitized by Google

ἂν δ' ἐξαδέλφων παῖδες μὲν ὡς ἡ κοινότης λέγει,
ἀνεψιαδές μοι τέτυες καλῶν ἐχ' ἁμαρτήσεις·
ὥς περ θυγατριδὲς πάλιν υἱὲς τῶν θυγατέρων,
καὶ τῶν υἱῶν δὲ υἱῖδὲς ἄν περ κυρίως γράφῃς.
Οὕτω σώζειν ἐκέλευεν Ἕκτωρ τὸν πεπτωκότα·
καὶ πέμψας κατὰ Αἴαντος Λυκόφρονα φονεύει,
παῖδα τελέντα Μάσορος, βαλὼν ὑπὲρ ὠτίε.
ἐκ τῆς νηὸς δὲ πέπτωκεν Αἴαντος ὢν πλησίον·
Αἴαντος δὲ καλέσαντος ἦλθεν ἐγγὺς ὁ Τεῦκρος·
Κτείνει Κλεῖτον τοξεύσας δὲ εἰς τὲπισθεν αὐχένος,
ὄντα τῆ Πολυδάμαντος ἡνίοχον τῷ τότε·
ὡς δὲ καὶ πρὸς τὸν Ἕκτορα τὸ τόξον ἦν ἑλκύσας,
ἡ μὲν νευρὰ διέρρηκτο, τὸ βέλος παρερρύη,
τὸ τόξον πίπτει τῆς χειρὸς, δειλαίνει δ' ὁ τοξότης·
λαβὼν δὲ σάκος καὶ κοντὸν Αἴαντι παρεστάθη.
Ἕκτωρ δ' ἐβόησε Τρωσὶν ἐμβαίνειν πρὸς τὰς νῆας,
ὡς εἶδε τὰ τοξεύματα τῆ Τεύκρε βεβλαμμένα.
Ὁ Αἴας δὲ τὲς Ἕλληνας παρώτρυνεν ἐνθένδε
λέγων· καλόν ἐςι θανεῖν ἢ σῶσαι νῦν τὰς νῆας·
ἢ προσδοκᾷ τις ἐξ ἡμῶν, εἰ καύσωσιν ἐκείνας,
ποσὶ βαδίσαι θάλασσαν ἐλθεῖν εἰς τὰς πατρίδας;
ἀ παρορμῶντος Ἕκτορος ἀκύετε τὲς πάντας;
ἐκ εἰς χορὸν αὐτὲς καλεῖ, καλεῖ δὲ πρὸς τὴν μάχην·
ὃ δὲ συμφέρον ἅπασι, τῆτα νοῶ καὶ λέγω·
ἀλλήλοις μίξωμεν ἐγγὺς τῇ κατὰ χεῖρας μάχῃ·
κρεῖττον ὑπάρχει γὰρ θανεῖν ἢ ζῆσαι χρόνον ἕνα,
ἢ καρτερεῖν ἐπὶ πολὺ πολέμων περισάσεις,
καὶ τό τε τὸ βαφύτερον ἀνδρῶν ἐκ χειρατέρων
ἕτως εἰπὼν ἀνήγειρε πάντων τὴν προθυμίαν.
Καὶ Ἕκτωρ Περιμήδεος υἱὸν Σχέδιον κτείνει
ὁ Αἴας Δαοδάμαντα. Ἀντήνορος τὸν παῖδα,

Digitized by Google

τῶν Τροϊκῶν τῶν πεζικῶν ταγμάτων ἡγεμόνα.
Ὁ Πολυδάμας Ὦτον δὲ κτείνει τὸν ἐκ Κυλλήνης·
ὁ Μέγης ϛήθει δὲ βαλὼν, ἀνήρηκε τὸν Κροῖσμον.
Ὁ Δόλοψ παῖς τῷ Κάμπε δε τῷ Μέγητος τὸ σάκος
τιτρᾷ μὲν, ἀλλ' ἐρρύσατο τῶτον ὁ Θώραξ τότε·
ὁ Μέγης δὲ τῷ δόρατι κόπτει τὸν λόφον τότε·
ὁ δὲ Μενέλαος αὐτὸν ὤμῳ βαλὼν ἀνεῖλεν·
Ἕκτωρ δ' ὀτρύνας ἅπαντας ἐχώρει καθ' Ἑλλήνων,
ὁ Αἴας δὲ τὲς Ἕλληνας διήγειρεν ἐνθάδε·
ἐν σιδηρῷ πυργῶσι δὲ τότε τὰς νῆας τείχει·
Ἀντίλοχος πηδήσας δὲ Μελάνιππον ἀνεῖλε,
τῶτον βαλὼν τῷ δόρατι παρὰ μαζὸν εἰς ϛῆθος·
ἐφορμηθεὶς συλῆσαι δὲ τὴν τότε πανοπλίαν,
Ἕκτορα τρέχοντα ἰδὼν, τοῖς Ἕλλησι προσφεύγει·
Ἕκτωρ δ' ἀπῆλθε σὺν Τρωσὶ μετὰ κραυγῆς μεγάλης,
καὶ δὴ πειράζων ἤθελε κόπτειν ἀνδρῶν τὴν ϛάσιν,
ὅπε περ πλῆθος ἦν, ὁρῶν λαμπράς τε πανοπλίας,
ἀλλ' ἠδυνάτει πρὸς αὐτὸ, καί περ πολλὰ σπεδάζων.
συνεπυκνῶντο πύργε γὰρ δίκην προσηρμοσμένοι.
Καθάπερ πέτρα δ' ὑψηλὴ θαλάσσης ἐγγὺς ἔσα
πνοὰς ἀνέμων καρτερεῖ καὶ κύματα μεγάλα,
ἕτω τὲς Τρῶας Ἕλληνες μένοντες ἐκαρτέρευν·
μόλις κόψας εἰσέδραμε, τὲς Ἕλληνας δὲ τρέπει·
τὸν Μυκηναῖον δ' ἔκτεινε Κοπρέως Περιφήτην,
ἄντυγι σάκες τῷ αὐτῷ πεσόντα τῷ προσκρῶσαι·
ὃν καὶ δραμὼν ἀπέκτεινε δορὶ βαλὼν πρὸς ϛῆθος·
οἱ δὲ πάντες ἐτράποντο πρὸς ἐσωτέρας νῆας·
ὁ Νέϛωρ παρακλήσει δε τότες κρατεῖ μὴ φεύγειν.
Ὁ Αἴας μόνος δ' ἀναβὰς πλοῖον ἐκ πλοίε τρέχων,
δόρυ κινῶν τε ναύμαχον, βοῶν φωνῇ μεγάλῃ
ὡς φθάνειν ὡς πρὸς ἑρανὸν, ἐκέλευσεν Ἀργείας,

Digitized by Google

ὡς δυνατὸν καὶ ταῖς σκηναῖς ἀμύνειν καὶ τοῖς πλοίοις.
Ἕκτωρ τὲς Τρῶας πάντας δὲ καὶ πάλιν ἐφορμήσας
τῆς ταχυπλόϵ ἥψατο νηὸς Πρωτεσιλάϵ·
καὶ πάλιν ὡς ἀδάμας-οι τὴν μάχην συνεκρότεν
οἱ Τρῶες καὶ οἱ Ἕλληνες· ἐκ ἄκοντας, ἐ τόξα,
ἐ γὰρ μακρόθεν ἵς-αντο πέμποντες κατ' ἀλλήλων,
ἀλλ' ἔγχεσι, πελέκεσιν, ἀξίναις, παντὶ ξίφει·
πολλὰ δὲ ξίφη πέπτωκεν ἐκείνων μαχομένων,
ἡ γῆ δὲ κατερρέετο βροχαῖς ταῖς τῶν αἱμάτων.
Ἕκτωρ κρατῶν τὴν πρύμνην δε, πῦρ ἔλεγε κομίζειν·
οἱ δὲ πάντες ἐφώρμησαν τοῖς Ἕλλησιν ἐς πλέον·
Αἴας δὲ συμπνεγόμενος πάντων βελῶν πυκνώσει,
κατόπιν ἔς-η τῆς νηὸς προσβόκιμος ὢν ϑνήσκειν,
πρὸς ϑρῆνυν ς-ηριζόμενος τὸν ναυτικῶν τῷ κόπῳ·
ἐκεῖ δ' ἐς-ὼς ἀπήλαυνε τῶν Τρώων τὲς πυρφόρϵς,
ἀεὶ βοῶν δ' ἐκπληκτικὸν παρώτρυνεν Ἀργείϵς·
ἄνδρες, πολέμια μνήσασϑε, γενναίως πολεμεῖτε·
ἆρα δοκεῖτε βοηϑὲς ἔχειν τινὰς ὀπίσω,
ἢ τεῖχος ὃ τὸν ϑάνατον ἡμῶν ἀποδιώξει;
ἐκ ἔς-ι πόλις τὶς ἡμῖν ὅϑεν ς-ρατὸς ἐξέλϑοι,
ἐν πεδιάσι Τρωϊκαῖς μακρόθεν τῆς πατρίδος
ῥιπέντες παρὰ ϑάλασσαν, τὴν μάχην συγκροτῶμεν·
ἐν ταῖς χερσὶν ἡμῶν ἐς-ὶ λοιπὸν ἡ σωτηρία·
χαυνοπολέμως ἀδαμῶς ἡμᾶς εἶναι νῦν πρέπει·
ταῦτα βοῶν ἐκήργει μὲν αὐτὸς τῷ δορατίῳ
τετρώσκων Τρῶας ἅπαντας πῦρ φέροντας ὀλκάδϵν·
ἀπέκτεινε δὲ δώδεκα πρὸς τῶν νηῶν πυρφόρϵς.

---

Μέχρι τῆς ὁ τὸ σύνταγμα ἐγράφη τῇ Ἀνάσσῃ·
ἐντεῦϑεν ἦν δὲ κίνδυνος λοιπὸν παρεισδῦναι
ὑ δυσροπίαϲ περισσῇ τῇ τῶν χρηματοδοτέντων·

Digitized by Google

ὁ δ' εὐγενὴς Πεισίστρατος Κοτέρτζης Κωνσταντῖνος,
χρήμασι σφοῖς ἐπέσπευσεν εἰς πέρας προαχθῆναι,
ὅθεν ἐντεῦθεν ἅπασα τέτῳ προκείσθω χάρις·
καὶ δὴ νῦν καταρκτέον μοι τῆ πῖ τῆς ῥαψῳδίας.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Π. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Πατρόκλῳ δὲς ὁ Ἀχιλεὺς αὐτῆ τὴν πανοπλίαν,
ἐξάγει πρὸς τὸν πόλεμον μετὰ τῶν Μυρμιδόνων·
τρέπυσι Τρῶας, Πάτροκλος κτείνει δὲ Σαρπηδόνα,
προκτείναντα τὸν Πήδασον ἵππον τῆ Ἀχιλέως·
εἶτα θνήσκει καὶ Πάτροκλος χερσὶ ταῖς Ἕκτορείαις,
δορὶ Εὐφόρβυ πρωτηγενεῖς λάθρα τῷ μεταφρένῳ·
ἦν προγυμνώσας γὰρ αὐτὸν τῶν ὅπλων ὁ Ἀπόλλων.
Ἐκ τῆ κειμένε νῦν τῆς πῖ Ὁμήρε ῥαψῳδίας·
περὶ νηὸς μὲν ὄντως ἦν τῆς εὐκαθέδρε μάχη
τῷ Ἀχιλεῖ δὲ Πάτροκλος περίστατο δακρύων,
ὃν ἐρωτήσας Ἀχιλεὺς μαθών τε τὴν αἰτίαν
ὅτι τὲς Ἕλληνας κακῶς πάσχοντας κατοικτείρει,
καὶ βοηθεῖν προτρέπεται τῦτον αὐτὸν ἐκείνοις,
πέντε συντάξας λοχαγὲς τακμάτων ἀρχηγέτας,
καὶ τῷ Διῖ εὐξάμενος, ἤτοι τῆ εἱμαρμένῃ,
καὶ πάντα νεθετήσας δε τὰ πρόσφορα Πατρόκλῳ,
προσβοηθεῖν ἐκέλευσε προτρέπων πρὸς τὴν μάχην·
οἱ σὺν Πατρόκλῳ πάντες δε γένος τῶν Μυρμιδόνων,
μετὰ βοῆς τε καὶ κραυγῆς διῳῶντες τῆ πολέμῳ,
ὁρμὴν σφικῶν δεικνύοντες ἐχώρευν κατὰ Τρώων·
πάντες δ' οἱ Τρῶες ἤπεσυτο φυγῆς ὡς πρὸς τὴν Τροίαν.
Πάτροκλος τὸν Πρωραίχμην δὲ Παιόνων ἀρχηγέτην,

Digitized by Google

ἐξ Ἀβυδῶνος πόλεως, ἐκ ποταμοῦ Ἀξίου,
δορὶ κατ' ὦμον δεξιὸν ἀνεῖλεν ἀκοντίσας·
πεσόντος τότε δ' εἰς φυγὴν χωρεῖ τὰ τῶν Παιόνων·
οἱ τῷ Πατρόκλῳ δ' ἔσβεσαν τὴν ναῦν Πρωτεσιλάου.
Ζεύς δ' ὁ κινῶν τὰ νέφη νῦν, τυτέσσιν ὁ καθαίρων,
ἀὴρ ἔστὶν ὁ εὔδιος καὶ πλεῖον ὐδὲν ἄλλο.
Ἐκ τῆς νηὸς φευγόντων δὲ τῶν Τρώων πρὸς τὴν Τροίαν,
ἕκαστος Ἕλλην ἡγεμὼν Τρώων ἀνεῖλεν ἄνδρα·
Πάτροκλος Ἀρηΐλυκον δορὶ μερὸν ἐνσχίσας,
Θόαντα δὲ Μενέλαος πρὸς στῆθος δορατίσας,
ὁ Μέγης παῖς Φυλέως δὲ τὸν Ἄμφικλον ἀνεῖλε,
περὶ τὴν *ἀπονεύρωσιν τῷ σκέλους δορατίσας. * alii, ce. ἀποδύρωσιν.
Ἀντίλοχος Ἀτύμνιον βαλὼν κατὰ λαπάραν,
τὸν δ' Ἀτυμνίου ἀδελφὸν Μάρυν τῷ Ἀντιλόχῳ
μαχόμενον, βραχίονος τρώσας ἀπονευρώσεις,
ὁ Θρασυμήδης ἀδελφὸς ἀνεῖλεν Ἀντιλόχου·
ἦσαν δὲ ἕτοι Παταρεῖς ἑταῖροι Σαρπηδόνος,
τῷ Χίμαιραν ἐκθρέψαντος, παῖδες Ἀμισωδάρου·
νῦν μυθικὴν τὴν Χίμαιραν τὴν τερατίαν οἶδας,
καὶ τὴν Βελλεροφόντου δὲ τοπρὶν ἀλληγορίαν·
λέοντα λέξαντος ἐκεῖ σοὶ λέγειν τὰς Σολύμους,
ὡς μαχομένους προφανῶς λεοντικῷ τῷ θράσει·
τὰς Ἀμαζόνας, Χίμαιραν· εἶτα κρημνοβατοῦσας
δράκοντα δὲ τὴν ἔνεδραν, τὴν εἰς Βελλεροφόντην,
τὴν ἣν περ συνεστήσαντο πρὸς τὸν ἐκείνου φόνον.
Ταῦτα μὲν ἔτω σοὶ τὸ πρὶν καλῶς ἠλληγορήθη·
νῦν δ' ἔτω δέ σε χρὴ νοεῖν τὰ τῆς Χιμαίρας τῆσδε·
Ἀμισωδάρῳ Χίμαιρα ληστρὶς τις ἦν θυγάτηρ
ἐν ὑψηλοῖς Αὐκίας τε καὶ περικρήμνοις τόποις,
καὶ Λέων δὲ καὶ Δράκων δὲ δύο υἱοὶ ἐκείνης,
ἐξ ἑκατέρων τῶν μερῶν τῇ ἀδελφῇ συνήργουν·

Digitized by Google

ὁ Στωϊκὸς Παλαίφατος ἀλληγορεῖ μὲν ἕτως·
ἡμεῖς δ' ἕτω σοι λύσμεν ἐνταῦθα τὸ χωρίον.
Ἡ Χίμαιρα κρημνώδης τις ἦν τόπος ἐν Λυκίᾳ,
κρημνώδης, λοχμωδέστατος, φίλος τοῖς κακεργοῦσι·
τὴν ἣν περ Ἀμισώδαρος λῃστήριον ἐποίει,
ἐν τοῖς κρημνοῖς, καὶ τοῖς λοχμοῖς ἔχων λῃστὰς τυχόντας,
ἐκ μετεώρων κτείνοντας καὶ λάθρα τὺς ὁδίτας,
τοῖς ἐπιμάχοις ἔχων δὲ τὺς λεοντώδεις ἄνδρας,
τὺς σθεναρὺς καὶ φονικὺς ἐν τῇ συστάδην μάχῃ·
ὅθεν Χίμαιραν λέγεται τοιαύτην ἀναθρέψαι·
ἕτως οἱ Νεσσορίδαι μὲν τὺς Ἀμισωδαρίδας,
ὧν ὁ πατὴρ ἐξέθρεψε τὴν Χίμαιραν, ἀνεῖλον.
Ὁ δὲ Λοκρὸς Κλεόβουλον ἀπέκτεινε τῷ ξίφει,
ὡς τὰς πορφύρας ἐν μιᾷ πληγῇ πορφυραγρέται,
ἢ πορφυρέῳ, ἐρυθρῷ, αἱματηρῷ θανάτῳ.
Λύκων δὲ καὶ Πηνέλεως συνέρραξαν ἀλλήλοις·
τὸ φάσγανον ἐθραύσθη δὲ τῦ Λύκωνος αὐτίκα,
καὶ Πηνελέω κέκρικε τὴν τερπικεραλαίαν,
παρ' ἧς δὲ ὁ Πηνέλεως πλήξας αὐχένα τέμνει.
Ἀκάμαντα δ' ἀπέκτεινε δόρατι Μηριόνης,
τῶν ἵππων ἐπιβαίνοντα, βαλὼν κατὰ τὸν ὦμον,
Ἰδομενεὺς δ' Ἐρύμαντα βαλὼν κατὰ τὸ στόμα.
Οὕτω τὺς Τρῶας ἀριστεῖς οἱ Ἕλληνες ἀνῄρευν·
Ἕκτορα δ' Αἴας ἔσπευδε βαλεῖν τῷ δορατίῳ·
ὁ δ' ὢν ἐμπειροπόλεμος, πύρινος στρατηλάτης,
σκέπων σφὺς ὤμους τὺς πλατεῖς ἀσπίδι ταυροδέρμῳ,
ἐσκέπετο τοξεύματα καὶ πλήξεις τῶν δοράτων·
ὅμως γινώσκων τὴν τροπὴν ἔσωζε τὺς οἰκείους,
ἕως κατεῖδε φεύγοντας ἀκόσμως, πεφυρμένους·
καὶ τότε τέτας ἔλειψε παραδραμὼν τοῖς ἵπποις·
οἱ δὲ δεινὰ καὶ δυσχερῆ μυρία πεπανθότες,

Digitized by Google

μόλις ἐπεραιώθησαν τὴν ὀρυκτὴν ταφρείαν·
Πατρόκλυ δ' ἐπισπεύδοντος Ἀργείους κατὰ τούτων,
πάσας πληροῦσι τὰς ὁδοὺς ἀκόσμως πεφευγότες·
ὡς χείμαῤῥοι δὲ ῥέοντες ἠχοῦσι λαβροτάτως;
οὕτως ἐςέναζον φρικτὸν φευγόντων Τρώων ἵπποι·
ὁ Πάτροκλος ἡττήσας δε τὰς φάλαγγος τὰς πρώτας,
τοὺς Ἕλληνας ἐπέτρεπε πάλιν καὶ πρὸς τὰ πλοῖα,
ποοθύμους ὄντας πρὸς αὐτὴν τὴν Ἴλιον ἐλαύνειν·
μέσον νηῶν καὶ τείχους δε καὶ ποταμοῦ ἀνῄρει.
Καὶ πρῶτα κτείνει Πρόνοον βαλὼν κατὰ τὸ ςέρνον.
καὶ Θέςορα τὸν Ἤνοπος, Εὐρύαλον ἐν πέτρῳ,
Ἀμφοτερὸν, Ἐρύμαντα, Τληπόλεμον, Ἐπάλτην,
Ἰφέα, καὶ τὸν Πύριν δε Ἐχίον, Ἀργεάδην,
καὶ Σαρπηδόνα δι' αὐτοὺς ἔκτεινεν ἀντιςάντα·
ὡς ἦλθον κατ' ἀλλήλων γὰρ συνάπτοντες τὴν μάχην,
πρῶτος βαλὼν ὁ Πάτροκλος κτείνει τὸν Θρασυμήδην,
ἡνίοχον ὑπάρχοντα τοῦτον τοῦ Σαρπηδόνος,
ὁ Σαρπηδὼν τὸν ἵππον δε τὸν Πήδασον Πατρόκλυ.
ὡς δὲ δευτέρως ὥρμησαν καὶ πάλιν κατ' ἀλλήλων,
μάταιον μὲν προέπεμψεν ὁ Σαρπηδὼν τὸ δόρυ·
ὁ δὲ πρὸς τὸ διάφραγμα καὶ τὸν ἐπίπλουν βάλλει.
εὐθείς δ' ἐκεῖνος ὥς περ δρῦς, ὡς λεύκη, πεύκη πίπτει,
βρυχώμενος ὡς ταῦρος δὲ τὸν Γλαῦκον ἀνεκάλει,
καὶ οὕτως ἐξανέπνευσεν, ἀπέλιπε τὸν βίον.
Ἀλλά γε δὴ ῥητέον μοι, τίς Ζεὺς τανῦν ὑπάρχει,
τοῦ Σαρπηδόνος ὁ πατὴρ, ὁ σπεύδων τοῦτον σώζειν,
καὶ τίς ἡ τὴν ἀναίρεσιν Ἥρα ποθοῦσα τούτου,
καὶ πῶς καὶ πόθεν οὐρανὸς ἔχει βροχὰς αἱμάτων.
ὥς περ καὶ σίτων, καὶ τεφρῶν, ὄφεων, ἄλλων πόσων,
καὶ τίς Ὕπνος, καὶ Θάνατος, οἱ κλέψαντες ἐκεῖνον,
καὶ πρὸς πατρίδα τὴν αὐτοῦ Λυκίαν τὴν Πατάρων.



Digitized by Google

Νῦν Ὅμηρος ὁ πάνσοφος ἡ θάλασσα τῶν λόγων,
γενέθλιον θεμάτιον γράφει τοῦ Ποσειδῶνος·
καὶ λέγει τοῦτο, τοῦ Διὸς ἐχείν μὲν τὸν ἀστέρα,
ἐν οἷς τόποις πεφύκασιν οἱ ἀρχηγοὶ γεννᾶσθαι·
ὅθεν καὶ τούτου λέγει δὲ πατέρα τὸν ἀστέρα·
Ἥρα δ' ἀστὴρ ἐστὶν Ἑρμοῦ, ὃν περ τῷ γενεθλίῳ
σὺν τοῖς ἀστέρων φαυλουργοῖς, σὺν Ἄρει δὲ μᾶλλον,
νικᾶν τὸν Δία δείκνυσιν, ὅθεν καὶ θνήσκειν λέγει,
τοῖς, οἷς τρόποις εἰρήκαμεν, θανεῖν τὸν Σαρπηδόνα·
ἐπεὶ σημεῖα δὲ ποτὲ παθῶν εἰσὶ μεγάλων,
αἱμάτων ὄμβροι καὶ τεφρῶν, ὡς εὐημέροις χρόνοις,
πολλῶν μὲν ἄλλων ἀγαθῶν καὶ σίτων ἐπομβρίαι,
λεκτέον ὅπως γίνονται καὶ ποίῳ δὲ τῷ τρόπῳ.

Ἀὴρ καὶ αἱ νεφέλαι γὰρ τὸ πᾶν ἐξανιμῶσαι
ἐκ γῆς, θαλάσσης, ποταμῶν, λιμνῶν, ὀρῶν, βορβόρων,
αἷμα καὶ σῖτον, τέφραν τε, ὄφεις, ἰχθῦς, κοπρίαν,
καὶ πᾶν λοιπὸν τὸ προστυχὸν ἀνάγουσαι, ὀμβροῦσιν·
ἐπεὶ τῷ τότε δὲ καιρῷ πολλῶν ἀνῃρημένων
αἱμάτων, ἦσαν λιμνασμοὶ ταῖς Τρώων πεδιάσιν,
ἀνενεγκοῦσαι κάτωθεν, ὤμβρησαν αἱ νεφέλαι·
ἔγνως τὸν Δία, Ἥραν τε καὶ χύσιν τῶν αἱμάτων,
Ἀπόλλωνα τὸν κλέψαντα καὶ λούσαντα δὲ τοῦτον,
καὶ Ὕπνον δὲ καὶ Θάνατον οἱ πρὸς Λυκίαν ἦγον,
ἄκουε νῦν καὶ μάνθανε πρῶτον ἐκ Φιλοστράτου.

Ἐκέκαστο ἀρώμασι, καθεύδοντι ἐῴκει,
ταῦτα μὲν ὁ Φιλόστρατος καὶ πλεῖον οὐδὲν ἄλλο·
Τζέτζης δὲ τὸν Ἀπόλλωνα νῦν τοῦτον τὸν ἐνθάδε
τὸν κλέψαντα καὶ λούσαντα τὸν Σαρπηδόνα λέγει
φαῦσιν ἡλίου πυραυγῆ, δι' ἣν παυθείσης μάχης
κλέπτουσι τοῦτον Λύκιοι καὶ λούσαντες κοσμοῦσι,
καὶ καθ' ἑσπέραν τὴν αὐτὴν ἐχώρουν πρὸς Λυκίαν·

Digitized by Google

ἔθεν ὄφρα καὶ θάνατος λέγηται τῶν σολέων,
καὶ πρὸς πατρίδα γαῖαν ἑὸν δόθεν ἀπονέεσθαι.
Ἐπὶ τοῖς ἀνώτερα δὲ καὶ προλαβὼν ἔλεγες,
Ὅμηρος παῖδας Σαρπηδὼν καὶ τὸν Ἐρμῆν εἰρύσω,
καὶ ταῦτα νῦν λεπτέον μοι καὶ καθεξῆς δὲ σ' ἄλλα.
Θυγάτηρ ἡ Πηλέως μὲν ἡ κλυτὰν Πολυδώρη,
τινὶ φθαρεῖσα παρ' αὐτῷ τῷ Σαρπηδόνι ἔσχεθε,
παῖδα γεννᾷ Μενέσθιον, ὃν Ὅμηρος αἰνεῖ πολλά.
τῷ ποταμῷ τῷ Σαρπηδόνι λέγει μιγῆναι ταύτην.
Ἡ Φύλαντος θυγάτηρ δὲ πάλιν ἡ Πολυμήλη
ἐν ἑορτῇ Ἀρτέμιδος, ἥτις ἐστὶ τῆς σελήνης,
παλλευομένοις τοῖς χοροῖς θέλγει ἐκεῖ τῶν νέων,
οἷς λόγος ἐπιτήδευμα, ὃς καὶ μεγεῖς ἐκείνῃ,
τὸν Εὔδωρον γεγέννηκεν, ἀλλ' ἑπτέον τἀῦτα·
ἤδη δὲ χαρτέον μοι πρὸς τὸ λοιπὸν τῆς βίβλου,
καί μοι λεκτέον πέρι ἐστὶν νῦν ἐκεῖνο Ἀπόλλωνος,
ᾧ τινι Γλαῦκος εὔχεται ἐπίσασθαι τὸ ἔλκος.
Ὁ Σαρπηδὼν κυκώμενος χερσὶ παῖς τῷ Ἡρακλέους,
ἀνιηρὸν μὲν ἑαυτῷ ἐνόμιζεν τὸν Γλαῦκον
ὑπὲρ αὐτοῦ ὑπερμαχεῖν μὴ γυμνωθῇ τῶν ὅπλων·
Γλαῦκος δὲ τὸν βραχίονα πρωτοξυθεὶς τῷ βέλει,
οὐδόλως ἦν κατεσπουδῶν δέρυ χεραὶ κινῆσαι,
ὑπερμαχεῖν τε τῷ ἀνδρὸς τῷ συγγενοῦς παρόντος.
καὶ μᾶλλον ψυχρότερα δὲ καὶ τῷ χέρος ὄντος
διότερ φεύγειν εὔχεται ὑλίκι γεγονέναι·
οὗ γενομένου καὶ χρατεῖν τὸ δέρυ κατισχύσας
λέγεται ὑπ' Ἀπόλλωνος τὸν χεῖρα ἰαθῆναι,
ἐλθὼν ὡς πρὸς τὸν Ἕκτορα, εἶτα δὲ λέγει τάδε.
Ἕκτορ, νῦν κεῖται Σαρπηδὼν ὁ στρατηγὸς Λυκίων,
ὑπὸ Πατρόκλου δὲ αὐτὸν ἀπέκτεινεν ὁ Ἄρης.
ἄγαν Πατρόκλου ἔκτειναν ἡ πόλεμος ἐκεῖνον,

Digitized by Google

ἤ τοι ἐκτάνθη Σαρπηδὼν ἐν μάχῃ τῷ Πατρόκλῳ·
εἶτ' οὖν Ἄρης καὶ Θυμὸς κτείνει Πατρόκλῳ τοῦτον,
ἤ τοι θομοῦμενος αὐτὸν ὁ Πάτροκλος ἀνεῖλεν,
ἤ τῷ Θυμῷ ὁ Σαρπηδὼν τῷ ἑαυτῦ, καὶ τόλμῃ
ὁρμήσας γενναιότερον, ἀνῄρεται Πατρόκλῳ,
ἤ Ἄρης καὶ ὁ σίδηρος, δόρυ τὸ τῦ Πατρόκλυ,
τὸν Σαρπηδόνα ἔκτεινεν. Ἐπ' ἄλλα χωρητέον.

Τῶν Τρώων καὶ Ἑλλήνων δὲ περὶ τῦ Σαρπηδόνος
μάχην βαρεῖαν καὶ δεινὴν ἀλλήλοις συρραξάντων,
ὁ Ζεὺς, ἀήρ, ἐποίησε σκότον νεφῶν τῇ μάχῃ·
σημεῖα γὰρ συντρέχουσι πολλάκις τοῖς στοιχείοις
ἐν τελευταῖς ἀνδρῶν τινῶν, καὶ μᾶλλον διασήμων·
τὸν Βαθυκλῆ δ' ἀπέκτεινε Χάλκωνος υἱὸν Γλαῦκος.

Ὀνήτωρ ἦν τις ἱερεὺς. υἱὸς δὲ τοῦ Ἰδαίου,
ἤ τοι ἄερος τοῦ αὐτοῦ τῇ Ἴδῃ πεφυκότος,
ἤ καὶ τῆς εἱμαρμένης δὲ Ἴδῃ ναὸς ἐτέλει·
τούτου δὲ τοῦ Ὀνήτορος Λαόγονον υἱὸν
ὁ Μηριόνης ἔκτεινε βαλὼν γναθμὸν παρ' οὖας.

Οἱ Ἕλληνες καὶ Τρῶες μὲν περὶ τοῦ Σαρπηδόνος
ἀλλήλοις συνερρήγνυντο μάχην καρτερωτάτην·
ἐξέφυγεν Αἰνείᾳ δὲ τὸ δόρυ Μηριόνης,
ὅ περ ἐπάγη πρὸς τὴν γῆν κύψαντος Μηριόνυ·
ὁ Ζεὺς ἀπὸ τῆς μήχης γὰρ τῆς καρτερᾶς ἐκείνης,
σφοὺς ὀφθαλμοὺς οὐκ ἔτρεψεν ὑδόλως ἀλλαχόσε·
τὴν μάχην δ' ὥρα μεριμνῶν περὶ Πατρόκλῳ φόνου,
εἶτ' οὖν καὶ τοῦτον κτείνειεν ὁ Ἕκτωρ παραυτίκα
τοῦ Σαρωηδόνος ἔγγιστα, συλήσει τὲ τὰ ὅπλα·
ἤ ἔτι κτείνει καὶ λοιπὺς, μᾶλλον ἐκ Τρώων οὗτος,
ἔδοξε λῶον κτεῖναι δὲ τὸν Πάτροκλον καὶ ἄλλους·
ὁ Ἕκτωρ ἀλσγίστως δὲ φεύγειν εὐθὺς ὡρμήθη,
καὶ σὺν αὐτῷ καὶ τὲς λοιπὲς πρέτεινε Τρῶας φεύγειν,

Digitized by Google

εἴτ' οὖν ἐκ μάντεως τευὸς βουλὴν Διὸς ἀλέσας,
εἴ τε καὶ μόνος ἐγνωκὼς ῥοπὴν τῆς εἱμαρμένης.
Τέτων φευγόντων δὲ λοιπὸν Ἕλληνες σὺν Πατρόκλῳ,
ἀπὸ τῶν ὤμων εἵλοντο τὰ ὅπλα Σαρπηδόνος,
ἃ Πάτροκλος ἀπέσ-αλκεν ὡς πρὸς τὸν Ἀχιλέα·
ἀλλ' ἀλληγορητέον μοι ταῦτα τὰ μέχρι τῶδε,
ἔπεστα συναπτέον μοι καὶ τὰ λοιπὰ τῇ ὕφυς.
Ὁ Ζεὺς ἐκ ἔτρεψεν αὐτῷ τὼς ὀφθαλμὼς ἀβόλως,
ἀλλ' ἦν ὡς ἔφην μεριμνῶν περὶ Πατρόκλῳ φόνῳ·
τῶτο φησὶν ὁ Ὅμηρος ἐν τέτῳ τῷ χωρίῳ,
ταύτῃ τῇ μάχῃ εἱμαρτο καὶ Πάτροκλον κτανθῆναι,
ἀλλὰ μετὰ μικρόν τινα βραχύν τε πάνυ χρόνον·
εὐθὺς ὁ Ἕκτωρ φεύγει γαρ· τῷ μὲν δοκεῖν ἀλόγως,
τῇ δ' ἀληθείᾳ τεχνικῶς καὶ σ-ρατηγικωτάτως,
φεύγειν κελεύσας καὶ λοιπὼς πάντας σὺν τέτῳ Τρῶας·
ὁ Ἕκτωρ καὶ οἱ Τρῶες γαρ μέχρις ἡμέρας μέσης,
τὸ βάρος πρὸς τὼς Ἕλληνας ἐδέχοντο τῆς μάχης·
ἀκμήτων Μυρμιδόνων δὲ ἀθρόως ἐκδραμόντων,
ὡς πρὸς φυγὴν ἐτράπησαν· πάλιν δ' ἀντι-ραφέντες,
ἄλλην δευτέραν ἔμελλον ἀρχῆθεν κρστεῖν μάχην.
Ἐπεὶ δ' ὁ μέγας σ-ρατηγὸς Ἕκτωρ ἐκεῖνος ἔγνω
ὄντας προθύμως πνεύματι, σάρκα δ' ἠθενηκότας
τῇ μέχρι τέτε μάχῃ τε καὶ ζέσει τῶ ἡλίε,
καὶ μέγαν ὄντως κίνδυνον ἤλπισε γεγονέναι,
εἴ περ πάλιν συνάψωσι κατέσκοποι τὴν μάχην,
καὶ προθυμότερον αὐτὼς ἐώρα πολεμοῦντας,
φεύγειν αὐτὸς ἐπλάσατο καὶ τέτες φεύγειν λέγει,
ὅπως μικρὰν ἀνακωχὴν λάβωσι τῶ καμάτου,
καὶ πάλιν γενναιότερον Ἕλλησιν ἀντι-ῶσιν.
Οὕτω ποιήσας εἵλκυσεν ὡς πρὸς φυγὴν τὼς Τρῶας,
φυγὴν δοκοῦσαν, οὐ φυγὴν, ἀνάπαυσιν δὲ μάχης·

Digitized by Google

τούτων τραπέντων δ' εἰς φυγὴν οἷς περ εἰρήκειν τρόποις,
τῆς πανοπλίας Ἕλληνες γυμνοῦσι Σαρπηδόνα,
ὃν ὁ Ἀπόλλων ἐκ βελῶν βουλαῖς Διὸς ἀείρας,
λούσας ἐνδύει εἵμασι καὶ χρίσας ἀμβροσίᾳ,
πομποῖς διδύμοις ἀδελφοῖς, Ὕπνῳ καὶ τῷ Θανάτῳ,
δίδωσιν, οἱ κομίζουσι τοῦτον εἰς τὴν Λυκίαν·
εἶπον τὴν τοῦ Ἀπόλλωνος σοὶ πρὶν ἀλληγορίαν,
ὅμως καὶ πάλιν λέξωμεν ἕνεκα σαφηνείας,
καὶ ἕνεκα κολλήσεως καὶ συναφῆς τοῦ λόγου·
Ἑλλήνων γυμνοσάντων μὲν ὡς ἔφην Σαρπηδόνα,
ἐξ οὐρανόθεν φλέγοντος ἡλίου θερμοτάτου,
ἢ εἱμαρμένης ταῖς βουλαῖς οὕτω θερμοῦ φανέντος,
οἱ Τρῶες ἀπεπαύθησαν Ἕκτορος στρατηγίαις·
Πάτροκλος δὲ σὺν Ἕλλησι τισὶν ἀσηγκροτήτοις,
ἀπείροις τέχνης τῶν μαχῶν, ἐδίωκον τοὺς Τρῶας·
οἱ Λύκιοι δὲ ἄδειαν οὕτως εὑρόντες τότε,
καὶ τὸν αὐτῶν ἀράμενοι δεσπότην Σαρπηδόνα,
λύουσι καὶ κοσμοῦσι δὲ, χρίουσιν ἀμβροσίᾳ,
ἤ τοι φαρμάκοις τοῖς τηρεῖν ἀσήπτως δυναμένοις,
καὶ τοῖς δυσὶ τοῖς ἀδελφοῖς, τῷ Ὕπνῳ καὶ Θανάτῳ,
ἤ τοι θανόντα τουτονὶ ἑσπέρᾳ, ὕπνου χρόνῳ,
εἰς τὴν Λυκίαν ἔπεμψαν τὴν ἑαυτοῦ πατρίδα.
Ὁ Πάτροκλος διώκων δὲ τοὺς Τρῶας καὶ Λυκίους
τὰ μέγιστα οὐ μέτρια ὁ νήπιος ἐβλάβη·
ἔφυγε δ' ἂν τὸν θάνατον τηρῶν τὰ Ἀχιλέως,
ἀλλ' εἱμαρμένης λογισμὸς κρείσσων ἐστὶν ἀνθρώπων.
Τίνα δ' οὖν τότε Πάτροκλε ἀνεῖλες ἐκ τῶν Τρώων,
ὁπότε δή σε οἱ θεοὶ πρὸς θάνατον ἐκάλουν;
θεοὺς τὴν εἱμαρμένην νῦν καὶ τοὺς ἀστέρας λέγει,
τοῦ γενεθλίου καθ' ἑνὸς ἁπάντων τῶν ἀνθρώπων·
τὸν Ἄδρηστον, Αὐτόνοον, τὸν δεῖνα καὶ τὸν δεῖνα,

Digitized by Google

τοῖς μεμαῶτ' ἐπὶ Ἴλιον αἱ Ἕλληνες ἄνα εἶλον,
εἰ μὴ Ἀπόλλωνα σημάντορα Τρωσὶ πρὸ πύργου ἔστη
ἐχθρὰ φρονέων Πατρόκλῳ δε, τρὶς γὰρ ὡς πρὸς τὸ τεῖχος
ὁρμήθη Πάτροκλος ἐξάρχοντα θεῶν Ἀπόλλων.
Θείαις χερσὶν ἐπέρεισε πατάξας ἠδὲ καὶ ὀπίσθεν
ἀλλ' ὅτε δὴ τρίτον ἦλθε τέτατο ὥρμησε δαιμονίως,
ἤγετο καὶ ὑπὲρ ἀνδρὸς, ὡς ἔπτε τῶν σοφίαων,
ὡς πῦρ, ὡς ὕδωρ, ὡς σίδηρος, ὡς πνεῦμα καταιγίδος,
δεινῆς φορεῖται ταῖς ὀπιδαῖς ἰόεσσος Ἀπόλλων,
ὁ καθ' ἑτέρης πάρροθεν εἴπαγόν τε καὶ τοξεύων·
κατὰ δ' ὦμος ὁ ἦλθε πάρροθεν δρῶν τὰ ἔργα.
φησί δε, χάζευ Πατρόκλε, οὐκ ἔστιν εἱμαρμένον
πεσεῖν ὑπὸ σῷ Ἴλιον, οὐδὲ τῶ Ἀχιλέως
Πάτροκλος δ' ὑπεχώρησε, τὸν μὲν ὀργὴν ἀνιείς·
Ἀπόλλωνι μακαρτάτῳ δε τῷ Ἕκτορος Ἀσίῳ
ὁμοιωθεὶς πρὸς Ἕκτορα τάδε φησὶ πατ' ἔπος·
εἴθέ σε τάχιον καμέσθην ὧν, ὄφρ' εἰμί σε χείρων,
ἔδησε γὰρ μὴ ῥαδιμιῆν ἂν ἔπτε τῇ πολέμῳ,
κατὰ Πατρόκλου ὥρμησον, ὅπως αὐτὸν ἀνέλῃς,
δόξαν σοὶ τῶ Ἀπόλλωνος, ἠλέκτε, παρασχόντος.
Οὕτως εἰπὼν Ἀπόλλων μὲν εἰς μέσον μάχης ἔδυ,
κλόνον πολὺν τεῖς Ἕλλησι, σωδείνων δὲ τὸς Τρῶας·
Ἕκτωρ ἁρπὶς τὸς ἄλλους δε χαμεῖ κατὰ Πατρόκλη·
καὶ πρῶτα τέτρω Πέτρωλος ἀπείσιν τὸν Κεβριόνην,
ἡνίοχον τῶ Ἕκτορος καὶ ἀδελφὸν δε νόθον·
δὶ ὃν ἄμπυκ συνέβρεκεν καὶ μάχαν βαρυστόπω,
ὁποῖα δύο λέοντες ἀμφ' ἔλαφον κταμένᾱ
νειφὼν σωμάτων λέοντες ἰαθέοσσι ὑδάλως,
ὡς ἔλασθε τὸν Ὅμηρον πάντας λαπτῶς εἰδότα,
τὴν τοξευθεῖσαν δ' ἔλαφον καὶ θνήσκουσαν μῦν λέγει·
περὶ τῶ Κεβριόνᾱ μὲν Πάτροκλος τε καὶ Ἕκτωρ,

Digitized by Google

καὶ ἀμφοτέρων οἱ στρατοὶ τὴν μάχην συναρασσόντες,
ἰσοπαλὴς ἐτύγχανον ἄχρι καὶ μεσημβρίας·
μετὰ ἠλίου κλίσιν δὲ οἱ Ἕλληνες νικῶσιν·
ὁ Πάτροκλος τρισσάκις δὲ ὁρμήσας κατὰ Τρώων,
πολλοὺς ἀνεῖλεν ἐν δορί· ὁρμῇ δὲ τῇ τετάρτῃ
βληθεὶς ὑπὸ Ἀπόλλωνος λαθραίως μεταφρένῳ,
τὰς ὀφθαλμὰς ἐσκότισε, ῥίπτει τὴν πανοπλίαν·
τὸ δόρυ τότε ταῖς χερσὶν ἐρράγη, συνεθραύσθη·
τὸν δ' ἄτης φρένας ἔλαβε, λέλυτο τότε μέλη·
ἐκπεπληγμένος ἔστη δὲ σύνεγγυς Εὔφορβός δὲ
ἐλθὼν ἐκεῖνον ἔβαλε δορὶ τοῖς μεταφρένοις·
ὡς τοῦτον δ' οὐκ ἐδάμασε βολῇ τῇ δορατίου,
ἁρπάσας ἐκ τοῦ σώματος τοῦτο, πρὸς πλῆθος ἔδυ·
πληγῇ θεῷ καὶ τῷ δορὶ Πάτροκλος δαμασθείς δε,
ἐχώρει πρὸς τοὺς Ἕλληνας τὸν θάνατον ἐκφεύγων·
Ἕκτωρ δὲ τοῦτον τῷ δορὶ βαλὼν κατὰ λαπάρας
ὡς εὐτελὲς γρυλλίδιον τὸν ἄνθρωπον ἀνεῖλε.

Ταῖς ἀλλοτρίαις τελευταῖς ὁ Ὅμηρος δὲ παίζων,
δεικνύει λόγων δύναμιν ἐξαίρων τὰ τυχόντα·
καὶ τὴν ἀλήθειαν ἀεὶ δεικνύει τοῖς σκοπεῦσιν,
ὅτι λόγον τὸν ἥττονα γυμνάζων ταῦτα λέγει,
ὡς τῷ χωρίῳ δείκνυσι τῷ δε συμφανεστάτῳ·
τῷ στρατηγῷ γὰρ Ἕκτορος τῷ στρατηγωτάτῳ
ἐπένῳ καταθνήσκοντι λέγοντος εἰρωνείᾳ·
νήπιε, ὑπετόπαζες Τρώων πορθῆσαι πόλιν,
καὶ αἰχμαλώτους ἀγαγεῖν γυναῖκας Τρωϊάδας·
ἐγὼ τούτων ὑπερμάχων, ἐκτρέπω τὰς ἀνάγκας·
σὲ δὲ οἱ γῦπες ἔδονται τοῖς τόποις τοῖς ἐνθάδε·
ὁ Ἀχιλεὺς δ' οὐ βοηθεῖ σοὶ ἀγαθὸς ὑπάρχων·
τοιαῦτα τὲ καὶ ἕτερα τῷ Ἕκτορος εἰπόντος,
λειποψυχῶν ὁ Πάτροκλος, ὡς παίζοντος Ὁμήρου,

Digitized by Google

καὶ προφανῶς δεικνύοντος τὸν ἵππονα γυμνάζειν,
αὔχει νῦν Ἕκτορ μέγιστον ἤδη καὶ κόμπαζέ μοι·
σοὶ γὰρ τὴν νίκην ἔδωκεν ὁ ἡλιος Ἀπόλλων,
καὶ Ζεὺς Κρονίδης δὲ αὐτός· ἄδηλος εἰμερμένη,
οἱ ἐκ τῶν ὤμων ὅπλα μὲ ἐδάμασαν λαβόντες.
Ἕκτορες δέ μοι εἴκοσιν εἰ ἦλθον ἐναντίοι,
πάντες ἂν ἀνηρίθησαν ἐμῷ τῷ δορατίῳ.
ἦκόσας ὠκυτάρυχα τηγάνε μαγειρίαν,
ἦκόσας καστανίτζια τὰ τῆ καλῆ Πατρόκλε,
τὸν Ὁμηρόν με τὸν χρυσῆν ἔγνως ἠκριβωμένως,
ὅπως λόγον τὸν ἵππονα ῥητορικῶς γυμνάζων,
καὶ τὴν ἀλήθειαν φησὶ καὶ καπυρὸν γελᾷ δε·
νήπιε Πάτροκλε τί φής; ὡς πρὸς τὸν Τζέτζην λέγε,
εἰ εἴκοσί πε Ἕκτορες ἄνευ στρατῶν ὑπῆρχον,
οὐκ ἂν πάντας τοὺς Ἕλληνας ἀπέκτειναν καὶ μόνοι;
ἀλλ' ἐπαναλῆπτέον μοι τῦτον μικρὸν τὸν λόγον·
Πάτροκλος εἶπεν· εἴκοσι τοιοῦτοι ἂν ἀνεῖλον,
ἀλλά με μοῖρα τὲ ὀμῆ ἀνεῖλε σὺν ἠλίῳ,
ἤ τοι ἡ μοῖρα δέδρακε βλαβῆναι παρ' ἠλίε·
δεύτερος δὲ ὁ Εὔφορβος, σὺ τρίτος δὲ ὦ Ἕκτορ·
οὕτως εἰπὼν ἐξέθανε, φυχὴ δ' ἀπέπτη τέτε,
πτῶσιν θρηνῆσα τελευτῆς, ἥβην καὶ ἀδροτῆτα,
τὸ στιβαρὸν καὶ εὔτονον, καὶ τὸ ἀνδρεῖον τέτε·
μὴ εἴπῃς ἀνδροτῆτα δε μετὰ τῆ ν μηδόλως·
ὁ στίχος γάρ ἐστι λοιπὸν οὕτω τῶν ἐπταισμένων·
οὕτω πὴν ἓν ἀπέπνευσεν ὁ Πάτροκλος ὡς ἔφην·
ὁ Ἕκτωρ δ' ἐκ τῆ τραύματος λαξ ἀναπάσας δόρυ,
ὥρμα κατ' Αὐτομέδοντος κτανεῖν καὶ τῦτον θέλων,
τῦτον δὲ ὑπεξέφερον οἱ Ἀχιλέως ἵπποι,
οὓς τῷ Πηλέῖ οἱ θεοὶ, ἥ τοι ἡ εἱμαρμένη,
ἢ βασιλεῖς, δεδάπασι δῶρα τῶν λαμπροτάτων.

Digitized by Google

Τῆς πῖ μὲν ἡ ὑπόθεσις ἰδὲ συνεπεράνθη,
καὶ δὴ καὶ ἠλληγόρηται· ἃ δ' ὁ σαφῶς ἐλέχθη
ταυῦν ἀλληγορήσομεν σαφῶς καὶ πλατυτέρως·
ἐκ τῦ μικρῦ τὴν Ἴλιον οἱ Ἕλληνες ἀνεῖλον,
εἰ μὴ Ἀπόλλων συμμαχῶν Τρωσὶ πρὸς πύργον ἔστη·
ὐδὲν ἀσκόπως Ὅμηρος ἔχρι τυχόντων γράφει,
ῥητόρων δὲ δεικτῦτι πάντα προσφόρως λέγει·
τὸ δὲ μικρῦ τὴν Ἴλιον Πάτροκλος μοῦ' Ἑλλήνων
τῷ τότε ἂν ἐπόρθησε, λόγος ἐστὶν ἀκριβής,
καὶ χάρις ἐπιτάφιος εἰς Πάτροκλον Ὁμήρου·
ἢ τοι γ' εἰ μὴ ὁ Πάτροκλος ἀπέθανεν ἂν, ἔζη,
καὶ ἴσως καὶ τὴν Ἴλιον σὺν Ἕλλησιν ἂν εἷλεν·
ἀλλ' ὁ Ἀπόλλων δέδρακε τάδε καὶ τάδε τότε·
ἄκυε πάντα νῦν ἐμῶ σαφῶς ἀλληγορῦντος·
οἷος ἐμπειροπόλεμος ἦν στρατηγὸς ὁ Ἕκτωρ,
καὶ τοῖς νεκροῖς κατόσθηλος καὶ φύσακι ἀφίκοις,
καὶ οἷοι δὲ ἀσύγκριτοι πρὸς μάχας καὶ παλέμους
ἦσαν οἱ πλείους Ἕλληνες χωρὶς ἠριθμημένων,
Ὅμηρος ἐμαρτύρησε τῇ γάμμα βαφωδίᾳ·
κἀν λέγων, λέγαν' ἀ δακεῖ, δεινὸς ὢν λαγαμάφος,
τέως ὁ πάνσοφος ἀνὴρ ἐκεῖ τοιαῦτα γράφει·
Ὃ Ἕκτωρ τὰ στρατεύματα μέλλων τῆς μάχης παῦσαι,
ὡς ἂν μονομαχήσωσι Μενέλαος καὶ Πάρις,
εἰς ἀμφοτέρους τοὺς στρατοὺς μέσον εἰσῆλθε τότε,
ἐκ μέσω δόρυ τὸ αὐτῦ κρατῶν, ἀλλ' οὐκ ἐξ ἄκρω,
ὅπερ σημεῖον πέφυκε τῆς παύσεως τῆς μάχης·
καὶ Τρῶες μὲν ἐδρύνθησαν ἰδόντες τὸ σημεῖον·
Ἕλληνες δ' ἀσυγκρότητοι τῶν ἀπειροπολέμων
ὄντες, μηδὲ γινώσκοντες στρατιωτῶν σημεῖα,
καθ' Ἕκτορος πᾶν ἔπεμπον καὶ τόξευμα καὶ βέλος,
ἕως αὐτὸς ὁ βασιλεὺς ἔπαυσεν Ἀγαμέμνων,

Digitized by Google

εἰπὼν ὡς τὶ τοῖς Ἕλλησιν ὁ Ἕκτωρ μέλλει λέγειν·
τοιοῦτος Ἕκτωρ στρατηγὸς ὢν συγκεκροτημένος,
ὡς κατακόπους ἦν ὁρῶν τοὺς Τρῶας μαχομένους,
καὶ κίνδυνος ἐπήρτυτο τούτοις ἐκ Μυρμιδόνων,
φεύγειν προσποιησάμενος, φεύγειν κελεύει Τρῶας,
ὡς καταστρατηγήσειε στρατηγικῇ φρονήσει
τοὺς Ἕλληνας καὶ Πάτροκλον ὄντας ἀσυγκροτήτους,
τοῖς δὲ Τρωσὶ ποιήσειεν ἑτεραλκὴ νὴν νίκην,
ὅ περ καὶ δέδρακεν εὐθὺς τεχνικωτάτῳ τρόπῳ·
τῇ γὰρ δοκήσει τῆς φυγῆς τὸν τρόπον παραμείψας,
καὶ εἶναι μὲν τὸν ἥλιον τοῖς Τρώων ὀπισθίοις,
λάμπειν δὲ κατὰ πρόσωπον Ἑλλήνων καὶ Πατρόκλου,
τί δεῖ μακρηγορήματος; τὸν Πάτροκλον ἀνεῖλε,
καὶ Μυρμιδόνας καὶ λοιποὺς Ἑλλήνων οὐκ ὀλίγους.
Τὸ πᾶν δὲ ἀλληγόρημα νῦν προσωποποιΐα·
Ἀπόλλωνα τὸν ἥλιον σύμμαχον Τρώων λέγων,
ὀλέθρια Πατρόκλῳ δὲ καὶ θάνατον φρονοῦντα,
καὶ τὴν ἀσπίδα νύσσοντα χερσὶ ταῖς ἀθανάτοις,
ταῖς δραστικαῖς ἐλλάμψεσι τοῦτον ἀποσοβοῦντα,
καὶ δῆθεν λέγοντα ταυτὶ ἅπερ φασὶ τὰ ἔπη.
Ὁ Ἄσιος ὁ μήτρως δὲ τοῦ Ἕκτορος ὡς εἶδεν
ἥλιον κατὰ πρόσωπον Ἑλλήνων ὑπηργμένον,
τὸν Ἕκτορα εἰσέτι δὲ σκοποῦντα τὶ δραστέον,
ἐν τραχυτέροις ἤγειρε κατὰ Πατρόκλου λόγοις·
ὃν Ἄσιον, Ἀπόλλωνος μόρφωμα νῦν σοι λέγει·
καὶ ὁ μὲν ἥλιος αὐτὸς ἦν τῷ πολέμῳ λάμπων,
καὶ σκύλμα μέγα τῷ στρατῷ ποιῶν τῷ τῶν Ἑλλήνων,
τοῖς δὲ Τρωσὶ καὶ Ἕκτορι μέγα προσάπτων κῦδος·
Ἕκτωρ φονεύειν δὲ λοιποὺς παρέτρεχεν Ἑλλήνων,
κατὰ Πατρόκλου δ' ἤλαυνε, κτεῖναι ποθῶν ἐκεῖνον,
καὶ πρῶτα Κεβριόνην μεν ὁ Πάτροκλος ἀνεῖλεν·

Digitized by Google

δὶ ὃν καὶ μάχη καρτερὰ τῷ τότε συνερράγη,
καὶ μέχρι μεσημβρίας μὲν ἰσοπαλὴς ἦν μάχη
μετὰ τὴν μεσημβρίαν δε οἱ Ἕλληνες νικῶσι,
τὸν ἥλιον κατόπισθεν τῆς βάχεως βαλόντες·
ἀνεῖλε δὲ ὁ Πάτροκλος ἅμα σὺν Μυρμιδόσιν,
ὅσους φησὶν ὁ Ὅμηρος· εἶτα δὲ ὁ Ἀπόλλων
πλήξας αὐτῦ μετάφρενον, πάντων γυμνοῖ τῶν ὅπλων·
ῥίπτει δὲ καὶ τὴν κόρυθα, τότε τὸ δέρυ θραύει·
Πάτροκλος δ' ἔστη ἐκπλαγείς, ὁ δ' Εὔφορβος λαθραίως
ἔβαλε τὸ μετάφρενον τότε τῷ δορατίῳ·
ὡς δ' οὐκ ἐδάμασεν αὐτὸν ἀφηρπακὼς τὸ δόρυ,
φεύγει, ἐχὶ τὸν Πάτροκλον ὡς Ὅμηρος νῦν φέρει,
ἀλλὰ κρατὸν Ἑλλήνων τε καὶ τὸν τῶν Μυρμιδόνων·
εἶτα ὁ Ἕκτωρ ἀναιρεῖ τὸν Πάτροκλον, ὡς ἔφην·
πληγὴ δὲ ἡ Ἀπόλλωνος ἡ κατὰ μεταφρένε,
ἢ ὅτι Πάτροκλος θαλφθεὶς ἀστῖσι ταῖς ἡλίε,
ὡς καὶ νεκῶν ἐνδύεται τὴν πᾶσαν πανοπλίαν,
καὶ ἀνῃρέθη ᾧ φαμὲν ἀναιρεθῆναι τρόπῳ,
εἴτ' οὖν καὶ ἀσκεπτότερον ἐλαύνων κατὰ Τρώων,
Εὐφόρβῳ τὸ μετάφρενον ἐβλήθη δορατίῳ,
ἐκ τῶν μερῶν τῶν ὄπισθεν λαθραίως ἐπελθόντι,
τῇ φαύσει τῆ ἡλίε δε μηδόλως ἁφωμένῳ·
διὸ προσάπτων Ὅμηρος ἡλίῳ τὴν αἰτίαν
λέγει· ὁ Ζεὺς, ὁ μοῖρα με, καὶ ὁ Ἀπόλλων ἅμα,
ὁ Εὔφορβος δὲ δεύτερος, σὺ δέ με τρίτος κτείνεις·

Digitized by Google

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ρ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Μάχη συνίστη καρτερὰ περὶ νεκρῶ Πατρόκλω·
Εὔφορβος ἀνερεῖται δὲ ὑπὸ τῦ Μενελάω·
Ἕκτωρ τὴν Ἀχιλέως δὲ δύεται πανοπλίαν,
Ἀντίλοχος δὲ ἀγγέλλεται περὶ τὸν Ἀχιλέα
τὸν τῦ Πατρόκλω θάνατον ἐκείνῳ καταγγέλλων·
ὁ δὲ Μενέλαος αὐτὸς ἅμα καὶ Μηριόνης
ὑψῦ κρατοῦντες τὸν νεκρὸν ἐξέφερον τῆς μάχης·
οἱ δ' Αἰάντες ἀπείργουσι τὺς Τρῶας προμαχοῦντες.

Πάντα τὰ τῆδε σοὶ σαφῆ· τὸ, Ζεῦ δὲ πάτερ, νόει
τὴν εἱμαρμένην νῦν δηλῶν, εἴ τε καὶ τὸν ἀγῶνα
Ἀπόλλων ἥλιος ἐστὶν ὁμοιωθεὶς τῷ Μέντῃ,
ὃς Μέντης βλέπων συνεργὸν ἥλιον Τρώων ὄντα,
ἢ καὶ ἡλίῳ τηλαυγῶς αὐγάζοντος ἐν μάχῃ,
τῷ Μενελάῳ Εὔφορβον ἰδὼν ἀνηρημένον,
φησὶν ὡς πρὸς τὸν Ἕκτορα, σὺ μὲν διώκεις ἵππυς·
Μενέλαος δ' ἀπέκτεινεν Εὔφορβον παῖδα Πάνθυ.

Τὸ πρὸς τὸν Γλαῦκον δὲ ῥηθὲν, παρ' Ἕκτορος ῥητόν δε,
ὡς ἐκ ἐγὼ ποιούμενος καθέστηκα τὴν μάχην,
ἀλλὰ Διὸς ὁ νῦς ἐστι κρείσσων τῦ Αἰγιόχυ·
τῦτο σημαίνει καὶ δηλοῖ συμφανεστάτῳ λόγῳ,
ὡς ἡ ἀκατανόητος ἄδηλος εἱμαρμένη
ἔστι καὶ νῦς, καὶ φρόνησις, καὶ ῥώμη, καὶ ἀνδρεία,
καὶ πᾶν ὁπόσον πέφυκε τιμώμενον τῷ βίῳ·
μὴ συμπαρόσης ταύτης δὲ σύμπας εἰς μάτην τρέχει.

Ἄμβροτα τεύχη δὲ τανῦν τῦ Ἀχιλέως λέγει,
ὡς ἵππυς πάλιν ἀλλαχῦ καὶ ἄλλα δὲ μυρία,
τῶν, ὧν περ οὐκ ἀπόλλυται ἡ φήμη καὶ τὸ κλέος·
τὸ δὲ, ἃ ὑρανίωνες θεοὶ Πηλεῖ παρέσχον,

Digitized by Google

ἢ ἐξ ἀςέρων ὀρανῦ παρέσχεν εἱμαρμένη,
ἢ ἅ περ ἦσαν ἐκ χρυσῦ, ἀργύρυ, καὶ τῶν ἄλλων,
ἑκάςῳ τῶν ἀςέρων γὰρ ἀνάκειται τίς ὕλη,
δηλῶν τὴν εἱμαρμένην δε καὶ τὺς ἀςέρας λεγειν·
ἵνα μὴ δόξῃς νῦν θεὺς τὺς βασιλεῖς σοι λέγειν,
εἶπε τὸ, ὀρανίωνες. ὁμοίως τε σὺν τύτοις
ἡ εἱμαρμένη, πέφυκε Ζεὺς νεφεληγερέτης,
ὁ καὶ κινήσας κεφαλὴν δι' Ἕκτορα ὡς γράφει,
Διϊπετὴς δὲ ποταμὸς, ὁ ὄμβρος ἠυξημένος,
κόρυθες δ' ὡς τιθέμεναι τάχα περὶ τὴν κάραν,
ἀπὸ τῦ Κάρα, Κόρυς τε εἰλήχασι τὴν κλῆσιν,
ἤ ὅτι Κόρυθος αὐτὰς πρῶτος ὁ Ἰβὴρ εὗρεν·
ὡς Σάκαι, σάκος Φάλαγξ δὲ εὗρε πολέμων ςάσιν·
Κρονίων δὲ, ἡ ἄδηλος μοῖρα καὶ εἱμαρμένη,
ἀορασίαν ἔχευε ταῖς περικεφαλαίαις·
ἔςοργε γὰρ τὸν Πάτροκλον καὶ ζῶντα καὶ θανόντα·
τῦτο δηλοῖ ὁ Ὅμηρος χωρίῳ τῷ ἐνθάδε·
ὡς οἱ χρηςὰ θεμάτια σχόντες ἐν γενεθλίοις,
καὶ ζῶντες εὐτυχῦσι μεν, ὁτὲ καὶ τελευταῖς δε
ἀρίςαις περιςέλλονται, ποτὲ δὲ καὶ σημεῖα
πρὸ τελευτῶν κἂν τελευταῖς δεικνύονται ταῖς τύτων,
οἷον φησὶ κἂν τελευτῇ γενέσθαι τῦ Πατρόκλυ.
Τὺς Ἀχαιὺς ὁ Ὅμηρος ἑλίκωπας καλεῖ δε,
ἢ ὡς τὸ βλέπειν βλέποντας πρὸς Ἄρκτον, τὴν Ἑλίκην,
ἢ καὶ πρὸς ὃς ἑλίσσει τίς τὺς ὤπας θέλων βλέπειν,
ἤ τοι ὡραίυς, εὐειδεῖς, ἀξίυς ὄντας θέας.
Ὑπὲρ Διὸς τὴν αἶσαν δε καὶ πρέπον, εἱμαρμένην,
μικρῦ δεῖν Τρῶες φεύγοντες εἰςῆλθον ἂν εἰς Τροίαν.
Περίφαντι τῷ κήρυκι ὁμοιωθεὶς δ' Ἀπόλλων,
ἤ τοι περισκεψάμενος τὸν ἥλιον Περίφας,
Ἑλλήνων ἀντιπρόσωπον, Τρωσὶ δὲ συνεργῦντα,

Digitized by Google

αὐτὸς Αἰνείας ἄρχεν τῶν Ἑκταρεϊ δ' Αἰνείᾳ,
τοῖς Ἕλλησιν ἀνδῆς ἔσθαι καὶ μάχεσθαι γενεαίως·
ὁ Ζεὺς, ἡ εἱμαρμένη, δὲ καὶ τοῖς ἐνδοθὲν
πραπίδας, τὸ διάφραγμα ὧν δὲ κατασημάζει,
δέμας πυρὸς ἢ τόπος τᾶς ἔτως ἦν κεκλημένος,
εἴ τε θερμᾶς ὡς πὰρ τὸ πῦρ ἐμάχοντο οἱ ἄνθρες·
τοιαύτη δέ τις σκότωσις ἐγένετο τῷ τόπῳ,
ὡς μηδ' ἡμέραν φαίνεσθαι τελείαν εἱμαρμένην,
μήτε μὴν νύκτα παντελῆ σελάνᾳ κεκτημένην·
ἡ σκότωσις δὲ γάγαμι περὶ τὸν τόπαν μόνον,
πρὸς ὃν ἄμφ' τὸν Πάτροκλον τὰν μάχαν συνκρότεν·
ἐν δὲ ταῖς ἄλλοις σύμπασι τόποις τοῖς τᾶ πολέμω,
αἰθρία ἦν ἀνέφελος, καὶ ἅλιος ὀξύς δε.

Τότε δὲ μῶλος ἄγριος ὡς πὰρ φᾶσιν ὁράτᾳ,
ὃν πὰρ οὐκ ἂν ἐμέμφατο οὐδ' Ἄρης, οὐδ' Ἀθήνη·
ἦ τοι τοιῆτος γέγονεν ὁ πάλεμος τᾷ τότε,
ἄμομφος ὢν τοῖς σύμπασι προγήσεως καὶ μάχης,
ὡς ἀ παθήσει Πέτροκλος τὰν πόλιν τὰν τῶν Τρώων,
τᾷ Ἀχιλέως ἀσευθέν, ἀλλ' ὐδὲ σὺν ἐκείνω·
ἐκ σφᾶς μᾶτρὸς ὁ Ἀχιλεὺς τὰς λαισανομασίας
κρυφίως ἐξεμάνθανε καὶ ταῦν τὸ εἱμαρμένον,
τὸν τᾷ Πατρόκλω θάνατον τότε δ' ἀ πρεγνόησε·
ἦ τοι ἀ καπνεκόπησεν ἐκ λεκάνᾳ μαντείας,
ἦ ὑπὸ ῥάβᾳ Πάτροκλος ἦ τᾷ πολέμω πέσοι.

Ὅπως τὸ ὕδωρ λέγεται μᾶτερ δὲ Ἀχιλέως
καὶ ποσαχᾶς, εἰρήκειμεν τᾷ ἄλλᾳ ῥαψῳδίᾳ.

Τὰς ἵππως μυρομένως δὲ ἠλέησε Κρονίων,
ἦ σκυτεινᾷ καὶ ἄδηλος ὡς ἔφαν εἱμαρμένᾳ,
καὶ κεφαλὰν κινήσασα πρὸς ἑαυτὰν εἰράτει·
ἄθλιοι τί δεδώκαμεν ὑμᾶς Πηλεῖ, Ἀνακτῖ,
ταῖς ἀρεταῖς ἀθάνατον τὰν μονᾶν κεκτημένως,

Digitized by Google

ἵνα δυςήνῳ Ἕκτορι θνητῷ ἐποχηθῆτε;
ἀλλ' οὐκ ἐάσω ὐδαμῶς τῦτο συντελεσθῆναι·
ἀντὶ τῦ φᾶναι, καὶ οὐκ ἦν τῷ τότε εἱμαρμένον
τοιύτων ἵππων Ἕκτορα γενέσθαι διφρηλάτην,
95 ὗς εἱμαρμένη εὐτυχὴς παρέσχε τῷ Πηλέϊ,
πρόσωπον περιθέμενος Διὸς τῇ εἱμαρμένῃ,
τῦτον εἰςφέρει λέγοντα λόγυς τανῦν τοιύς δε.
Τίς δὲ θεῶν ὁ νηκερδῆ νῦν τὴν βυλὴν ποιήσας,
τίς εἱμαρμένη, τίς σκοπὸς ἀπώλεσε σὰς φρένας;
100 θεόφιν δὲ ἀτάλαντος τίς μήςωρ νῦν τυγχάνει,
ὁ τῇ φρονήσει ὅμοιος; εἴτ' ὖν αὐτῷ πολέμῳ
δεινὴ περὶ Πατρόκλῳ δε πάλιν κροτεῖται μάχη·
καὶ τῦ Διὸς προπέμψαντος, ἤ τοι τῆς εἱμαρπένης,
τὴν Ἀθηνᾶν ἐξ ὐρανῦ, νῦν ἴριδα καὶ τόξον,
105 προςβοηθῦν τοῖς Ἕλλησιν. ἠλέησε γὰρ τύτυς·
ὁ πρῶτος Φοῖνιξ κατιδὼν Μενέλαον προτρέπει
περὶ Πατρόκλυ καρτερῶς ἐγκαρτερεῖν τῇ μάχῃ·
ὁ δὲ Μενέλαος φησίν· εἴ περ Ἀθήνη κράτος
δώη μοι, τὸ φανὲν νυνὶ τόξον ἐκ τῦ ἀέρος,
110 ὐ ῥάθυμος φανήσομαι ἀμύνειν τῷ Πατρόκλῳ·
οὕτως εἰπὼν καὶ παρελθὼν ἔγγιςα τῦ Πατρόκλυ,
ὑιὸν τῦ Ἠετίωνος, κλῆσιν Ποδὴν, ἀνεῖλεν,
τῦ Ἕκτορος συντράπεζον καὶ φίλον πεφυκότα·
καὶ τὸν νεκρὸν πρὸς Ἕλληνας παρείλκυσεν εὐθέως·
115 Φαίνοψ ὁ Ἀσιάδης δε τῦτο ἰδὼν, ἡλίῳ
τὸν Ἕκτορα παρώτρυνεν ὁρμῆσαι καθ' Ἑλλήνων·
ὁ ὐρανὸς δὲ νέφεσιν ἐκάλυψε τὴν Ἴδην,
ἀςράψας δ' ἐπεβρόντησε μέγα πρὸς Τρώων νίκην·
πρὸς δὲ φυγὴν συνήλασε ςράτευμα τῆς Ἑλλάδος·
120 Ζεὺς ὁ διδὺς ἑτερακλῆ τὴν νίκην, εἱμαρμένη,
καὶ ὅς τις ὠλοφύρετο τὸν Αἴαντα, πατήρ δε,

Digitized by Google

τὴν προσωποποιΐαν δὲ ταύτην νοεῖν σε θέον.
ὡς Αἴας μὲν ἐπηύξατο καὶ γέγονεν αἰθρία,
λέγει ὡς κατωκτείρησεν αὐτὸν ἡ εἱμαρμένη·
ὁ μέγα πῆμα τὲ θεὸς τοῖς Δαναοῖς κυλίνδων,
ἐκ ἄλλο τῷδε τίς ἐστιν, αὐτὴ δὲ εἱμαρμένη.

---

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Σ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

Ὁ Ἀχιλεὺς ὀδύρεται θάνατον γνὺς Πατρόκλου,
ὃν Θέτις παρηγόρησεν ἐλθοῦσα τῆς θαλάσσης,
εἴργει δ' αὐτὸν πολέμου τε ἕως κομέσει ὅπλα·
Ἥρας κελεύσει δ' ἄσπιλος ἔρχεται πρὸς τὴν τάφρον,
φανεὶς ἐσπλήττει Τρῶας δὲ καὶ πρὸς φυγὴν ἐκτρέπει·
οἱ Μυρμιδόνες δὲ νεκρὸν τὸν Πατρόκλου λαβόντες,
λέουσιν, ὅπλα δ' Ἥφαιστος τῷ Ἀχιλεῖ σκευάζει·
τὸ δέμας αἰθομένοιο πυρὸς, τόπος τοῖς ἄλλοις,
εἰ τε θερμῶς ἐμάχοντο, ὡς σῶμα πυρὸς καῖον.
Στοὶ δ', οἱ μέλλουσι τανῦν τελέσαι τὰς κατάσεις·
ἀστέρες, ἐξ ὧν γίνονται πάντα τὰ εἱμαρμένα·
ὡς περ ἐδήλωσε ποτὲ ἡ μήτηρ μοι ἡ Θέτις,
ζῶντος ἐμοῦ, τὸν Πάτροκλον χερσὶ δαμεῖν τῶν Τρώων·
ὡς ἐξ ὑδρομαντείας δὲ καὶ λεκανομαντείας,
τοῦτο γνώσεσθαι ἀκριβῶς, ἣν πρὶν ἐποησάμην·
ὅπως τὸ ὕδωρ μήτηρ δὲ τυγχάνει Ἀχιλέως,
ἢ ποσαχῶς, εἰρήκαμεν ἐν διαφόροις τόποις.
Φάσις καὶ ἀγγελία μὲν κατὰ τὰς ἀστρολόγους,
διαφορὰν ἐσχήκασι καὶ πάνυ δὲ μεγίστην·
φάσις γὰρ μήνυμα ἐστι ζώντων ἀποδημούντων,
ἡ δ' ἀγγελία μήνυμα νεκρῶν, ἢ περὶ ζώντων·



Digitized by Google

Ὅμηρος ἀγγελίας δε ἅμαρτα κατονομάζει,
τὴν μὲν ἐσθλὴν, τὴν δὲ λυγρὴν, τὴν δ' ἀγγελείην μόνον,
καθάπερ καὶ τὰ φάρμακα πρεπόντως ὀνομάζει·
ἐσθλὰ, λυγρά· καὶ φάρμακα δίχα τινὸς προσθήκης,
τῶν ἄλλων πάντων φάρμακα γραφαῖς ὀνομαζόντων,
μόνα τὰ ἰατήρια· μὴ μέν τοι καὶ τὰ ἄλλα.
Νεκτάριον χιτῶνα δε, τὸν θαυμαζόν νῦν λέγει
τὸ, χεύατο δ' ἐς κεφαλὴν, τὴν αἰθαλώδη κόνιν·
τὸ μέγα τε, μεγαλωστὶ ταθῆναι τῇ κονίῃ,
σὺν τούτοις τὸ δαΐζειν τε φίλαις χερσὶ τὴν κόμην,
ψυχῆς ἐστὶ ζωγράφημα, ποίας σωφρονεῖν·
τὴν ἣν περ ὁ ἀμίμητος σοφία καὶ φρονήσει
Ὅμηρος νῦν ἐνζωγραφεῖ, καὶ ζωγράφων λαμπρύνει·
ὤμωξε μέγα δ' Ἀχιλεὺς, ἤκουσε δὲ ἡ μήτηρ·
παρὰ τῷ γέροντι πατρὶ θαλάσσῃ καθημένη·
κωκύει· συναθροίζονται σύμπασαι Νηρηΐδες,
καὶ σήθεα πεπλήγαντο· Θέτις δ' ἐξῆρχε γόου.
Ἀλλ' ἀλληγορητέον μοι πᾶν τὸ χωρίον τοῦτο,
καὶ τὸν ὀξὺν δὲ κωκυτὸν τῆς Θέτιδος ὃν λέγω,
καὶ Ἀχιλέως κεφαλὴν ὅπως κατέσχε τότε·
ὁλοφυρμὸν καὶ λόγους δε ῥηθέντας ἀμφοτέρους,
καὶ πᾶν ὅπόσον δέον μοι λεπτῶς ἀλληγορῆσαι.
Μήτηρ τῷ Ἀχιλέως μεν ἡ Κείρωνος ἦν Θέτις,
καὶ Θέτις δὲ ἡ θάλασσα μήτηρ τῷ Ἀχιλέως·
λέγεται ὕτω πεντάχως ὥς περ καὶ πρόσθεν ἔφην
κατ' Αἰγυπτίους, Ὅμηρον, Θαλῆν τε καὶ ἑτέρους
τὸ ὕδωρ πρῶτον λέγεται στοιχεῖον πυρικέναι·
ἐκ τούτου δὲ καὶ τὰ λοιπὰ γενέθλια στοιχεῖα·
οὕτω πρώτως ἡ θάλασσα καὶ τὸ ὑγρὸν στοιχεῖον
τῷ Ἀχιλέως μήτηρ τε καὶ πάντων τῶν ἐν βίῳ·
ἡ θάλασσα καλεῖται δε δευτέρως τότε μήτηρ,

Digitized by Google

διὰ τὸ ἄγριον αὐτοῦ καὶ θυμικὸν τοῦ τρόπου·
τρίτως ὅτι γενέθλιον ἔχων ἐν ὑδροχόῳ
ἐν ταῖς παρύγροις μάχαις τε καὶ ταῖς διαποντίοις,
καὶ τοῖς χειμῶνος δὲ καιροῖς μεγάλως συνηργεῖτο·
τετάρτως ὡς ἐξ ὕδατος καὶ λεκανομαντείας·
μανθάνων ὥς περ ἐκ μητρὸς, τὰ μέλλοντα συμβῆναι·
πέμπτως ὡς καὶ θανόντος δὲ αὐτοῦ τοῦ Ἀχιλέως,
νεκροῦ τε τούτου σώματος εἰσέτι προκειμένου,
ἡ θάλασσα ταράξασα κῦμα φρικτὸν καὶ μέγα·
ἐξῆλθε μέχρι τοῦ νεκροῦ περὶ Σιγείου τόπον,
ὡς πᾶν τὸ στρατεύμα φυγεῖν κατακλυσμὸν δοκοῦντας·
ἡ δὲ θρηνώδες γοερὸν ὥς περ μυκησαμένη,
πάλιν πρὸς καίτην τὴν αὐτῆς εὐθέως ὑποστρέφει·
ὅ περ καὶ θρῆνον Θέτιδος φασὶ καὶ Νηρηΐδων·
καὶ νῦν τοῦ Ἀχιλέως δὲ τὸν Πάτροκλον θρηνοῦντος,
τοιοῦτον περὶ θάλασσαν ἐγένετο σημεῖον·
ὁ προσωποποιΐαν μὲν ὁ Ὅμηρος ποιήσας,
ἀλληγορεῖ τὰ σύμπαντα τὰ τῇδε γεγραμμένα,
θάλασσαν Ἀχιλέως μὲν μητέρα Θέτιν λέγων,
ὥς περ τῷ πένθει τῷ αὐτοῦ δῆθεν λελιπημένη·
διὰ τὸ, τότε τοῦ ἀνδρὸς τὸν Πάτροκλον πενθοῦντος,
αὐτὴν, ὡς ἔφην, ἐξελθεῖν μυκήματι μεγάλῳ,
ὁ μύκημα καὶ κωκυτὸν καὶ θρῆνον ταύτης λέγει·
πατέρα ταύτης γέροντα, τὴν φύσιν τῶν ὑδάτων·
ὅτι καθὼς εἰρήκαμεν πρῶτον στοιχεῖον ὕδωρ·
ἢ ὡς λευκὸν καὶ πολιὸν, καὶ γὰρ λευκὸν τὸ ὕδωρ·
κἂν οἱ λοιποὶ φιλόσοφοι πλὴν τοῦ σοφοῦ Ὁμήρου
καὶ τοῦ Ἀναξαγόρου δὲ καί τινων βραχυτάτων,
ἄμορφά τε καὶ ἄποια λέγουσι τὰ στοιχεῖα·
ἔγνως πατέρα γέροντα καὶ κωκυτὸν καὶ θρῆνον,
αἱ Νηρηΐδες δὲ θεαὶ τίνες αἱ ἀθροισθεῖσαι,

Digitized by Google

καὶ στήθη πλήττεσθαι αὐτῶν τῆς Θέτιδος γούσης;
σὺκ ἄλλο τι καθέστηκεν, ἀλλ' ἢ αὐτὸ τὸ ὕδωρ,
καὶ μᾶλλον τὸ κινούμενον, ὃ καὶ Ναῖς καλεῖται,
τὸ ὕδωρ τὸ θαλάσσιον· πολλὰς γὰρ κλήσεις ἔχει·
Φόρκυς, καὶ Τρίτων, Ποσειδών, Νηρεὺς καὶ Ἀμφιτρίτη,
Θέτις καὶ Νηρηίδες καὶ ἕτερα μυρία·
πλάττει καὶ Νηρηίδων δὲ ὀνόματα προσφόρως,
ἀπό τε τῆς λευκότητος φύσεως τῶν ὑδάτων,
καὶ ἐκ τοῦ θάλλειν τὰ φυτὰ ταῖς ὕδατος ἀρδείαις,
ἀπὸ κυμάτων, νήσων τε, σπηλαίων, ταχυτῆτος,
ἀλὸς, ἀκτῶν τε καὶ λιμνῶν καὶ δόσεως μυρίων,
ἔκ τε τοῦ, πρῶτον τῶν λοιπῶν στοιχείων περυκέναι,
καὶ φέρειν τὰς ὁλκάδας δὲ καὶ δυνατὸν τελεῖν δὲ
δεξαμενὴν τυγχάνειν δε, καὶ νέμεσθαι, ἁπλώσθαι,
ὁπόσαι τε ταῖς ὕδασιν ἁρμόζεσθαι αἱ κλήσεις·
κἄν περ τινὲς προσέθεντο καὶ στίχες ἀπροσφόρους.
Τὸν ἦχον τούτων λέγει δε, πλῆγμα στηθῶν οἰκείων,
τὸν περὶ νήσους καὶ ἀκτὰς, σπήλαια, πέτρας τ' ἄλλας·
τὴν Θέτιν δὲ καταρρέεσθαι ταύτης τῆς γόου λέγει,
ὅτι πρῶτον ἀνοίδησε μυκώμενον τὸ ὕδωρ·
ἔπειτα προσρηγνύμενον οἷς περ εἰρήκειν τόποις,
δεινὸν, ψοφώδη, μέγιστον οἷον ἐποίει ῥόχθον.
Πρόσωπον μὲν ὡς ἔφημεν τῇ Θέτιδι θαλάσσῃ
Ὅμηρος περιθέμενος μητρὸς τῆ Ἀχιλέως,
δεικνὺς ὅτι παθαίνεται τοῦτον καὶ τὸ στοιχεῖον,
καὶ λόγους περιάπτει δὲ οὓς περ ἂν εἶπε μήτηρ
ἐπὶ υἱῷ τοιούτῳ μὲν, ὄντι δὲ βραχυχρόνῳ,
καὶ θλιβομένῳ συνεχῶς λύπαις ἀλλοπροσάλλαις·
τὸ δὲ, ὀξὺ κωκύσασαν τόδε λαβεῖν τὴν κάραν,
καὶ λέγειν ταῦτα ἐκ Διὸς τετέλεσται ὡς ηὔχε,
καὶ πρὸς τὰς ναῦς τὰς Ἕλληνας πεσεῖν ὑπὸ τῶν Τρώων,

Digitized by Google

τῆτο φησὶν ὁ Ἀχιλεὺς Πάτροκλον ὡς ἐπένθει·
ἤκουσε δὲ τῆ μυκηθμῷ τῆτό σε τῆς θαλάσσης,
εἰς κεραλὴν καὶ λογιαμὸν καὶ νῆν δὲ τὸν οἰκεῖον,
συνεὶς ὡς εἱμαρμένον ἦν ἕτω γενέσθαι τάδε,
ὡς πρὶν αὐτὸς ἐζήτει τε καὶ ηὔχετο γενέσθαι·
λέγει αὐτὸς πρὸς ἑαυτόν· ὦ συνεργὰ ςοιχεῖον,
καὶ βοηθῶν μοι ἐσσεῖ δίκην πατρὸς φιλτάτης,
οἶδα ὡς ἡ ἐράνεος ἀς-έρων εἱμαρμένη,
πληρῶσα πόθον τὸν ἐμὸν, Ἕλληνας ἕτως τρέπει,
τὸ δ' ὄφελος ὁποῖον μοι θανόντος καὶ Πατρόκλε,
τὰ κάλλις-ά τε ὅπλα μοι Ἕκτορὼς ἀφελόντος,
ἃ περ Πηλεῖ δεδάασι δῶρα τῶν λαμπροτάτων
θεοὶ, ἀς-έρες ἐρανῶ, ἐξ ὧν τὰ εἱμαρμένα,
ἢ ἅπερ ἦσαν ἐκ χρυσῶ, ἀργύρω, καὶ τῶν ἄλλων,
ἑκάς-ῳ τῶν ἀς-έρων γὰρ ἀγάκειται τίς ὕλη,
ἢ ἃ θεοὶ καὶ βασιλεῖς δεδώκασι Πηλέϊ,
ὅτε βροτῶ ἀνέρος σε συνέζευξεν ἐν κοίτῃ,
τετές-ιν ὅτε τῷ Πηλεῖ θεὰ θνητῷ ἐζύγης,
ἤ τοι ὅταν ἡ μήτηρ μυ, ἡ σοὶ ὁμωνυμάσα,
ἡ Θέτις ἡ βασίλισσα ἡ Χείρωνος θυγάτηρ
θνητῷ ἐζύγη τῷ Πηλεῖ καὶ κατωτέραν τύχην·
τῆτο τὸ ἀλληγόρημα καὶ σχῆμα δὲ τὸ τέτυ,
μετάβασις ἀνόματος πρὸς ὄνορα καλεῖται·
ὡς, ὤφελες ὦ μῆτερ μυ, σὺ σὺν θεαῖς ἁλίαις
οἰκεῖν· ὁ δὲ Πηλεὺς θνητῆ πρὸς γάμον συζυγῆναι·
νῦν δ' ἵνα πένθος ἐν φρεσὶ καὶ σοὶ μυρίσιν εἴη
παιδὸς ἀποφθιμένοιο, τὸν οἴκοις οὐχὶ δέξῃ
τὸ, ὄφελες, ὡς ὄφελε τῇ μεταβάσει νόει·
ἁλίας, νησιώτιδας, ἢ παραθαλασσίας,
θεὰς, τὰς βασιλίδας δὲ φησὶ καὶ τὰς ἐνδόξυς·
Πηλεὺς συζῆναι δὲ θνητῇ, τύχης τῆς κατωτέρας·

Digitized by Google

νῦν δ' ἵνα πένθος ἐν φρεσὶν εἴη καὶ σοὶ μυρίον,
ἤ τοι τῇ ὁμοιόμῳ σοι ἐκείνῃ τῇ μητρί μου
τὸ, ἔζευξε, τὸ ἔζευκται παρῆκε τοῖς ἐνθάδε,
ἐλλειπτικῶς, μιμητικῶς, σχήματι τῶν πενθούντων·
εἴ τε καὶ ἔτω νόησαν λέγειν τὸν Ἀχιλέα,
ὄφελον, μὴ ἐγένετο ἄνθρωπος μὴ δὲ κόσμος·
οὐ θέλω ζῆν τὸν Ἕκτορα μὴ κτείνας τῷ ὁρί μου·
Θέτις δὲ δακρυχέουσα τάδε φησὶ πρὸς τέτον·
ὠαίμορος ὦ τέκνον μου λοιπὸν οἷς λέγας ἔση·
μετὰ θανὴν γὰρ Ἕκτορος, θνήσκεις καὶ αὐ εὐθέως·
μέγα ςενάξας Ἀχιλεὺς πρὸς τὴν αὐτὴν φησί δε,
αὐτίκα θάνοιμι κἀγώ· ἀλλὰ σαφηνιςέον·
ὃ θέλω ζῆν ὡς εἴρηκα τὸν Ἕκτορα μὴ κτείνας·
ὑδρομαντείας μέμνηται, ἤ τις λαμπρῶς ἐδήλω
μετὰ τὴν Ἕκτορος σφαγὴν καὶ τέτον τελευτήσαν·
μέγα ςενάξας δὲ φησὶ, τελναίων παραυτίκα·
νῦν τὴν ὑδρομαντείαν τε καὶ λεκανομαντείαν,
ἐξ ἧς τὸ πᾶν ἐγίνωσκε, μετέρα λέγει τέτο·
κἄρα δ' ἐγὼ δεδέξομαι· ἤ τοι θανοῦμαί τότε,
ὅταν ὁ Ζεὺς καὶ οἱ λοιποὶ θελήσωσιν ἀςέρες,
ἐξ ὧν ἀνθρώποις γίνονται πάντα τὰ πεπρωμένα·
οὐ δ' Ἡρακλῆς γὰρ ὁ ςερρὸς ἐξέφυγε τὴν μοῖραν,
ὅς περ Διὶ τῷ ἄνακτι ὑπῆρχε πεφιλμένος,
ἢ ἀςρολόγῳ τῷ Διὶ ἐκείνῳ ςεφηφόρῳ,
ὃν καὶ Ὀρφεύς πε μέμνηται, εἴ τε καὶ τῷ ἡλίῳ,
ἔργα κλεινὰ γὰρ καὶ λαμπρὰ ζῶν Ἡρακλεῖς ἐτέλει·
ἢ τῷ Διὶ καὶ ἡρωνῷ φίλον τὸν ἄνδρα λέγει·
ἄριςος ἀςρολόγος γὰρ ὁ Ἡρακλῆς ὑπῆρχεν·
ὡς καὶ Ὀρφεὺς τοῖς λίθοις βοᾷ διατυρσίως,
οὕτω Διὶ τὸν Ἡρακλῆ νόει μοι πεφιλμένον·
τῇ εἱμαρμένῃ δὲ αὐτὸν μὴ ἔπῃς πεφιλμένον·

Digitized by Google

πάνυ γὰρ τληπαθέστατον ἔζη τὸν βίον οὗτος,
ὑπ' Εὐρυσθέως τοῦ δειλοῦ κακούμενος ἀμέτρως,
Διὶ τῷ ἀστρολόγῳ δὲ καὶ βασιλεῖ μοι φίλον,
ἢ τῷ ἡλίῳ· μάλιστα τῷ οὐρανῷ δὲ φίλον
τὸν Ἡρακλέα γόει μοι ἄριστον ἀστρολόγοις,
ἀλλὰ ἡ μοῖρα δάμασε καὶ χόλος ὁ τῆς Ἥρας·
ἀλλὰ καὶ ἄριστος τελῶν τοιοῦτος ἀστρολόγος,
ὑπὸ τῆς μοῖρας τέθνηκε καὶ τῆς ὀργῆς τῆς Ἥρας·
ὀργὴν τῆς Ἥρας δὲ, ψυχῆς περιτροπὴν νῦν νόει·
τῆς Ὕδρας τῷ φαρμάκῳ γαρ χιτῶνα κεχρισμένον
ἐπενδυθεὶς ὁ Ἡρακλῆς καὶ τῶν φρενῶν ἐκστάς δε,
αὐτὸν βαλὼν εἰς τὴν πυρὰν ἐξέδραμε τοῦ βίου·
οὕτω φρενῶν τὴν ἔκστασιν χόλον νῦν Ἥρας νόει·
μὴ μέν τοι τοῦ ἀέρος γε, ὃς τικτομένου τούτου,
ὄντος μεγαλοσώμου δε δεινῶς βεβιασμένος,
δεκαμηναῖον δέδρακε ἀποτεχθεῖναι τοῦτον,
τῷ Εὐρυσθεῖ δὲ ἄρχεσθαι τεχθέντι ἑπταμήνῳ·
τῆς μάχης δὲ μὴ ἔρυκε, φιλοῦσα οὔ με πείσεις·
οἶδα ἐκ σοῦ ὦ μάντευμα τῆς ὑδατομαντείας,
ὡς εἰ ἀνέλω Ἕκτορα, κἀγὼ εὐθέως θνήσκω,
ὅμως καλόν μοι πολεμεῖν, οὐ φιλοψυχητέον·
αὐτῷ δ' ἡ ἀργυρόπεζα Θέτις ἀνταπεκρίθη·
καλὸν τοῖς φίλοις βοηθεῖν, ὦ πεφιλμένον τέκνον,
ἀλλ' ἄνευ ὅπλων, οὐ χρεὼν εἰς μάχην ἐξιέναι·
ὁ Ἕκτωρ ὁ τρικόρυθος ἔχει γάρ σου τὰ ὅπλα·
μικρὸν χρόνον καρτέρησον, εἰς πόλεμον μὴ χώρει,
ἕως ἐγὼ κομίσω σοι παρὰ Ἡφαίστου ὅπλα·
εἰποῦσα ταῦτα τῷ υἱῷ ταῖς Νηρηΐσι λέγει
στραφῆναι πρὸς τὴν θάλασσαν ταύτας καὶ τὸν Νηρέα·
ἡ δὲ, περὶ τὸν Ἥφαιστον πρὸς Ὄλυμπον ἐχώρει·
οὕτως ὥρμα πρὸς πόλεμον θυμῷ νενικημένος·

Digitized by Google

ὡς ἐκ μητρὸς δὲ διδαγχθεὶς, ὑγρῇ καὶ τῆς θαλάσσης,
ὅτι χειμῶνος νῦν καιρός· οἱ Ἕλληνες δ' ἡττῶνται,
καὶ μόνον ἄοπλον Τρωσὶ μάχην ἐ.χρὴ συνάπτειν,
αὐτὸς αὐτῷ ἐπίσχεσιν μάχης ποιεῖσθαι λέγει·
ἕστ' ἂν αὐτῷ κομίσωσιν ὅπλα διὰ θαλάσσης
ἐκ τῆ πυρὸς ἀρτιτευχῆ καὶ καινεργὰ καὶ νέα·
οὕτω περὶ τῶν ὅπλων μεν ὁ Ἀχιλεὺς ἐσκόπει,
καὶ δὴ τινὰς ἀπέ-αλκεν εἰς ὀπλεργὸς Ἀημνίους,
ἢ πρὸς ἑτέραν νῆσον τε ἤ τε καὶ χώραν ἄλλην·
ἐξ ἧς καὶ ἀπεκόμισαν οἷα τὰ ὅπλα τέτῳ,
παντὸς τῆ κόσμε φέροντα ποικίλμασιν εἰκόνα·
ἡ θάλασσα δ' ὑπέ-ρερε πάλιν αὐτῆς εἰς κοίτην,
αἱ Νηρηΐδες εἰς αὐτὸν τὸν γέροντα πατέρα·
ἡ Θέτις δὲ, λεπτότερον ὂν εὐθεσίας ὕδωρ,
συγκριτικόν τε τῆ θερμῆ, πρὸς ἐρανὸν ἀνεῖλθεν·
οἱ Τρῶες δὲ τὲς Ἕλληνας αὖθις ἐνίκων μάχῃ
μικρῆ δεῖν ἂν καὶ Πάτροκλον καθείλκυσαν εἰς Τροΐαν,
εἰ μή πε τότε Ἀχιλεὺς τὴν ἀερίαν Ἶριν,
ἔνυδρον νέφος προσλαβὸν ἀνάκλαστν ἠλίε,
ἰδὼν συνῆκε πόλεμον βαρύτατον κροτεῖσθαι,
καὶ καλειφθεὶς τῇ κεφαλῇ συνάμα καὶ τοῖς ὤμοις
σκέπασμα τί μηχανικὸν κατοπτρικὸν φρονήσει
πῦρ ταῖς ἀνταναυλάσεσι προπέμπον ταῖς ἠλίοις,
ὅ περ ἐπένδυσιν φησὶν αἰγίδος ὑπ' Ἀθήνης,
καὶ ἄκων πρὸς τὸ τάφρευμα ς-ὰς καὶ βοήσας μέγα,
Τρῶας μὲν τρέπει πρὸς φυγὴν, Πάτροκλον δὲ λαμβάνει·
ὁ ἥλιος ἀέκων μὲν Ἥρας κελεύσει ἔδυ,
τῷ τῆ ἀέρος ζοφερῷ καὶ πρόωρος ἐκρύβη·
τῆς μάχης δ' ἀπεπαύθησαν Ἕλληνες τὲ καὶ Τρῶες,
τὴν Πολυδάμαντος βελὴν ἐῶ νῦν παραγράφειν.

Ὁ Ζεὺς καὶ ὁ τῆ Κρόνε δε παῖς τῆ ἀγκηλομήτε

Digitized by Google

ὃς πρὸς τὸν Πολυδάμαντα ὁ Ἕκτωρ τανῦν λέγει,
ἡ σκοτεινὴ καὶ ἄδηλος ςτερβλή τε εἱμαρμένη.
Φρένας τῶν Τρώων ἡ Παλλὰς ἐξείλετο Ἀθήνη·
τὐτέςιν, ἠφρονεύσαντο ἀινέσαντες τὰ χείρω·
Ζεὺς δὲ, ὁ πᾶν τὸ νόημα μὴ συμπληρῶν ἀνθρώποις,
ἡ εἱμαρμένη πέφυκεν· ὁ Ζεὺς δ' ὁ μετὰ τῦτον,
ὅς περ φησὶ πρὸς ἀδελφὴν καὶ σύζυγον τὴν Ἥραν,
ζάλη τῦ νεφελώδυς τε καὶ τῦ λεπτῦ ἀέρος
ἃ ἀδελφά τε πέφυκε ταὐτῷ τε τόπῳ κεῖται·
ἐπεὶ λεπτῦ ἀέρος δε καὶ Ἴριδος φανείσης,
μικρὸν φανεὶς ὁ Ἀχιλεὺς νενίκηκε τοὺς Τρῶας·
μετὰ βραχὺ δὲ ζάλη τις γέγονε τῦ ἀέρος,
τῦ νεφελώδυς τὲ αὐτῦ καί γε τῦ λεπτοτέρυ·
τὸ νεφελῶδες μὲν ὑγρὸν ὁ Ὅμηρος ὡς Δία,
αὐτὸ δὲ τὸ λεπτότερον, ὡς Ἥραν παρισφέρων,
ἐν προσωποιΐᾳ νῦν καὶ λόγοις περιάπτει,
ὑψῶν, γλυκάζων ἅμα τε τὸ εὐτελὲς τῦ λόγυ·
οὕτω τοιαῦτα ἔλεγον ὁ Ζεύς τε καὶ ἡ Ἥρα;
ὕτω δὲ Ἥραν ὁ ἀὴρ ὁ ἔννεφος ἐκλόνει.
ἀντέτεινεν ἡ Ἥρα δε τύτῳ σὺν παῤῥησίᾳ,
ἤγουν ἤδη τὸ αἴθριον ἐνίκα τὸ νεφῶδες.
Ἡφαίςυ δόμον δ' ἵκανεν ἡ Θέτις ἡ λευκόπυς,
τὸ εὐθεσίας ὕδωρ δε φημὶ τὸ νεφελῶδες.
ὃ ἀνικώμενον κιρνᾷ τὸ φλογερὸν ἀέρος,
τῦ ὕδατος τὰ ἄκρα δε πάντως τῶν λευκοχώων,
μέλλον πρὸς πῦρ μεταβαλεῖν, πάντως ἐξῃθερώθη,
εἶτα πρὸς πῦρ μετέβαλεν· ἀλλά σοι νῦν φραςέον
πρῶτα τῦ νῦν χωρίυ μεν πᾶν τὸ τῦ μύθους ὕφος
εἶτ' ἀλληγορητέον μοι πραγματικῶς τὸν μῦθον
εἰς Ἀχιλέα τὸν υἱὸν τῦ Θετταλῦ Πηλέως,
εἶτα ςοιχειακώτατα τοῖς περὶ κόσμου λόγοις

Digitized by Google

εἰς Ἀχιλέα τὸν υἱὸν Πηλέως, ὅτι κόσμιε.
Δεινῶς πολέμῳ τοῖς Τρωσὶν Ἑλλήνων ἡττομένων,
τὴν πανοπλίαν Πάτροκλος ἐνδὺς τοῦ Ἀχιλέως,
τὸν Σαρπηδόνα καὶ λοιποὺς κτείνει τῶν Τρώων γένους·
Ἕκτωρ δὲ τοῦτον ἀνελὼν διασπάζει καὶ τῶν ὅπλων·
Ὀργισθέντος Ἀχιλέως δὲ τῇ τελευτῇ Πατρόκλου,
οἰκτρῶς μέγα κωκύσασα Θέτις ἡ τοῦ Νηρέως
σὺν Νηρηΐσιν ἀδελφαῖς ἐξῆλθε τῆς θαλάσσης·
παρηγορεῖται τοῦτον δὲ παῖδα τελευτήσαντα ταύτης,
εἴρνει δὲ τοῦτον ἄοπλον ἐκβῆναι πρὸς τὴν μάχην,
ἕως αὐτῷ κομίσωσι παρὰ Ἡφαίστου ὅπλα·
καὶ Νηρηΐσι λέγει μὲν ἐλθεῖν πρὸς τὸν Νηρέα·
αὐτὴ πρὸς τὸν Ἡφαίστου δὲ παρίδραμεν οἰκίαν·
καὶ τοῦτον περὶ φύσας μὲν εὗρεν ἠσχολισμένον·
ἐχάλκευε γὰρ τρίποδας εἰκοσαρίθμους μέτρῳ,
ἵστασθαι τούτους μέλλοντας τοίχου τερπνοῦ μεγάρου·
χρυσοῦς τροχοὺς ὑπέθετο ἑκάστῳ τε πυθμένι,
ὡς εἰς ἀγῶνα θεῖον μὲν αὐτόματοι κινοῖντο,
καὶ πάλιν ὑποστρέφειν θαῦμα φρικτὸν καὶ μέγα·
ὅτοι μὲν ἐξεργάζοντα ὑπὸ δὲ εἶχον ὦτα·
ταῦτα κατασκευάζοντος τότε δὲ τοῦ Ἡφαίστου,
Χάρις ἡ τούτου σύζυγος τὴν Θέτιν κατιδοῦσα
χειρὶ λαβοῦσα φιλικῶς ἐνδότερον εἰσάγει·
καὶ ἀργυρέῳ θρόνῳ δὲ ταύτην ἐμαθιδρύει,
καλεῖ δὲ καὶ τὸν Ἥφαιστον, ὃς κατιδὼν τὴν Θέτιν
φησὶν, εἰς οἶκον τὸν ἐμὸν ἦλθεν ἡ ἔσωσέ με·
ἀνθ' ὧν ἡ μήτηρ ἔκρυπτε χωλόν με γεννηθέντα·
ῥιφέντα καὶ παθόντα δὲ ἕλκεα μυρία,
εἴ περ μὴ ὑπεδέξατο ἡ Θέτις με τοῖς κόλποις,
καὶ παῖς ἡ Εὐρυνόμη δὲ ἀκεανοῦ καλόῤῥου·
αἷς παρεχάλκευον πολλὰ ἐννεατῇ πρὸς χρόνου·

Digitized by Google

περόνας, κάλικας, γναμπὰς, καὶ ἕλικας, καὶ ὅρμους·
ἐν γλαφυφῷ τῷ σπέϊ μέν· ὠκεανὸς δὲ ἔῤῥει·
οὕτω μοι Θέτιδι χρεὼν ζωάγρια παρέχειν·
οὕτως εἰπὼν παμμέγιστον ὁρμᾷ τοῦ ἀκμοθέτου
χωλεύων, ἀπὸ δὲ πυρὸς ἀπέθετο τὰς σφύρας,
ἐς ἀργυρᾶν δὲ λάρνακα συνέλεξε πᾶν ὅπλον·
σπόγγῳ δὲ σύμπας φαιδρυνθεὶς ἐνδύεται χιτῶνα·
σκῆπτρον λαβὼν δὲ στιβαρὸν ἐξέδραμε χωλεύων·
ὥρμων δ' εἰς τούτου πλάγιον χρυσαὶ θεραπαινίδες,
ζωαῖς οὖσαι νεάνισι πάμπαν ὁμοιωμέναι·
αἷς νοῦς, φωνὴ, καὶ δύναμις καὶ γνῶσις θείων ἔργων·
αἱ μὲν, προεπορεύοντο· οὗτος δ' ἐλθὼν κατόπιν
πλησίον ἷζε Θέτιδος ἐν φαεινῷ τῷ θρόνῳ·
ἧς τῆς χειρὸς ἁψάμενος, ἤρετο τί δὴ θέλοι·
τὰς συμφορὰς δὲ τὰς αὐτῆς ἤρξατο λέγειν αὕτη,
ὅπως Πηλεῖ τῷ Αἰακοῦ ἄκουσα συνεζύγη·
καὶ οὗτος γήρει κεῖται μεν ἐν οἴκοις βεβλαμμένος·
ὁ παῖς δὲ ταύτης Ἀχιλεὺς λελύπεται μυρία,
ὅπλων δὲ δεῖται συσκευῆς ἄοπλος ὑπηργμένος·
εὐθὺς ἐξεργασάμενος ἣν πανοπλίαν γράφει,
δίδωσι ταύτης τῷ υἱῷ αὐτὴν ἀποκομίσαι.

Τὴν μὲν τοῦ μύθου σύμπασαν ὑφὴν νῦν ἠκηκόεις.
ἤδη πρὸς Ἀχιλέα δὲ τὸν Θετταλὸν ἐκεῖνον,
πραγματικῶς, ῥητορικῶς ἀλληγοροῦντες πρόσχες.

Ὁ μὲν Φθιώτης Ἀχιλεὺς ὁ στρατηγὸς ἐκεῖνος
παῖς Θέτιδος τῆς Χείρωνος ὑπῆρχε καὶ Πηλέως·
λέγεται δὲ καὶ Θέτιδος παῖς εἶναι τῆς θαλάσσης,
δι' ἃς αἰτίας ἐν πολλοῖς ἐγράψαμεν τοῖς τόποις·
ἐπεὶ δὲ καὶ τὸν Πάτροκλον νεκρὸν ἀδυρομένου,
ἤχῳ βρασθῆναι πρὸς τὴν γῆν τὴν θάλασσαν συνέβη·
καὶ πάλιν ὥς περ γοερὸν τότε μυκησαμένην,

Digitized by Google

παλινδρομῆσαι πρὸς αὐτῆς τὴν κοίτην καὶ τὴν θέσιν,
τὸ ταύτης δὲ λεπτότερον κεραστικόν τε ὕδωρ,
ὃ εὐθεσίας αἴτιον, ὃ καὶ κυρίως Θέτις,
πρὸς ἠρανὸν ἀναδραμεῖν καὶ ἐξαθερωθῆναι
καὶ εὔδιον κατάστημα τότε γενέσθαι οὕτω,
ἐν ᾧ καιρῷ καὶ πλεύσαντες τινὲς τῶν Μυρμιδόνων
ἢ πρὸς Λημνίους ὁπλουργοὺς ἢ πρὸς ἑτέραν χώραν,
διὰ θαλάσσης ἔφερον ὅπλα ὁποῖα τότῳ
ἐκ τῆς πυρὸς ἀρτιτευχῆ καὶ καινουργὰ καὶ νέα·
οἷων μὲν Ὅμηρος φησὶν ὑλῶν ἐξεργασμένα
χαλκῆ καὶ κασσιτέρῳ μὲν, χρυσίῳ, καὶ ἀργύρῳ,
παντὸς δὲ κόσμου φέροντα ποικίλματιν εἰκόνας·
ἃ περὶ φυσικεύεται ὁ Ὅμηρος ὡς δείξω·
ἐμύθευσαν ὡς Πατρόκλου θρηνοῦντος Ἀχιλέως
ἡ μήτηρ Θέτις ἐξ ἁλὸς ἦλθε σὺν Νηρηΐσι
παρηγορησαμένη τε ὅσα χρεὼν μητέρα·
ἐπεὶ καὶ ἄσπλος ὁ παῖς ταύτης ὑπῆρχε τότε,
ταῖς Νηρηΐσι λέγει μὲν παλινδρομεῖν θαλάσσῃ·
αὐτὴ δὲ πρὸς τὸν Ἥφαιστον εἰς ἠρανὸν ἐλθοῦσα,
ὅπλα κατήνεγκεν αὐτῷ, θάμβος ἀνθρώποις ξένον.

Τὴν Ἀχιλέως Θετταλῆ πᾶσαν ἀλληγορίαν
τῆς παρηγόρου Θέτιδος καὶ τῆς ὁπλοποιΐας,
ἔχεις καλῶς μοι σύμπασαν νῦν ἀλληγορεμένην·
πρὸ γὰρ βραχέος ἔφημεν πάντα λεπτολογοῦντες,
μέχρι περ οὗ ἀνέτρεχε πρὸς Ἥφαιστον ἡ Θέτις·
νῦν δ' ἐκ τῆς ἀνελεύσεως ἔφημεν ἄχρι τέλους·
ὅμως ἐπιτομώτερον καὶ πάλιν μοι ῥητέον.

Τοῦ Ἀχιλέως Πατρόκλου νεκρὸν ὀδυρομένου,
ἐξέδραμεν ἡ θάλασσα μυκήματι βαιῷ,
ἣν καὶ μητέρα Ὅμηρος τοῦ Ἀχιλέως λέγει·
καὶ θρήνους περιτίθησι καὶ λόγους παρηγόρους,

Digitized by Google

δεδουὺς ὅτι παθαίνεται τᾶτον καὶ τὸ ϛοιχεῖον,
καὶ Ἀχιλέως κεφαλὴν λέγει λαβέσθαι ταύτην,
εἰπεῖν τε ὅτι εἵμαρται ταῦτα σοὶ γεγονέναι
ὡς περ ἐπηύχου τοῖς Τρωσὶν Ἕλληνας ἡττηθῆναι,
ἦ τοι σὺ νεὶς ὁ Ἀχιλεὺς εἰς λογισμὸν οἰκεῖον
ἐκ πρὶν ὀφρομαντείας τε καὶ τᾷ συμβάντος τότε,
ὅτι χειμῶνι Ἕλληνες ἡττήσουσι τοὺς Τρῶας,
ὡς καὶ αὐτὸς ἐπηύχετο πρὸς ἑαυτὸν ἦν λέγων·
ὦ στυγερὸν ϛοιχεῖον μοι θέκην μητρὸς φιλτάτης,
ποῖον ἐμοὶ τὰ ὄφελος Ἑλλήνων ἡττημένων,
ἐπεὶ καὶ Πάτροκλος νεκρὸς νῦν σὺν ἐκείνοις κεῖται;
Ἕκτωρ τὰ ὅπλα δ' ἔλαβεν, ἃ περ ἡ εἱμαρμένη,
οἵ τε θεοὶ καὶ βασιλεῖς δεδώκασι Πηλέϊ
θνητῷ καὶ κατωτέρω δε τῆς τύχης ὑπηργμένῳ,
ὅ τε τὴν σᾶν ὁμώνυμον τᾷ Χείρωνος τὴν Θέτιν
τὴν βασιλίδα καὶ θεὰν ἐλάμβανεν πρὸς γάμον·
μετάβασις ὀνόματος καλεῖται δὲ τὸ σχῆμα,
ἦ ἃ περ ὅπλα συμπάρην χρυσᾶ τε καὶ ἀργύρου,
καὶ τῶν λοιπῶν δὲ τῶν ὑλῶν, ἃ περ θεοὶ δωρῶνται,
τῶν πλεονητῶν ἑκάϛῳ γαρ ἀνάκειταί τις ὕλη,
καθάπερ τερατεύονται παῖδες τῶν ἀϛρολόγων·
ὡς ὄφελεν ἡ μήτηρ μὲ τᾷ Χείρωνος ἡ Θέτις,
ἡ νησιῶτις βασιλίς· ἡ παραθαλσσία
τᾶτο γὰρ νῦν ἔϛι Θεὰ Πηλεῖ μὴ συναφθῆναι
θνητῷ, καὶ κατωτέρας δε τῆς τύχης ὑπηργμένῳ,
ἤγουν ὡς ὄφελον φησὶν ὅλως μὴ γεννηθῆναι·
νῦν δ' ἵνα πένθος δὶ ἐμὲ καὶ σὺ μυρίον ἔχῃς
τὸν ὃν ἐχ ὑποδέξῃ με τῇ Τροίᾳ τεθνηκότα,
λύπην συνήψῃς τῷ Πηλεῖ καὶ δυϛυχῶς γεννᾷς με.
ἐπεί δε καὶ ὁ Πάτροκλος τανῦν μοι ἀνηρέθη,
ὃ θέλω ζῆν, τὸν Ἕκτορα μάχῃ μὴ κατακτείνας·

Digitized by Google

Θέτιδος δὲ μεθ' Ἕκτορα ταχὺ θνήσεις εἰπούσης,
μνησθεὶς ὑδρωμαντείας τε τούτῳ προδηλωσάσης,
ὡς καὶ αὐτὸς μετὰ σφαγὴν Ἕκτορος θνήσκεις τάχα,
μέγα στενάξας ἔλεξε, τεθναίην παραυτίκα
ὅταν ὁ Ζεὺς καὶ οἱ λοιποὶ ἐκλώσαντο ἀστέρες,
ἐξ ὧν ἀνθρώποις γίνεται πάντα τὰ πεπρωμένα·
ὃ δ' Ἡρακλῆς ὁ φίλος γὰρ Διὶ τῷ ἀστρολόγῳ,
ἢ τῷ ἡλίῳ νῦν Διὶ, ἢ καὶ τῷ οὐρανῷ δε·
ἔργα κλεινὰ γὰρ καὶ λαμπρὰ ζῶν Ἡρακλῆς ἐτέλει,
καὶ οὐρανῷ δὲ φίλος ἦν καὶ ἀστρολόγος οἷος,
τὴν κῆρα καὶ τὸν θάνατον ἐξέδραμε τῇ τέχνῃ·
ἀλλὰ ἑ μοῖρ' ἐδάμασε καὶ χόλος ὁ τῆς Ἥρας·
παρατραπεὶς γὰρ τῶν φρενῶν Ὕδρας φαρμάκου χρίσει,
αὐτὸν εἰς πῦρ ἐνέβαλε Κηναίῳ τῆς Εὐβοίας.
οὕτως ὦ μῆτερ κἂν φιλῇς μάχης μὴ κάτειργέ με,
οἶδα ἐκ σοῦ ὦ μάντευμα τῆς ὑδατομαντείας,
ὅτι κτανὼν τὸν Ἕκτορα, θνήσκω κἀγὼ συντόμως·
ὅμως χρεών μοι πολεμεῖν καὶ βοηθεῖν τοῖς φίλοις·
τῷ δὲ ἡ ἀργυρόπεζα Θέτις ἀνταπεκρίθη,
οὓς Ὅμηρος ὁ πάνσοφος παίζων συμπλάττει λόγους,
εἰποῦσα Νηρηΐσι τε στραφῆναι πρὸς Νηρέα,
εἰς οὐρανὸν πρὸς Ἥφαιστον ὅπλα χωρεῖ κομίσαι.
Οὕτως ὥρμα πρὸς πόλεμον ὁ Ἀχιλεὺς ὡς ἔφην·
ὡς ἐκ μητρὸς δὲ διδαχθεὶς ὑγροῦ καὶ τῆς θαλάσσης,
ὅτι χειμῶνος νῦν καιρὸς, οἱ Ἕλληνες ἡττῶνται,
καὶ μόνον ἄοπλον οὐ χρὴ πρὸς μάχην ἐξιέναι,
αὐτὸς αὐτῷ ἐπίσχεσιν μάχης ποιεῖσθαι λέγει,
ἕστ' ἂν αὐτῷ κομίσωσιν ὅπλα διὰ θαλάσσης
ἐκ τοῦ πυρὸς ἀρτιτευχῆ καὶ καινουργὰ καὶ νέα·
ἐπεὶ δὲ τῆς θαλάσσης μεν τῆς ἐξελθούσης τότε,
τὸ ὕδωρ τὸ βαρύτατον πάλιν ἀνθυπεστράφη,

Digitized by Google

αἱ Νηρηΐδες πρὸς τὸν σφῶν πατέρα τὸν Νηρέα,
τὸ δὲ λεπτομερέστερον καὶ εὐθεσίας ὕδωρ
σιγκρατικόν τε τοῦ θερμοῦ πρὸς οὐρανὸν ἀνῆλθεν·
ὁ Θέτιδος ἀνέλευσις πρὸς Ἥφαιστον καλεῖται,
ἤγουν, αἰθρία γέγονεν ἐν οὐρανῷ εὐδία;
στέλλει ναυσὶν ὁ Ἀχιλεὺς ὅπλα τινὰς ὠνεῖσθαι·
Ἑλλήνων ἡττημένων δε Τρωσὶ βιαιωτάτως,
ὁ Ἀχιλεὺς ἐξ Ἴριδος βαρεῖαν γνοὺς τὴν μάχην,
καὶ πρὶν κομίσαι πρὸς αὐτὸν ὅπλα τοὺς ἐσταλμένους,
καὶ πτοηθεὶς μὴ Πάτροκλος νεκρὸς Τρωσὶ ληφθείη,
σκέπει τινὶ συγκαλυφθεὶς τῇ κεφαλῇ καὶ ὤμοις,
ἐξ ἧς, ἐκ μηχανίματος, ὁ φρόνησις Ἀθήνη,
πῦρ ταῖς ἀντανακλάσεσιν ἔλαμπε τοῦ ἡλίου;
ὡς πρὸς τὴν τάφρον ἐξελθὼν καὶ τρεῖς βοήσας μέγα,
τρέπει τοὺς Τρῶας εἰς φυγὴν, Πάτροκλον δὲ λαμβάνει·
ἡλίου ἀκουσίως δε δύντος βουλαῖς τῆς Ἥρας,
τῷ τοῦ ἀέρος ζωφεφῷ προώρου κεκρυμμένου,
τῆς μάχης ἀπεπαύθησαν Ἕλληνές τε καὶ Τρῶες·
ὁ Ζεὺς καὶ ὁ τοῦ Κρόνου δε παῖς τοῦ ἀγκυλομήτου
ἡ σκοτεινὴ καὶ ἄδηλος στρεβλή τε εἱμαρμένη;
ταῦτα καὶ τ' ἄλλα καθεξῆς κάλλιστα προεγράφη
μέχρις ἐκείνων τῶν ἐπῶν ὧνπερ ὁ νοῦς τοῖός δε·
Ἡφαίστου δόμον δ' ἱκάνεν ἡ Θέτις ἡ λευκόπους.
ἐντεῦθεν ἄκουε λοιπὸν σοὶ πᾶν ἀλληγαροῦντος·

Τὸ μὲν παχὺ τοῦ ὕδατος, ὁ Νηρηΐδας εἶπε,
μετὰ τὸν σάλον τὸν φρικτὸν τὸν τότε γεγονότα,
αὖθις ὡς πρὸς τὴν θάλασσαν ἔστραπται τὸν Νηρέα·
τὸ δὲ λεπτομερέστατον ὕδωρ τῆς εὐθεσίας
ὁ ἀνιμώμενον κιρνᾷ τὸ φλογερὸν ἀέρος;
λευκὰ τὰ ἄκρα πάντως δε τοῦ ὕδατος τυγχάνει,
διὰ τὸ βάθος μέλαν δε δοκεῖται καὶ καλεῖται·

Digitized by Google

μέλλον πρὸς πῦρ μεταβαλεῖν ἐξηθεράθη πρῶτον,
ἔπειτα συνεκεράθη δὲ καὶ πρὸς πυρὸς ἰσίαν·
Ἡφαίστου δόμον χάλκεον φησὶ τὰ πρὸς αἰθέρα,
οἷα καὶ πυρωδέστερα τυγχάνοντα τῇ φύσει,
κἄνπερ ὁ κομπολάκυθος ἐ λέγει Σταγειρόθεν·
κυλλοποδίων δὲ τὸ πῦρ, τὸ μὲν ὑλῶδες οὕτω,
ὡς ἄνευ ξύλων καὶ ὑλῶν τοὺς πόδας ὑποσκάζον
καὶ παρευθὺς σβεννύμενον· βαδίζειν ἐκ ἐσχύεν,
καὶ ὡς ἀναφερόμενον ἔνθεν κἀκεῖθεν ῥέπον,
καὶ δόκησιν χωλότητος βαδίσματος ἐμφαῖνον,
ὅτι τὲ πὲς διά πυρος βαδίζειν ἐκ ἰσχύει,
καὶ τῷ ἀύλῳ δὲ πυρὶ συνάδουσι τὰ δύο,
δόμον δὲ ὃν ἐποίησεν ὁ Ἥφαιστος γινώσκεις·
τὰ πῦρ γὰρ κατὰ Ἕλληνας ἐν τῇ κοσμογενείᾳ·
ἑκάστῳ διενείματο τοὺς τόπους κατ' ἀξίαν·
τέλει τῆς ἄλφα γέγραπται τῆτο σοι σαφεστάτως·

Τῆτον δ' εὗρεν ἱδρῶντα τε τότε περὶ τὰς φύσας,
τὸ πῦρ γὰρ πνεύματι κινεῖ λεπτύνον τὸ νεφῶδες,
τρίποδας δὲ τὸ τριμερὲς λέγει τῇ χρόνῳ τεύχειν·
τὸ γὰρ θερμὸν ὑπέστησε καὶ κόσμον καὶ τὸν χρόνον,
τὸ εὐσταθὲς δὲ μέγαρον, ἅπας ἐστὶν ὁ κόσμος·
ἐν ᾧ τὸ πῦρ τριμέρειαν ἐργάζεται τῇ χρόνῳ·
εἴκοσι δὲ οἱ τρίπωδες εἰσὶ ὡς ὑπὲρ τέλος,
τὰ δέκα τέλεια εἰσὶν ἐν ἀριθμοῖς ὡς οἶδας,
τὰ εἴκοσι δ' ὑπέρτερα τάξεως τῇ τελείᾳ·
Ὅμηρος ὑπὲρ τέλος δὲ κόσμον καὶ χρόνον λέγει,
τὰ κύκλα δὲ τὰ χρύσεα τὰ τρίποδας κινοῦντα,
αἱ τῇ ἡλίῳ χρυσαυγεῖς τελῇσι λαμπηδόνες,
ὑφ' ὧν περ αἱ τριμέρειαι κινήσει τῇ τῆς σφαίρας,
ἣν περ ἀγῶνα θεῖον σοι σαφῶς κατονομάζει,
αὐτόματοι χωρῆσι, τε ὑποχωρῆσι πάλιν·

Digitized by Google

τί ταῦτα νῦν λεπτολογῶ τῷ Ἀχιλεῖ Φθιότῃ;
τανῦν ἐπιτομώτερον δέον εἰπεῖν με ταῦτα,
ἐν δὲ τῷ κόσμῳ Ἀχιλεῖ τὸ πᾶν ἀναπτυκτέον
μετὰ τὴν ζάλην τὴν δεινὴν, ἣν ἔφην, τῆς θαλάσσης,
ἀναδραμὼν τὸ ἔνυγρον εἰς τὸ πυρῶδες ἄνω,
ὐ πρώτως μεταβέβληκεν ὡς πρὸς πυρὸς ὐσίαν,
πρὸς δέ γε τὸ μεσαίτατον καὶ κατηυκρατωμένον,
ὅ περ καὶ Χάριν σύζυγον Ἡφαίστου νῦν μοι νόει,
εἶτα καὶ πρὸς θερμότερον καὶ παντελῆ αἰθρίαν
ὃ τῶν φυσῶν κατάλειψις ἐστὶ παρὰ Ἡφαίστου,
καὶ τοῦ προσώπου κάθαρσις καὶ ἔνδυσις εἱμάτων
πλησιεδρία Θέτιδος καὶ κράτησις χειρός δε,
καὶ πρὸς αὐτὴν ἐρώτησις, οὗ τινος χρείαν ἔχει,
καὶ ταύτης δὲ ἀφήγησις τῆς ὅπλων ἀπωλείας,
καὶ αἴτησις ἐκ τούτου δε νεοχαλκεύτων ὅπλων,
ἅ περ ἐξεργασάμενος δίδωσιν οὗτος ταύτῃ
ἡ δέ κατάγει τῷ παιδὶ ταῦτα πολλῷ τῷ τάχει
ἐν οὐρανῷ αἰθρίας γαρ τοιαύτης γενομένης
διὰ θαλάσσης Ἀχιλεὺς πέμπει ὠνεῖσθαι ὅπλα,
ὁπλοπαῷ οἱ λέγουσι τὰ Ἀχιλεῖ συμβάντα.
ὃς ὅπλα οἷα Ὅμηρος φησὶν ἐξειργασμένος,
ἀπεμπολήσας δίδωσι τούτοις ἀποκομίζειν
ἐπεὶ τὸ πῦρ δὲ Ἥφαιστος, καὶ πᾶς πυρὸς ἐργάτης
καὶ ὅσαι ὕλαι τοῦ πυρὸς κατὰ μετωνυμίαν
διὰ θαλάσσης δ' Ἀχιλεῖ ἀπεκομίσθη ταῦτα,
ἀνέπλασαν τὴν Θέτιδα πρὸς Ἥφαιστον ἐλθοῦσαν,
πᾶν τὸ συμβὰν τῷ Ἀχιλεῖ λεπτομερῶς εἰποῦσαν,
καὶ πανοπλίαν ἄριστον ποιῆσαι ἐξαιτῆσαι,
τὴν ἣν καὶ ἀπεκόμισε τῷ Ἀχιλεῖ λαβοῦσα.

Ταῦτα πανσόφως Ὅμηρος περὶ τοῦ Ἀχιλέως,
συγγεγραφὼς ὡς γέγονεν, ἀλληγορῶν τε ἅμα

πλὴν ἐν ἀλληγορήματι πραγματικῷ ῥητόρων
παίζων καὶ φυσικεύεται περὶ κοσμογενέσεως,
ἀλληγορῶν στοιχειακῶς ἔπειτα τὸ νῦν χωρίον·
ἐν τοῖς ἀκατελείπτοις γὰρ ἔτω χρεὼν συγγράφειν,
ἃ μὴν προδήλως γράφοντα καταπαίζειν ἐφευσμένους,
καὶ σκόπει πᾶσαν ἀκριβῶς τὴν γῆν ἀλληγορέαν·
κἄν περ ὁ πάνσοφος ἀνὴρ τῷ σπεύδειν λελησθένοα
λέγῃ τὰ πρῶτα ὕστερον, τὰ ὕστερα πρότερος,
καὶ συγχρῆσθαι τοὺς γράφοντας καὶ τριλογεῖν ποσῇ δε,
ἡμῖν δὲ κατ' εὐκρίνειαν τὴν τάξιν τηρητέον.

Ἥφαιστος νῦν ἤ τοι τὸ πῦρ ἀσφέρεται Ὁμήρῳ,
λέγων περὶ τῆς Θέτιδος ὑδάτων τῶν ὀμβρίων,
ἐν τῷ ἐμῷ οἰκάματι ἦλθε θεὰ μεγέστη,
ἦ πέρ με σέσωκε ποτὲ μέλλοντα κινδυνεύειν·
χωλὸς γὰρ ὢν καὶ τῆς μητρὸς θελούσης μ' ἀγχρύπτειν,
κατέπεσον· ἡ Θέτις δε σώζει καὶ Εὐρυνόμη,
ταῖς αἷς περ παρεχάλκευον εἰς χρόνον ἐνναέτη,
πόρπας γναμπτὰς καὶ ἕλικας καὶ καλύκας, καὶ ὅρμους
ἐν σπῆϊ· ῥοὰς δ' ἀκεανὸς ἀφρῷ μορμύρων ῥέεν.

Ἔρεβος εἶναι κατάρχας καὶ χάος δεγματίζει·
ἀέρος κεκινθένος δε, ὅ περ ὁ Ζεὺς τυγχάνει,
καὶ συμμεγέντος δὲ αὐτῇ τῇ Ἥρᾳ λεπτυνθέντος,
καὶ πῦρ χωλόν τε καὶ ὑγρὸν καὶ ἀνελὲς ἐξέρρει·
ὃ πίπτον εἰς τὸν θάλασσαν ὃν πλήρης καὶ πνευμάτων,
ἐννεατῶς ἐχάλκευεν, ἅπερ πολλοῖς ἐν χρόνοις
πρὸς τὸ πυρώδες ἐξορμῶν, πάσας τροφὰς ἐπόει,
πόσα δ' ἐκπυρηνίσματα σχήμασιν ἐν μυρίοις,
ἐν πόσῳ δὲ τῷ πνεύματι τὰ ὕδωρ συνέῤῥαβεν,
ὡς ἀφρίαν, μορμύρειν τε καὶ ἀναβράζειν οἷον·
λοιπὸν ὁ κόσμος, ὁ Πηλεύς, πηλὸς ἦν ἀληθείᾳ
ὑγρῷ ἀέρος ζοφερῷ, πέριξ κεκλῄστος ἀϊδνον.

Digitized by Google

ἐν δὲ πλευραῖς τῆς Θέτιδος θαλάσσης συγκοιτούσης
ἀμφοῖν δὲ παῖς ἦν Ἀχιλεύς· γῆς φύσις ἀκαρποῦσα
δένδρα τινὰ καὶ ζῶα γαρ καὶ ἕτερα μυρία,
γινόμενα ἐφθείρετο τῷ ζοφερῷ ἀέρι·
ἕως ὁ Ζεὺς ὡς λέγουσι Κρόνον ταρτάρῳ βάλλει·
οὕτως ἐγήρα μὲν Πηλεὺς ὃν ἔφημεν, ὁ κόσμος·
ἤτοι μακραὶ περίοδοι παρέδραμον τῶν χρόνων·
ὑπῆρχε δ' οὗτος ὁ Πηλεὺς ἔνικμος καὶ πηλώδης·
ὁ Ἀχιλεὺς ὁ τούτου δὲ ἄτιμος παῖς ὑπῆρχε,
καὶ ἄοπλος, συνάμα δὲ γυμνὸς τῆς εὐκαρπίας,
παντὸς τε ὡραΐζοντος κενὸς ἐστερημένος·
τίς δ' Ἀχιλεὺς καθέστηκεν, ὁπόσον τῆς γῆς μέρος·
πολλοὺς χιλοὺς δὲ καὶ καρποὺς πᾶσαν τροφήν τε φέρει,
τότε δ' ὑπῆρχεν ἄκαρπος καὶ Ἀχιλεὺς τῷ ὄντι·
ἐπεὶ λελυπημένους δε νῦν, οὐ Πατρόκλου χάριν,
Ὁμήρου δ' ἀστείσμασιν ἕνεκα παγκαρπίας,
καὶ πάσης πανοπλίας δε μέγιστον ὤμωξέ τι·
τὸ μὲν πυρῶδες ἔνυργον πίπτον ἐν τῇ θαλάσσῃ
ζάλην καὶ θροῦν καὶ συστροφὰς, ἃς εἴπομεν, ἐποίει·
ἐπεὶ δὲ καὶ μυκήματα τῆς γῆς ἀπετελέσθη,
ξηραινομένου τοῦ ὑγροῦ κινήσει τῶν πνευμάτων
ἐκβράττεται καὶ θάλασσα ῥόχθῳ πρὸς γῆν μεγάλῳ,
ὅ περ κατέσχεσις χειρὸς ἐστὶ τῆς Ἀχιλέως,
καὶ κεφαλῆς ἐφάπτεται μερῶν τῶν ὑπερτέρων,
καὶ Νηρηΐδες αὖθις μὲν χωροῦσι πρὸς Νηρέα·
ὕδωρ τὸ παχυθάλασσον, εἰς κοίτην τὴν οἰκείαν,
αὕτη δὲ Θέτις τὸ λεπτὸν καὶ εὐθεσίας ὕδωρ·
συγκρατικὸν τε τοῦ θερμοῦ πρὸς οὐρανὸν ἀπῆλθε·
μέλλον δ' εἰς πῦρ μεταβαλεῖν πρῶτον ἀπηεράθη·
εἶτα καὶ ἠθερώθη δε, ὅ περ ὁ μῦθος λέγει
περιπλοκὴν τῆς Χάριτος τῆς γυναικὸς Ἡφαίστου·

Digitized by Google

εἰσαγωγὴν πρὸς οἶκόν τε καὶ ξένισμα πρὸς Θέτιν·
ἕως ὁ Ἥφαιστος, τὸ πῦρ, ἀφεὶς καὶ τὸ χαλκεύειν,
ἔλθοι καὶ μάθοι παρ' αὐτῆς τίνος ἀνήλθε πέρι
τρίποδας γὰρ εἴκοσιν ἐχάλκευε τῷ τότε
ἀπειρομέτρων ἀριθμῷ, λέγω κινήσεις χρόνων·
τὸ γὰρ θερμὸν ὑπέστησε καὶ κόσμον καὶ τὸν χρόνον·
τὸ εὐσταθὲς δὲ μέγαρον, ἅπας ἐστὶν ὁ κόσμος,
τὰ κύκλα δὲ τὰ χρύσεα, τὰ τρίποδας κινοῦντα,
ὁ σφαιροδρόμος ἥλιος καὶ χρόνος ἀπαρτίζων·
θεῖον ἀγῶνα λέγει δὲ τὰς σφαῖρας περιδρόμους·
δι' ὧν περ αἱ τριμέρειαι τῶν χρόνων συμπληροῦνται,
καὶ πάλιν ἀνακάμπτουσιν ἐξ ὑπαρχῆς ἑτέρας·
ὥτα δ' αὐτοὺς τοὺς τρίποδας λέγει μὴ ἔχειν ἔτι,
ταῦτα κατασκευάζειν δὲ τὸν Ἥφαιστον τῷ τότε·
ὅπως γνωστὸν καὶ ἀκουστὸν κίνησις ἦν ἡλίου,
ὑφ' οὗ τρισσάκις ὁ ἀὴρ τῷ ἔτει μετατρέπει·
ἔμελλε δ' ἤδη γίνεσθαι τοῦτο καθὼς ἐρεῖ σοι,
παίζων, καὶ τὴν Ἀχίλειαν ἀσπίδα καταλέγων
κόσμου παντὸς τὴν σφαίρωσιν, ἣν μετ' εὐτάκτου δρόμου
περιπολῶν ὁ ἥλιος πάντα γεννᾷ καὶ τρέφει·
ἵτως ἡ Θέτις Χάριτι συκῆν καὶ συνετρίφα,
τὸ ὕδωρ ἐλεπτύνθη τε καὶ ἤδη ἠθεροῦτο·
ἐξ ἀκμοθέτου δ' Ἥφαιστος ἀνασκιρτᾷ μεγάλως
χωλεύων· τέτευ πόδες δὲ ἀσθενέστατος ὥρμων·
μακρόθεν θεὶς δὲ τῷ πυρὸς τὰς φύσας ὅπλον ἅπαν,
ἐς ἀργυρᾶν τὴν λάρνακα θεὶς καὶ λελαμπρυσμένος
καὶ βακτηρίαν δὲ λαβών, ἐξέδραμε χωλεύων·
χρυσαῖ θεραπαινίδες δὲ προέβαινον ἐκείνῳ
ζώσας καλαῖς νεάνισι τοῖς πᾶσιν ἐοικυῖαι
αἷς νοῦς καὶ σθένος καὶ φωνὴ καὶ ἀθανάτων ἔργα·
αὗται προεπορεύοντο, ἵτος δ' ἐλθὼν κατόπιν

Digitized by Google

πλησίον ἵζει Θέτιδος καὶ τῆς χειρὸς λαμβάνει·
καὶ κατασκέψας ταύτης δὲ ποιεῖ τὴν πανοπλίαν·
ἐξ ἀκμοθέτου δ' Ἥφαιστος ἀνασκιρτᾷ μεγάλως,
ἐκ δὲ τοῦ ἠπεπαύματος καὶ αἰθερίου τόπου,
χωλὸν καὶ ἀδιάρθρωτον ὥρμησε πῦρ ἐκπνέειν,
συγκερασθὲν δὲ τῷ ὑγρῷ, ὁ λάρναξ ἀργυρέα,
καὶ σινεδρία Θέτιδος, ταύτης χειρός τε σχέσις,
καὶ βακτηρία ςηρεγμὸς, καὶ λαμπρισμὸς ὁσαύτως·
αἱ δὲ χρυσαῖ νεάνιδες αἱ τάτῳ προπολεῦσαι,
αἵ τε θερμαὶ καὶ θρεπτικαὶ καὶ ζωογόνοι φύσεις·
ὁ οἶκτος δὲ τῆς Θέτιδος, τιεὶν δέ τι τυγχάνει,
μένσν τὸ ὕδωρ τῷ θνητῷ, Πηλεῖ τῇ γῇ ἐζύγει,
ἐν ᾗ καὶ ἅπαν τὸ θνητὸν καὶ τῆς φθαρτῆς ὑσίας,
τὰ τῶν ςοιχείων δὲ λοιπὰ τοῖς θείοις γειτνιῶσι·
καὶ νῦν ὁ γέρων ὗτος μὲν κεῖται βλαβεὶς τῷ γήρει·
ὁ δὲ υἱός μυ Ἀχιλεὺς νῦν δεῖται πανοπλίας·
λοιπὸν ὁ Ἥφαιστος αὐτῷ τεύχει τὴν πανοπλίαν·
ἤτοι μακραὶ παρέδραμον περιςροφαὶ τῶν χρόνων,
καὶ κόσμος κατεβρέγη δὲ καὶ γῆς ἦν ὀσαρπία,
καὶ τῶν ςοιχείων δὲ δεινὴ σύγχυσις πεφυρμένη,
ἕως τὸ φλέγον περασθὲν, οἷς εἶπον τανῦν τρόποις,
πῦρ, ὕδωρ, γῆν, ἀέρα τε ποιεῖ καὶ τὸν αἰθέρα,
καὶ πάντα συνεστήσατο συντόμως φάναι κόσμον,
δεηρθρωμένον κάλλιστα, ὡς τῇ ἡλίῳ πλέον
τηρῆντος δρόμων εὔτακτεν ἀεὶ περὶ τὴν σφαῖραν·
καὶ πᾶν φυτὸν ἐκτρέφοντος καὶ πᾶν ζωογονῆντος,
καὶ τὰς μυρίας δὲ τροφὰς πᾶσι διδῆντος ζώοις,
τὴν πανοπλίαν Ἀχιλεῖ ταῦτα τῷ κόσμῳ τεύχει·
ἀλλὰ καὶ πᾶν τὸ χρήσιμον λεκτέον τῷ κειμένῳ,
ὅσυ εἰς ἀλληγόρημα τῶν χρειωδῶν τυγχάνει·
ἂν δὲ πολυλογήσαμεν, Ὅμηρον αἰτιᾶσθε·

Digitized by Google

πολλῇ πυκνώσει τῶν φρενῶν τῷ σπεύδειν λεληθέναι,
πρωθύστερά τε γράφοντα καὶ πάλιν συμμιγνῦντα,
καὶ τῷ κεκαλυμμένῳ δε τῶν νοημάτων βάθει,
τὸν Τζέτζην περιτρέποντα γράφειν ἁπλῶς, συντόμως,
καὶ τότε καὶ σχεδίῳ δε τῷ λόγῳ συντιθέντα,
ἅ περ οὐδεὶς ἐτόλμησεν οὐ παλαιὸς, οὐ νέος
εἰ μή που τίς ἐκ τῶν ἐμῶν μεταποιήσας ταῦτα
πρός τινας τερατεύοιτο αὐτὸς συντεθεικέναι.
ὡς καὶ λοιποῖς συγγράμμασιν δρῶσιν ἐμοῖς πολλάκις·
ὅτι δ' οὐδεὶς ἐτόλμησιν ἀλληγορῆσαι τάδε,
ὁρᾶτε τὸν Ἡράκλητον καὶ τὴν Μιμὼ σὺν τούτῳ,
τὴν ἀλαζόνα σφίγγα τε, μᾶλλον τὴν ἐπηρμένην,
Κουρνούτους, Παλαιφάτους τε πάντας ἀλληγοροῦντας·
καὶ τὰ ἐμὰ βιβλίδια, τὸ εὐτελές τε τόδε
οἰκονομία συγγραφὲν σπουδῇ τῇ τῆς Ἀνάσσης,
καὶ ὅ περ παρεσπάσθη μοι τῆς χρονικῆς μου βίβλου,
τῆς ἱστορούσης τεχνικοῖς ἰάμβοις τὰ τῶν χρόνων,
ἀλληγοροῦν δὲ σύμπαντα συντετμημένῳ λόγῳ·
ἀλλὰ γὰρ πᾶν τὸ χρήσιμον ῥητέον τοῦ κειμένου·
φύσαι, τὸ πνευματῶδες μεν τὸ τοῦ πυρὸς τυγχάνει·
χόανοι τὸ θερμότερον αὐτοῦ καὶ κεραννύον·
τὸ εἴκοσιν ἐν τρίποσι, τοῖς εἴκοσι προέφην·
ὡς ὑπὲρ τέλος Ὅμηρος κόσμον καὶ χρόνον λέγει,
ἀεὶ τῷ πνευματώδει δε πυρός τε καὶ τῇ θέρμῃ
μέλλειν κιρνᾶσθαι σύμπαντα σαφῶς σοι δογματίζει
χαλκὸν δὲ βάλεν ἐν πυρὶ καὶ τὰς λοιπὰς τὰς ὕλας,
τῇ θέρμῃ παρυπέστησαν τὰ τέσσαρα στοιχεῖα·
ἡ γῆ, καὶ θάλασσα, ἀὴρ, πῦρ, ὁ αἰθήρ τε πέμπτος,
γῆ καθ' ἡμᾶς κασσίτερος, τήκεται γὰρ ὡς οὗτος,
ἄργυρος, θάλασσα, ἀὴρ, χρυσὸς, αἰθέρος φύσις·
χαλκὸς, τὸ πῦρ· ἀνώτερον ὂν πέριξ τοῦ αἰθέρος.

Digitized by Google

τὸν δ' ἀκμοθέτην νόει μοι πᾶσαν τοῦ κόσμου σφαῖραν,
τὴν οὕτως ἀδιάρθρωτον, μίγματι τῶν στοιχείων·
ἄκμονα δὲ, τὸ καρτερὸν τῶν ἐσομένων δρόμων·
ῥαιστῆρα, τὴν λεπτίνουσαν καὶ διαρθροῦσαν φύσιν·
πυράγραν, τὴν ἐπέσχεσιν καὶ κράσιν τοῦ πυρώδους·
σάπος δὲ τὸ πεντάπτυχον, ἡ σφαῖρα ἠρθρωμένη,
ἄντυξ καὶ περιφέρεια τριπλῆ δὲ, μαρμαρέη,
ἀὴρ, αἰθὴρ καθέστηκε καὶ τοῦ πυρὸς τὸ σῶμα.
Ὁ τελαμὼν ὁ ἀργυροῦς ὅς τις ὑπάρχει, μάθε·
ἀναθυμίασις, ἀὴρ ὁ συγκινῶν τὴν σφαῖραν·
λευκὸς δὲ ὡς ὁ ἄργυρος ἐστὶν ἀὴρ τῇ θέᾳ,
καὶ συγκινεῖ τὴν σφαίρωσιν ἀναθυμίασίς τις,
ὡς ἡ Ὁμήρου πολλαχοῦ δεικνύει Καλλιόπη·
ἀλλὰ περὶ τῆς σφαίρας δὲ φησὶν ὁ Σταγειρόθεν·
τὰς πέντε πτύχας ἄκουσον πῶς Ὅμηρος νῦν λέγει·
γῆν λέγων καὶ τὴν θάλασσαν σελήνην ἀντ' ἀέρος·
ἀντὶ πυρὸς τὸν οὐρανὸν, ἥλιον ἀντ' αἰθέρος·
ἃ στεφανοῦται οὐρανὸς τείρεα δέ μοι νόει
νῦν μὴ τὸ δωδεκάζωδον καὶ τὸν ἐκείνου κύκλον·
τὰ ἀπλανῆ τῶν ἄστρων δὲ ὀκτὼ πρὸς τριεικάδι,
ὅσα τε Ἕλληνες φαμὶν καὶ ὅσα διαγράφει·
Τεῦκρος ὁ Βαβυλώνιος ἐν τῇ βαρβάρῳ σφαίρᾳ,
ὧν καὶ Ἠλιάς τε καὶ Ὑάς, Ὠρίων, καὶ αἱ Ἄρκτοι,
ἅ περ καὶ παρενέγραφεν ὁ Ὅμηρος ἐνθάδε·
νῦν ταῦτα λέγει τείρεα· τείρουσι γὰρ ὡς οἶδας·
χειμῶνας ἐπεισφέροντα καὶ θέρη τὰ καυσώδη·
μετὰ μικρὸν ὁ γέρων δὲ παίζων σωφρονεστάτως
ἐρεῖ τὸ δωδεκάζωδον, γέροντας καθημένους,
λίθοις ξεστοῖς· ἤτοι στέρροις ἐν ἱερῷ τῷ κύκλῳ,
καὶ πάλιν χορὸν ποίησεν κλυτὸς ἀμφιγυείης,
ᾧ νέοι καὶ παρθένοι δὲ χορεύουσι συμμίκτως·

Digitized by Google

τῶν γὰρ ζωδίων ἓν παρ' ἕν, ἄρκτον ἐστὶ καὶ Ὑδρα;
ὡς ἀστρολόγοι λέγουσι, καὶ νῦν ὁ θεῖος γέρων,
πλὴν τῷ Ὀρφέως, πρώτερος ὢν πάντων ἀστρολόγων·
ἀλλ' εἴ τι παρεδράμομεν, λεπτῶς ἀναληπτέον.

Δύο τὸ πῦρ ἐποίησε πόλεις ἀνθρώπων λέγει·
τὸ πῦρ, τὸ πᾶν διήθρωσε καὶ ἄστρα καὶ ἄστρας·
δύο ἀφ' ὧν ἐγγίνονται βροτοῖς περιπλάνειαι,
ἡ εὐτυχὴς καὶ δυστυχὴς ἑκάστῳ γενεθλίῳ·
καὶ ταῖς λοιπαῖς δὲ καταρχαῖς, αἷς τί τις πράττειν θέλει·
τὴν εὐτυχῆ δεπονύμφοις γάμους καὶ τἄλλα λέγων·
καὶ τὰς φλογεικοῦντας δὲ κρίσεις τὰς εἰκοῖς δύσεις·
κρίνεσθαι δὲ καὶ γίνεσθαι ταῦτα φησὶ πάντων
τῶν δώδεκα τῶν ζωνιακῶν φερόντων ὀνομάτων·
Κριὸς, Ταῦρος, Διδύμων τε, Καρκίνος, Λέοντός τε,
Παρθένος, ἅμα δὲ Ζυγὸς, Σκορπίος καὶ Τοξότης,
αὐτῷ τῷ Αἰγοκέρωτος, Ὑδροχόος καὶ Ἰχθύων,
περιτρεχόντων πανταχῇ τῶν πέντε δὲ πλανήτων,
τῶν σκηπτροφόρων ὧν φησὶ καὶ τῶν μεγαλεφόνων·
ἦγουν τῶν ἀθέων μέγιστον, οἳ καὶ περιθρυλλοῦνται·
εἰ δεῖ μὲ παῖξαι καὶ μικρὸν τῶν μανδατοφορτίζων·
Κρόνος, Διὸς, καὶ Ἄρεος, Ἀφροδίτης τε, Ἑρμῆ τε·
δύο χρυσῷ δὲ τἀλλαντα, ἥλιος καὶ σελήνη,
οὓς ἀστρολόγοι βασιλεῖς λέγουσι τῶν ἀστέρων·
ἃ περ ἐν μέσῳ ἕκειτο πλῆθος εὐθυδικοῦσι
τῶν πέντε ὧν περ εἴπομεν ἀστέρων πλανωμένων,
τῶν ἀγαθῶν ὑπάρχουσι ὁ Ζεὺς καὶ Ἀφροδίτη·
φθοροποιοὶ καὶ βλάπτοντες, ὁ Κρόνος τε καὶ Ἄρης·
Ἑρμῆς σωμῶν δὲ ἀγαθοῖς ἐς πλέον ἀγαθύνει·
τοῖς βλαπτικοῖς συντρέχων δὲ, τὸ βλάβος ἐπιτείνει·
ἕτοι δὲ περιτρέχοντες τῶν ζωφόρων κύκλων,
ἀμοιβαδὶς διακόζουσιν ἄλλα ἀλλοίους δρῶντες·

Digitized by Google

ὅταν δ' οἱ φαῦλοι ἀγαθὰ δρῶσι τοῖς γενεθλίοις
καὶ καταρχαῖς πραγμάτων δε πάντων τῶν ἐν τῷ βίῳ,
καὶ οἱ χρηστοὶ παγκάλλιστον ἂν ὦσι δεδρακότες,
τοῦτο ποιοῦσι τὸ χρηστὸν τὸ μέγιστον τῷ τότε.
χρυσὰ λαβόντες τάλαντα δύο τὰ λελεγμένα,
ἤγουν παραμεσάζοντος ἡλίου καὶ σελήνης,
καὶ ζυγουλκούντων ἄριστα σοφῇ ταλαντουργίᾳ,
δύο στρατοὶ δὲ εἴατο πρὸς τῇ ἑτέρᾳ πόλει
τὴν ἐκπεριπολήσεως ἀστέρων εὐτυχίαν,
εἰπὼν τὰ νῦν τὴν δυστυχῆ μοῖραν σοὶ καταλέγει,
πολέμους καὶ διαρπαγάς· ἐν δὲ τῷ λέγειν τοῖς δε
χρυσοῦν ἁμοῦ τὸν Ἄρεα καὶ Ἀθηνᾶν ὑπάρχειν
καλῶν βουλαῖς ὑπερμαχεῖν ὑπὲρ πατρίδος λέγει·
τὰ πάντα τ' ἄλλα δὲ σαφῆ μοίρας δυστυχεστάτης
τὰ ὡρισμένα μόνα δε ὁ Τζέτζης ὀβελίζει,
οἷον ποιμένες δύο τε καὶ τέσσαρες ποιμένες,
καὶ πάντα δὲ τὰ ὅμοια, πράγματικὰ εἰσί γαρ·
οὐ μὴν ἀλληγοροῦνται δε ὡς τάλαντα τὰ δύο
καὶ πέντε πτύχες καὶ λοιπὰ τῶν ἀλληγορουμένων.
Τὸ, ἐκ δὲ τίθει δὲ νειὸν, καὶ τὰ λοιπὰ τὰ πάντα
δεικνύουσι σαφέστατα ὅτι καὶ γεωργία,
καὶ βίος δὲ ποιμνητικὸς καὶ αἱ λοιπαὶ δὲ τέχναι
ἐκ τῆς περιπολήσεως γίνονται τῶν ἀστέρων,
τὴν ἣν περιχορεύουσι τὸν ζωοφόρον κύκλον,
ὃν κύκλον Ἥφαιστος ποιεῖ χορείαν τῶν ἀστέρων,
ἐν ᾧ περιπολεῦουσι παρθένοι τε καὶ νέοι
τὸ πρὶν σαφῶς εἰρήκειμεν πάντα σοὶ περὶ πούτων,
Κνῶσσόν δε νῦν καὶ Δαίδαλον ὁ Τζέτζης ὀβελίζει
καὶ στίχους ἄλλους ὡς ὀκτὼ μέχρι τοῦ στίχου τοῦδε.
Περὶ χορὸν δὲ ἱμερτὸν, πλῆθος εἱστήκει πόσον
τῷ ζωοφόρῳ πύκλῳ δε πλῆθος ἀστροθεσίας.

Digitized by Google

οἱ δύο πάλεν ὀρχησταὶ ἥλιος καὶ σελήνη
ὠκεανὸν δὲ ἔθετο ἄντυγα τῇ ἀσπίδι·
τοῦ κόσμου τέρμα γὰρ παντὸς, ὠκεανὸς ὑπάρχει·
ἐπεί δε σάκος ἔτευξε μέγα τε στιβαρόν τε,
ἔτευξε καὶ τὸν θώρακα λαμπρὸν, πυρὸς ἐς πλέον·
ὅρα τὸν χρυσογέροντα πῶς παίζει νῦν διόλου·
πέντε τοῦ κόσμου γὰρ εἰπὼν τοῦ σάκους εἶναι ἐτύχας,
πῦρ, ὕδωρ, γῆν καὶ θάλασσαν καὶ πέμπτον τὸν αἰθέρα,
καὶ θώρακα τοῦ κόσμου δε νῦν Ἀχιλέως λέγει·
τὸ μέρος τὸ αἰθέριον, τὸ πῦρ δε κόρυν τούτου,
τὴν γῆν κνημίδας τούτου δε δῆθεν ἐκ κασσιτέρου.
Ἐπεὶ τὰ ὅπλα πάντα δε ὁ Ἥφαιστος ἦν τεύξας,
ἔμπροσθεν ταῦτα τέθεικε μητρὸς τοῦ Ἀχιλέως,
ὡς ἔρηξ αὕτη δ' ἤλλατο κομίζουσα ἐκεῖνα.
Ἐπεὶ τὸ πῦρ ὑπέστησε κόσμου παντὸς τὴν θέσιν
τὴν γῆν ἐξαπικμάσαμεν τῇ ζέσει τῇ πυρφόρῳ,
μετεωρῆσαν ἄνω δε τὸν ἔνυργον ἀέρα,
ἐς πλέον τὸν αἰθέρα δε καὶ φύσιν τὴν τῶν ἄστρων·
ὄμβροι τε κατεφέροντο, καὶ Ἀχιλεὺς ὠπλίσθη
ἐξ ἀκαρποῦντος, πάγκαρπος, πολυχιλὲς διιχθείς τε.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Τ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Παρὰ Ἡφαίστου Ἀχιλεῖ Θέτις κομίζει ὅπλα,
ὃς τὴν εἰς Ἕλληνας ὀργὴν εὐθέως ἀπορρίψας,
καὶ τὰ παρ' Ἀγαμέμνονος εἰσδεδεγμένος δῶρα,
ἀριστησάντων τῶν λοιπῶν, νῆστις αὐτὸς ὑπάρχων,
ὁπλίζεται πρὸς πόλεμον· Ξάνθος δ' ὁ τούτου ἵππος
θάνατον προμαντεύεται· ταῦτα μὲν οὕτως ἔχει·

ἤδη τὰ τῷ κεμένου δὲ λοιπόν μοι μοχλευτέον.
Ἠώς ἐς-ι κροκόπεπλος, λαμπρὰ καὶ πόσαλείμων,
τὸ φῶς τοῖς ἀθανάτοις δε καὶ τοῖς βροτοῖς εἰσφέρει,
στοιχείοις καὶ ἀνθρώποις ἐμφανες-άτως λέγει·
Θέτις δ' ἐς νῆας ἵκανε θεῦ φέρουσα δῶρα
τῷ Ἀχιλεῖ δε ἥρωϊ, τῷ Θετταλῷ ἐκείνῳ,
διὰ θαλάσσης καὶ νηῶν προσήχθη πανοπλίαν·
ἔργον θεῦ τυγχάνουσα, ἤτοι σοφῦ τεχνίτου,
ἢ εἰμαρμένης καὶ θεῦ δῶρον εἰς Ἀχιλέα.
Τὸ φῦ χειρὶ, σημαίνει δε, ὅτι πρακτικωτάτοις
ἤδη τὰ ὅπλα κατιδὼν ὁ Ἀχιλεὺς ὁ λόγοις
θρήνε τῦ περὶ Πάτροκλον ἀπέπαυσε καὶ γόοις·
ἐτέρπετο τῶν ὅπλων δε προσβλέπων ποικιλίαν·
ἄγαν ἐκπεπληγμένων δε βλεπόντων Μυρμιδόνων
ἐλέγχων νηπιώδεις τε καὶ ἀγεννεῖς ἐκείνους·
ἠγριωμένων κατιδὼν, μέμφεται μέγα τέτοις·
αὐτίκα λέγει δὲ ταυτὶ πρὸς τὴν αὐτῦ μητέρα·
τοὺς τύτῳ προσκομίσαντας διὰ θαλάσσης ὅπλα·
τῆς συνεργάσης Ἀχιλεῖ τρόπῳ μητρὸς ὡς ἔφην·
ὦ οἱ ἀποκομίσαντες θαλάσσῃ μοι τὰ ὅπλα·
ἆρ πῦρ θεὸς παρέσχηκεν ἤτοι ἡ εἰμαρμένη·
ἢ ἁ σοφὸς ἐποίησε δημιουργὸς τεχνίτης·
τὰ ὅπλα ταῦτα ἔργα μεν εἰσὶ τῶν ἀθανάτων,
οὐδὲ βροτὸς ἂν δύδρακε τοιαύτην πανοπλίαν,
ἤτοι ἐξ εἰμαρμένης μοι ταῦτα τῆς τῶν ἀς-έρων,
τὰ ὅπλα ἐκομίσθησαν, οἷα ἐνητὸς ἂ τεύξει·
τοῖς οἷς ἐγὼ νῦν ὁπλισθεὶς χωρήσω πρὸς τὴν μέχην·
πτοῦμαι δὲ τὰ τραύματα μὴ συσσαπῇ Πατρόκλυ·
οἱ δ' εἶπον πρὸς τὸν πόλεμον πάνυ ταχέως χάρα,
ἡμεῖς δὲ τῦτον ἅψαπτον τηρήσομεν ἐντέχνως·
καὶ ἀμβρασία μὲν αὐτοὶ, φαρμάκοις ἀσηψίας,

Digitized by Google

ἐλαίῳ πάνυ παλαιῷ καὶ ἐρυθρῷ δὲ οἴνῳ,
καὶ τοῖς λοιποῖς κατέχρισαν τὸν Πάτροκλον φαρμάκοις·
ὁ δ' Ἀχιλεὺς παρώρμησε τοὺς Ἕλληνας κραυγάζων·
καὶ τ' ἄλλα πάντα μὲν σαφῆ τῦτο τανῦν ῥητέον·
ἦν ἐν ναυσὶν ἡ Ἄρτεμις ὤφειλε κτεῖναι βέλει·
ἢ λοιμικῷ νοσήματι, εἴθε προανηρέθη
τὰ λοιμικὰ τῶν νόσων γαρ καὶ τὰ ὀξέα πάντα,
ἡλίῳ τε προσάπτουσιν ὁμοῦ καὶ τῇ σελήνῃ·
» ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠρεφοῖτης Ἐρινύς,
ἡ ἡμαρμένη τε αὐτὴ καὶ ἡ ἑπάς-ε μοῖρα,
καὶ σὺν αὐταῖς ἡ σκοτεινὴ ἀόρατός τε βλάβη·
θεὸν καὶ πάθος δὲ ψυχῆς, τὴν Ἄτην ὀνομάζει·
καὶ τῦ Διὸς φησὶν αὐτὴν καὶ εἱμαρμένης παῖδα,
πᾶν ἀγαθὸν καὶ βλάβη γαρ εἰσὶ τῶν εἱμαρμένων·
ἄκουε καὶ τὴν Ἄτην δὲ ἣν περ ὁ Ζεὺς ἐβλάβη
ἐξ Ἥρας· ὅτε ἔμελλεν ὁ Ἡρακλῆς τεχθῆναι
καὶ πῶς ἡ Ἥρα λέγεται σχεῖν τοκετὸν Ἀλκμήνης·
παῖς ἦν τῦ Ἀμφιτρίωνος ὁ Ἡρακλῆς ἐν λόγῳ,
ἔργῳ Διὸς δὲ ἄναντος· ὄντος καὶ ἀς-ρολόγου·
ὃς διαφόροις γυναιξὶ πολλὰς ἐσχήκει παῖδας·
πρὸς τόκῳ δ' οὔσης ὑπ' αὐτῆς ποτὲ καὶ τῆς Ἀλκμήνης,
τὸν Ἡρακλῆ μελλέσης τε τῷ τότε τίκτειν χρόνῳ·
οὔσης ἐγγύς τότε δε τότῳ καὶ τῆς Ἀρχίππης,
πλὴν ἀτελὲς ἑπτάμηνον τέκνον τὸν Εὐρυσθέα,
ὁ Ζεῦς ἐκεῖνος βασιλεὺς ὁ μέγας ἀς-ρολόγος
τότε καὶ μόνον ἔψευς-ο· ἰδὼν γὰρ τοὺς ἀς-έρας
καλῶς κειμένους ἅπαντας καὶ τόποις βασιλείοις,
πρὸς τοὺς ἀς-έρας ἀπιδὼν μόνυς τῆς γενεθλίους,
μὴ προσκοπήσας εἰ τεχθῇ τῷ τότε δὲ καὶ βρέφος
θεοὶ σοφοὶ καὶ ἄρχοντες τῦτο, φησί, προλέγω,
Ἀλκμήνη τίκτει σήμερον· τίκτει δὲ βασιλέα·

Digitized by Google

οὕτω μὲν εἶπεν Ἡρακλῆ νομίζων γεννηθῆναι,
μεγαλοσώματου τοῦ παιδὸς τούτου δὲ τικτομένου,
καὶ περισχόντος ἅπαντα τῆς μήτρας τὸν ἀέρα,
ὅ περ καὶ Ἥρας κράτησεν ἔφασαν γενεθλίαν,
μᾶλλον καὶ Ἰφικλέους δὲ σὺν τούτῳ τικτομένου·
Ἀλκμήνη δυστοκήσασα μετά τινας ἡμέρας,
δεκαμηναῖον τέτοκεν· ἡ δὲ Ἀρχίππη τότε
ἑπτάμηνον ἐγέννησεν ἄρρασι βασιλείοις
τὸν Εὐρυσθέα καὶ λοιπὸν ἦρχε τῶ Ἡρακλέος·
Ζεῦ πάτερ ἀργικέραυνε ὦ ἄναξ δέσποτά τε·
δίκην ἀεὶ τῶν κερανγῶν λαμπρὰς προπέμπων λόγους,
ὡς Ἥρα περτίθησι λόγους τινὰς ἀέρι·
Ὄλυμπον νῦν κατάστρον καὶ ὠρανόν σοι λέγει,
εἰς ὃν μὴ πάλιν ἀνελθεῖν ὤμοσε Ζεὺς τὴν Ἄτην,
τὴν κεραλὴν τῶ λογισμοῦ τὸ ὄργανον ἐκείνω,
κἂν φιλοσόφοις ὄργανον τῶ λογισμῶ, καρδία·
θεὸς νῦν, ὁ θυμός ἐστιν ἡ ζέσις τῆς καρδίας,
ὃν ἀμφοτέροις τοῖς στρατοῖς, μένος προσπνεῦσαι λέγει·
ἐν μοίρα πάντα ἔλεξας, πρεπόντως, ἁρμοδίως·
ὧδε ἐπιορκήσαιμι πρὸς δαίμονας καὶ μοίρας,
ἢ πρὸς αὐτῶ τῶ δαίμονας, τουτέστι τῆς ψυχῆς μου·
ὄποι, ὀμνύω τὴν ἐμὴν ψυχήν, ὃ ψευδορκήσω·
ὁ Ζεὺς ὁ δὲς τὸ κῦδος δε, τανῦν ἡ εἱμαρμένη·
καὶ Ζεὺς ὁ τοῖς ἀνθρώποις δε ταμίας τῶ πολέμου·
Ταλθύβιος ἀλίγκιος θεῷ, εἰς τὴν αὐθὴν δε·
λιγὺς ὀξυφωνότατος, εὔμουσον μέλος ἔχων,
οἷον ἠχεῖν ἁρμονικὸν φασὶ καὶ τὰς ἀστέρας·
Ζεὺς δὲ ὁ ὕπατος θεῶν, νῦν οὐρανὸς ὑπάρχει·
θεοὶ, στοιχεῖα τὰ λοιπά· τέως ἐν τοῖς ἐνθάδε·
θεοὶ δὲ δοῖεν ἄλγεα, ἀστέρες, εἱμαρμένη·
ὁ Ζεὺς πατὴρ δε ὁ διδὺς τὰς Ἄτας, εἱμαρμένη,

Digitized by Google

καὶ Ζεὺς ὁ θέλων θάνατον τοῖς Ἀχαιοῖς γενέσθαι·
γυνὴ εἰκαῖα δὲ θεαῖς, κάλλει· ἐπιθυμίᾳ·
ταῖς ψυχικαῖς δυνάμεσιν εἴ τε καὶ τῇ σελήνῃ
θεοειδὴς, ὡς τὸ, γυνὴ εἰκυῖα ταῖς θεαῖσι.
Κρονίων ὁ τὺς γέροντας οἰκτείρας μυρομένους,
ἡ σκοτεινὴ καὶ ἀθηλος νῦν ἐστιν εἱμαρμένη·
πῶς Ἀθηνᾶ καθέζηκε παῖς δε τῆς εἱμαρμένης,
ἡ Ἀθηνᾶ δὲ ὁ ἀὴρ ἐστὶν ἐν τοῖς ἐνθάδε,
ὅτι πᾶν τὸ γινόμενον, ἔργον τῆς εἱμαρμένης·
καὶ τὸ ἐκ τοῦ ἀέρος δε, σημεῖον τί γενέσθαι·
καὶ τὸ ψυχρὸν ἢ καὶ θερμὸν, ἀέρα γεγονέναι·
τότε δ' αὐτοῖς ἐγίνετο σημεῖον ἐξ ἀέρος·
ἅρπη ἐξὺ βοήσασα· ὄρνεον δ' ἔστι τοῦτο,
ἁρπάζου τὰ νεόττια ὀρνίθων κατοικίων,
καὶ ἐκ μακέλλης κρέα δε καὶ ἐκ τῶν κατεχόντων·
αὖτη λοιπὸν βοήσασα, τότε πρὸς μάχην·
ὡς οἰωνὸς τῶν δεξιῶν καὶ τύχης εὐξυμβόλων,
καὶ Ἀχιλῆι δὲ γίνεται λήθη λαμῶ καὶ πείνης,
προθύμως ἀνορμήσαντι πρὸς πόλεμον καὶ μάχην·
ὁ ἀμβροσίαν Ὅμηρος καὶ νέκταρ ἄρτι λέγει·
αὐτὴ πρὸς τὸν ἀέρα δε ἀνέπτη πατρὸς δόμου,
ἀνεπετάσθη πρὸς αὐτὸν, τουτέστι τὸν ἀέρα·
πατὴρ ὀρνέων δὲ ἀὴρ, ὡς τέτῳ πετομένων·
γέλασε πᾶσα περιχθών· τετέστιν ἐλαμπρύνθη·
δύσετο δῶρα δὲ θεᾶ, σοφῇ, τῆς εἱμαρμένης,
ἅ τινα Ἥφαιστος, τὸ πῦρ, ἔκαμε τεύχων τῇδε·
Ἥφαιστος νῦν, ὁ χαλκουργὸς τεχνίτης ὁ τῶν ὅπλων·
τίς ἡ φωνὴ τῷ Ξάνθῳ δε τῷ Ἀχιλέως ἵππῳ,
ἣ περ προεμαντεύσατο καὶ θάνατον ἐκείνῳ;
ἐλεινὸς, ὀλοφυρμὸς· τοῖς δὲ φρονοῦσι, πάντα
λαλεῖ· καὶ προσημαίνουσι τὰ μέλλοντα γενέσθαι·

Digitized by Google

κἀκτῦ σημαίνειν τῆς φωνῆς τῦ ἵππυ τῆς θρηνώδυς,
θάνατον ἐμαντεύσατο ἐκείνῳ προμηνύειν·
ἐπεὶ φωνὴ τυγχάνει δε τίς πλῆξις τῦ ἀέρος,
ἔφασαν, ὡς φωνήεντα τῦτον ποιεῖ ἡ Ἥρα·
θεῶν ὁ ἄριστος ἐστὶ καὶ παῖς ὁ τῆς Λητῦς δε
Ἀπόλλων καὶ ὁ Ἥλιος, ᾧ Πάτροκλος ἐκτάνθη·
θεῷ δὲ ἔστι μόρσιμον καὶ ἐν ἀνδρὶ δαμῆναι,
στοιχείῳ καὶ ἀνθρώπῳ δε πέπρωται τεθνηκέναι,
ἐν γὰρ ναῷ Ἀπόλλωνος ὁ Ἀχιλεὺς τεθνήκει,
ἢ Ἀλεξάνδρυ ταῖς χερσὶν ἢ καὶ τῦ Δηϊφόβυ·
οὕτως εἰπόντος, Ἐρινῦς φωνὴν αὐτῦ κατέσχον·
οὕτως εἰπὼν τὸ λυπηρὸν, εὐθέως ἀπεπαύθη.

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Υ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Διὸς βουλαῖς ἐφάπτονται θεοὶ τῆς συμμαχίας,
καὶ τῷ στρατῷ Ἑλλήνων μὲν ὑπῆρχον συμμαχῦντες
Ἥρα, Ἀθήνη, Ποσειδῶν, καὶ Ἥφαιστος, Ἑρμῆς τε·
Τρωσὶν ἡ Ἀφροδίτη δε· καὶ σὺν τῇ Ἀφροδίτῃ
Σκάμανδρος, Ἄρης, καὶ Λητὼ, Ἄρτεμις καὶ Ἀπόλλων,
ὃς Ἀχιλεῖ μαχόμενον Αἰνείαν νέφει κρύπτει·
πολλὺς δὲ κτείνας Ἀχιλεὺς καὶ παῖδα τὸν Πριάμυ
Πολύδωρον ἀπέκτεινεν· Ἕκτορα δ' ἀντιστάντα
αὐτὸς Ἀπόλλων ἔσωσε καὶ ῥύεται θανάτου·
τοὺς δὲ λοιπῦς ὁ Ἀχιλεὺς κατήπειγεν εἰς Τροίαν.
Οὕτως ὡπλίζοντο σὺν σοὶ Ἕλληνες, παῖ Πηλέως·
ἑτέρωθεν οἱ Τρῶες δε ἐπὶ θρωσμῷ πεδίου,
ἐκ πολυπτύχου δ' οὐρανῦ Θέμιν ὁ Ζεὺς κελεύει
πάντας καλέσαι τὺς θεὺς εἰς δόμον τὸν ἐκείνυ·

Digitized by Google

ἣ καὶ δραμοῦσα σύμπαντας συγκέκληκεν εὐθέως·
οὐ ποταμὸς ἐλείφθη τις, ὠκεανοῦ δὲ ἄνευ·
οὔτέ τις νύμφη ναίουσα πείσεα τὲ καὶ ἄλση,
καὶ τὰς πηγὰς τῶν ποταμῶν· καὶ συνελθόντες πάντες
ξεσταῖς αἰθούσαις ἵζανον, ταῖς οὔσαις πρὸ δωμάτων,
ἅς περ ὁ Ἥφαιστος Διῒ ἐποίησεν ἐντέχνως,
καὶ Ἐνοσίχθων μετ' αὐτοὺς ἐξῆλθε τῆς θαλάσσης·
μέσοις καθίσας δ' ἐν αὐτοῖς, ἀνήρετο τὸν Δία·
τί νῦν ὦ ἀργυκέραυνε θεοὺς συνεκαλέσω;
ἆρα περὶ τῶν Τρώων τί βουλεύῃ καὶ Ἑλλήνων;
ἐγγὺς ἡ μάχη τούτων γαρ καὶ πόλεμος τυγχάνει·
ὁ Ζεὺς φησὶ δὲ πρὸς αὐτὸν, ἔγνως τὸ βούλημά μου·
φροντίδα τούτων ἔχω γαρ, καί περ ἀπολλυμένων·
ἀλλὰ ἐγὼ καθήμενος, ἔνθεν τερποίμην βλέπων·
ὑμεῖς ὡς πρὸς τοὺς Τρῶας δὲ καὶ Ἕλληνας ἐλθόντες
γίνεσθε μέρους βοηθοὶ, οὗ ἕκαστος θελήσει·
εἰ πρὸς τὸν Ἀχιλέα γαρ μάχοιντο μόνοι Τρῶες,
οὐδὲ βραχύ τι κατασχεῖν ἰσχύσουσιν ἐκεῖνον.
Φύσιν πλουτῶν ὁ Ὅμηρος ὑπὲρ ἀνθρώπου φύσιν,
ὧν τὲ φρενῶν θησαύρισμα καὶ νοῦς αἰθεροδρόμος,
καὶ θάλασσα καὶ πέλαγος, ὠκεανὸς χαρίτων,
πασῶν τεχνῶν τε λογικῶν ἀσύγκριτος ἀκρότης,
πανσόφοις πάντα χάρισι τὸν λόγον κεραννύει·
ὥς περ κἀνταῦθα νῦν ποιεῖ συγκεραννοὺς μυρία·
ἐν τῷ τὴν μάχην λέγειν γαρ τῶν μυθικῶν θεῶν σοι,
τῶν συνεργούντων Ἕλλησι καὶ γένει τῷ τῶν Τρώων,
τοῦ μύθου τῷ γλυκάζοντι τέρπει τοὺς ἁπλουστέρους·
ῥητόρων δὲ δεινότητι καὶ τῇ φρενῶν πυκνώσει,
δοκεῖ τὸν Ἀχιλέα μεν πάντων ὑπερεξαίρειν·
δείκνυσι δὲ τὸ ἀληθὲς τῇ πρὸς Αἰνείαν μάχῃ,
καὶ λόγοις, οἷς ὁ Ἀχιλεὺς φησὶ πρὸς τὸν Αἰνείαν·

Digitized by Google

ἀλληγορῶν δὲ φυσικῶς, τέρπει σοφὰς καρδίας
καὶ πράξεις γραφῶν χαρικὰς, διδάσκει καὶ προγνώσεις
καὶ δὴ προσέχων, ἄκουε, πᾶν μου λεπταλογῆντος.

Οἷα προάγγελα πολλὰ συμβαίνουσι σημεῖα
ἐπὶ μελλούσαις συμφοραῖς ἐθνῶν καὶ πολισμάτων,
καὶ διωγμῶν δὲ ἀνδρῶν ἔν τισι τῶν στοιχείων·
οὕτω κτανθῆναι μέλλοντος καὶ Ἕκτορος τῷ τότε,
καὶ Τροίας δὲ τοῖς δόρασιν Ἑλλήνων πορθηθῆναι,
πρῶτον μὲν νέφος πάμπυκνον ἀέρος συγκινήσει,
τὸν οὐρανὸν ἐμέστωσεν ὑδάτων ἀνιμήσει,
τῶν ἐκ θαλάσσης, ἐκ πηγῶν, καὶ ποταμῶν, ἀλσῶν τε,
ἁπλῶς ἐκ τόπου σύμπαντος ὄντος ἐκ τῶν παρύγρων·
καὶ θάλασσα δ' ἐξέδραμε τούτης βρασμῷ τῆς κοίτης·
καὶ ζάλη γέγονε δεινὴ σύμμικτος τῶν στοιχείων,
καὶ καταιγῖδες καὶ σκηπτοὶ, καὶ κεραυνοὶ, βρονταί τε,
ὄμβρων ῥαγδαίων χύσεις τε καὶ ποταμῶν πλημμύραι·
ὑφ' ὧν ἐπελαγίζοντο τῆς γῆς αἱ πεδιάδες,
ἐκλήψας τῶν φωσφόρων τε, σεισμοὶ, ῥηγμοὶ καὶ βόμβοι·
Ὅμηρος γέρων δ' ὁ χρυσῆς δεινότητι ῥητόρων
τὰ πάντα ταῦτά σοι καλῶς νῦν προσωποποιήσας,
Δία φησὶ τὸν οὐρανόν· Θέμιν δ' αὖ ὀνομάζει
δύναμιν τὴν ἀνάγουσαν εἰς οὐρανὸν ἐκμάδας,
καὶ πᾶσαν φύσιν ἔνυγρον, ἣν περ καλεῖ καὶ Νύμφας·
Ὄλυμπον δὲ πολύπτυχον τὸν οὐρανὸν νῦν λέγει,
διὰ τὰς ζώνας τὰς αὐτῆ· τὰς καθ' ἑτέρους σφαίρας·
αἵ περ ἐκτὸς τῷ ἀριθμῷ κατά τινας τελοῦσιν,
αἱ τῶν ἑπτὰ πλανήτων τε καὶ ἡ ἀπλανεστάτη,
ἐννέα καθ' ἑτέρους δὲ καὶ κατ' αὐτὸν τὸν Πρόκλον·
καὶ γὰρ τὴν γῆν συντάττουσι ταῖς σφαίραις τῶν ἀστέρων,
ὡς καὶ τοῖς ἔπεσιν αὐτῆ Ἐρατοσθένης γράφει·
Ὄλυμπον μὲν πολύπτυχον, τὸν οὐρανὸν οὕτως πως,



Digitized by Google

τὴν νέφους δ' ἐπισ-ήρικεν ὡς πρὸς τὸν ἄνω τόπον,
θεῶν καθέδραν σε φησὶν, ἐν ταῖς Διὸς αἰθούσαις
ἤτοι, ὑπαίθροις καὶ θερμοῖς καὶ μετεώροις τόποις,
οὕς περ ὁ Ἥφαις-ος, τὸ πῦρ, ὑπίς-χνεν ἀρχῆθεν·
τὴν δὲ θαλάσσης ἔκβρασιν τὴν τότε γεγονυῖαν,
ἀφ' ἧς καὶ τὸ λεπτότερον ἀνιμηθὲν ἀνήχθη,
μὴ παρασκέσαντα φησὶ Θέμιδος Ποσειδῶνα,
ἀλλ' ἀνελθόντα σὺν λοιποῖς καὶ μέσον ἱδρυνθέντα,
ἀνερωτῶντα τε Διὶ, φωνὴν τὸν ἦχεν λέγων·
μή τοι ἄρα τὸ βούλημα καθέσ-ηται τὸ τότε,
περὶ Ἑλλήνων Τρώων τε μάχης, καὶ τῶ πολέμου;
καὶ οὐρανὸν τὸν Δία δὲ λέγοντα τότῳ πάλιν·
ἦγως δι' ἣν ἐκλήθητε νῦν Πόσειδον βουλήν μου·
τὸ ὕδωρ δ' Ἐνοσίγαιον ὁ Ὅμηρός σε λέγει,
ὡς τῶν σεισμῶν παραίτιον, μαρτηγορεῖν οὐ θέσιν·
τὸν ἠρανὸν τὸν Δία δὲ πλάττει συγκατανεύειν,
ὅτι οὕτως ἀπέβησαν τὰ πράγματα τῷ τότε·
μένει δ' ὁ Ζεὺς ἐν τῇ πτυχὶ καθήμενος Ὀλύμπου,
οἱ δ' ἄλλοι συγκατέρχονται πρὸς Ἕλληνας καὶ Τρῶας·
ὅτι ἀὴρ ὁ ἠρανὸς, ἀνωφερὲς ς-οιχεῖον,
ὡς ἔς-ι πλέον, ὁ αἰθήρ· τὸ πῦρ δὲ, ἐπὶ πλέον·
τὸ ὕδωρ δὲ, βαρύτερον, κατωφέρεις τυγχάνει·
ἡ λαλιὰ δὲ τῆ Διὸς Κρονίδου, τῆ ἀέρος,
τῆ ἐξ Ἐρέβευς, Κρόνου πρὶν καὶ χάους γεννηθέντος,
πνεῦμα δεινὸν καὶ βίαιον, κλονήσαν τὰ ς-οιχεῖα·
ὃ συμβουλὴν πρὸς πόλεμον, θεῶν νῦν ὀνομάζει·
ἡ Ἥρα μὲν καὶ Ἀθηνᾶ καὶ οἱ λοιποὶ ἃς λέγει
ἔβαινον πρὸς βοήθειαν Ἑλλήνων· οἱ δὲ Τρώων·
νῦν σε κατὰ προέκθεσιν καὶ προκατάς-ασίν δε
θεοὺς Ἑλλήνων συνεργοὺς καὶ τοὺς τῶν Τρώων λέγει·
τὴν συμβολὴν τῆς μάχης δε τούτων, προβαίνων εἶπε·

Digitized by Google

ἡμεῖς δὲ νῦν ἐροῦμεν σοι τίνα στοιχεῖα τάδε,
καὶ πῶς τὰ μὲν τοῖς Ἕλλησι, τὰ δὲ Τρωσὶ συνήργει.
Ἥρα, αἰθήρ· ὁ καθαρὸς, λεπτομερὴς ἀὴρ τε·
ἡ Ἀθηνᾶ, ὁ πρόσχειρος καὶ καθαρὸς ἀὴρ δε,
ὡς Ὅμηρος τοῖς ὄπισθεν ὑπέδειξε τοδί μοι,
οὕτω κατ' ἔπος τὰ ῥητὰ προσενεγκὼν ἐκεῖσε·
» Πλησίαι αἵγ' ἦσθην· κακὰ δὲ Τρώεσσι μεδέσθην·
καὶ πάλιν, ἐμφανέστερον ὑμύθῳ κεκρυμμένῳ
ἐλάτη δὶ ἠέρος τίς ἵκανεν εἰς αἰθέρα·
οὕτως ἡ Ἥρα, ὁ αἰθὴρ· ἀὴρ, ἡ Ἀθηνᾶ δε·
ὁ Ποσειδῶν, ἡ θάλασσα· γῆν ὁ ὀχῶν, βαστάζων·
Ἑρμείας Ἐρεύνης δε, καὶ ὠφελῶν μεγάλως·
πυρὰ, τὰ διακτρέχοντα ἐν καθαρῷ ἀέρι·
ἃ γίνεται κινήσεσιν ἀνέμων κεκραμένων,
λυστελῶν, καὶ τὸ ὑγρὸν πᾶν ἐκπυρηνιζόντων·
Ἥφαιστος, ἡ θερμότης δε ἀέρος, ἐξ ἡλίου,
ὃς βλεμμαίνει ἄγριον, καὶ καυστικόν τι φαίνει·
κυλλοποδίων καὶ χωλὸς, οὕτω πῶς κεκλημένος,
δι' ἃς περ τρεῖς εἰρήκαμεν σοὶ πρότερον αἰτίας,
καὶ ὅτι ἄφρακτον τὸ πῦρ καὶ ἀμυγὲς ὑπάρχον,
ὃ κίνησιν εἰς γέννησιν, ἀλλὰ φθορὰν εἰσφέρει·
ταῦτα Ἑλλήνων συνεργὰ καὶ συμμαχοῦντα ἦσαν·
ὧστιν ἐν ἐκστρατείᾳ γαρ τοῖς Ἕλλησιν, ὡς οἶδας,
στρατοπεδευομένοις τε τοῖς τόποις τοῖς ὑπαίθροις,
ἐκ ἐν οἰκίαις ἔστι δε, καὶ τείχει πολισμάτων
ὅτι λεπτομερέστερος ἀὴρ καὶ καθαρός δε,
ἔτι τε, ὁ παχύτερος πλὴν καθαρὸς καὶ ἧτος,
συνείργει τέτοις ποσαπλῶς εὐδίῳ κατασάσει·
ἄνευ τελμάτων καὶ πηλῷ βαδίζειν μὲν τὸ πρῶτον·
ὕπνον καθεύδειν, ἀνομβρον· κἂν γέμοντα μερίμνης·
ῥαδίως ξυλλεγεῖσθαι τε καὶ τέμνειν δὲ καὶ χόρτον·

Digitized by Google

χλόην τοὺς ἵππους νέμεσθαι, χειμῶνος μὴ ὀχλοῦντος·
τὰς τῶν βελῶν πτερώσεις τε καὶ τὰς νευρὰς τῶν τόξων,
καὶ νεῦρα πλέον τὰ αὐτῶν χειμῶνι μὴ χαυνοῦσθαι·
οὕτως συνήργουν Ἕλλησιν ἡ Ἀθηνᾶ καὶ Ἥρα·
ὁ Ποσειδῶν, ἡ θάλασσα, τέτοις συνείργει πάλιν
καὶ ὁ Ἑρμῆς, ἡ κίνησις πνευμάτων κεκραμένων,
ὡς δὶ ἐλκάδων πνεύμασιν εὐκράτοις καὶ προσφέροις,
κομιζομένοις ἅπαντα τὰ χρησιμεύοντα τέτοις·
οἱ ἄνεμοι καὶ πνεύματα πῶς μεγαλωφελῆ δε,
ὡς πᾶν φυτὸν ἐκτρέφοντες, κομίζοντες ἐλκάδας,
ὡς εὐζωΐας αἴτιοι, τί δεῖ μηκύνειν λόγους;
Ἥφαιστος, ἡ θερμότης δε ἀέρος ἐξ ἡλίου,
ὅσα συνήργει τῷ στρατῷ τῷ τῶν Ἑλλήνων, οἶδας·
οὕτω θεοὺς στοχεύσασθαι ἐνθάδε σύ μοι νόει·
πραγματικῶς δὲ μηδαμῶς· μὴ δέ γε ψυχικῶς μοι·
μὴ δ' ἀστρονομικώτατα τέτους ἀστέρας νόει·
ἀλλ' ὥς περ εἶπον σοι, ταυτὶ στοχεύσασθαι μοι νόει
τοῖς Ἕλλησιν, ὡς ἔφημεν, εἴω λυσιτελοῦντα·
ἤδη δὲ λέξω τοὺς θεοὺς τῶν Τρώων τοὺς συμμάχους.
Κορυθαίολος Ἄρης μὲν, πῦρ ἄσαστον καὶ ζάλη
οἷον τὸ πῦρ τῶν κεραυνῶν, ὁ ζάλης καὶ χειμῶνος·
κορυθαίολος φέρει δε τέτο τὸ πῦρ τὴν κλῆσιν,
τοῖς ἄνω τόποις ὡς ποιοῦν ποικίλας τὰς ἐλίξεις·
Τρώων δ' ὑπῆρχε συνεργὸν, τὲς Ἕλληνας ὡς βλάπτον·
Φοῖβος Ἀπόλλων, ἥλιος· τὸ φάος τὸ τῆ βίᾳ·
ἀκερσεκόμης, δ' ὁ μακρὰς ἀκτῖνας κεκτημένος·
πῶς δὲ συνήργει τοῖς Τρωσὶ, πῶς ἦν Ἑλλήνων βλάβη;
τῷ μὲν θερμῷ τοῖς Ἕλλησι τὰ μέγιστα συνήργει,
ὅ περ καὶ Ἥφαιστον φησὶ, βολαῖς δὲ τῶν ἀκτίνων
ἐν τῷ πολέμῳ μέγιστα τὲς Ἕλληνας ἐσρόβει,
μέγα συνήργει δὲ Τρωσί· λάμπων τῶν μὲν κατόπιν,

Digitized by Google

Ἑλλήνων δὲ πρὸ πρόσωπον μέχρι καὶ μεσημβρίας·
Λητώ τε καὶ ἡ Ἄρτεμις, αὐτὴ ἡ Ἀφροδίτη·
Λητὼ νῦν, νὺξ ἡ σκοτεινὴ, Ἄρτεμις ἡ σελήνη·
ἄερων καὶ τῶν ἀερίων δὲ κρᾶσις, ἡ Ἀφροδίτη·
ταῦτα Τρωσὶ δὲ ὄφελος· Ἕλλησι δ' ἦσαν βλάβος·
οἱ Τρῶες κατηέρος γαρ νυξὶ καὶ πανσελήνοις,
καὶ ἀσελήνοις δὲ νυξὶ, καταδρομαῖς λαθραίαις,
τοῖς Ἕλλησιν εἰργάζοντο τὰ δυσχερῆ παντοῖα·
ἵππους ἐλαύνοντες αὐτῶν, συλῶντες τὲ μυρία,
καὶ καταδορατίζοντες καὶ κτείνοντες ὁπόσους·
καὶ Σκάμανδρος ὁμοίως δε, Τρωσὶ μὲν ἐβοήθει.
Ἕλλησι δ' ἦν ἀντίθεος· οἷς περ ἀκούσῃ λόγοις·
ὑπῆρχον γνώριμοι Τρωσὶν οἱ πόροι τῆ Σκαμάνδρου,
δι' ὧν νυξὶν ἐκτρέχοντες, τοὺς Ἕλληνας ἐκάπουν·
κἂν ταῖς ἡμέραις πάλιν δε, λοχῶντες λόχμαις τούτου,
πολλὺς ἀνήρουν ἀπ' αὐτῶν, αἴφνης ἐπιδραμόντες·
οὕτω Τρωσὶ προσβοηθῶν ὁ Σκάπανδρος ὑπῆρχε·
τοῖς Ἕλλησιν ἀπείρους δε τῶν πόρων ὑπηργμένοις,
ἦν πύργος καὶ ἀντίφραγμα, χωρῆσι κατὰ Τρώων·
καὶ ἄλλως Τρώων βοηθὸν τὸν Σκάμανδρον νῦν λέγει·
ὅτι ῥαγδαίων ὑετῶν αἴφνης καταῤῥαγέντων
ὡς περαιτέρω σοι σαφῶς ὁ Ὅμηρος διδάξει,
ὑπερκοιτήσας τῇ πολλῇ χύσει τῆ τῶν ὑδάτων,
μικρῆ δεῖν ἂν ἀπέπνιξε τότε τὸν Ἀχιλέα.
Ζεὺς Ἑλλήνων βοηθοὺς καὶ Τρώων ἠκηκόεις.
ἄκουε τότων ἔριδα καὶ συμβολὴν τῆς μάχης·
Ὦρτο μὲν ἔρις καρτερά· ἐβόα δ' ἡ Ἀθήνη·
ποτὲ παρὰ τὴν τάφρον μεν, ὁτὲ πρὸς τὰς ἀκτάς δε·
ὁ Ἄρης δ' αὖ ἐτέρωθεν αὖε Τρωσὶ κελεύων,
ἐξ ἀκροπόλεως ποτέ· ποτὲ πρὸς τῷ Σιμοῦντι·
ὦρτο μὲν ἔρις, σύγχυσις γέγονε τῶν στοιχείων·

Digitized by Google

ἡ Ἀθηνᾶ δ' ἐβόησε, λαίλαψ δεινὸς ἐβόμβει·
ὁ Ἄρης ἄτακτον δὲ πῦρ δεινῶς ἐστρατηλάτει·
τὸ πνεῦμα τὸ ὑράνιον, ἃ ὑρανὸς αὐτός δε,
ὃ καὶ πατὴρ καθέστηκεν ἀνθρώπων καὶ στοιχείων,
δεινὸν κροτήσει τῶν νεφῶν ἐβρόντησε τῷ τότε·
τὸ δ' ὕδωρ, ὃ καὶ Ποσειδῶν, ἐκ βάθρων, καὶ κρηπίδων,
πᾶσαν τὴν γῆν ἐσάλευσε σεισμῷ φρικοδεστάτῳ·
καὶ μύκημα δὲ βίαιον ἐκ γῆς ἐχώρει στένον·
ὅ περ βροὴν νῦν Ὅμηρος Ἅδε κατονομάζει·
τὴν δ' ἐκ τῶν βαθρων κίνησιν ταύτης τῶν κατωτέρων,
ἃ περ καὶ Ἅδης λέγεται πᾶσι μυθογραφῆσεν,
ἅλμα τὲ Ἅδου Ὅμηρος ἐκ θρόνων τότου λέγει.
Τόσος ἦν κτύπος τῶν Σειῶν ἅριδε ξυνιόντων,
τόσος ὁ κτύπος γίγανε συγχύσει τῶν στοιχείων.
Ἄυτα τὲ Ποσειδῶνος μεν, εἶχεν Ἀπόλλων βέλη·
ὄμβροι μὲν κατεφέροντο βίαιοι καὶ ῥαγδαῖοι,
καὶ ἥλιος ὑπέφαινεν ἅμα βραχὺ σὺν ὄμβροις·
Ἄντα Ἐνυαλίου δε ἵστατο ἡ Ἀθήνη·
ἀντία δὲ τὲ Ἄρεος, ἦται πυρὸς ἀτάκτου,
πυρὸς ἀτάκτου λέγω δε κεραυνοβολημάτων·
ἡ Ἀθηνᾶ καὶ ὁ ἀὴρ, ὕδασι πάχος σχοῦσα,
ἡ γὰρ ὑγρότης τῷ πυρὶ πάντως τῶν ἐναντίων.
Ἥρη δ' ἡ χρυσηλάκατος ἡ Ἄρτεμις ἀντίστη·
τῷ λεπτομερεστέρῳ δε ἀέρι αἰθερίῳ,
ὅ περ κινεῖ μὲν πνεύματα καὶ νέφη συνταράττει,
σελήνη νῦν ἡ Ἄρτεμις χρυσοβελὴς, χρυσάκτις,
ἀντέτεινεν· ἀνθίστατο τῇ τῶν νεφῶν κινήσει·
κελαδεινὴν δ' ὁ Ὅμηρος νῦν τὴν σελήνην λέγει,
διὰ τὰ κυνηγέσια καὶ τὰς κραυγὰς τὰς τότων·
ἐν ἐνσελήνοις γὰρ νυξὶν οἱ παλαιοὶ ἐθήρων·
τὴν δὲ σελήνην ἀδελφὴν ἡλίου καλεῖν θέλει,

Digitized by Google

ὐ θυγατέρα τούτου δε καθὼς δοκεῖ τοῖς ἄλλοις,
ὡς ἀγνοῶν δανείζεσθαι ταύτην ἡλίῳ σέλας.
τῷ τῆς δημιουργίας δε λόγῳ κατονομάζει
ταύτην ἡλίου ἀδελφὴν, ἅμφω καὶ γὰρ παρήχθη
τέλεια καὶ ὁλόκληρα δημιουργίας λόγῳ·
ἔτω τῇ Ἥρα Ἄρτεμις ἀντέστη, ἡ σελήνη.

Λητοῖ, νυκτί δε σκοτεινῇ, ἀντέστη ὁ Ἑρμείας·
πυρὰ τὰ μερικώτερα τῶν πνευματωδεστέρων,
οἷων ἀστέρων χύσεις δε, δοκίδες, καὶ τοιάδε
ἠκοντίσθη τῆς νυκτὸς τῷ ζοφερῷ τῷ τότε.

Ἐν δὲ Λητῷ καὶ ὁ αἰθὴρ κατά τι ὑπηργμένα·
ἐν δὲ καὶ Ἄρης καὶ Ἑρμῆς, ὡς ἕτερα ἑτέροις,
κατά τι διαφέρουσιν ἅ περ τανῦν μοι μάθε·

Ἡ μὲν Λητὼ, ἡ νύξ ἐστιν· ὡς φέρουσα δὲ ὕπνον·
τὴν ληθιδόνα τῶν κακῶν, Λητὼ κατωνομάσθη·
καὶ ὁ αἰθὴρ δὲ, νύξ ἐστιν· εἰ μὴ γὰρ νὺξ ἐπέλθοι,
τίς διακρίνειν αἰσθητῶς ἀεθέρα ἐκ ἰσχύει,
ἂν τὰς ἀστέρας ἴδοι δε, γινώσκει τὸν αἰθέρα·
ὡς μὲν οὖν ὑπνοδότειραν, τὴν νύκτα Λητὼ λέγει,
ὡς πυραυγῶν ἀστέρων δε γεννήτριαν, αἰθέρα,
κἂνπερ ὁ Σταγειρίθην σοι οὐχ' οὕτω δογματίζῃ·

Ἔγκως τὴν Ἥραν καὶ Λητὼ πάλιν Ἑρμῆς καὶ Ἄρης,
πυρὰ μὲν καὶ ἀμφότερα, καὶ κατὰ τοῦτο, ἔντι·
ἀλλ' ἡ πνευματωδέστερον καὶ ἀφλεγὲς, Ἑρμείας·
ἡ δὲ σφοδρὸν καὶ καυστικὸν ἄτακτον ἔχον ῥύμην,
Ἄρης κατονομάζεται, καὶ τὰ λοιπὰ, ὁμοίως.

Σῶπον καὶ Ἐρεσύνην δε, πνεῦμα πυρώδες λέγει,
ὡς σωστικὸν λυσιτελὲς, καὶ διεκτρέφον πάντα·
τοῖς ψυχικοῖς, ἑτέρως δε· τοῖς πρακτικοῖς, ἀλλοίως.

Τῶν μὲν λοιπῶν ἀκήκοας θεῶν ἐπωνυμίαν·
ἄντιος τῷ Ἡφαίστου δε ἦν ποταμὸς ὁ μέγας

Digitized by Google

ὃν οἱ θεοὶ καὶ οἱ σοφοὶ, Ξάνθον καλοῦσι κλῆσιν,
Σκάμανδρον πάντες δὲ βροτοί· ἤτοι, ἀσόφων γένος·
πῶς ἐναντίος Σκάμανδρος Ἡφαίστῳ δὲ ὑπῆρχεν;
ὅτι καὶ θέρμης ὅσης μὲν ἡλιακῶν ἀκτίνων,
ὅμως ὁ Ξάνθος ταῖς βροχαῖς, ἐξέδραμε τῆς κοίτης·
ὅτέ περ ἔμελλε βολαῖς κλύζειν τὸν Ἀχιλέα,
κἂν πάλιν ἀνθυπέδραμε πρὸς κοίτην τὴν οἰκείαν,
καὶ ταῖς ἀκτῖσι θερμανθεὶς, ἀνέπεμπεν ἰκμάδας·
ἃς περ πρὸς Ἥραν δέησιν κατονομάζει Ξάνθου·
πλὴν ἀλλὰ πρόσχες ἀκριβῶς, βαθύς ἐστιν ὁ γέρων,
καὶ παίζων τοῖς μυθώδεσιν ἠπάτησε μυρίους·
μὴ ἐν ἡμέρᾳ σύμπαντα ταῦτα γενέσθαι δόξῃς·
στοιχειακῶς γὰρ ὁ Ἑρμῆς πῶς ἐν ἡμέρᾳ λέγει
Λητοῖ ἀντέστη τῇ νυκτὶ, αἰθέρι δὲ σελήνῃ,
νοεῖν γὰρ ταῦτα ψυχικῶς, ἐσχάτης ὀγνωσίας·
ἀλλ' οὕτω λέγει προφανῶς ὁ γέρων καὶ διδάσκει,
ὅτι τῷ τότε σύγχυσις ἔτάλει τῶν στοιχείων·
ἐν ταῖς ἡμέραις καὶ νυξὶν, οὐ μὴν ἡμέραις μόνον·
Ἀπόλλων ὁ Αἰνείαν δὲ κατ' Ἀχιλέως ὄρσας
ὁμοιωθεὶς Λυκάσνι, παιδὶ τῷ τῆ Πριάμῃ,
αὐτὸς ἐστὶν ὁ ἥλιος· ὃν περ ἐδῶν Λυκάων
λάμποντα κατὰ πρόσωπον στρατῆ τῆ τῶν Ἑλλήνων,
καὶ Ἀχιλέα βλάπτοντα πρὸς συμβολὰς τῆς μάχης,
τῷ Ἀχιλεῖ μονομαχεῖν, λόγοις Ἀνείαν πείθει·
Ὁ Ζεὺς, ἡ εἱμαρμένη νῦν· Ἀθήνη, πανουργία·
θεῶν δὲ εἷς ὁ τὸν λοιγὸν τῷ Ἀχιλεῖ ἀμύνων, ἡ
θυμὸς καὶ εὐτυχία δε· δόλοι, καὶ πανουργίαι·
εἰ δὲ θεὸς ὁ πόλεμος ἢ καὶ θυμὸς ἐνθάδε·
θεοῖς ἀεγενέτησιν· αὐτῇ τῇ εἱμαρμένῃ,
τῇ ἐκ τῶν ἄστρων ἅμα τε καὶ θρόμου τῶν ἀστέρων·
καὶ σὲ δὲ κόρης τῆ Διὸς φησὶ τῆς Ἀφροδίτος,

Digitized by Google

ἦτοι, ὡραίας Διὸς θυγατρὸς Διὸς, νῦν βασιλέως·
ὁ Ἀχιλεὺς δὲ, χείρονος θεᾶς, ἤτοι ἀρχούσης·
ἡ σὴ γὰρ μήτηρ, παῖς Διὸς, τουτέστι βασιλέως·
ἡ Ἀχιλέως μήτηρ δὲ τοπάρχου θαλασσίου,
ἡ Ἥρα δ' ἦν ἐκ ἔλαθεν ὁ παῖς ὁ τῆ Ἀγχίσου,
εἰπῶσα τὲ ἃ εἴρηκε πρὸς Ποσειδῶ Ἀθήνη,
πνεῦμα κινῆσαν θάλασσαν ἐστὶ καὶ τὸν ἀέρα,
ὃ τάχα καὶ ἀντέτεινεν ἡλίου ταῖς ἀκτῖσι,
κἂν ἐ κατίσχυσαν αὐτὸν νεφώσει συγκαλύψαι·
» Πάντες δ' ἐλίμπανο κατήλθομεν ἀντιόωντες·
Ἐμπεδοκλῆς καὶ Στωϊκοὶ θέρος φασὶν ὑπάρχειν
πύκνωσιν κάτω τῆ πυρός· χειμῶνα δ' ἀντιστρόφως
ἀέρος εἶναι πύκνωσιν, ὡς πρὸς τὸ ἄνω μέρος.
Ὅμηρος ἐν τῷ ἔπει δε ᾧ περ τανῦν εἰρήκειν,
φαίνεται καὶ τὴν πάχυνσιν ἀέρος εἰς τὸ κάτω,
ὡς ἀλλοχοῦ ἀνίμησιν ὑδάτων εἰς τὸ ἄνω·
χειμῶνα ὁριζόμενος καὶ περιτράκως λέγων,
» εἰδ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκπεύσεται ὁμφῆς·
εἰ Ἀχιλεὺς ὃ μάθοι δε ταῦτα ἐκ μαντευμάτων,
θεῶν, ἀστέρων, ἢ σοφῶν, εἴ τε καὶ τῶν στοιχείων·
τετέστιν, ἅ τε δι' αὐτῆς τῆς ὑδατομαντείας,
ἢ ψυχικῶν δυνάμεων, ἤτοι φρεσὶν οἰκείας·
δήσειν, ὁπότε τίς θεὸς κατεναντίον ἔλθοι·
θεοὺς, τὸ πῦρ, καὶ ὕδωρ δε καὶ τὰ λοιπὰ νῦν λέγει·
αἰνίττεται δὲ Σκάμανδρον μέλλοντα τῆτον κλύζειν·
τὸ, χαλεποὶ δὲ οἱ θεοὶ βροτοῖς ἐρᾶσθαι μάχαις,
δύσκολον μάχεσθαι φησὶ θνητὸν πρὸς τὰ στοιχεῖα,
πρὸς γῆν, πρὸς πῦρ, πρὸς ὕδατα, πρὸς ἄλλο τῶν στοιχείων·
τὸ, Ἥρα περῶπε δὲ πανσόφως νῦν τοὺς λόγους,
καὶ Ποσειδῶνα λέγοντα πρὸς ταύτην παρεισφέρει,
ὡς ἐξ ἀέρος τῆ λεπτῆ πνευμάτων κινηθέντων

Digitized by Google

μετ' ἦχου τὲ τὴν θάλασσαν, σφῆς ἐκβραυόντων κοίτης,
μέχρι τῦ τείχους, ὁ φασὶ τεῖχος τῦ Ἡρακλέος·
ἐγὼ θεοὺς ὐ θέλω νῦν ἔριδι ξυνελάσθαι·
» Ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζόμεσθα κιόντες
» ἐκ πάτου ἐς σκοπιήν· πόλεμος δ' ἄνδρεσσι μελήσει·
» εἰ δέ κ' Ἄρης ἄρχῃσι μάχης, ἢ Φοῖβος Ἀπόλλων,
» ἢ Ἀχιλῆ' ἰσχῶσι καὶ ἐκ εἰῶσι μάχεσθαι,
» αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρεῖται
οὔπω ἀκμὴν ἡ σύγχυσις γέγονε τῶν στοιχείων·
ἔμελλε δ' ἤδη γίνεσθαι· ὅθεν τὸ ὕδωρ λέγει·
νῦν μὲν ἐκτὸς ἐκ τῆς ὁδοῦ καὶ τῦ προφανεστάτυ
αὐτὸς φησὶ καθίζεσθαι, ἤγουν ἡσυχάζειν·
ἂν ἄτακτα δὲ Ἄρεος πυρὰ τινὰ φανείη,
εἴτε καὶ κατὰ πρόσωπον ἥλιος Ἀχιλέως,
ἢ Ἀχιλέα Σκάμανδρος τῆς μάχης ἀποπαύει,
αὐτίκα μάχην καὶ ἡμεῖς συμβάλωμεν ἀλλήλοις,
οἶμαι στραφῆναι τάχει δὲ πρὸς ὠρανὸν σὺν νίκῃ·
ῥητῶς δ' εἴργειν τὸν Σκάμανδρον, ἐκ εἶπεν Ἀχιλέα,
ὅτι τὸ ὕδωρ Ποσειδῶν, καὶ Σκάμανδρος δὲ ὕδωρ,
καὶ πῶς ὕδωρ τῷ ὕδατι πολέμιον φανείη;
ἀλλ' ὁ παχὺς καὶ ἔνυγρος ἀὴρ ὁ ἐξ ὑδάτων,
ἡλίυ παύσει τὰς βολὰς μὴ βλάπτειν Ἀχιλέα·
εἶτα δὲ καὶ τὸν Σκάμανδρον ἐκ τῆς ὁμβροβλυσίας,
ἀναχωμήναντα δεινὸν σφῆς κοίτης ἐκδραμόντα,
καὶ Ἀχιλέα μέλλοντα τοῖς ῥεύμασι συμπνίγειν,
ἥλιος ἐξικμάσειε θερμότητι προσλάμψας,
ὅ περ καὶ Ἥφαιστον καλεῖ, θεινὸς ὢν λογογράφος·
ὅπως μὴ τὸν Ἀπόλλωνα, τὸν ἥλιον δέ λέγοι,
ὃν εἶπε Τρώων σύμμαχον, δείξῃ καὶ τῶν Ἑλλήνων,
νομίζω τέτους δὲ νικᾶν ὁ Ποσειδῶν εἰρήκει,
ὅτι τότε συμβέβηκεν ἅτω γενέσθαι ταῦτα,

Digitized by Google

στοιχεῖα ἡττηθῆναι τε τὰ σύμμαχα τῶν Τρώων,
ἄλλοις καιροῖς δ' ἐγένετο τὰ τούτοις ἐναντία·
» Ὡς ἄρα φωνήσας, ἡγήσατο Κυανοχαίτης
» τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θειοῖο·
τὸν μετὰ ἦχου ἐκβρασμὸν τὸν τότε τῆς θαλάσσης,
φωνήν τε καὶ προήγησιν φησὶ τῷ Ποσειδῶνος·
Κυανοχαίτην λέγει δε, ὡς ζάλης κινουμένης,
θαλάσσης οἰδαινούσης τε καὶ συμμελαινομένης·
» Ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι,
» ἀμφὶ δ' ἄρ' ἀῤῥηκτον νεφέλην ὤμοισιν ἔσαντο·
ἦτοι τὸ ὕδωρ καὶ ὑγρὸν καὶ νέφος πνευματῶδες
ἦσαν πρὸς οἷς εἰρήκειμεν τόποις τῆς Τροίας μέρος,
ἀρεῖναὶ δὲ σελασμοὶ καὶ κερανυῶν ἐκχύσεις,
ἅμα θ' ἡλίῳ λάμποντι ἑτέρωθεν ὑπῆρχον·
τὸ μήπω συγχυθῆναι δε ταῦτα πρὸς μίαν ζάλην,
βουλὰς αὐτῶν καὶ ἄσκενον πρὸς μάχην εἶναι λέγει·
τὸ Ζεὺς δὲ, τὸ ἀράνιον πνεῦμα ἐκίνει ταῦτα·
ὅ περ Διὸς νῦν κέλευσιν ὁ γέρων ὀνομάζει.
» Ἦγον· ἀτὰρ σε Ζεὺς ἐῤῥύσατο καὶ θεοὶ ἄλλοι·
Ζεὺς ὁ ἀς-ὴρ ὡς καὶ θεοὶ οἱ ἄλλοι τῶν ἀς-έρων,
ἐξ ὧν τῷ βίῳ γίνεσθαι φασὶ τὰ εἱμαρμένα·
ἡ Ἀφροδίτη νῦν δηλοῖ ἀπέρας-ον ὡραῖαν·
» Δάρδανον αὖ πρῶτον τέτοκεν νεφεληγερέτα Ζεύς·
τὸ Ζεὺς νῦν, βασιλεὺς δηλοῖ, τὸ νεφεληγερέτα
ὁ γέρας σχὼν καὶ τὴν τιμὴν ἐκ νεφελῶν, ἐξ ὕψους,
ἦγουν ἐξ εἱμαρμένης τε καὶ μοίρας ἀρανίας·
» Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν
» κάλλεος εἵνεκα οἷο, ἵνα ἀθανάτοισι μετείη·
τὸν ὃν θεοὶ, νῦν οἱ σοφοὶ καὶ τέχνης ἀς-ρολόγων·
ἀπὸ τῆς γῆς ἀνήρειψαν· ἦγουν, ἐξῆραν ἄνω,
τουτέ-ιν, ἡς-ροθέτησαν διὰ τὸ κάλλος τοῦτο,

Digitized by Google

ἵνα σὺν ἀθανάτοισι καὶ ἄρσις συμπαρείη,
καὶ τῷ Διὶ καὶ ἠρανῷ καλῶς οἰνοχοεύῃ·
ὁ ὑδροχόος γὰρ αὐτός ἐστιν ὁ Γανυμήδης·
» Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε, μενύθει τε·
ἡ ἐκ τῆς εἱμαρμένης δὲ μοῖρα καὶ πεπρωμένη,
καὶ στρατιώτῃ καὶ σοφῷ καὶ τῶν λοιπῶν ἁπάντων,
τὰς τεχνικὰς τὰς ἀρετὰς ἤτοι τὰς προτερήσεις,
καὶ ἐλαττοῖ καὶ αὔξει δὲ κατὰ τὰς εὐτυχίας·
θεῶν ἐρικυδέα δὲ δῶρα κατονομάζει
τὰ ἔργα, ἃ ποιήσουσι σοφοὶ τινὲς τεχνίται,
ἐπεί περ πέντε ἤλασε πτύχας Κυλλοποδίων,
(αὐτὸ) τὸ πῦρ ὥς περ φησὶ, πλὴν ἐν χερσὶ τεχνίτου·
ὁ Ποσειδῶν ἡ θάλασσα, ὁ σώσας τὸν Αἰνείαν·
ᾧ περ καὶ λόγους Ὅμηρος, ἕς περ φησὶ, προσάπτει,
φεύγων διὰ θαλάσσης γαρ ἐνώθη καὶ τῶν πλοίων·
δῶρα θεοῖς τοῖς ἔχουσι τὸν ἠρανόν δε λέγει,
αὐτοῖς ὁμῶ τοῖς ἄρασιν, ἤγουν τῇ εἱμαρμένῃ·
Κρονίδης, ἡ ἀόρατος τυγχάνει πεπρωμένη·
πῶς δ'Ὅμηρε χολώσεται ἡ εἱμαρμένη λέγε;
ἂν τὸν Αἰνείαν Ἀχιλεὺς ἀνεῖλε τῷ πολέμῳ,
ἐπεὶ ὡς γράφεις, μόρσιμος ἐστιν ἐκπεφευγέναι,
παῖζε καὶ γέλα καπυρὸν, Τζέτζην γελᾷν μὴ δόκει,
χρῶ μὲν τῷ καθ' ὑπόθεσιν σχήματι παίζων ἔτω·
εἰ τοῦτον κτείνει Ἀχιλεὺς χολώσεται Κρονίδης,
ἀλλ' οὐχ ὑπάρχει μόρσιμος θανεῖν ὑπ' Ἀχιλέως·
Κρονίδης Δάρδανον φιλεῖ, ἤτοι ἡ εἱμαρμένη,
ἤγουν ὑπῆρχεν εὐτυχὼν ὁ Δάρδανος ἐν βίῳ·
Πριάμου πάλιν γενεὴν ἠχθηρεν ὁ Κρονίων,
ἡ εἱμαρμένη λέγει σοι ἐμίσησεν ἐκείνους·
» Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Ἥρα ὡς ἔφαμεν αἰθήρ. καὶ τὸ πυρῶδες πνεῦμα·

Digitized by Google

ἀὴρ δὲ πάλιν ὁ παχὺς ἡ Ἀθηνᾶ τυγχάνει.
ἐπεὶ νυκτὶ δὲ γέγονεν ἡ πόρθησις τῆς Τροίας,
ὄντος καὶ τῷ ἀέρος μεν τῷ τότε χειμερίᾳ·
νῦν δὲ πνεῦμα λεπτότερον τὴν θάλασσαν ἐκίνει,
ὡς Ἥρας τῆτο πρόσωπον ὁ Ὅμηρος εἰσάγει,
λαλῆν ὡς πρὸς τὴν θάλασσαν δῆθεν τὸν Ποσειδῶνα,
ὅσα τοῖς ἔπεσι φησὶ δεινότητι ῥητόρων·
τίς ἡ ἀχλὺς, ἣν Ποσειδῶν τῷ Ἀχιλεῖ ἐποίει;
ἡ κρύψις, ἣν ἐκρύπτετο φεύγων Αἰνείας τότε,
διὰ θαλάσσης τε αὐτῆς καὶ πλοίων τῶν Ἑλλήνων,
μέχρι περ ἧ πρὸς ἔσχατα ἐξήχθη τῆ πολέμε.
ὁ Ποσειδῶν δ' ὁ προσλαλῶν Αἰνείᾳ, ἰδεὶς ἄλλος,
αὐτὸς δ' Αἰνείας πρὸς αὐτὸν σωθεὶς θαλάσσῃ λέγει·
εἰ μὴ διὰ θαλάσσης τε φεύγων καὶ τῆ ναυς-άθμε
τὸν Ἀχιλέα ἦν φυγὼν, πάντως ἂν ἀνῃρέθη·
τίς με θεῶν, ἀς-έρων τε, τὰς φρένας παραβλάψας,
πρὸς Ἀχιλέα συμβαλεῖν παρώτρυνεν ἐν μαχῃ;
ταῦτα Αἰνείας πρὸς αὐτὸν ἦν λέγων ἁρμοδίως
Ὅμηρος δὲ γλυκύτερον χρήζων ποιεῖν τὸν λόγον,
τὸν Ποσειδῶνα φέρει σοι δῆθεν λαλῆντα ταῦτα·
Αἰνείας φίλος δὲ θεοῖς, φίλος τῇ εἱμαρμένῃ,
τετές-ιν, εὐτυχές-ατος ἐς-ὶ καὶ ὁ Αἰνείας·
» Οὐδέ κ Ἄρης ὥσπερ θεὸς ἄμβροτος, ἠδέ κ Ἀθήνη
ἠδὲ τὸ πῦρ τῶν κεραυνῶν ἀὴρ τε βιοτρόφος·
μαχοίμην ἀθανάτοισι, τετές-ι τοῖς ς-οιχείοις,
τετές-ι γῇ καὶ ὕδασιν, ἀέρι καὶ πυρί δε·
Ἀπόλλων Ἕκτορι φησὶ, τῷ Ἀχιλεῖ μὴ μάχε,
ἤγεν ὁ Ἕκωρ ἔγνωκεν ἐκ τῆ ἠλίε μόνος
ὡς ὲ χρεὼν νῦν προμαχεῖν αὐτὸν κατ' Ἀχιλέως·
ὲ γὰρ λαμπρὸς ἦν ὥσπερ πρὶν ἠδὲ κατ' Ἀχιλέως,
ὃν νύμφη τέκε τίς Νηΐς, ὃς σκότιος ὑπῆρχε,

Digitized by Google

ῥιφεὶς κατὰ τινὰ πηγὴν ἐν καταδένδρῳ τόπῳ·
κεῖται θεῶν ἐν γένασι, καμπῇ τῆς εἱμαρμένης,
ἐν τῇ ϛρεπτῇ καὶ τῇ λοξῇ ἀθήλῳ εἱμαρμένῃ·
ἡ Ἀθηνᾶ δ' ἡ τρέψασα τὸ Ἕκτορος τὸ δόρυ,
ἀὴρ καὶ πνεῦμα βίαιον ἦν καταιγίζον τότε,
Ἀπόλλων δ' ὁ τὸν Ἕκτορα Πηλείδου διαρπάσας
κατ' Ἀχιλέως ὀφθαλμῶν, ἥλιος λάμπων ἔϛιν.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Φ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

Διχῇ τὲς Τρῶας τῇ φυγῇ διαιρεθέντας τότε,
ὃς Ἀχιλεὺς πρὸς Σκάμανδρον, ὃς δὲ πρὸς Τροίαν τρέπει·
ζωγρεῖ δὲ καὶ δυώδεκα, θύειν Πατρόκλῳ μέλλων·
κτείνει δὲ καὶ Λυκάονα καὶ τὸν Ἀϛεροπαῖον,
Σκαμάνδρου κινδυνεύοντα θανεῖν δὲ τῇ πλημμύρᾳ,
σώζει τοῦτον ὁ Ἥφαιϛος τὸν ποταμὸν ἐμπρήσας·
εἶτα καὶ μάχη τοῖς θεοῖς ῥήγνηται κατ' ἀλλήλων.
Ἀπόλλων δὲ Ἀγήνορι ὁμοιωθεὶς καὶ φεύγων,
τὸν Ἀχιλέα μὲν αὐτὸν ἐξαπατᾷ διώκειν,
τὲς Τρῶας ὕτω σώζει δὲ δύντας ἐντὸς τῆς Τροίας·
» Ξάνθου δινηέντος· ὃν ἀθάνατος τέκετο Ζεύς.
τετέϛιν, ὃς ἐπαύξεται τοῖς ὠρανίοις ὄμβροις·
» Τῇ ῥ' οἵγε προχέοντο πεφυγότες· ἠέρα δ' Ἥρη
» πίτνα· πρόσθε βαθεῖαν ἐρυκέμεν, ἡμίσεες δέ·
ἀορασίαν δὲ πολλὴν ἐκείνοις ἐνεποίει
τὸ πνεῦμα τὸ λεπτότερον, ἐξαναϛπῶν ἰκμάδας,
ὁμίχλην παχυτάτην δε δεινὴν ἐξηργασμένον·
» Μοῖρ' ὀλοὴ· μέλλω πῦ ἀπέχθεσθαι Διὶ πατρί·
μοῖρα ἐϛὶ τῆς τελευτῆς τῦ καθενὸς ὁ τρόπος

Digitized by Google

Ζεὺς καὶ πατὴρ ὑπάρχει δε πάλευ ἡ εἱμαρμένη,
ἡ ἐκ τῶν γενεθλίων πως οὖσα προωρισμένη,
ἕοσκα μισηθῆναι δέ φησὶ, τῇ εἱμαρμένῃ·
ἀντίθεον· ἰσοθέσιον· νῦν εὐπρεπῆ, ὡραῖον·
δαίμων· ἡ εἱμαρμένη δε, ἡ ἐκ τῦ διακόπτειν,
ἡ ἐκ τῦ δαίειν σύμπασι καὶ νέμειν ἃ περ θέλει.
» Πατρὸς δ' εἰμ' ἀγαθοῖο· θεὰ δέ με γείνατο μήτηρ·
εἴ τε γυνή τις βασιλὶς, εἴτε πρακτικωτάτως
τὸ ῥωμαλέον λέγεται νῦν μήτηρ Ἀχιλέως·
αἱ πρακτικαὶ γὰρ ἀρεταὶ, θεαὶ ὡς προειρήκειν,
θεοὶ δὲ πάλιν λέγονται ὅσαι τῆς θεωρίας.
» Ὡς ἄρ' ἔφη· ποταμὸς δ' ἰχολώσατο κηρόθι μᾶλλον
» ὥρμηνεν δ' ἀνὰ θυμὸν, ὅπως παύσειε πόνοιο,
» δῖον Ἀχαιῆας Τρώεσσι δὲ λεγὼν ἀλάλησε·
δεινὸς ἐστὶν ὁ Ὅμηρος ἐντέχνως πάντα γράφων,
κἂν περ σπουδάζων γράφῃ τί, κἂν παίζων ὡς ἐνθάδε·
θέλων εἰπεῖν γὰρ, οἴδαινεν ὁ ποταμὸς τῷ τότε,
ἔμελλε δ' ἤδη πλημμυρῶν εἴργειν μὲν Ἀχιλέα,
πολλοῖς Τρωσὶ δὲ θάνατον καὶ ὄλεθρον ἐκτρέπειν,
λέγοντα πρῶτα παρεισφρεῖ τὸν Ἀχιλέα τάδε·
φθείρεσθε Τρῶες, Σκάμανδρος ὑμῖν ὲ βεβηδήσει,
ᾧ ταύρους ἧτι θύοντες μενοίνυχάς τε ἵππους·
εἶτα ὡς ἔμψυχον αὐτὸν τὸν ποταμὸν εἰσφέρει,
οἷα ταῖς ὕβρεσιν αὐτῦ δεινῶς ἐξοργισμένον,
καὶ ἕτως ἐφορμαίνοντα λοιπὸν κατ' Ἀχιλέως·
» Υἱεῖ Πηλεγόνος, τὸν ἀγ' Ἄξιος εὐρυρέεθρος·
παῖς οὗτος ἦν ὁ Πηλεγὼν, ὲ παταμῦ Ἀξίυ·
Ἀξίου κλῆσιν δέ τενος ἀνθρώπε καλουμένε,
ἀφ' οὗ Ἀξίου κέκληται καὶ ποταμὸς τὴν κλῆσιν·
» Κεῖσ' οὕτω· χαλεπόν τοι ἰφθενέος Κρονίωνος
» παισὶν ἐριζέμεναι ποταμοῖο περ ἐκγεγαῶτι·

Digitized by Google

ἐρισθενῆς Κρονίωνος, νῦν δὲ τῆς εἱμαρμένης·
οὐ Κρόνου τῆ κατάρξαντος πρώτως ἀνθρώπων λέγει,
ἀφ' οὗ Κρονίδαι σύμπαντες οἱ βασιλεῖς καλῆνται,
καὶ Δίες ὁμοτρόπως ἀπὸ Διὸς, τῆ Κρόνῳ,
καὶ τῆ Διὸς ἀστέρος δὲ τὰ βασιλεῖς ποιοῦντος·
ἤτοι ἐγὼ υἱός εἰμι μοίρας εὐτυχεστάτης,
ἢ καὶ ἀνθρώπων ὑψηλῶν υἱὸς καὶ αἰθερίων·
τὸ, ποταμῆ γεγῶτι δε εἰρήκειμέν σοι πρῶτον,
ὅτι Ἀξίῳ ἦν υἱὸς ὁ Πηλεγών, ὃν εἶπεν,
ἀφ' ἧ περ καὶ ὁ Ἄξιος ὁ ποταμὸς καλεῖται·
ἧτος ὑψῶν τὸν λόγον δε σχήματι μεταβάσει·
τὸν τῆ Ἀξίου νῦν υἱὸν ἀνθρώπῳ τῆ ῥηθέντος
Ἀξίου λέγει ποταμῆ δῆθεν υἱὸν τυγχάνειν·
ὁ δ' Αἰακὸς ἦν ἐκ Διὸς, τουτέστι βασιλέως,
ἢ ὡς περ εἴπομεν τὸ πρὶν μοίρας εὐτυχεστάτης,
ἢ καὶ ἀνθρώπων ὑψηλῶν καὶ ὄντως αἰθερίων·
Διὶ Κρονίωνι τανῦν τῆ εἱμαρμένῃ λέγει,
ἢ μᾶλλον ὡς περ εἴπομεν, ἀνάκτων ὑπερτάτων,
οἷς περ ἐξ ὕψους οὐρανοῦ τὸ σκηπτραρχεῖν ἐδόθη,
οὗτοι δὲ κρείττους ποταμῶν, καὶ παῖδες παίδων τέτων·
» Καὶ γάρ σοι ποταμός γε πάρα μέγας εἰ δύναταί τι
» χρησμεῖν· ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι·
» τῷ οὐδὲ κρείων Ἀχελῷος ἰσοφαρίζει,
» οὐ δὲ βαθυῤῥείταο μέγα σθένος ὠκεανοῖο·
» ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
» καὶ πᾶσαι κρῆναι, καὶ φρείατα μακρὰ νάουσιν·
» ἀλλὰ καὶ ὃς γε δέδοικε Διὸς μεγάλοιο κεραυνὸν,
» δεινήν τε βροντήν· ὅτ' ἀπ' οὐρανόθεν συῤῥαγήσῃ·
ἐγὼ φαίην ὁ Ἀχιλεὺς γένος εἰμὶ ἀνθρώπων,
οἵ περ ἐξ αἵματος εἰσὶ μεγάλων βασιλέων
οἷς περ ἐξ ὕψους οὐρανοῦ τὸ σκηπταρχεῖν ἐδόθη·

Digitized by Google

ἔ ἐρανῦ τὴν ἀϛραπὴν καὶ τῆς βροντῆς τὸν ἦχον,
καὶ ὁ πατὴρ ὠκεανὸς πάντων ὑδάτων τρέμει.
» Καὶ νύκ' ἔτι πλέονας κτάνε Παίονας ὠκὺς Ἀχιλεύς,
» εἰ μὴ χωσάμενος προσέφη ποταμὸς βαθυδίνης
» ἀνέρι εἰσάμενος, βαθέης δ' ἐφθέγξατο δίνης·
Ὑψῶσαι χρήζων Ὅμηρος τὰς πράξεις Ἀχιλέως,
πρόσωπον περιτίθησι τῷ ποταμῷ Σκαμάνδρῳ,
καὶ λόγους ὅς περ ἔπλασε δῆθεν ἐκεῖνον λέγειν·
ἀεὶ ἀμύνεσι θεοί, ἦτοι ἡ εἱμαρμένη,
καὶ Κρόνου παῖς, ἡ ἄδηλος ὁμοίως εἱμαρμένη.
» Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλεύς.
Ἠθοποιεῖ ὁ Ὅμηρος χωρίῳ τῷ ἐνταῦθα
τίνας ἂν εἶπεν Ἀχιλεὺς τῷ ποταμῷ Σκαμάνδρῳ,
δαίμονι ἴσως λέγει δε ὡς ἕν τι τῶν στοιχείων·
ὡς πῦρ, εἴ τ' ἄνεμος τυφὼς, εἴ τε θαλάσσης ὕδωρ·
» Καὶ τότ' Ἀπόλλωνα προσέφη ποταμὸς βαθυδίνης·
» ὦ πόποι ἀργυρότοξε, Διὸς τέκος, ἃ σύ γε βουλὰς
» εἰρύσαο Κρονίωνος· ὅ τοι μάλα πολλ' ἐπέτελλε
» Τρωσὶ παρεστάμεναι καὶ ἀμύνειν εἰσόκεν ἔλθῃ
» δείελος ὀψὲ δύων· σκιάσῃ δ' ἐρίβωλον ἄρουραν·
Ἐπεὶ Τρωσὶν, ὡς εἶπον πρὶν, ἥλιος σινεμάχει
ὡς λάμπων κατὰ πρόσωπον στρατεύματος Ἑλλήνων,
μέχρι καιροῦ μεσημβρινοῦ, τότε δ' ἐκ ἦν προφαίνων,
ἅ τε τῷ κατασήματος ὄντος συγκεχυμένε·
ὁ ποταμὸς δ' ὁ Σκάμανδρος μόνος Τρωσὶ συνήγει,
καὶ μᾶλλον κατασύρειν δε, ὥρμα τὸν Ἀχιλέα·
λόγους συμπλάσας Ὅμηρος τὸ πέλαγος τῶν λόγων,
οἷς ἂν εἶπε βοηθὸς ἔθνους τινῶν ἀνθρώπων·
πρὸς βοηθὸν καὶ σύμμαχον ἕτερον ῥαθυμοῦντα,
αὐτὸς ἀγωνιζόμενος γενναίως ὑπὲρ φίλων
Σκάμανδρον τέτευς λέγοντα τανῦν σοι παρεσφέρει·



Digitized by Google

μεμφόμενον ἠλίῳ δὲ καὶ λέγοντα ἐκείνῳ,
'Απολλον, ἐκ ἐφύλαξας βουλὰς τῆς εἱμαρμένης,
ἐξ ἧς δεσμός σοι ἔκειτο περιφρουρεῖν τὰς Τρῶας
μέχρι δειλοῦ, τῷ καιρῷ τάχα τῆς μεσημβρίας·
τὸ δ' ἀργυρότοξος δηλοῖ, λευκὸν τὸ φῶς ἠλίου·
μέγας θεὸς, τὸ μέγιστον στοιχεῖον ἤτοι ὕδωρ,
καὶ τὸ θεοὶ δὲ φέρτεροι ἀνθρώπων, τὰ στοιχεῖα
ἀθάνατοι φοβέεσθαι, ἐράνια στοιχεῖα,
ὄμβροι καὶ πῦρ, καὶ ὁ ἀὴρ· μὴ καταπέπτειν πάντα·
Ζεῦ πάτερ· νῦν ὦ ἀρανὲ, εἴ τε καὶ εἱμαρμένη·
φίλην μητέρα ψεύδεσι θέλγουσαν τοῦτον λέγει,
τὰ λεκεσομαντεύματα, ἐξ ὧν ἐμεμαθήκει,
ὡς ἐν ναῷ 'Απόλλωνος ἔγγιστα τείχους Τρώεν,
τὸν βίον ἐκμετρήσειεν· ὃν περ ναὸν νῦν λέγει
καὶ βέλη τῷ 'Απόλλωνος ὡς ἀνελόντα τοῦτον·
τὸν 'Αχιλέα σώζει δὲ ὁ Ποσειδῶν, 'Αθήνη,
εἴτ' ἓν οἰκεῖος λογισμὸς, εἴ τέ τις τῶν εὐφρόνων,
εἰπὼν αὐτὸν πρὸς θάλασσαν χωρεῖν καὶ τὰς ἐκχύσεις,
ἐκεῖ γὰρ ἀβαθέστερος ὁ ποταμὸς εἰσρέει·
καὶ σὺ σωθήσῃ οὕτω μεν· τῶν Τρώων δὲ μὴ φείδε·
εἰπόντες μὲν ἀπέβησαν ἤτοι μετ' ἀθανάτους,
ἤτοι ὁ θάλασσα μὲν ἦν ἐν κοίτῃ τῶν ὑδάτων,
ἡ δὲ βουλὴ τῷ λογισμῷ τῷ συμβεβουλευκότος·
νῦν ἐφετμὴ δὲ τῶν θεῶν, τῶν συμβεβουλευκότων·
τὸ, φίλε δὲ κασίγνητε, Σειμόει παρεμβαίνει
ὡς καὶ Σειμόεις εἰς αὐτὸν τὸν Σκάμανδρον εἰσβάλλει,
ἴσα θεοῖσι μέμονε, τουτέστι τοῖς στοιχείοις.
» Ἥρη δ' αὖ μέγ' ἄυσε περιδδείσασ' 'Αχελῆϊ,
» αὐτίκα δ' Ἥφαιστον προσεφώνει ὃν φίλον υἱόν·
Πνεῦμα λεπτὸν κεκίνητο πᾶν ἐναθαίρων νέφος,
θερμότερον ὁ ἥλιος ἐκλάμψας δὲ τῷ τότε,

Digitized by Google

ἐκ ποταμοῦ καὶ πάσης δε τῆς ἐν τῇ γῇ νοτίδος
ἐξατμιζούσας ἔνθερμον, ἀνῆγε τὰς ἱκμάδας,
ὅ περ Ἡφαίστου δέησιν ὡς πρὸς τὴν Ἥραν λέγει·
Ἡφαίστου σβέσις δὲ πυρὸς κελεύσει τῇ τῆς Ἥρας,
τὸ συγκρυβῆναι πάλιν μεν ἀκτῖνα τὴν ἡλίου,
καὶ τῶν στοιχείων σύγχυσιν αὖθις δεινὴν γενέσθαι,
ἥν περ καὶ μάχην τῶν θεῶν τῶν ἄλλων ὀνομάζει.
» Σὺν δ' ἔπεσον μεγάλῳ πατάγῳ· βράχε δ' εὐρεῖα χθών·
» ἀμφὶ δ' ἐσάλπιγξε μέγας οὐρανός· ἄϊε δὲ Ζεὺς
» ἥμενος οὐλύμπῳ· ἐγέλασσε δὲ οἱ φίλον ἦτορ
» γηδοσύνῃ· ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας·
» ἔνθ' οἴγ' οὐκέτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
» ῥινοτορος· καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε,
» χάλκεον ἔγχος ἔχων, καὶ ὀνείδειον φάτο μῦθον.
» Τίπτ' αὖ ὦ κυνάμαια, θεοὺς ἔριδι ξυνελαύνεις,
» θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θυμὸς ἀνῆκε;
Τζέτζης τὸ, ἢ οὐ μέμνῃ δε, ὅτε τὸν Διομήδην,
ἑτέρους τρεῖς τε καθεξῆς τῶν στίχων ὀβελίζει·
τὸν πέμπτον πάλιν γράφει δε ὡς ὄντα τῶν Ὁμήρου,
ὃς στίχος, οὕτως ἔχει τε κατὰ ῥητὸν καὶ λέξιν.
» Ὡς εἰπὼν, οὔτησε κατ' ἀσπίδα θυσανόεσσαν,
» σμεδραλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνὸς,
» τῇ μιν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῷ·
» ἡ δ' ἀναχασσαμένη, λίθον εἵλετο χειρὶ παχείῃ
» κείμενον ἐν πεδίῳ· μέλανα, τρηχύν τε μέγαν τε·
» τὸν ῥ' ἄνδρες πρότερον θέσαν ἔμμεναι οὖρον ἀρούρης,
» τῷ βάλε θοῦρον Ἄρηα κατ' αὐχένα· λῦσε δὲ γυῖα.
Ἀλλ' ἀλληγορητέον μοι πᾶν τὸ χωρίον τοῦτο·
σὺν δ' ἔπεσον, συνήραξαν, συνέβαλον εἰς μάχην·
τὴν τῶν στοιχείων σύγχυσιν νῦν ὀνομάζει μάχην,
καὶ συῤῥαγὴν πρὸς πόλεμον· γέγονε γὰρ τῷ τότε

Digitized by Google

ἐκ γῆς δεινὰ μυκήματα πρός γε τῶν ἄλλων πάντων,
ἃ συρραγῆ τῇ τῶν θεῶν, ἦχος τῆς γῆς σοι λέγει·
ἐξ οὐρανῦ δ' ἐκρότησεν, ἦχος βροντῆς βιαίας·
εἶτα κροτήσει τῶν νεφῶν, καὶ κεραυνὸς ἐξήχθη.
ἀέρι παχυτέρῳ δὲ προσβάλλων τῷ προσγείῳ,
ἐσβέννυτο καὶ πάλιν τι μικρὸν ἐκπυρεύσας,
ἠττήθη ᾧ ἐρήκειμεν καὶ πρότερον ἀέρι·
εἶτ' ἐκ τῆς ζάλης γέγονεν εὐθέως καὶ αἰθρία·
ὁ γέρων δ' ἕτος ὁ δεινὸς εἰς τὸ συγγράφειν λόγους,
ὁ πάντων ἀλλ' ἐς πόσον δὲ ῥητόρων ὑπεκτρέχων,
καὶ φιλοσόφων καὶ λοιπῶν, ὧν περ τὸ ἔργον λόγος,
γράφων καὶ σύμπαν τὸ τυχὸν, τὸ γεγονὸς τῷ τότε
μεδόδῳ τῆς δεινότητος θέλων ὑψῦν τὸν λόγον,
καὶ τῷ γλυκεῖ τῦ μύθου δὲ τέρπειν ἠκροαμένους,
τὴν μὲν βροντὴν ὡς οὐρανὸν σαλπίσαντα παράγει,
Ἄρεα δὲ τὸν κεραυνὸν, τὸν δὲ παχὺν ἀέρα
Ἀθήνην· καὶ ἀσπίδα δὲ τούτης κατονομάζει,
ἣν κεραυνὸς ἐδάμνησεν ὡς καὶ αὐτός σοι λέγει·
τὸ ἔτι καὶ παχύτερον καὶ ἔνυγρον ἀέρος,
λίθον παχὺν καὶ μέλανα, ὅν περ οἱ παλαι ἄνδρες,
ἦγουν οἱ πρότεροι σοφοὶ ἔρυν ἀρεύρης θέσαν·
ὄρος γὰρ γῆς καὶ διαιρῶν, ἀὴρ τυγχάνει, ταύτην·
ἀναχωρεῖ δὲ Ἀθηνᾶ, εἶτα τὸν Ἄρην πλήττει·
τὸν γὰρ ἀέρα τέμνει μεν ὁ κεραυνὸς τὸ πρῶτον·
εἶτα δὲ κατασβέννυται τότε τῷ παχυτέρῳ,
καὶ θραύεται ὁ τράχηλος ἐκείνου καὶ ἡ ἄρσις·
τὸ πῦρ ὅ περ μετέωρον εἴληχεν ἔχειν φύσιν,
τὸν κερανὸν δ' ὡς κάθυγρον, τοῖς κάτω καταῤῥέει·
αἱ χαῖται δὲ τῦ Ἄρεος εἰσὶν αἱ κονισθῆσαι,
αἱ μέχρι πρὸς τὰ πρόσγεια τῶν κερανῶν ἐκχύσεις·
τεύχεα τ' ἀμφαράβησε, πάλιν ἑτέρως λέγει

Digitized by Google

τρόπῳ μεταστήσεως ῥητορικῷ διδάσκων,
τὰ νέφη τὲ καὶ τὴν βροντὴν, Ἄρεος πανοπλίαν·
τὰ νέφη συῤῥαγέντα γαρ ἀλλήλοις πατταγοῦσιν,
ὁ τῶν νεφῶν δὲ πάτταγος, πάντως βροντὴ τυγχάνει,
τῇ παρατρίψει τούτων δε ξηρὸς ἀὴρ ἐκτρέχων,
ὀπλίζει πάντως καὶ ποιεῖ τῶν κραυνῶν τὴν φύσιν·
οἵ περ ἐξυγραινόμενοι τῷ πάχει τῦ ἀέρος,
ῥέπουσι κάτω καὶ πρὸς γῆν, ἐχ' ὡς τὸ πῦρ τοῖς ἄνω.
Γέλασεν ἡ Ἀθήνη πως, ἀὴρ δε ἐφαιδρύνθη,
ὁ γὰρ ἀὴρ τῶν κραυνῶν κρείττων ἐς-ὶν εἰς ἀθένος·
οἶδας ὅπως ἐκσβέννυσι τοὺς κραυνοὺς τῷ πάχει·
μήτηρ τῦ Ἄρεως ἐς-ὶ καὶ τῦ Ἡφαίς-ε πλέον,
ἡ Ἥρα, ὁ αἰθέριος λεπτὸς ἀὴρ ξηρός τε·
ἐπεὶ δὲ τὸ κατάς-ημα τὸ αἰθριον ἀέρος
δῆθεν ἡ Ἥρα ἡ θεὰ τοῖς Ἕλλησι σύνήργει,
καὶ σὺν αὐτῇ ὁ Ἥφαιστος υἱὸς αὐτῆς ὑπάρχων,
τὸ ἔτι ἀνθέρμότερον καὶ αἰθριον πυρώδες·
τὸ δὲ πυρώδες κραυνῶν χειμῶνας ὄμβρους φέρον,
Ἕλλησι βλάβην ἔφερε· Τρωσὶ δ' ἐλυσιτέλει,
ἀέρα λέγων Ἀθηνᾶν καὶ προσωποποιήσας,
καὶ λόγους λέγουσαν αὐτὴν ὡς πρὸς τὸν Ἄρην πλάττει·
τὰς ἐριννύας τῆς μητρὸς τῆς Ἥρας ἀποτίνυις,
ἥ περ ὀργιζομένη σοι τοιαῦτα μηχανᾶται·
γεννᾷ τὸ πῦρ τῶν κραυνῶν Ἥρα· ξηρὸς ἀήρ τις·
λίαν δ' ἐπινυσσόμενος καὶ διεγηγερμένος,
καὶ ἀνιμῶν ἰκμάδας δε παχύνων τὸν ἀέρα,
πάλιν τὸ τούτων καυς-ικὸν ὑγραίνει καὶ σβεννύει
ὅτι παρείς δε Ἕλληνας τοῖς Τρώεσιν ἀφήγεις,
χάρις ἐς-ὶ καὶ ἡδονή· ἀπάτη τε τῶν νέων·
θεὸν τινὰ νομίζουσιν Ἄρεα τῦταν εἶναι,
καὶ ἡττηθῆναι Ἀθηνᾶν Ἥρας ὀργιζομένης·

Digitized by Google

ἀνθ' ὧν ἡ μὲν τοῖς Ἕλλησιν, ὁ δὲ Τρωσὶ συνήργεγέρου δαιμονιώτατε τοῖς χάρισι τῶν λόγων,
ἀεὶ οὕτω σβεννύεται τῶν κερανυῶν τὸ φλέγον,
καὶ πρὸς τοὺς Τρῶας εἶναι δὲ καὶ χρόνοις ἡμετέροις,
τί δρᾷς ὦ βαθυνέφατε τὲς ἁπλουφέρους παίζων;
» Ὡς ἄρα φωνήσασα, πάλιν τρέπεν ὄσσε φαεινώ·
» τὸν δ' ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδίτη,
» πυκνὰ μάλα φενάχουτα, μόλις δ' ἐσαγείρατο θυμόν.
Ἐπαύθη μὲν ὁ ἔνυργος παχυμερὴς ἀὴρ τε·
βραχὺ δ' εὐδία γέγονεν, ἣν Ἀφροδίτην λέγει,
κρατηθεῖσαν τῆτον τῆς χειρὸς ὡς περ ἀναῤῥαννῦσαν,
ἢ ἐκ πυρώδους γίνεται βραχίος κεκραμένου·
πυκνοὺς δὲ τότε φεναγμοὺς, κρότους βροντῶν μιν νόει,
πλὴν ἀμυδροὺς καὶ κερανυὲς ἀσθενεστάτους πάνυ·
ὅθεν καὶ μόλις τὸν θυμὸν ἀγείρατο εἰρήκει·
πρὸς Ἀθηνᾶν δὲ λόγους μοι νέει τῆς Ἥρας εἶναι,
οἷς πειθομένη Ἀθηνᾶ νικᾷ καὶ Ἀφροδίτην·
τὸ, τῷ θερμῷ τῆ πνεύματος κινούμενα τὰ νέφη,
πάλιν συγκύψαι καὶ αὐτὸ τὸ αἰθριάζον μέρος.
Ἃ δὲ φησὶν ἡ Ἀθηνᾶ θῆθεν ὡς καυχωμένη,
Ὁμήρῳ πλάσμα πέφυκε καὶ προσωποποιΐα,
Ἥρας δὲ τὸ μειδίασμα πάλιν αἰθρίας μέρος·
οἱ δὲ πρὸς τὸν Ἀπόλλωνα τῆ Ποσειδῶνος λόγοι,
τὸ πάλιν νέφος ἔνυργον, πλὴν μὴ παχὺ τελέως
ὁτὲ συγκρύπτειν ἥλιον, ὁτέ δ' ἐᾷν προφαίνειν,
οἷα πολλάκις γίνεται καιροῖς ὀμβροευδίοις·
τὸν Ποσειδῶνα πρότερον Ἀπόλλωνος δὲ λέγει,
ὅτι τὸ ὕδωρ πρότερον καθ' Ὅμηρον στοιχεῖον·
ἄκουε καὶ τῶν λόγων δε τῆς προσωποποιΐας,
οὓς διὰ Λαομέδοντα καὶ Τροίαν δακεῖ λέγειν,
περὶ τῆς πρώτης λέγει δε συστάσεως τῦ κόσμου,

Digitized by Google

ὅς περ καὶ μέδων τῶν λαῶν ἐςὶ καὶ τῶν ἀνθρώπων,
καὶ πῶς ὕδωρ καὶ ἥλιος λατρεύουσι τῷ κόσμῳ·
Ἴλιον νῦν, τὴν συςροφὴν ὥς περ ἐκ τοῦ ἑλίσσω,
καὶ πέδιλον γενόμενον γράφεις διὰ ἰῶτα;
Ἴλιον νῦν, τὴν συςροφὴν τὴν πρώτην τῶν ςοιχείων·
ὁπότε κόσμος κατ' ἀρχὰς τὸ πρῶτον διηρθροῦτο·
τὸν κόσμον, Λαομέδοντα· πῶς δὲ ἀγήνωρ οὗτος;
εἴτ' οὖν ὡς ἄγαν ἀνορμῶν καὶ τρέχων εἰς αὐξήσεις,
εἴτ' οὖν ὡς ἄγαν ὢν ἀνδρῶν καὶ τῶν ἀνθρώπων πλήρης.
» Πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτόν·
Τὸ πὰρ Διὸς δὲ νόει νῦν, εἴ τε τῆς εἱμαρμένης,
οὕτω γὰρ εἵμαρτο φησὶ τὸν κόσμον γεγονέναι,
εἴ τε Διὸς καὶ πνεύματος εἰδοποιοῦντος πνεύσεις·
ὃ πνεῦσαν ἐταρτάρωσε τὸν Κρόνον καὶ τὴν ὕλην·
ἐκεῖνο, τὸ πρωτόγονον τὸ σκότος τὸ ὑλαῖον,
τὸ πᾶν δὲ εἰδοποίησεν ἀρίςως διαρθρῶσαν,
ἡμᾶς τῷ κόσμῳ δ' ἔταξε χρόνοις μακροῖς θητεύειν·
μισθῷ, φησὶν, ἐπὶ ῥητῷ· πάλιν ὁ γέρων παίζει·
ἡλίῳ γὰρ μισθός ἐςιν ἱπμάδας ἀναπίνειν,
ὁπόσων σκύφων ἀκριβῶς ἐ κάτοιδά σοι φράσαι,
καὶ γῆν αὐτῷ τε τοὺς καρποὺς καὶ πάντα ζῶα φέρειν·
τῷ ὕδατι μισθός ἐςι πάλιν τῷ θαλασσίῳ,
αἱ παροχαί τε τῶν κητῶν καὶ τῶν λοιπῶν ἰχθύων,
ἢ μᾶλλον προςφυέςερος μισθὸς ἦν ἀμφοτέροις,
εὐχαριςία προςφυὴς τῶν εὐεργετημάτων·
ὁ Λαομέδων δὲ φησὶν ἐπέτελλε σημαίνων·
κόσμος ἐςὶν ὁ οὐρανὸς, ὃς νῦν καὶ Λαομέδων·
ὃς πνεύματι κινούμενος τὸ τῆς εἰδοποιΐας,
τὸν Ποσειδῶνα ἔταξε πόλιν Τρωσὶ τειχίζειν,
τὸ ὕδωρ βάθραν δὲ τῆς γῆς θεὶς καὶ τῶν πολισμάτων,
ἢ τῆς περιπολήσεως, οὗ περ περιπολοῦσι,

Digitized by Google

Τρῶες οἱ πάντες ἄνθρωποι· τρῶ δ' ἔςι τὸ φοβοῦμαι,
ἤτοι, δηλοὶ καὶ ἄθλιοι φύλλοισιν ἐοικότες,
ὡς καὶ αὐτȣ̃ ἀκȣ́σειας μετὰ μικρὸν Ὁμήρου·
ȣ̃τω τὸν Ποσειδῶνα μεν πυργȣ̃ν Τρωσὶ κελεύει,
ἤτοι βάθρας ὑπέρεισμα γενέσθαι τῶν ἀνθρώπων·
τῷ Φοίβῳ, φάει βίου δε νέμειν κελεύει ζῶα·
Ἴδην δὲ πάσης πλάτος γῆς, πᾶν ὄρος ὀνομάζει·
ὅτε δ' ἐπέςη ὁ καιρὸς ὁ τῆς μισθοδοσίας,
κατέσχε τȣ̃τον μὲν αὐτὸς, ἠπείλησεν ἡμῖν δε.
» Σοὶ μὲν ὅγ' ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθεν
» δήσειν, καὶ περάαν νήσων ἐπὶ τηλεδαπάων·
» στεῦτο δ' ὅγ' ἀμφοτέρων ἀποκοψέμεν ȣ̃ατα χαλκῷ·
» νῶϊ δὲ τ' ἄψορροι κίομεν κεκοτηότι θυμῷ,
» μισθȣ̃ χωόμενοι· τὸν ὑποςὰς οὐκ ἐτελεσσε·
» τȣ̃ δὴ νῦν λαοῖσι φέρεις χάριν, ȣ̃δὲ μεθ' ἡμέων.
Μισθὸν κάτεσχε μὲν αὐτὸς τὸν τῆς εὐχαριςίας,
ἤτοι, τῷ κόσμῳ, ἔνεςι πᾶσα εὐχαριςία·
ἥλιος δ' ὥς περ δέσμιος χεῖρας ὁμȣ̃ καὶ πόδας
ἄνω καὶ κάτω φέρεται τῇ περιδρόμῳ σφαίρᾳ,
μικρȣ̃ δεῖν ἂν ἀπέσβεςο καὶ ἀκοὴ τῶν δύο·
χαλκῷ καὶ παχυτέραις δε γνώμαις καὶ διανοίαις,
ὡς ὕδωρ τὲ καὶ ἥλιος λυσιτελȣ̃σι πόσα·
ἀεὶ δὴ νῦν καὶ ἄκοντες ἥλιος τὲ καὶ ἥδωρ,
λελυπημένοι τῷ μισθῷ, ὃν εἶπον, μὴ λαμβάνειν,
ἄψορροι, ὀπισθόρμητοι τρέχουσιν ἐν τῇ σφαίρᾳ·
ἀεὶ γὰρ θέρος γίνεται, χειμέριοί τε ὄμβροι·
ὁ λόγος τȣ̃ Ἀπόλλωνος ὡς πρὸς τὸν Ποσειδῶνα,
ὁ λέγων ὡς ȣ̃ βȣ́λεται τȣ́τῳ σινάπτειν μάχην,
ἀνθρώπων ἕνεκα δειλῶν ὁμοιωμένων φύλλοις,
δηλοῖ ἀέρα ἔνυγρον ὑπάρχειν μὲν τῷ τότε,
ἥλιον δ' ἀμυδρότατον· εἶτα κρυβέντα πάντῃ.

Digitized by Google

Πῶς δὲ πατρακασίγνητον τὸ ὕδωρ τῷ ἠλίῳ;
τέσσαρα μὲν τὰ ἀδελφὰ τυγχάνουσι ⸗οιχεῖα,
καὶ πέμπτον σῶμα, ὁ αἰθήρ, οὗ ἥλιος ἐξέφυ·
τὸ δ' ὄνειδος Ἀρτέμιδος τὸ πρὸς Ἀπόλλω μάθε,
Ἥραν τὴν, ἣν ἐμάς⸗ιξε, τόξα δ' ἀφεῖλε ταύτης,
καὶ πῶς τὰ τόξα ἡ Λητὼ συνέλεξεν ἐκείνης,
καὶ πῶς Ἑρμῆς ἀσείπατο, μάχην Λητοῖ συμπλέκειν,
καὶ πῶς ἐν γένεσι πατρὸς Ἄρτεμις ἦν δακρύῤῥους·
ὁ ἥλιος ἐκρύβη μὲν τοῖς νέφεσιν, ὡς εἶπον·
τῷ τῆς ἑσπέρας δὲ καιρῷ τῆς τότε γεγονυίας,
σελήνη γέγονε λαμπρὰ, ἐκ ἐν ἡμέρας χρόνῳ·
ὡς δ' Ἑρμῆς πρὸς τὴν Λητὼ χρόνῳ τῷ τῆς νυκτός δε,
συγχύσεις γὰρ ἐγίνοντο τῷ τότε τῶν ⸗οιχείων,
καιροῖς ἡμέρας καὶ νυκτός· Ὅμηρος δὲ παισάφως,
ἀλληγορῶν τὰ σύμπαντα, φησὶ ταυτοτρόπως·
τῷ τῆς ἡμέρας μὲν καιρῷ συνεπεπτώκει τάδε,
κἂν τῇ νυκτὶ συγχύσεις μεν ἦσαν ὁμοιοτρόπως·
εὐθὺς γὰρ πρῶτον μὲν λαμπρὰ ὡράθη ἡ σελήνη,
φέρει δὲ ὀνειδίζουσαν ἐκείνην τῷ ἡλίῳ.
δι' ἣν αἰτίαν τῷ καιρῷ καὶ χρόνῳ τῆς ἡμέρας
τῷ Ποσειδῶνι, καὶ ὑγρῷ φαίνεται δὺς τὴν νίκην·
εἶτα καὶ αὖτη πνεύματος ὑγρὰ κινοῦντος νέφη,
τῷ μὲν παχεῖ ἐκρύπτετο, ὁ χεὶρ σκιὰ τῆς Ἥρας,
τῷ δὲ λεπτῷ τῶ πνεύματος, ὁ χεὶρ δεξιωτάτη,
νέφη κινοῦσα συνεχῶς, ἀκτῖνας τὰς ἐκείνης,
ἃς τόξα νῦν Ἀρτέμιδος κατονομάζει γράφων·
ποτὲ μὲν εἶα φαίνεσθαι, ποτὲ δὲ συνες⸗ρόβει,
παίουσα τὰ ἀνώτερα τῇ συνεχεῖ κινήσει·
ἡ δὲ σελήνη ἔνδακρυς, ἔνυγρος ἅσα νέφει,
ἐκρύπτετο, τὰ τόξα δὲ ταύτης ἐκεῖ παρῆκε.
» Λητοῖ δὲ προείπε διάκτορος Ἀργειφόντης

Digitized by Google

τῇ δὲ νυκτὶ ἑρμαϊκὰ σέλα βραχὺ φανέντα,
εὐθέως ἀπεκρύβησαν ὥς περ καὶ ἡ σελήνη,
καὶ πᾶς ὑγρὸς ὁ ὐρανὸς ἐγένετο τῷ τότε,
ὅ περ ἐν γόνασι πατρὸς ἔνδακρυς ἐςιν ἕδρα.
» Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
» αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ἴλιον ἱρήν·
Ταῦτα μὲν ἦσαν ἐν νυκτὶ, τῇ δὲ ἡμέρᾳ πάλιν
ἀνέτειλεν ὁ ἥλιος, ὡς πρὶν Τρωσὶν ἀρήγων,
τῷ πέμπειν κατὰ πρόσωπον Ἑλλήνων τὰς ἀκτῖνας·
καὶ νῦν Ἀγήνωρ Ἀχιλεῖ πρὸς μάχην ὡς ἀντέςη,
οἱ φεύγοντες ἐσώζοντο τῶν Τρώων πρὸς τὴν πόλιν·
πλέον δ' ὡς ἔφευγε τραπεὶς πρὸς τὸ Σκαμάνδρου μέρος,
καὶ Ἀχιλεὺς ἐδίωκεν ἐκεῖνον ὡς ἀνέλη
μάτην διώκων καὶ κενῶς τοῖς ἀνηνύτοις δρόμοις,
εἶχε καὶ γὰρ κατ' ὀφθαλμῶν ἡλίου τὰς ἀκτῖνας·

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Χ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Πάντων τῶν Τρώων πρὸς αὐτὴν τὴν Τροίαν ἐγκλεισθέντων,
μόνος ὁ Ἕκτωρ ἔκτοσθεν ἀπολειφθεὶς τοῦ τείχους,
τῷ Ἀχιλεῖ μὲν πρὸς φυγὴν τὰ πρῶτα συνηλάθη·
εἶτα δὲ θνήσκει ἀντιςὰς, ταῖς Ἀθηνᾶς ἀπάταις·
ἐξάψας δὲ τοῦ ἅρματος ὁ Ἀχιλεὺς ἐκεῖνον,
ἕλκει παρὰ τὸν ναυςάθμον διὰ τῆς πεδιάδος·
οἱ Τρῶες δὲ δακρύουσιν ἐκ τείχους δεδορκότες.
» Αὐτὰρ Πηλείωνα προςηύδα Φοῖβος Ἀπόλλων·
» τίπτέ με Πηλέος υἱὲ ποσὶν ταχέεσσι διώκεις,
» αὐτὸς θνητὸς ἐὼν, θεὸν ἄμβροτον; οὐδέ νυ πώ με,
» ἔγνως ὡς θεὸς εἰμί· σύ δ' ἀσπερχὲς μενεαίνεις.

Digitized by Google

Πρὸς τὸν Πηλέως δὲ υἱὸν εἰρήκει ὁ Ἀπόλλων·
νῦν προσωποποιΐαν μοι νόησον εἶναι τοῦτο·
διώκων γὰρ ὁ Ἀχιλεὺς Ἀντήνορα, ὡς οἶδας,
τοὺς ἄλλους Τρῶας εἴασε φεύγειν ὡς πρὸς τὴν πόλιν,
ἐλπίζων τοῦτον κατασχεῖν· ὁπότε δὲ ἠλίῳ
κατ' ὀφθαλμῶν βαλλόμενος, καὶ ἱδρωθεὶς καὶ τότε,
αὐτὸς φησὶ πρὸς ἑαυτόν· τί νῦν διώκω μάτην,
ἀκτῖνας τὰς ἡλιακάς; περιφύγοιεν δ' οἱ ἄλλοι·
ταῦτα μὲν εἶπεν Ἀχιλεὺς πρὸς ἑαυτόν, ὡς εἶπον·
Ὅμηρος δὲ τὸν ἥλιον λέγοντα ταῦτα φέρει,
ἀπὸ τοὺς λόγους ἀνυφῶν, καὶ μύθοις δὲ γλυκάζων·
καὶ προσωποποιΐα μὲν τοῦτο ἐστιν, ὡς ἔφην·
εἶτα, ἠθοποιΐαν δὲ δευτέρως παρεισφέρει,
τίνας ἂν λόγους Ἀχιλεὺς εἶποι λελυπημένος
διώκων τὸν Ἀντήνορα, βλαπτόμενος ἡλίῳ;
αἴθε θεοῖσι γένοιτο ἄστρασιν εἰμαρμένην·
ἦθος σὲ καὶ βαρύτητος αὐτὴ ἡ εἰρωνία·
πατὴρ Κρονίδης· ἄδηλον νῦν εἰμαρμένην λέγει·
εἶτα καὶ μοῖρα δὲ ταὐτόν· τῆς τελευτῆς ὁ τρόπος·
ὀλύμπιον, ἀφάνισον νῦν εἰμαρμένην λέγει.

» Ὡς τὼ τρεῖς Πριάμοιο πόλιν μεριδηθήτην
» καρπαλίμοισι πόδεσσι· θεοὶ δέ τε πάντες ἐρῶντο·
» τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
» Ὤ πόποι, ἦ φίλον ἄνδρα δεικόμενον περὶ τεῖχος
» ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ.

Θαὺς ἄρτι μοι νόησον ἄστρα καὶ τὰς ἀστέρας,
ἐξ ὧν ἀνθρώπους γίνεσθαι φασὶ τὰ εἰμαρμένα·
ἀστρολογεῖ γὰρ Ὅμηρος νῦν τάτῳ τῷ χωρίῳ,
καὶ λέγει καὶ θεμάτιον τῆς μάχης σε τῆς τότε,
ὅτι ὁ Κρόνος, Ἄρης τε οἱ κάκιστοι ἀστέρων
ἐκ τετραγώνου σχήματος ἀλλήλους καθεώρων·

Digitized by Google

τὸ σχῆμα τοῦτο δὲ ποιεῖ μεγάλας ἐπιτάσεις·
ἂν ἀγαθοὶ γὰρ ἀγαθῶς ἐν τούτῳ καθορῶσι,
δῶσιν αὐξήσεις ἀγαθῶν, ἂν δὲ κακοὶ τῶν φαύλων·
τοιοῦτον τὸ θεμάτιον ἦν τὸ τῆς μάχης τότε,
ἔχον τετραγωνίζοντας τὸν Ἄρεα καὶ Κρόνον·
κἂν προφανῶς ὁ Ὅμηρος ἀστρολογεῖν ᾐ θέλῃ,
τὸν ἀγαθὸν ἀστέρα δὲ τὸν Δία παρεισφέρει
ἐν τοῖς κακοῖς ἠττώμενον· ἔχοντα φαύλους τόπους·
καὶ τὴν σελήνην Ἀθηνᾶν ὡς πρὸς αὐτὸν κειμένην·
εἷς γὰρ ἀστὴρ ἡ Ἄρτεμις καὶ Ἀθηνᾶ, σελήνη·
ὅθεν Διὶ τὴν Ἀθηνᾶν ἀντικειμένην λέγει,
καὶ τελευτὴν τὴν Ἕκτορος σὺν δόλοις ἐργασμένην·
ἐπεὶ γὰρ τὸ θεμάτιον ἐπιβλαβὲς ὑπῆρχε
καὶ δόλοις ἐπεσήμαινεν Ἕκτορα τεθνηκέναι,
ὡς Ἀχιλεὺς ἐδίωκε τὸν ἥρωα ἐκεῖνον,
μόνον ἐκ Τρώων τῶν λοιπῶν ἔξω τοῦ τείχους ὄντα,
αὐτὸς ὑπάρχων σὺν στρατῷ σύμπαντι τῶν Ἑλλήνων·
ὅμως δὲ τοῦτον κατασχεῖν οὐκ ἐδυνήθη τρέχων·
ἀνένευε τῷ σύμπαντι στρατῷ δὲ τῶν Ἑλλήνων,
ἐφ' Ἕκτορι τοξεύματα μηδόλως ἀφιέναι·
» Μή τις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι·
Τίς τῶν Ἑλλήνων ὅμοιος ὑπάρχων δηϊφόβῳ
τὸ πλέον καὶ τοῖς ὅπλοις δὲ τελῶν συγκεκριμμένος,
τοιοῦτον ἄνδρα παρελθὼν ὡς ἀδελφὸς οἰκεῖος,
πείσας ἐν δόλοις, ἤγαγε τῷ Ἀχιλεῖ κτανθῆναι·
ὃς δόλους Ὅμηρος φησὶ τῆς Ἀθηνᾶς ἀπάτην·
ὅρα δὲ πῶς τὰ εὐτελῆ ὑψοῖ ἀλληγορήσας,
ὡς περ τὸ πρὶν τὰς ὑετὰς ἀνέμους καὶ τριάδε,
καὶ ὅπως νῦν τὰς ὑψηλὰς λόγους ἀστρονομίας
τοῖς μυθικοῖς λεαίνει τε καὶ κατασπᾷ τοῖς κάτω·
ἀλλὰ τὸν νῦν εἰρήκειμεν πάντα συντόμῳ λόγῳ,

Digitized by Google

νῦν δὲ καὶ μέρη λέξωμεν τῶν χρειοδῶν τινά σοι·
Θεοὺς πάντας εἰρήκειμεν ἄστρα καὶ τὰς ἀστέρας·
τὸν Δία δὲ κηδόμενον Ἕκτορος παρεισφέρει,
ὡς ὄντα δότην ἀγαθῶν, καὶ ἀγαθὸν ἀστέρα,
καὶ συνέργον καὶ πρὸς τὰ ζῆν Ἕκτορα καθεστῶτα,
εἰ μὴ νικῶντες οἱ κακοὶ τοῦτον ἀστέρες ἦσαν·
Ἑρμῆς τὲ ὁ διπρόσωπος ἐπέτεινε τὴν βλάβην,
καὶ Ἀφροδίτης ὁ ἀστὴρ ὡσαύτως καὶ τὰ φῶτα,
σελήνη τὲ καὶ ἥλιος ἦσαν ἐν φαύλοις τόποις·
πῶς Τριτογένειαν φησὶ νῦν τὴν σελήνην, μάθε,
ὅτι τριταῖα φαίνεται μετὰ συνόδου χρόνου.
» Πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
» εἰ μὴ οἱ πύματόν τε καὶ ὕστατον, ἦντετ' Ἀπόλλων
» ἐγγύθεν, ὡς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;
» Λαοῖσιν δ' ἀνέγνευε καρήατι δῖος Ἀχιλλεύς·
» ὐδὲ ἕα ἰέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα,
» μή τις κῦδος ἄρηιτο βαλών, ὁ δὲ δεύτερος ἔλθοι.
Πῶς δέ κεν Ἕκτωρ ἔφυγε τὴν μοῖραν τοῦ θανάτου,
εἰ μὴ ὁ ἥλιος αὐτῷ προσβοηθῶν ἐπῆλθε;
τοῦτό τι κατὰ πρόσωπον φανεὶς τοῦ Ἀχιλέως,
τὸν μὲν, ἀπεῖρξε τῆς ὁρμῆς· τῷ δὲ, προσεβοήθη·
τοῦτο Ὁμήρου παίγνιον νόημα τοῦ πανσόφου·
ὁποῖος ἦν ὁ Ἕκτωρ γαρ καὶ Ἀχιλεὺς ὁποῖος,
τοῖς κατωτέρω ἔπεσιν ἐνφανεστάτως γράφει,
ὅτι ὁ Ἕκτωρ μόνον ἦν, πᾶς δὲ στρατὸς Ἑλλήνων
καὶ δὶ ἐκείνους σύμπαντας ὡς πρὸς φυγὴν ἐχώρει,
κἂν ἀπλεστέροις δείκνυσι δὶ Ἀχιλέα φεύγειν,
ὅμως καὶ ἔτω σὺν στρατῷ παντὶ τῷ τῶν Ἑλλήνων,
αὐτὸς προτρέχων πάντων δε, τὸν ἥρωα ἐκ ἔσχεν·
Ὅμηρος κρύφα παίζων δε τὸν ἡλιόν σοι λέγει
λάμποντα κατὰ πρόσωπον εἶρξαι τὸν Ἀχιλέα,

Digitized by Google

οἷον εἰ παῖς τις ἀσθενὴς παλαίστρᾳ κατατείσει,
ἐπιχλευάζων εἴποι δέ τις ἔννους ὡς πρὸς τάδε.
γενναῖος ὅτος πέφυκα, σκέλη πληγεὶς δὲ πίπτει·
τοιαῦτα καὶ ὁ Ὅμηρος παίζων δοκεῖ μοι τῇδε·
ἀλλ' Ὅμηρε δεινότατε τῶν πάντων λογογράφων,
καὶ λέγων τὴν ἀλήθειαν καὶ μὴ δοκῶν δὲ λέγειν,
τὸ, τοῖς λαοῖς ἀνίενευεν ὁ Ἀχιλεύς, καὶ τ' ἄλλα
δεικνύουσι τὸν Ἕκτορα οἷος πρηστὴρ ἦν μάχης·
ἃ δὲ δὶ ἥλιον νῦν φῆς, παίγνια σοῦ τυγχάνει·
πατήρ. ἡ εἱμαρμένη δὲ ἡ πᾶν ἀπογεννῶσα
χρύσεια τάλαντα φησὶ ῥοπὴν τῆς εἱμαρμένης·
τὸ, λίπεν ὁ Ἀπόλλων δὲ, τοῦτο δηλοῖ ὁ Φοῖβος·
ὅτι ἐπεί περ εἵμαρτο Ἕκτορα τεθνηκέναι,
ὁ συνεργὼν πρὶν ἥλιος τῷ βλάπτειν Ἀχιλέα,
ὠδὲν ἐλυσιτέλησεν ὡς μὴ θανεῖν ἐκεῖνον·
» Πηλείωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη·
Νῦν Ἀθηνᾶν, τὴν συσκευὴν, τὸν δόλον ὀνομάζει·
δι' ἣ περ διεξέβραμεν Ἕκτωρ τὴν βίου πύλην·
θεὸς δ' ἐπιμισώμεθα, ὁμόσωμεν στοιχεῖα,
τὸν οὐρανόν τε καὶ τὴν γῆν, τὴν θάλασσαν, ἀῆρας·
θεοί με νῦν ἐκάλεσαν πρὸς θάνατον· ὁ δόλος,
τετίστιν ἐξ ἀπάτης νῦν καὶ δόλων ἀποθνήσκω,
τὸ ἐντεῦθεν πληθυντικῶς θεοὺς κατονομάσας,
μεδόδῳ τῆς δεινότητος. ἢ καὶ τὴν εἱμαρμένην·
ἀλλ' ἐστι κρεῖττον ἐν τοῖς νῦν, θεὸς τὸν δόλον λέγειν,
ὃν πρὶν προεῖπεν Ἀθηνᾶν ὁμοίαν Δηϊφόβῳ,
τὴν πανουργίαν τῷ ἀνδρὸς ἐκείνῳ τῷ δολίῳ,
ὃς καὶ τὸ δόρυ τὸ ῥιφὲν καθ' Ἕκτορος εἰς μάτην,
ἔμπαλιν ἀνταναίρεψεν ὡς πρὸς τὸν Ἀχιλέα·
τὸ, ἐπιτίκελε θεοῖς, τοῖς ἄρασιν ὁμοῖε·
ἐκ τοῦ Διὸς τὸν μόρον δὲ ἤδεις, τῆς εἱμαρμένης,

Digitized by Google

τὸ, εἴ τι ἔδωκε Διὸς, πάλιν ἡ εἱμαρμένη·
εἴτ' οὖν, εἴ πέρ σοι πάρεστι ῥώμη χειρὸς καὶ σθένος·
θεοὶ γὰρ ὡς προείπομεν, αἱ ψυχαὶ δυνάμεις·
ὡς ἔστι νῦν καὶ τὸ θεοὶ, ὡς εἴπομεν, οἱ δόλοι·
καὶ Ἀθηνᾶ ὁμοίως νῦν· παράχρησις δὲ τῦτο·
αἱ ἀρεταὶ γαρ σύμπασαι μεσότητες τελοῦσιν,
ἑκάστη δ' ἑκατέρωθεν παρέκειναι κακίαι,
ἐλλείψεως ἡ μία μεν, ὑπερβολῆς ἑτέρα·
ὡς περ καὶ νῦν ἡ φρόνησις ὡς ἀρετὴ, μεσότης·
κακία μετὰ ἔλλειψιν πάλιν, ἡ ἀφροσύνη·
κακία δ' ὑπερβάλλουσα, φρονήσεως οἱ δόλοι·
Διὶ, τῇ εἱμαρμένῃ δε, Ἀπόλλωνι, ἡλίῳ·
ἤτοι, αὖτως ἐδέδεκτο ἐμῷ τῇ εἱμαρμένῃ,
καὶ χρόνος τέλος ἔσχηκε ζωῆς ἐμῆς, ὡς βλέπω·
ὁ χρόνος περιδρόμοις δε ἡλιακοῖς πληροῦται·
ὡς Ἥφαιστος τὸ πῦρ ἅμα καὶ ὁ πυρὸς ἐργάτης,
περὶ τὸν λόφον τοῖς κυνῆς τέθειται πυκνοτέρως.
» Φράζεο νῦν μή τοι τι θεῶν μήνιμα γένωμαι,
μή σοι ὀργὴ ἐκ τῶν θεῶν ἔλθοι, τῆς εἱμαρμένης,
ἐν τῷ ναῷ Ἀπόλλωνος ὅταν σε Πάρις κτάνῃ
τὴν ἐν ναῷ ἀναίρεσιν τήν δε τῦ Ἀχιλέως
εἰδὼς ὁ Ὅμηρος φησὶν, Ἕκτωρ δ' ἐκ ἦν προφήτης,
ἢ ἴσως ἐν μαντεύμασι προείδει καὶ ὁ Ἕκτωρ·
ὁ Ζεὺς, ὁ πλάνης νῦν ἀστήρ· θεοὶ, ἀστέρες ἄλλοι,
τουτέστι, θάνω καὶ αὐτὸς, ᾗ μοίρᾳ ἐκληρώθην·
θεοὶ δαμάσαι ἔδωκαν, καὶ νῦν ἡ εἱμαρμένη.
» Ὦ, Τρῶες κατὰ ἄστυ θεῷ ὡς εὐχετόωντο·
τουτέστι ᾧ ἡβρύνοντο, ἐκόμπαζον μεγάλως,
οἷα θεῷ τυγχάνοντι, στοιχείῳ ἐκ τεσσάρων,
ὕδατι, γῇ, ἀέρι τε, ἢ τῇ πυρείᾳ φύσει,
ἅ περ τὰ πάντα συνιστᾷ καὶ διεκτρέφει πάντα,

Digitized by Google

ὁ Ζεὺς, ἡ εἱμαρμένη μεν ἔδωκεν αἰκισθῆναι,
ὡς περ θεὸν δεδείχατο, ὡς ἦλιον ὡς τ' ἄλλα·
γλαυκῶπις πάλιν Ἀθηνᾶ, ὡς πρὶν εἶπον, ὁ θάλος·
κρήδεμνον θ' ὃ ῥά οἱ δῶκε χρυσῆ Ἀφροδίτη
ἐπιθυμίας ἄξιον· ἀπέρασ-ον· ὡραῖον·
χρυσᾶ δὲ ὡς τιμώμενα τὰ ἐρασ-ὰ νῦν λέγει·
οὕτω τὸ κρήδεμνον φησὶ νῦν θῶρον Ἀφροδίτης·
ἦ, ὁ καιρὸς ὁ γαμικὸς παρίσχετο ἐκείνῃ·
τὰ ἐρασ-ὰ καὶ γαμικὰ πάντα δέ, Ἀφροδίτης·

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Υ. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Ὁ Ἀχιλεὺς τὸν Πάτροκλον θάψας ὡς τότε νόμος,
προσφάξας τούτου τῇ πυρᾷ δώδεκα Τρώων νέους,
καὶ ἵππους, ἅμα κύνας τε καὶ ἕτερα ἱρεῖα,
ποιεῖ καὶ ἐπιτάφιον ἀγῶνα μετὰ ταῦτα,
ἐν ᾧ περ Διομήδης μεν ἐνίκησε τοῖς ἵπποις,
ὁ Ὀδυσσεὺς τῷ δρόμῳ δε, καὶ ἕτεροι ἑτέροις.
» Μυρόμενοι· μετὰ δέ σφι Θέτις γόον ἵμερον ὦρσε·
Θέτιδα νῦν τὸ ἔνυγρον κατάσ-ημά μοι νόει·
ἡ γὰρ ὑγρότης κλαίουσι δάκρυον πλεῖσ-ον φέρει,
ὑγραίνουσα τὰ σώματα, ξηρότης τἐναντίον·
φλογὸς Ἡφαίσ-ου, τῷ πυρὸς κατὰ μετωνυμίαν·
Ζῆνα, τὸν κύκλον ὠρανῷ νῦν πάντα κατομνύει
ἡ κὴρ, καὶ μοῖρα, φανερά· πολλάκις εἶπον τἀῦτα·
χρύσεος ἔσ-ιν ἀμφορεὺς, ἀγγεῖον, ὃ ἡ Θέτις
τῷ Ἀχιλεῖ παρέσχηκε· Θέτις ἡ τέτυμ μήτηρ·
ἐν ᾧ ῥηθέντι ἀμφορεῖ ὄντι χρυσῆς ἔξ ὕλης,
τριῶν φλιόντων τέφρα τε κεῖται καὶ τὰ ὀσ-έα,

Digitized by Google

Πατρόκλου, Ἀντιλόχου τε αὐτῇ τῇ Ἀχιλέως·
ἡ ῥοδοδάκτυλος ἠὼς, ἡ τὰ δακτύλων ἔργα
δεικνῦσα ὡραιότατα χαρίτων Ἀφροδίτης,
ἃ μὴν ὁποῖα τῆς νυκτὸς ἐκ ἐξηκριβωμένα·
τοῖς ποταμοῖς οἱ παλαοὶ ἔκειρον πρώτας κόμας,
ὡς νῦν φησὶν ὁ Ἀχιλεὺς πρὸς Σπέρχειον γλυκέως·
ὅτι τὸ ὕδωρ αἴτιον τῇ τρίφεσθαι τὰς κόμας·
» Ἐς πηγάς· ὅθι τοι τέμενος βωμός τε θυήεις.
Σέβας οἱ πρὶν ἀπένεμον τοῖς τέσσαρσι ζαχείοις,
ναὸς τέ τέτοις ἵδρυον, βωμός τε θυηδόχους·
πυρὸς μένος σιδήρεον, τὸ μέγιστα ἰσχύον·
» Ὣς φάτ' ἀπειλήσας· τὸν δ' ἐ κύνες ὠμφιέποντο,
» ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη
» ἤματα καὶ νύκτας· ῥοδόεντι δὲ χρίεν ἐλαίῳ,
» ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων·
» τῷ δ' ἐπὶ κυάνεον νέφος ἦγαγε Φοῖβος Ἀπόλλων.
Οὕτως εἶπε καυχώμενος κυσὶ δ' ἐχὶ παρέσχεν·
ἀλλ' ἀπεσόβει κύνας μὲν ἐκ τέτε Ἀφροδίτη,
ἡ τῇ οἰκείᾳ λογισμῷ τέτε ἐπιθυμία·
Δία γὰρ νῦν τὸν λογισμὸν τῇ Ἀχιλέως λέγει,
καὶ τὴν ἐπιθυμίαν δὲ τὴν τέτε, Ἀφροδίτην·
ἐνθυμηθεὶς Πριάμῳ γαρ τὸν Ἕκτορα πωλῆσαι,
ἐλαίῳ τῶτον ἔχρισεν, ὡς ἄσηπτον τηρείη·
τὸ παλαιὸν γὰρ ἔλαιον, καθάπερ καὶ οἱ ἄλες,
τραυμάτων ἴλωσιν ποιεῖ, καὶ ἄσηπτα τηρεῖ δε·
ὅθεν φησὶν ὁ πάνσοφος ὅτος ἀνὴρ ὁ γέρων·
ἀμβρόσιον τὸ ἔλαιον καὶ θείας δὲ τὰς ἅλας·
ἔτω τὴν Ἀφροδίτην μοι νόησον τοῖς ἐνθάδε·
μὴ μέν τοι τὸ κατάσημα τὸ ἄκρατον νῦν εἴπῃς·
περὶ γὰρ κατασήματος τοιέτε πάλιν λέγει·
κυάνεον Ἀπόλλων δὲ ἦγαγε τέτῳ νέφος,



Digitized by Google

μὴ πρὶν, ἤτοι μὴ πρότερον, πρὶν ἂν ἐμπολήθειη,
ξηράνῃ τούτου ἥλιος τὸν χρῶτα καὶ τὰ νεῦρα,
Ἀπόλλων δὲ καὶ ἥλιος ἓν ἄμφω πεφυκότα·
δι' ἃς δυνάμεις ἔχοιμεν ζωογονεῖν καὶ τρέφειν,
καὶ ἀπολύειν τῶν κακῶν, ποτὲ καὶ ἀπολλύειν,
τῷ ἀνασπᾷν ἀπὸ τῆς γῆς ἀτμοὺς λοιμωδεστέρους,
Ἀπόλλων ὀνομάζεται, ἥλιος δὲ ὡς λάμπων,
δήλιος ὢν καὶ φανερός· καὶ ἥλιος, ἐκθλίψει·
ἀλλὰ βραχὺ καὶ πάλιν μοι ἀναληπτέον τοῦτο.
Ὁ Ἀχιλεὺς τὸν Ἕκτορα κατέχριεν ἐλαίῳ,
τηρῶν ἐκεῖνον ἄσηπτον, ὡς ἂν ἀπεμπολήσῃ·
ἦν δὲ καὶ τὸ κατάστημα σθένος τηρεῖν ἀσήπτως,
κατανεφὴς ὑπῆρχε γὰρ ὁ ἥλιος τῷ τότε,
λαμπρὰς ἀκτῖνας οὐ δεικνὺς, ξηραίνειν, οὐδὲ σήπτειν·
» Ὕλη τε σεύαιτο καήμεναι· ὠκέα δ' Ἶρις,
» ἀράων ἀΐουσα μετ' ἄγγελος ἦλθ' ἀνέμοισιν·
» οἱ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
» εἰλαπίνην δαίνυντο· θέουσα δὲ Ἶρις ἐπέστη.
Ἡ τοῦ Πατρόκλου μὲν πυρὰ οὐχὶ ἀνῆπτε τότε·
τοῦ Ἀχιλέως τὸ λοιπὸν ἀνέμους πνεῖν ποθοῦντος,
Ἶρις ἐφάνη παρευθὺς τὸ νεφελῶδες τόξον,
καὶ δυτικοὺς ἐκίνησεν ἀνέμους παραυτίκα·
» Ἶρις γὰρ πελάγους ἄνεμον φέρει, ἢ μέγαν ὄμβρον·
αὐτὴ δὲ πρὸς τὸ πέλαγος τῶν Αἰθιόπων ἔδυ·
ὅρα δὲ τὸν χρυσόγερων οἷα καὶ πάλιν παίζει·
ἄγγελον Ἶριν λέγων σοι καλοῦσαν τοὺς ἀνέμους,
καὶ εἰλαπίνας τούτων δὲ τοῖς δώμασι Ζεφύρου·
ὅ περ σημαίνει νέφωσιν ἐν μέρεσιν ἑσπέρας,
ἐξ ὧν νεφῶν καὶ ἄνεμοι ἔμελλον ἐκραγῆναι·
Βορρᾶν δὲ νόει δυσσαιῆ, μὴ δύσπνουν, ὡς δ' ὁ Τζέτζης,
τὸν ἐκ δυσμῶν ἐκπνέοντα τὸν κάλλιστον ἀνέμων·

Digitized by Google

βηλὸν, τὴν βασιν νόησον, ὅπου περ ἦν τὰ νέφη,
ἐξ ὧν καὶ ἀνεσκίρτησαν οἱ ἄνεμοι εὐθίως,
ὡς λεπτυνάσης τὸ ὑγρὸν τῆς Ἴριδος τῷ τότε,
καὶ ἕκαστος ἐκάλει δε πρὸς ἑαυτὸν ἐκείνην·
πάντες αὐτῆς κινήσει γαρ ἀνώρμησαν ἐκπνέειν,
καὶ κατελθεῖν δ' ἐς πέλαγος μερῶν τῶν ἑσπερίων,
ὅπου καὶ οἱ Αἰθίοπες εἰσὶν οἱ τῆς ἑσπέρας·
λέγει δ' αὐτῆς ὀπάρνησιν καθέδρας σὺν ἀνέμοις,
σπουδὴν δε ἀπελεύσεως εἰς γῆν τῶν Αἰθιόπων,
οὗ περ θυσίαι τοῖς θεοῖς, ὧν καὶ αὐτὴ μετάσχοι·
οὗ περ τὸ ὕδωρ καὶ λοιπὰ στοιχεῖα συνυπάρχει·
τὸ ὕδωρ πάχος γὰρ λαβὸν, γῆν παρεισφέρει πάντως,
ἀραιωθὲν ἀέρα δε καὶ πῦρ αὖ ἐπὶ πλέον·
οὕτως ἐκεῖσε οἱ θεοὶ, τουτέστι τὰ στοιχεῖα,
ἐδαίννυντο, παρούσης δε καὶ Ἴριδος τῷ τότε·
Ἶρις γάρ ἐστι πρόσπτωσις ἡλίου περὶ νέφος.
Ἐγνώκεις καὶ τὸ παίγνιον Ὁμήρου τοῦ πανσόφου,
ἵππους νῦν ἀθανάτους μοι τοὺς ἀθλοφόρους νέει,
ὧν ἀρετὴ αἰώνιος. μυρία νικησάντων·
ὁ Ποσειδῶν δὲ τῷ Πηλεῖ τοὺς ἵππους πῶς δωρεῖται,
τούτους Πηλεὺς ὠνήσατο θαλάσσῃ κομισθέντας,
Ἀράβων εἴ τε Σικελῶν, εἴ τε καὶ γῆς Περσίδος·
πῶς τὸν Αἰνείαν ἔσωσεν Ἀπόλλων προεγράφη·
ὁ Ζεὺς, ἡ εἱμαρμένη νῦν εἶναι τανῦν νοείτω·
ὁ Ζεὺς καὶ Ποσειδάων δε πάλιν ἐν Ἀντιλόχῳ,
ὁ λογισμὸς καὶ ὁ θυμὸς, ὁ προσφυὴς καὶ πρέπων·
τουτέστι, σὺ καὶ φρόνιμος καὶ τολμηρὲς ὑπάρχεις·
Ἀρίων ὁ Ἀδράστου δε ἵππος ἦν θεῖον γένος,
ὡς ὁ Πηλέως ἄριστος ἄθλοις λαμβάνειν ἆθλα·
ἀντίθεον δὲ Φοίνικα, φρόνιμον ἀληθῆ τε,
ἴσον αὐτῷ τῷ λογισμῷ καὶ τῇ δικαιοσύνῃ·

Digitized by Google

'Απόλλων, νῦν ὁ ἥλιος, βλάπτει τὸν Διομήδην·
κατ' ὀφθαλμῶν ἐπαφεὶς τὸ σέλας τῶν ἀκτίνων·
ἡ 'Αθηνᾶ δ' ἡ φρόνησις, νῦν καὶ ἡ πανουργία,
ἡ Διομήδην σώζει μὲν, τὸν Εὐμηλον δὲ βλάπτει,
ἡ Διομήδους φρόνησις λέγω καὶ πανουργία,
ἡ Διομήδην, φρόνημα ἔσωσε τὸ οἰκεῖον·
τῷ μὴ σκοπεῖν τὸ δέον δε, ὁ Εὔμηλος ἐβλάβη·
τὸ ἅρμα γὰρ κατέαξε τόποις ἑλῶν δυσβάτοις·
τὸ, ἄφελεν ὁ Εὔμηλος εὔχεσθαι ἀθανάτοις,
ἔδει σκοπεῖν τε καὶ φρονεῖν ὅπως ἐλαύνει λέγει·
σοὶ δὲ θεοὶ ἀντίχαριν· ἤτοι ἡ εἱμαρμένη·
ἡ 'Οδυσσέως 'Αθηνᾶ, πάλιν ἡ πανουργία·
» 'Αθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους·
νῦν καὶ ἡ εἱμαρμένη μέν· ἀλλὰ καὶ μᾶλλον, πλέον
ἡ φρόνησις· σὺν ταύτῃ τε πραγμάτων ἐμπορείᾳ·
ὁ Τεῦκρος ταῖς ἀκτίνεσιν ἐβλάβη τῆ ἡλίου,
διὸ φησὶ μὴ εὔξασθαι 'Απόλλωνι ἐκεῖνον,
καὶ πάλιν ὡς ἐμέγηρεν ἐκείνῳ ὁ 'Απόλλων

---

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ω. ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ

Ὁ Ζεὺς φροντίζων Ἕκτορος τῆ ἥρωος ἐκείνου,
τὴν Θέτιν πέμπει πρὸς υἱὸν τὸν 'Αχιλέα ταύτης,
ὡς ἀποδῶ τῆ ἥρωος τὸ σῶμα τῷ Πριάμῳ,
τὴν Ἶριν δὲ πρὸς Πρίαμον ὁ Ζεὺς ἐξαποστέλλει,
ὡς διὰ δώρων τὸν νεκρὸν τῆ Ἕκτορος ἐκλάβῃ·
Πρίαμος δὲ πρὸς τὴν σκηνὴν πεμφθεὶς τῆ 'Αχιλέως
ὑπὸ Ἑρμῆ κοιμήσαντος φύλακας τῶν Ἑλλήνων,
καὶ δὺς αὐτῷ τὰ δῶρα δε καὶ τῆτον ἱκετεύσας,

Digitized by Google

ἀπολαμβάνει τὸν υἱέα· κομίσας δ' εἰς τὴν πόλιν
Ἥφαις, τὸν ἐπιτάφιον δεῖπνον κατασκευάζει·
αὕτη δὲ ἡ ὑπόθεσις ἐστὶν ὡ τῆ μεγάλη.
Ὅπως Ἀπόλλων Ἕκτορα ἐφρούρει τῶν ἀσήπτων,
καὶ τίς Ἀπόλλων παλλαχῆ καὶ ἐν τῇ ψῖ εἰρήκειν
ὡς ὁ Ἀπόλλων ἥλιος ἦν συνεφὴς τῷ τότε·
ἡ δὲ χρυσῆ αἰγὶς ἐστιν ἀκτῖνες τῶν τιμίων,
ἤτοι ἀκτῖνες εὔκρατοι νέφεσι κεκραμμέναι·
Θεὺς δὲ κατοικτείραντας τὸν Ἕκτορα ῥητέον,
καὶ τίς Ἑρμῆς ὃν ὥτρυνον Ἕκτορος κλέπτειν σῶμα·
Θεοὺς νῦν τὰ στοιχῆα μοι νόησον τῇδε λέγειν·
ἐφ' ὅλαις ἕνδεκα καὶ γὰρ ἡμέραις συνεχεῖτο
ὡς περ ἐπισυγνάζοντα τῆ Ἕκτορος τῷ πάθει.
κἂν γῇ καὶ τοῖς φωσῆρσι τε συνέβαινε μυρία,
σεισμοὶ καὶ βόμβοι, μυκηθμοὶ, καὶ κρύψεις τῶν ἀστέρων,
βρονταὶ σκληραὶ καὶ κεραυνοὶ, δειναί τε καταιγίδες,
ἀστέρες διατρέχοντες, κομῆται καὶ τοιάδε,
τὰ κομητῶν δὲ σύμπαντα καὶ πᾶν ἄλλο τοιόνδε·
Ἀρεϊκὰ καὶ τῆ Ἑρμῆ τυγχάνουσιν ἀστέρες,
ἅ περ εἰ ἐπεκράτησε καὶ ἔτι περαιτέρω,
ἔκλεψεν ἂν τὸν Ἕκτορα τινὲς ἐξ Ἀχιλέως,
καὶ τῷ πατρὶ δεδώκασι Πριάμῳ τῦτον θάπτειν·
τὰ τῆ Ἑρμῆ πνευμάτων γαρ θηλωτικὰ τυγχάνει,
καὶ ἐμπορίας συνεργὰ καὶ ἄλλων δὲ μυρίων·
πολλάκις καὶ ἐκκλέπτουσι δεσμῷ τὰς κεκαυμένας·
τῦτο ὁ Ὅμηρος φησὶ τοῖς ἕπεσιν οἷς λέγει,
» κλέψαι δ' ὀτρύνεσκεν εὐσκοπον Ἀργειφόντην
τὰς ἐξ ὀβελισέον δὲ τὰς μετὰ τῦτον στίχους,
μετὰ τὸ κλέψαι δ' ὥτρυνον εὐσκοπον Ἀργειφόντην.
Ἀλλ' ὅτε δωδεκάτη μὲν λέγει ἠὼς ἐφάνη,
» Καὶ τότ' ἄρ' ἀθανάτοισι μετήυδα Φοῖβος Ἀπόλλων·

Digitized by Google

καθάπερ καὶ ὁ Πρίαμος ἐκ νεφελώδους τόξε,
τὸ ἀπελθεῖν ἐπέγνωκεν αὐτὸν πρὸς τὸν Πηλέως,
εἶναι συμφέρον καὶ καλὸν ὠνεῖσθαι τὲ τὸν παῖδα·
τὴν γὰρ πορείαν κατ' ἀρχὴν τότε πεποιημένος,
καὶ Ἑρμηνέα προδηγὸν εὗρεν ὁδοπορίας,
καὶ Ἀχιλέως ἐντυχὼν οἰκτείροντος ἐκεῖνον,
λύτροις λαβὼν τὸν Ἕκτορα, φέρει πρὸς τὴν πατρίδα.
Ἡ Θέτιδος κατέλευσις ἡ πρὸς τὸν Ἀχιλέα
καὶ τ' ἄλλα σοι ἐρρέθησαν· ἄρτι δὲ δέσν λέγειν
τίς ὁ χειρὸς ὁμαλισμὸς καὶ ἡ παρηγορία,
καὶ πῶς ἐκείνῳ γυναικὶ μίσγεσθαι Θέτις λέγει·
ὁ Ἀχιλεὺς τὴν σύγχυσιν ἰδὼν τὴν τῶν στοιχείων,
καὶ τὸν ῥαγδαῖον ὑετὸν τὸν τότε γεγονότα,
ὃν περ καὶ Θέτιν Ὅμηρος τότε μητέρα λέγει,
δι' ἃς αἰτίας προλαβὼν εἰρήκειν σοι πολλάκις·
οὕτω σὺν ἄλλοις κατιδὼν καὶ τὸν τοσοῦτον ὄμβρον,
ὃν ἐκ Διὸς ἀποστολὴν τῆς Θέτιδος εἰρήκει,
καὶ συνειδὼς δι' Ἕκτορα γίνεσθαι ταῦτα πάντα,
αὐτὸς αὐτῷ συντίθεται τοῦτον μὲν ἐμπωλῆσαι,
ἄν περ ἐξωνησάμενος τίς ἐκ τῶν Τρώων ἔλθοι·
σκοπήσας δὲ καὶ δι' αὐτὸν ὅτι πολλὰ δακρύσας,
νεκρὸν ἐγεῖραι Πάτροκλον ἐκ ἴσχυσεν ἐβόλως·
αὐτός δε θλίψει τρύχεται καὶ πόνοις ἀνενδότοις·
καὶ τότε καὶ βραχύχρονος εἶναι τῷ βίῳ μέλλων,
ποιεῖ ὅ περ καὶ ὕστερον Ἀρχίλοχος ἐκεῖνος·
σφῆς ἀδελφῆς γὰρ σύζυγον πνιγέντα τῇ θαλάσσῃ,
περιπαθῶς ὠδύρετο· γράφειν μὴ θέλων ὅλως·
λέγων πρὸς τοὺς βιάζοντας συγγράμμασιν ἐγκύπτειν·
» Καὶ μ' ἔ τ' ἰάμβων, ἔ τε τερπωλέων μέλει·
ὡς δὲ δακρύων κέκμηκε μάτην, εἰρήκει τάδε·
» Οὔ τέ τι κλαίων ἰήσομαι, ἔ τέ τι κάκιον

Digitized by Google

» θήσω· τερπωλὰς καὶ θάλειαν ἐφέπων·
καὶ ταῦτ' εἰπὼν ἐξώρμησε πρὸς τὴν πλατείαν τρίβον·
οὕτω πρὸ τούτου Ἀχιλεὺς καμὼν Πατρόκλου θρήνοις,
παρηγορεῖ τὲ ἑαυτὸν καὶ ὥςπερ ὁμαλίζει·
κἂκ τῆς σκληρᾶς δὲ πράξεως θρήνων τροπεὶς καὶ γόων,
ὡς πρὸς τὸ μαλακώτερον καὶ τρυφερὸν ἐτράπη,
καὶ γυναιξὶ μιγνύμενος καὶ πάντα δρῶν τὰ πρώην·
ἐπεὶ δὲ τὸ χειμέριον κατάςημα τοῦ χρόνου,
πρὸς Ἀφροδίσια κινεῖ τοὺς ἄνδρας ἐπὶ πλέον,
καθάπερ δὴ τὸ θερινὸν ἐς πλέον τὰς γυναῖκας,
συγκεραννύον τὸ θερμὸν τὸ ἔνυγρον ἐκείνων,
ὡς τὸ ξηρὸν τὸ τῶν ἀνδρῶν τὸ ἔνυγρον χειμῶνος·
ὁ Ὅμηρος ὁ πάνσοφος, ἡ βρύσις τῶν χαρίτων,
μὴ θέλων κομπολάκυθα τοῖς φυσικοῖς λαβράζειν,
ὡς οἱ μεταγενέςεροι καὶ μετὰ τοῦτον πάντες,
ἐν μυθικῇ γλυκύτητι τὸ φυσικὸν κεράσας,
Θέτις καθομιλήσασα τούτου φησὶ τὴν χεῖρα,
μίγνυσθαι εἶπε γυναιξὶ, τῶν ἀγαθῶν ὑπάρχει.
Ταυτὶ μὲν οὕτως ἔχουσιν· ἄλλα λοιπὸν λεκτέον,
ἡ Ἶρις δὲ ἡ ἄγγελος ἡ ἐκ Διὸς Πριάμῳ,
οὐκ ἄλλο πέφυκεν οὐδὲν ἢ νεφελῶδες τόξον,
ὅ περ φανὲν ἐξ οὐρανοῦ ὁ Πρίαμος ὡς εἶδεν,
ἦσαν σίωνοσκόποι γὰρ καὶ ἀςεροσκοποῦντες,
σημεῖον γνοὺς τῶν εὐτυχῶν εἰς καταρχὴν πραγμάτων,
οὐδ' οὐ λοιπὸν κατάρχεται τῆς πρὸς τὸν Ἀχιλέα·
θεοειδὴς, ὡραῖος δε καθάπερ οἱ ἀςέρες·
ἀντίθεον, ἰσόθεον, ἴσον θυμῷ ταῖς μάχαις·
θεὸν τὸν Ἕκτορα φησὶ πῦρ πρὸς τοὺς ἐναντίους·
καὶ παῖδα τοῦτον δὲ θεοῦ, πυρὸς ἢ καὶ θαλάσσης,
δέος τε καὶ κατάπληξιν φέροντα πολεμίοις,
Διΐ τε καὶ Κρονίωνι κελαινεφεῖ πάλιν·

Digitized by Google

Ἰδαίῳ, οὐρανίῳ νῦν τῶν Τρώων εἱμαρμένῃ
Διὶ ὁμοίως, πάλιν δὲ ὡς καὶ τὸ, Ζεῦ καὶ Ζεὺς δε,
ὁμοίως καὶ τὸ Ζῆνα δὲ τὴν εἱμαρμένην λέγει·
Ἑρμῆν τὰς ἀστροῤῥύσεις γε φησὶ καὶ τοὺς κομήτας·
πῶς εἱμαρμένης τὸν Ἑρμῆν υἱὸν δὲ ὀνομάζει,
υἱὸν τελοῦντα οὐρανοῦ τοῦ πρὸς ἀέρος, μάθε·
κομῆται, ἀστροῤῥύσεις τε, διάττοντες καὶ τ' ἄλλα,
ἅ περ εἰσὶν Ἑρμαϊκὰ καὶ Ἄρεος ἀστέρος,
ἀέρος περιττώματα καθέστηκε καὶ πάθη·
ἐπεὶ δὲ ταῦτα γίνεται σημεῖα τῶν μελλόντων,
τῆς εἱμαρμένης ὁ Ἑρμῆς οὕτω καλεῖται τέκνον·
Ἑρμῆς δ' ὡς τούτων ἑρμηνεὺς καὶ δηλωτὴς ἐκλήθη.
» Ἑρμεία, σοὶ γάρ τε μάλιστά δε φίλτατον ἐστὶν,
» ἀνδρὶ ἑταιρίσσαι· καί τ' ἔκλυες ᾧ κ' ἐθέλησθα·
» βάσκ' ἴθι καὶ Πρίαμον κοῖλας ἐπὶ νῆας Ἀχαιῶν,
» ὡς ἄγαγ' ὡς μήτ' ἄρ τις ἴδῃ, μήτ' ἄρ τε νοήσῃ·
Ὅρα τὸν μέγαν Ὅμηρον πῶς τῇ αὐτοῦ μεδόδῳ
τῇ τῆς ἀλληγορίας δε καὶ οὐχ' ἑτέρως λέγων,
τὰ ταπεινὰ μὲν ἀνυψοῖ συνάμα καὶ γλυκάζει·
χειμῶνας, ὄμβρους καὶ τινὰ τῶν εὐτελῶν πραγμάτων,
τὰ ὑψηλὰ καθέλκει δε πρὸς τὸ σαφὲς καὶ μέσον·
οἷα τὰ φυσικώτερα, καὶ τῆς ἀστρολογίας,
καὶ τῶν μεγίστων δὲ τεχνῶν ὧν γράφει τῶν ἑταίρων
πάντα ζυμῶν ἐν νέκταρι· κόμπου δὲ γράφων ἄτερ·
ὡς τῇδε νῦν ἀστρονομῶν, ἀστρολογῶν τὸ ἅμα
καὶ γράφων εὐληπτότατα καὶ διαυγῆ τῷ λόγῳ,
τὸ βάθος ἔνδον παρεικὼς καὶ τὰ κομψὰ τοῦ τύφου·
θέλων ἀποτελέσματα Ἑρμαϊκὰ γὰρ φάναι,
ὧν ἓν καὶ ἡ ἐπίτευξις, ὧν περ τυχεῖν τις χρήζει,
ναὶ μὴν καὶ ἡ φιλίωσις καὶ ἡ συγκοινωνία,
εἰ κατ' ἀρχὴν ποιήσει τις Ἑρμῇ καὶ τοῖς ἐκ τούτου,

Digitized by Google

καὶ ὡς τοιούτῳ δὲ παρῶ Ἑρμαϊκῶν σημείων,
Πρίαμος καταφαίμενος χάρειν πρὸς Ἀχιλέα
εὗρε τινὰ τῶν εὐγενῶν στρατῷ τῷ τῶν Ἑλλήνων·
παρ' οὗ σοφῇ πρὸς τὴν σκηνὴν ἐλθὼν τῷ Ἀχιλέως,
οἰκτειρηθεὶς καὶ τούτῳ δὲ καὶ μετασχὼν τραπέζης,
πάντων ὧν ἔχρηζε τυχών, πρὸς Τρῶας ὑπεστράφη·
οὕτω μὲν ὤφελεν εἰπεῖν, ἀφεὶς κομψῴδες γράφειν·
ὁ Ζεὺς καλέσας τὸν Ἑρμῆν υἱὸν αὐτῷ εἰρήκει·
πρὸς Ἀχιλέα κόμισον τὸν Πρίαμον, Ἑρμεία,
σοὶ γὰρ ἔργον καθέστηκε τὸ φιλεῖν ἀνθρώπους·
πέδηλα μὲν Ἑρμαϊκὰ κινήσεις τούτων λέγε
ῥάβδον χρυσῆν δὲ τῷ πυρὸς οὐσίαν ὀνομάζει,
ἐξ ἧς ἐπεστρίζονται καὶ γίνονται τοιάδε,
ἦγουν τὸ πᾶν Ἑρμαϊκὸν καὶ τούτων αἱ δυνάμεις,
αἱ τῶν ἀνδρῶν τὰ ἔμματα καὶ τῶν ἀνδρῶν ἀγρίων,
ὁποῖος ὢν καὶ Ἀχιλεὺς θέλγουσιν, ἡμερῶσι·
τοὺς δὲ ὑπνώδεις καὶ δειλοὺς καὶ καταπτοημένους,
ὁποῖος ἦν καὶ Πρίαμος, ἐγείρουσι τῷ φόβου,
τὰ τῷ Ἑρμῇ, τῷ λόγου δέ, ἄλλως ἀλληγορεῖται·
» Βῆ δ' ἰέναι, κούρῳ αἰσυμνήτῃρι ἐοικώς·
» πρῶτον ὑπηνήτῃ, τῷ περ χαριεστάτη ἥβη.
Οὐχ ὁ Ἑρμῆς μετέμηψεν, Ὅμηρος παίζων λέγει,
ὡς θαυμαστόν τι καὶ γλυκὺ ποιήσει σε τὸν λόγον·
ἐπεὶ δυνάμεις ὁ Ἑρμῆς ἔχει τὰς εὐοδώσας,
τὰς φιλεύσας πάσας τε καὶ τῆς ἐπιτευξίας,
τοῖς κατ' ἀρχὴν ποιήσασιν Ἑρμαϊκοῖς Ἑρμῇ τι·
διά τινων ἀνθρώπων δε ποιεῖ τὰς ἐνεργείας,
ποιεῖ καὶ τῷ Πριάμῳ δε τότε πορευσμένῳ
νέῳ τοιούτῳ ἐντυχεῖν οἷον φησὶ τὰ ἔπη
δι' οὗ τὸ πᾶν καὶ ἤνυσεν ὁ Πρίαμος ὡς ἔφην,
Ἑρμῆν δὲ δι' ἀμφότερα καὶ τοῦτον ὀνομάζει,

Digitized by Google

διὰ τὸ κατ' ἐνέργειαν Ἑρμῆ ἐπαρανῆναι,
καὶ τὰ κατ' Ἀχιλέα δὲ Πριάμῳ ἑρμηνεῦσαι,
καὶ Ἑρμήνιον αὐτὸν δεόντως ὀνομάζει·
ὄντως γὰρ μέγα ὄφελος φανεὶς ἦν τῷ Πριάμῳ·
θειοειδὴς, ὡραῖος νῦν, καθάπερ οἱ ἀστέρες
θεῶν, ἐκ τῶν ἀστέρων τις, εἷς ὢν τῆς εἱμαρμένης·
διάκτορος, ὁ μηνυτής· τὸ δ' Ἀγρειφόντης πάλιν,
ὁ ὢν ἐκ φόνου καθαρὸς καὶ σωστικὸς Πριάμῳ·
θεοὶ δὲ μάκαρες τανῦν, στοιχεῖα, εἱμαρμένη·
τὰ μὲν στοιχεῖα εὔκρατα ὄντα χειμῶνος ὄντος,
τὸν Ἕκτορα μὴ σήψαντα κείμενον τόσον χρόνον,
ἡ εἱμαρμένη δὲ θανεῖν ποιήσασα χειμῶνι·
ὕπνον, Πριάμου ὁδηγὸς, ὃν καὶ Ἑρμῆν νῦν λέγει,
πῶς φύλαξιν ἐπέβαλεν ἢ ποδαπὸν καὶ ποῖον
ὕπνον, τὴν ἡσυχίαν σοι νῦν λέγει τῶν φυλάκων·
γνωστὸς γὰρ ὢν ἐποίησεν, αὐτὸς ἐφησυχάσαι,
μηδὲ ποιῆσαι θόρυβον ὡς εἰ παρῆν τις ξένος·
» Ὦ γέρον, ἥκει ἐγὼ θεὸς ἀμβρότου εἰλήλουθα
θεὸς ἀνδρὸς κατάρχοντος παῖς, ἐβροτὸς καὶ πένης·
τὸ δεύτερον ἀθάνατον ὁ Τζέτζης ὀβελίζει·
μακρὸν νῦν ὄλυμπον φησὶ τὴν ἀρχικὴν οἰκίαν
θεοῖς δὲ ἐπιείκελε, τοῖς ἄστρασιν ὁμαῖε·
ἀλλὰ αἰδέσθητι θεός· τίνας ἐνταῦθα λέγει;
καὶ ψυχικὰς δυνάμεις νῦν ἥκει τὰς ἱκεσίας,
καὶ τὰ στοιχεῖα δι' αὐτὰ, ἥλιον, γῆν καὶ τ' ἄλλα·
οἱ δὲ θεοὶ, πάλιν καὶ Ζεὺς καὶ τῷ Διὸς τὸ δῶμα·
ἀστέρες εἱμαρμένης τε εἰσὶ καὶ εἱμαρμένη,
οὔτε θεοῖς, οὐδὲ βροτοῖς ἐνδόξοις, ἢ ἀδόξοις,
εἴτε σοφοῖς ἀνθρώποις τε καί γε τοῖς ζῶσι χύδην·
θεοὶ Πηλοῖ οἱ δόντες, δε πάλιν ἡ εἱμαρμένη·
» Καὶ οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἀκοίτην·

Digitized by Google

ἀξίας κατωτέρας τε καὶ τύχης ὑπηργμένῳ
σύζυγον ἐδωρήσαντο θεὰν καὶ βασιλίδα·
θεοὶ καὶ οὐρανίωνες, πάλιν ἡ εἱμαρμένη·
Διόθεν δέ μοι ἄγγελος· ἐξ οὐρανοῦ σημεῖον,
ἐξ ὄμβρων τῶν ῥαγδαίων γὰρ καὶ τῶν λοιπῶν ἐγνώκει
θεῶν τις ἦγε δὲ καὶ σέ· χρηστότης, εἱμαρμένη·
ἢ εὐγενής· γενναῖως τις ἐκ γένους τῶν Ἑλλήνων·
τὸ δὲ Διὸς ἀλίτωμαι, τὰς ἐφετμὰς νῦν νόει·
μὴ πόρρω τι τοῦ λογισμοῦ τοῦ πρέποντος ποιήσω,
ἢ ὃ οὐ χρὴ τοὺς ἀρχικοὺς ποεῖν καὶ βασιλέας.
» Καὶ γὰρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
» τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
» ἓξ μὲν θυγατέρες δ' ἓξ υἱέες ἡβώοντες·
» τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο,
» χωόμενος Νιόβῃ· τὰς δ' Ἄρτεμις ἰοχέαιρα·
» οὕνεκα οἱ Λητοῖ ἰσάσκετο καλλιπαρήῳ·
» φῆ δοιὼ τεκέειν, ἡ δ' αὐτὴ γείνατο πολλούς·
» τώ δ' ἄρα καὶ δοιώ περ ἐόντ' ἀπὸ πάντας ὄλεσσαν·
» οἱ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν
» κατθάψαι· λαοὺς δὲ λίθους ποίησε Κρονίων·
» τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ οὐρανίωνες·
» ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δακρυχέουσα·
» νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
» ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
» Νυμφάων, αἵ τ' ἀμφ' Ἀχελώϊον ἐρρώσαντο·
» ἔνθα λίθος περ' ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει·
Ὅμηρος τῆς Νιόβης σοι νῦν ἱστορίαν εἶπεν·
ἡμεῖς δ' ἠλληγορήσαμεν πρὶν τῇ Αὐγούστῃ τάδε,
ὧν πέρ σοι παραθήσομεν τὰ χρήσιμα ἐνθάδε·
ἡβρύνετο, ἐκόμπαζε τοῖς τέκνοις ἡ Νιόβη·
ἐφρόνει ὑψηλότερα καὶ κρείττω τοῦ αἰθέρος,

Digitized by Google

συνέκρινε πρὸς οὐρανὸν αὐτήν τε καὶ τὰ τέκνα·
ἀπένειμε τὸ κρεῖττον δὲ καὶ ἑαυτῇ καὶ τέκνοις,
λέγουσα τάδε πρὸς αὐτὴν καὶ συμβιβῶσα τύφῳ·
δύω φωστῆρας οὐρανὸς κέκτηται τοὺς μεγάλους·
ἐγὼ δὲ τόσους ζῶντας τε, λαλοῦντας. καὶ ἐμψύχους·
ἆρ' οὐχὶ κρείττων οὐρανοῦ τελῶ καὶ τοῦ αἰθέρος;
τοιαῦτα μὲν ἡ δυστυχὴς παισὶν ἁβρυνομένη,
ἀντιστρατεύεται δ' αὐτῇ τύχη τις παλαμναία·
αὐθημερὸν τε θνήσκουσι πάντα λοιμῷ τὰ τέκνα.
Ἀπόλλωνα καὶ Ἄρτεμιν ἔφαν δὲ τούτους κτεῖναι·
ἡλίῳ γὰρ ἀνάκεινται ταῦτα καὶ τῇ σελήνῃ·
ἐκ τοῦ θερμοῦ γὰρ καὶ ὑγροῦ γένονται τὰ λοιμώδη·
τὴν δὲ Νιόβην ἔφασαν ἔνδακρυν λίθον εἶναι,
ὅτι παντὸς ἀναίσθητος τῷ πάθει γεγονυῖα,
πρὸς μόνον ἦν τὸ δάκρυον ἄγαν εὐαισθητοῦσα·
καὶ τοὺς ἀνθρώπους οὕτω μοι τότε νοήσεις λίθους
ἐκλιθωθέντας συμφορᾷ τῇ γενομένῃ τότε·
ὅτ' οὖν τῶν ἀπανθρώπων τε καὶ τῶν σκληρωκαρδίων,
μὴ συνδραμόντων πρὸς αὐτὴν, μὴ κηδευσάντων τούτους,
θεοὶ δὲ τούτους, βασιλεῖς ἔδαψαν τῇ δεκάτῃ,
ἤγουν συνηκολούθησαν καὶ βασιλεῖς τῷ πάθει·
εἰ δ' ὡς σκληροὺς νοήσειας λίθους μοι τοὺς ἀνθρώπους,
θεοὺς τότε μοι νόησον ὑπάρχειν τὰ στοιχεῖα,
τοιουτοτρόπῳ θάψαντας τὰ τῆς Νιόβης τέκνα·
σεισμοὶ, βρονταὶ, καταῤῥαγαὶ χαλάζης γεγονυῖαι,
τοὺς ἀκαμπεῖς κατέπεισαν θάψαι τοὺς τεθνηκότας·
ὁ δὲ φασὶν ὡς λίθινος δακρύει τῇ Σιπύλῳ
τοιοῦτον εἶναι νόησον ὥς περ ἐγώ σοι φράσω,
λίθον ξεσθέντα τεχνικῶς ὥστε δοκεῖν δακρύειν·
θεοῖσιν νῦν τοῖς ἄστρασιν ὡμοίωτο τῇ θέᾳ·
θεοὶ τε καὶ ἀνέρες δὲ καθεύδοντες ἠρέμουν·

Digitized by Google

Θεοὺς ἐνθάδε νόησον εἶναι μοι τὰ στοιχεῖα·
320 Ἑρμείας Ἐριούνιος ὁ εὐγενὴς ἐκεῖνος,
ὁ μεγαλωφελέστατος καὶ ἑρμηνεὺς Πριάμου,
ἢ ὁ τῶ Νέστορος υἱὸς Ἀντίλοχος ἢ ἄλλος·
Ἑρμείας πρὸς τὸν Ὄλυμπον ὁ ἀρχικὸς ἐκεῖνος,
ἦλθε πρὸς ὕψος τὸ αὐτῶ πάλιν ἐκ τῆς λατρείας,
325 τὴν ἣν ἐκὼν ἐλάτρευσε τῷ γέροντι Πριάμῳ.
ἐκέλη Ἀφροδίτη δε, ἴση ἐπιθυμίᾳ·
τῷ εἴκελος ὃν ἔκτεινεν Ἀπόλλων ἐκτοξεύσας,
ὅμοιος ὢν τοῖς θνήσκουσι θανάτῳ τῶν ὀξέων·
ἀλλὰ μὴ πολυχρόνιον νοσήσεσι τὴν νόσον,
330 ἔχεις τὸν ἄθλον ἅπαντα τῶτον τῆς Ἰλιάδος,
ἐν τοῖς ἀλληγορήμασι τῷ Τζέτζῃ τελεσθέντα·
ἤδη δ' ἐπ' ἄθλον ἄεθλον κράζει καιρὸς, ὡς κήρυξ·

Τέλος τῶν ἀλληγοριῶν τῆς Ὁμήρου Ἰλιάδος.

Digitized by Google

# [illegible]

## [illegible]

Κύρος μὲν πρὸς τὸν ποταμὸν Γύνδην τῆς Βαβυλώνος
ναυσίπλουν ὄντα, πνίξαντα λευκὸν ἵππον ἐκείνου
τοιαυτείας ὀργὰς ἐξήνυντάδος μέτα,
ἔνθα τὰς σχοίνοντας καὶ ἑκατὸν ὀρύξας
ἐκ μέρους τοῦ ἐτέρου δὲ πάλιν τὰς ἀπαρίθμους.
βάτον ἐκεῖνον τέθεικε γοανοὶ καὶ βρεφυλλίας
ταῦτα μὲν Κύρος ὁ καλὸς τοῖς ἀνοτέρω χρόνοις
πάγω δὲ νῦν τὴν λιγυρὰν Ὁμήρου Καλλιόπην.
τὴν πεκτοάνως ἄδουσαν ἡρώων κατηλόγους
τὰς Τλιάδος μάχας τε καὶ πόλεμον Ἑλλήνων,
ἔχουσας βάθος ἀχανὲς ἐν ταῖς ἀλληγορίαις,
οὐ κατὰ Γύνδην ποταμὸν, ὠκεανὸν δὲ μέγαν.
ἐξ οὗ πᾶς λόγων ποταμὸς ῥεῖ, θάλασσα καὶ πνεῦμα
οὐχ ἵππον πνίξαντα λευκὸν, μέλλοντα δ' ἀπαλλάξειν
ἐπιθυμίας σπίρτημα, λαμπρῶς φημὶ πρὸς λόγους
τῆς Βασιλίδος τῆς ἐμῆς, ἡ γυναικῶν ἦν κόσμος.
κελεύσει ταύτης σεβαστῇ. καὶ δωρεαῖς ἀξίαις
καὶ δὴ προσλιπαρήσεσι καὶ δώροις ἄλλοις φίλον.
ἔστι μὲν ὅπῃ γεφυρῶν κατὰ τὸν Μανδοσκλέα,
ὃς ἀρχιτέκτων Σάμιος ἦν χρόνοις τοῦ Δαρείου,
κατά τε Ἀπολλόδωρον τὸν Δαμασκόθεν λέγω,

Digitized by Google

ὅσπερ ὑπῆρχεν ἄνακτος Τραϊανῷ ἐν χρονοις·
ἅτω μὲν ὅπη γεφυρῶν κατὰ τὰς ἄνδρας τάτας,
πῇ δὲ χερσῶν τὸ πέλαγος κατὰ τὸν Δεξιφάνην,
ὃς χρόνοις Κλεοπάτρας ἦν, Κνίδον αὐχῶν πατρίδα·
ὅπη δ' ὡς ὁ Μιλήσιος Θαλῆς ἐκεῖνος γέρων,
τὸν Ἅλυν μὴ περάσαντα, πεπέρακε τὸν Κῦρον·
ἅτω κἀγὼ νῦν τεχνικῶς τὴν κοίτην μετατρέπων,
πῇ δὲ μυρίαις ὀρυγαῖς λεπτοτομῶν τὰ βάθη,
ἀβρόχως πᾶσι τέθηκα πάντας περᾶν εἰς χρόνους,
ἐν λέξει γράφων διαυγεῖ, γνωσῇ καὶ τοῖς τυχοῦσιν,
οὐχὶ καθάπερ ἡ Δημώ, μιμὼ δὲ τοῖς φρονοῦσι,
γύναιον κομπολάκυθον ψευδυψηγορογράφον,
μηδὲν δὲ πρὸς τὸν Ὅμηρον τῶν συντελούντων λέγον·
ἔχεις Δημοῦς τὸ σύγγραμμα καὶ τὸ τοῦ Ἡρακλείτου,
Κερνοῦτον καὶ Παλαίφατον, καὶ τὸν Ψελλὸν σὺν τούτοις,
καὶ εἴ τις ἄλλος λέγεται γράψας ἀλληγορίας
ἀνερευνήσας εὗρισκε, καὶ τὰ τοῦ Τζέτζου βλέπε·
εἴ τ' ἔν τοῖς πᾶσι ζηλωτὴς καθέστηκεν Ὁμήρου,
κἂν τοῖς σαφέσι καὶ ληπτοῖς, καὶ παιγνιωδεστέροις,
καὶ τοῖς ἀποκαθάρμασι τοῦ λόγου τῆς οἰκίας·
ὥσπερ ἐκεῖνος καὶ αὐτὸς ὄλβον διδοὺς εὑρίσκειν
μαργάρων, λίθων τιμαλφῶν, ἄλλων περπνῶν παντοίων·
ἢ ὡς πολλοὶ τῶν νέων τε καὶ τῶν παλαιοτέρων
σφῶν τοῖς δοκοῦσι θησαυροῖς, τοῖς διῳρμένοις λόγοις,
οἷαπερ τύμβοι φέρουσι σαπρίαν τε καὶ κόνιν·
ἅτω τὴν Ἰλιάδα μὲν, σύμπασαν Καλλιόπην,
λόγοις ἠλληγορήσαμεν εὐλήπτοις, σαφεστάτοις,
καὶ συντελοῦσι πρὸς αὐτὴν τὴν γυγραφὴν Ὁμήρου,
ἀλλ' ὁ κατά τινας αὐτῶν ψευδυψηγόροις λόγοις·
εἴ τ' ἔν σκιαῖς πλὴν ἀμυδραῖς καὶ μερικαῖς δὲ πλέον,
οὐδὲ θεὸς τὰ Χερουβὶμ καὶ Σεραφὶμ καλοῦντες,



Digitized by Google

ἕτως ἠλληγορήσαμεν ἤδη τὴν Ἰλιάδα·
νῦν δὲ πρὸς τὸν πολύτροπον ἄνδρα μεταβατέον,
καὶ ἀλληγορητέον δὲ πᾶσαν ἀλληγορίαν,
ὅσην ἡ βίβλος κέκτηται τότε τῶν πλανημάτων.

## ΥΠΟΘΕΣΙΣ ΕΝ ΒΡΑΧΗι ΤΗΣ ΟΛΗΣ ΟΔΥΣΣΕΙΑΣ.

Μετὰ τῆς Τροίας πόρθησιν τὸ στράτευμα Ἑλλήνων,
διαλαχόντες λάφυρα καὶ τὰς θυγατέρας,
πρὸς τὰς πατρίδας πλέοντες, ἀνέμων τῶν δυσπλόων,
ἄλλος ἄλλῃ ἐξώσθησαν· οἱ δὲ μετ' Ὀδυσσέως,
πρῶτα περὶ Μαρώνειαν, τὴν Ἴσμαρον Ὁμήρῳ,
μάχῃ νικῶσι Κίκωνας· ἔπειτα δ' ἡττημένοι,
φεύγουσι πρὸς τὸ πέλαγος· Βορέαις δ' ἁρπαγμένοι
πρῶτα καταίρουσι εἰς γῆν ἀνδρῶν τῶν Λωτοφάγων·
εἶτα πρὸς νῆσον Κύκλωπος, ἔπειτα πρὸς Αἰόλου·
ἐξῆς εἰς Λαιστρυγόνας δε· αὖθις ὡς πρὸς τὴν Κίρκην·
εἰς Ἅιδην μετὰ Κίρκην δε πάλιν πρὸς τὰς Σειρῆνας·
μικρῷ πρὸς πέτρας τὰς πλαγκτὰς, καὶ Χάρυβδιν καὶ Σκύλλαν·
μετέπειτα πρὸς νῆσον δε τὴν τῶν βοῶν ἡλίου·
μετὰ βραχὺ τῆς νήσου δε ταύτης ἀποπλεόντων,
ἡ ναῦς ἐβλήθη κεραυνῷ καὶ φλέγονται μὲν πάντες·
σώζεται μόνος δ' Ὀδυσσεὺς εἰς Καλυψοῦς τὴν νῆσον·
ἐκεῖθεν δὲ πρὸς Φαίακας, ἐκ τούτων δ' εἰς Ἰθάκην,
ὅ πάντας, ἄγνωστος ἐλθών, ἀνῆλε τοὺς μνηστῆρας·
καὶ αὕτη μὲν ὑπόθεσις πάσης τῆς Ὀδυσσείας.

Digitized by Google

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ Α. ΔΕ ΜΟΝΗΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ.

Ἑρμῆς βουλαῖς ταῖς τῶν θεῶν τῆς Καλυψοῦς εἰς νῆσον
ἐλθὼν, ἐκείνην ἔπεισε κελεῦσαι τὸν Ὀδυσσέα·
ἡ Ἀθηνᾶ Ταφίῳ δὲ ὁμοιωθεῖσα Μέντῃ
ἦλθε πρὸς τὸν Τηλέμαχον εἰς τὴν Ἰθάκην νῆσον·
τότε τοῖς τούτου δώμασι τρυφώντων τῶν μνηστήρων,
ὃν τοῦ πατρὸς πρὸς ζήτησιν λέγει παραγενέσθαι,
εἰς Πύλον μὲν πρὸς Νέστορα, πρὸς δὲ τὴν Σπάρτην αὖθις
εἰς τὸν Μενέλαον αὐτὸν ὑστέρως ἀφιγμένον·
ταῦτα εἰποῦσα ὡς θεὸς ἀπέδραμεν εὐθέως·
ἤδη τὰ τοῦ κειμένου μοι λοιπὸν ἀναπτυκτέων
ὁπόσα τέως δέονται τινὸς ἀλληγορίας.
Ἄνδρα, τὸν ἄνθρωπον φησὶ νῦν· μοῦσα δὲ, τὴν γνῶσιν·
βόες ἡλίου τίνες δὲ, οἱ ἀροτῆρες βόες,
ὡς ἐργαζόμενοι τὴν γῆν καὶ τρέφοντες ἀνθρώπους,
καὶ βλέπειν παρεχόμενοι ζῶντας τὸ φῶς ἡλίου,
καὶ μὴ θανεῖν ἐκ τῆς λιμοῦ καὶ κατελθεῖν εἰς ᾅδου·
πῶς δὲ ὁ ἥλιος φυτοῖς ἀφείλετο τὸν νόστον,
ἄκουσον βραχυτάτοις νῦν· μάθοις δ' οὐ χρὴ πλατέως.
Τοῖς πρὶν ἀνθρώποις ἀσεβὲς ἐσθίειν βοῦν ἐργάτην·
ἐπεὶ δὲ βίᾳ τῆς λιμοῦ, οἱ Ὀδυσσέως φίλοι
ἐργάτας βόας σφάξαντες ἐδαίσαντο τὰς σάρκας,
συνέβη τούτοις δὲ θανεῖν σκηπτοῖς καὶ ναυαγίᾳ,
ἅτε ἡλίου σφῶν ζωῆς καὶ χρόνου πληρωθέντος·
Ὅμηρος ὢν δεινότατος ἀνθρώπων νουθεσίας,
πάντας ἀνθρώπους νουθετεῖ τοῖς πταίσμασιν ἐκείνων
μηδέν τι δρᾶν παράνομον. βλέποντας πρὸς ἐκείνους·
καὶ γὰρ παρανομίσασιν ἐκείνοις εἰς τὰς βόας,
ἐν ναυαγίᾳ τῇ δεινῇ, καὶ τοῖς σκηπτοῖς οἷς ἔφην,

Digitized by Google

ἥλιον λέγει τῆς ζωῆς πικρῶς ἐκπληρωθῆναι·
καὶ πάλιν περὶ τούτου δὲ τοῖς ἔμπροσθεν μαθήσῃ,
ὅπερ καὶ ὁ Ὅμηρος πρὸς πλάτος ταῦτα γράφει,
ἀμέθεν ὀθενδήποτε τῶν Ἀττικῶν τῷ τρόπῳ.

Θεὰ, γνῶσις καὶ φρόνησις Διὸς, νοὸς θυγάτηρ
Νύμφην δὲ λέγουσι θεὰν, ἄνασσαν νησιώτην.
Θεοὶ οἱ ἐπικλώσαντες, ἀστέρες, εἱμαρμένη·
θεοὶ πάντες ἐλέαιρον νόσφι τῆ Ποσειδῶνος,
στοιχεῖα καὶ ἀστέρες δε, ἐξ ὧν τὰ εἱμαρμένα,
εἴ τε καλὸν κατάστημα ὑπῆρχεν εὐκαιρίας·
καὶ οἱ ἀστέρες δὲ αὐτοῦ χρηστοὶ τῆς εἱμαρμένοις,
θάνατον οὐκ ἐμφαίνοντες· ἡ θάλασσα δὲ μόνη,
καὶ τὰ μακρὰ πελάγη δε καὶ νῆες μὴ παροῦσαι,
κώλυμα ἦσαν Ὀδυσσεῖ νοστεῖσαι τῇ πατρίδι·

» Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας·
Τὶς ἡ παρὰ Αἰθίοπας δαὶς ἡ τῆ Ποσειδῶνος,
καὶ τὶς δὲ Ζεὺς καὶ μέγαρον τούτου καὶ οἱ θεοί δε,
καὶ τίνες λόγοι οἱ Διὸς, καὶ τὶς ἡ Ἀθηνᾶ δε,
ἡ ἀποκρίνεται Διὶ ἀντιτιθεῖσα λόγους,
τὶς ὁ Ἑρμῆς καὶ ὁ σαλεὶς εἰς Καλυψοῦς τὴν νῆσον,
καὶ πῶς αὐτὴ πορεύεται πάλιν πρὸς τὴν Ἰθάκην,
καὶ τ' ἄλλα πάντα μάνθανε λεπτῶς ἠκριβομένως·

Καιρὸς ἦν ἀναβάσεως Νείλω παρ' Αἰγυπτίοις,
ἤτοι τὸ θέρος ἔληγεν, ἀρχὴ δ' ἦν φθινοπώρου·
ἡ Νείλου γὰρ ἀνάβασις ἐκ τέλους Ἰουλίου,
μέχρι τῆς συμπληρώσεως γίνεται Σεπτεμβρίου·
τῆ Νείλου τὴν ἀνάβασιν ταύτην δὲ νῦν σοὶ λέγει
εἶναι περὶ Αἰθίοπας τῆ Ποσειδῶνος δαῖτα·
ταύρους δὲ τέτου παρειμφρεῖ καὶ ἀρνειοὺς τὴν δαῖτα,
εἰς Ταῦρον ταυρωδέστερον τῶν ποταμῶν ἠχούντων·
ἑώους δὲ Αἰθίοπας καὶ ἑσπερίους λέγει·

Digitized by Google

οὐ πρὸς τὸ πᾶν οἰκήσιμον γῆς τέτρας πλάτος λέγων,
ἀλλὰ πρὸς τὸ Αἰγίπτιον μέρος καὶ τῆς Λιβύης·
οἱ μὲν γὰρ Αἰθιόπων γαρ εἰς ἕσπερα Λιβύης,
οἱ δ' ἐν Αἰγύπτῳ μέρεσι τυγχάνουσιν ἠῶοις·
παντὸς τοῦ κόσμου γὰρ Ἰνδοὶ τυγχάνουσιν ἠῶοι,
ἑσπέριοι δὲ Ἴβηρες, οὓς Ἱσπανοὺς καλοῦμεν·
οὕτω μὲν ἦν ἀνάβασις παρ' Αἴγυπτον τῷ Νείλῳ,
ἀπανταχῇ δ' ἐν οὐρανῷ στοιχείων εὐκρασία·
οἷκον καὶ μέγαρον Ζηνὸς, τὸν οὐρανὸν νῦν λέγει·
» Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε
Πρόσχες μὴ ἀπατήσῃ σε ὁ γέρων ὁ βαθύνους,
νῦν οὐ τὸν Δία οὐρανὸν θεῶν πατέρα λέγει,
θεῶν ὁμοῦ ἀνθρώπων τε, ἀλλὰ τὴν εἱμαρμένην,
ἣ περ ἅπαν εὐτύχημα καὶ πᾶσαν δυσκληρίαν,
οἷα πατὴρ ἀπογεννᾷ τοῖς σύμπασιν ἀνθρώποις,
σοφοῖς, ἀσόφοις, πένησιν, ἄρχουσι, βασιλεῦσιν·
ἡ ἥτις εἱμαρμένη μεν κατὰ Ἑλλήνων δόξαν
ἀνθρώπους τε παρήγαγεν ὁμοῦ καὶ τὰ στοιχεῖα·
εἰ μὴ γὰρ εἱμαρμένον ἦν, ἐκ ἂν ὑπέστη κόσμος,
πολλῷ δὲ μᾶλλον ἄνθρωποι· καὶ ποῦ γὰρ ἂν θεῖγον;
ἢ ὅτι οὔτε ἄνθρωπος, οὐτέ τι ἕτους μέρος,
ἢ εὐτυχὴς ἢ δυστυχὴς, ἢ εὔκρατον ἢ δύσπνουν
γένοιτο, ὥς περ λέγουσιν, εἰ μὴ προεκυρώθη·
οὕτω τὴν εἱμαρμένην νῦν ἐν τῷ παρόντι τόπῳ
ἀνθρώπων ἅμα καὶ θεῶν δεσπότης πατέρα λέγει,
καὶ Δία δὲ τὸν πλάνητα τὸν καλλίστην ἀστέρα
θεοὺς τοὺς ἄλλους πέντε δε, τὴν δ'' Αθηνᾶν σελήνην·
καὶ προσωποποιήσας δε καὶ λόγους θεὶς προσφόρους,
καὶ ἀπατήσας τοὺς παχεῖς πάνυ τῷ μύθῳ μόνῳ,
νοοῦντας Δία φλύαρον καὶ τ' ἄλλα παρομοίως·
τοὺς σοφωτέρους πάλιν δε τῷ γνώναι εἱμαρμένην,

Digitized by Google

Δία δοκοῦντας πλάνητα· τὴν δ' Ἀθηνᾶν σελήνην·
θεμάτιον νομίζοντας ἔχον καλῶς κειμένους
τὸν Δία καὶ σελήνην τε καὶ τοὺς λοιποὺς ἀστέρας,
τῶν ἄλλων πάντων πλέον δὲ τὸν Δία καὶ σελήνην,
οἷς περ καὶ λόγιοι οἶονται τὸν Ὅμηρον προσάψαι·
τῶν δ' αὐτῶν καὶ δι' Ἑρμοῦ, λέγω δὲ τοῦ ἀστέρος
ἅπαντα τὰ συνοίσοντα τῷ Ὀδυσσεῖ γενέσθαι·
οὕτως ὁ γέρων ἀπατᾷ τινὰς ὡς μηθογράφος,
τοὺς δὲ σοφοὺς ἠπάτησε δόξαντας εἱμαρμένην·
εἰ τέως τις ἐνόμισε νῦν εἱμαρμένην λέγειν
νοεῖν καὶ Δία πλάνητα, καὶ Ἀθηνᾶν σελήνην,
καὶ τὸν ἀστέρα τὸν Ἑρμῆν· τοῦτο δ' οὐχ οὕτως ἔχει·
ὀνόματος μετάβασις τὸ σχῆμα δὲ καλεῖται·
ᾧ νῦν ὁ γέρων κέχρηται δεινότητος μεθόδῳ·
πατὴρ ἀνδρῶν γὰρ καὶ θεῶν καὶ ὁ ἀὴρ καλεῖται,
ἡ εἱμαρμένη τε αὐτή, καὶ προλαβὼν εἰρήκειν,
καὶ νοῦς πατὴρ δὲ τῶν θεῶν καὶ τῶν ἀνδρῶν καλεῖται·
Ἐμπεδοκλῆς γὰρ Πλάτων τε καὶ ὁ Ἀναξαγόρας,
ἄλλοι τε πόσοι τῶν ἐκτὸς, νοῦν τὸν θεὸν καλοῦσιν·
οὗτος νῦν μεταβάσει δὲ ὡς ἔφην κεχρημένος,
ἀνδρῶν πατέρα καὶ θεῶν τὸν ἔννουν ὀνομάζει·
ὡς γὰρ ὁ ναῦς ὁ ὑπὲρ νοῦν ἐκόσμησε τὸν κόσμον,
οὕτω καὶ ἔννους ἄνθρωπος καὶ προορῶν τὸ μέλλον,
κόσμῳ καὶ τάξει καὶ ῥυθμῷ πάντα ποιεῖ προσφόρως·
ἐπεὶ γοῦν ἅπαντα λεπτῶς ἤδη σοι διηρθρώκειν,
ταυτὶ πάνυ σαφέστατα πραγματικῶς σοι λέξω·

Καιρὸς ἦν ἀναβάσεως παρ' Αἴγυπτον τῷ Νείλῳ,
ἤτοι τέλος τῷ θέρους μὲν, ἀρχὴ δὲ φθινοπώρου·
ὁ Μέντης δὲ ὁ Τάφιος ἔννους ἀνὴρ ὑπάρχων,
καὶ προορῶν τὰ μέλλοντα τῇ τῶν φρενῶν πυκνώσει,
καὶ ἐν τοῖς μάλιστα τελῶν τῶν φίλων Ὀδυσσέως,

Digitized by Google

τῷ τότε χρόνῳ σὺν πολλοῖς εὔφροσιν ἄλλοις φίλοις,
εἰς οἶκον οὗσι τὸν αὐτῆ θυσίαις τερπουμένοις,
ἐπιμνησθεὶς τῆς τελευτῆς Αἰγίσθε παρ' Ὀρέστε,
εἰς μέσον λόγους προὔθετο περὶ τῆς εἱμαρμένης,
λέγων εἰς μάτην ἄνθρωποι τὴν μοῖραν αἰτιῶνται·
οὐ πάντα γὰρ ἃ γίνεται εἰσὶν ἐξ εἱμαρμένης,
ἀλλὰ τὰ πλείω γίνεται κατὰ τὴν εἱμαρμένην·
πολλὰ καὶ κακοβούλως δε τῶν ἀπρεπῶν συμβαίνει
ὡς ὁ Αἰγίσθε θάνατος χερσὶ ταῖς Ὀρεστείας·
χρησμοῖς γὰρ προδεδήλωτο τὸ πρὶν ἐγγράφως τέτῳ,
ἢ τῇ γραφῇ κατὰ λεπτὸν ἐφερμηνεύσας ἅπαν,
οὕτως ἑρμήνευσε χρησμοῖς εἰργνύειν τὴν μοιχείαν,
οὕτως πεισθεὶς δὲ μαθαμῶς, ἀπέδωκε τὸ χρέος·
ἔτω τῇ Μέντου λέξαντος, ἔφασαν οἱ φρονῦντες,
οὓς Ἀθηνᾶν γλαυκώπιδα ὁ ποιητὴς νῦν λέγει·
ἡ Ἀθηνᾶ καὶ φρόνησις λευκῶς καὶ καθαρῶς γὰρ
τὰ πάντα βλέπει καὶ ὁρᾷ, βλέπει τῷ λογισμῷ δε·
τὶ, πρὸς τὸν Μέντην ἔφαν δὲ οἱ ἔμφρονες ἐκεῖνοι,
ὦ πάτερ βαθυνούστατε, ὑπέροχε ἀρχόντων,
ἢ καὶ σοφῶν ὑπέροχε προβλεπτικῇ καρδίᾳ,
πατὴρ, ὁ ἔννους γὰρ σοφῶν ὑπάρχει καὶ φρονίμων,
ὁ Αἴγισθος ἀξίως μεν ἀπώλετο μοιχεύων·
περὶ τῆ Ὀδυσσέως δε θλίψις ἡμῖν μεγίστη
ὃς ἐν τῇ νήσῳ Καλυψοῦς θεᾶς καὶ βασιλίδος
πάσχει πολλὰ καὶ δυσχερῆ μακρόθεν ὢν τῶν φίλων·
ἡ νῆσος αὕτη μέσον δὲ Ἀτλαντικῆ πελάγους,
ὥς πέρ τις ἔστιν ὀμφαλὸς, ὁ πέλαγος, ὁ Ἄτλας·
ὁ καὶ πατὴρ τῆς Καλυψοῦς, καὶ ἡ πατρὶς ἑκάστε·
ὁρίζων γῆς καὶ οὐρανοῦ καθέστηκε τερμάτων,
τὸν ὃν ὁρίζοντα καλεῖ κίονας μακροτάτας·
Ἄτλαντα δολόφρονα, τὸ πέλαγος ἐκεῖνο·

Digitized by Google

συνέκρινε πρὸς οὐρανὸν αὐτήν τε καὶ τὰ τέκνα·
ἀπένειμε τὸ κρεῖττον δὲ καὶ ἑαυτῇ καὶ τέκνοις,
λέγουσα τάδε πρὸς αὐτὴν καὶ συμβιβῶσα τύφῳ·
δύω φωστῆρας οὐρανὸς κέκτηται τοὺς μεγάλους·
ἐγὼ δὲ τόσους ζῶντας τε, λαλοῦντας. καὶ ἐμψύχους·
ἆρ' οὐχὶ κρείττων οὐρανοῦ τελῶ καὶ τοῦ αἰθέρος;
τοιαῦτα μὲν ἡ δυστυχὴς παισὶν ἁβρυνομένη,
ἀντιστρατεύεται δ' αὐτῇ τύχη τις παλαμναία·
αὐθημερὸν τε θνήσκουσι πάντα λοιμῷ τὰ τέκνα.
Ἀπόλλωνα καὶ Ἄρτεμιν ἔφαν δὲ τούτους κτεῖναι·
ἡλίῳ γὰρ ἀνάκεινται ταῦτα καὶ τῇ σελήνῃ·
ἐκ τοῦ θερμοῦ γὰρ καὶ ὑγροῦ γένονται τὰ λοιμώδη·
τὴν δὲ Νιόβην ἔφασαν ἐνδάκρυν λίθον εἶναι,
ὅτι παντὸς ἀναίσθητος τῷ πάθει γεγονυῖα,
πρὸς μόνον ἦν τὸ δάκρυον ἄγαν εὐαισθητοῦσα·
καὶ τοὺς ἀνθρώπους οὕτω μοι τότε νοήσεις λίθους
ἐκλιθωθέντας συμφορᾷ τῇ γενομένῃ τότε·
ὅτ' οὖν τῶν ἀπανθρώπων τε καὶ τῶν σκληρωκαρδίων,
μὴ συνδραμόντων πρὸς αὐτὴν, μὴ κηδευσάντων τούτους,
θεοὶ δὲ τούτους, βασιλεῖς ἔδαψαν τῇ δικάτῃ,
ἤγουν συνηκολούθησαν καὶ βασιλεῖς τῷ πάθει·
εἰ δ' ὡς σκληροὺς νοήσειας λίθους μοι τοὺς ἀνθρώπους,
θεοὺς τότε μοι νόησον ὑπάρχειν τὰ στοιχεῖα,
τοιουτοτρόπῳ θάψαντας τὰ τῆς Νιόβης τέκνα·
σεισμοὶ, βρονταὶ, καταῤῥαγαὶ χαλάζης γεγονυῖαι,
τοὺς ἀκαμπεῖς κατέπεισαν θάψαι τοὺς τεθνηκότας·
ὁ δὲ φασὶν ὡς λίθινος δακρύει τῇ Σιπύλῳ
τοιοῦτον εἶναι νόησον ὥς περ ἐγώ σοι φράσω,
λίθον ξεσθέντα τεχνικῶς ὥστε δοκεῖν δακρύειν·
θεοῖσιν νῦν τοῖς ἄστρασιν ὡμοίωτο τῇ θέᾳ·
θεοὶ τε καὶ ἀνέρες δε καθεύδοντες ἠρέμουν·

Digitized by Google

θεοὺς ἐνθάδε νόησον εἶναι μοι τὰ στοιχεῖα·
Ἑρμείας Ἐριούνιος ὁ εὐγενὴς ἐκεῖνος,
ὁ μεγαλωφελέστατος καὶ ἑρμηνεὺς Πριάμου,
ἢ ὁ τοῦ Νέστορος υἱὸς Ἀντίλοχος ἢ ἄλλος·
Ἑρμείας πρὸς τὸν Ὄλυμπον ὁ ἀρχικὸς ἐκεῖνος,
ἦλθε πρὸς ὕψος τὸ αὐτοῦ πάλιν ἐκ τῆς λατρείας,
τὴν ἣν ἐκὼν ἐλάτρευσε τῷ γέροντι Πριάμῳ.
ἐκέλη Ἀφροδίτη δε, ἴση ἐπιθυμίᾳ·
τῷ εἴκελος ὃν ἔκτεινεν Ἀπόλλων ἐκτοξεύσας,
ὅμοιος ὢν τοῖς θνήσκουσι θανάτῳ τῶν ὀξέων·
ἀλλὰ μὴ πολυχρόνιον νοσήσεσι τὴν νόσον,
ἔχεις τὸν ἆθλον ἅπαντα τοῦτον τῆς Ἰλιάδος,
ἐν τοῖς ἀλληγορήμασι τῷ Τζέτζῃ τελεσθέντα·
ἤδη δ' ἐπ' ἄλλον ἆθλον κράζει καιρὸς, ὡς κήρυξ·

Τέλος τῶν ἀλληγοριῶν τῆς Ὁμήρου Ἰλιάδος.

Digitized by Google

# ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ ΑΛΛΗΓΟΡΙΑΙ ΕΙΣ ΤΗΝ ΟΔΥΣΣΕΙΑΝ.

## (ΠΡΟΟΙΜΙΟΝ.)

Κύρος μὲν πρὶν τὸν ποταμὸν Γύνδην τῆς Βαβυλῶνος
ναυσίπλουν ὄντα, πνίξαντα λευκὸν ἵππον ἐκείνῳ,
τριακοσίας ὀργὰς ἐξηκοντάδος μέτα,
ἔνθα τὰς ὀγδοήκοντας καὶ ἑκατὸν ὀρύξας
ἐκ μέρους τῷ ἑτέρου δε πάλιν τὰς ἰσαρίθμους,
βατὸν ἐκεῖνον τέθεικε γραυσὶ καὶ βρεφυλλίοις·
ταῦτα μὲν Κύρος ὁ καλὸς τοῖς ἀνοτέρω χρόνοις·
κἀγὼ δὲ νῦν τὴν λιγυρὰν Ὁμήρου Καλλιόπην,
τὴν περιτράνως ἄδουσαν ἡρώων κατηλόγους·
τὰς Ἰλιάδος μάχας τε καὶ πόλεμον Ἑλλήνων,
ἔχουσας βάθος ἀχανὲς ἐν ταῖς ἀλληγορίαις,
οὐ κατὰ Γύνδην ποταμὸν, ὠκεανόν δε μέγαν,
ἐξ οὗ πᾶς λόγων ποταμὸς ῥεῖ, θάλασσα καὶ φρέαρ·
οὐχ' ἵππον πνίξαντα λευκὸν, μέλλοντα δ' ἀποπνίγειν
ἐπιθυμίας σκίρτημα, λαμπρῶς φημὶ πρὸς λόγους
τῆς Βασιλίδος τῆς ἐμῆς, ἣ γυναικῶν ἦν κόσμος,
κελεύσει ταύτης σεβασ-ῆ, καὶ δωρεαῖς ἀξίαις·
καὶ δὴ προσλιπαρήσεσι καὶ δώροις ἄλλοις φίλων,
ἔς-ι μὲν ὅπη γεφυρῶν κατὰ τὸν Μανδροκλέα,
ὃς ἀρχιτέκτων Σάμιος ἦν χρόνοις τῷ Δαρείῳ,
κατά τε Ἀπολλόδωρον τὸν Δαμασκόθεν λέγω,

Digitized by Google

ὅσπερ ὑπῆρχεν ἄνακτος Τραϊανῦ ἐν χρονοις·
ἕτω μὲν ὅπη γεφυρῶν κατὰ τὰς ἄνδρας τάτας,
πῇ δὲ χερσῶν τὸ πέλαγος κατὰ τὸν Δεξιφάνην,
ὃς χρόνοις Κλεοπάτρας ἦν, Κνίδον αὐχῶν πατρίδα·
ὅπη δ' ὡς ὁ Μιλήσιος Θαλῆς ἐκεῖνος γέρων,
τὸν Ἅλυν μὴ περάσαντα, πεπέρακε τὸν Κῦρον·
ἕτω κἀγὼ νῦν τεχνικῶς τὴν κοίτην μετατρέπων,
πῇ δὲ μυρίαις ὀρυγαῖς λεπτοτομῶν τὰ βάθη,
ἀβρόχως πᾶσι τέθηκα πάντας περᾶν εἰς χρόνους,
ἐν λέξει γράφων διαυγεῖ, γνωξῇ καὶ τοῖς τυχοῦσιν,
οὐχὶ καθάπερ ἡ Δημώ, μιμὼ δὲ τοῖς φρονοῦσι,
γύναιον κομπολάκυθον ψευδυψηγορογράφον,
μηδὲν δὲ πρὸς τὸν Ὅμηρον τῶν συντελούντων λέγον·
ἔχεις Δημοῦς τὸ σύγγραμμα καὶ τὸ τοῦ Ἡρακλείτου,
Κυρνοῦτον καὶ Παλαίφατον, καὶ τὸν Ψελλὸν σὺν τούτοις,
καὶ εἴ τις ἄλλος λέγεται γράψας ἀλληγορίας
ἀνερευνήσας εὗρισκε, καὶ τὰ τοῦ Τζέτζου βλέπε·
εἴ τ' ἔν τοῖς πᾶσι ζηλωτὴς καθέζηκεν Ὁμήρου,
κἂν τοῖς σαφέσι καὶ ληπτοῖς, καὶ παιγνιωδεξέροις,
καὶ τοῖς ἀποκαθάρμασι τοῦ λόγου τῆς οἰκίας·
ὥσπερ ἐκεῖνος καὶ αὐτὸς ὄλβον διδοὺς εὑρίσκειν
μαργάρων, λίθων τιμαλφῶν, ἄλλων περπνῶν παντοίων·
ἢ ὡς πολλοὶ τῶν νέων τε καὶ τῶν παλαιοτέρων
σφῶν τοῖς δοκοῦσι θησαυροῖς, τοῖς διηρμένοις λόγοις,
οἷαπερ τύμβοι φέρουσι σαπρίαν τε καὶ κόνιν·
ἕτω τὴν Ἰλιάδα μὲν, σύμπασαν Καλλιόπην,
λόγοις ἠλληγορήσαμεν εὐλήπτοις, σαφεστάτοις,
καὶ συντελοῦσι πρὸς αὐτὴν τὴν γυγγραφὴν Ὁμήρου,
ἀλλ' ὁ κατά τινας αὐτῶν ψευδυψηγόροις λόγοις·
εἴ τ' ἔν σκιαῖς πλὴν ἀμυδραῖς καὶ μερικαῖς δὲ πλέον,
οὐδὲ θεὸς τὰ Χερουβὶμ καὶ Σεραφὶμ καλοῦντες,



Digitized by Google

ἕτως ἠλλ:ηγορήσαμεν ἤδη τὴν Ἰλιάδα·
νῦν δὲ πρὸς τὸν πολύτροπον ἄνδρα μεταβατέον,
καὶ ἀλληγορητέον δε πᾶσαν ἀλληγορίαν,
ὅσην ἡ βίβλος κέκτηται τότε τῶν πλανημάτων.

## ΥΠΟΘΕΣΙΣ ΕΝ ΒΡΑΧΗι ΤΗΣ ΟΛΗΣ ΟΔΥΣΣΕΙΑΣ.

Μετὰ τῆς Τροίας πόρθησιν τὸ στράτευμα Ἑλλήνων,
διαλαχόντες λάφυρα καὶ τὰς θορυαλώτας,
πρὸς τὰς πατρίδας πλέοντες, ἀνέμων τῶν δυσπλόων,
ἄλλος ἄλλῃ ἐξώσθησαν· οἱ δὲ μετ' Ὀδυσσέως,
πρῶτα περὶ Μαρώνειαν, τὴν Ἴσμαρον Ὁμήρῳ,
μάχῃ νικῶσι Κίκωνας· ἔπειτα δ' ἡττημένοι,
φεύγουσι πρὸς τὸ πέλαγος· Βορέαις δ' ἁρπαγμένοι
πρῶτα καταίρουσι εἰς γῆν ἀνδρῶν τῶν Λωτοφάγων·
εἶτα πρὸς νῆσον Κύκλωπος, ἔπειτα πρὸς Αἰόλου·
ἐξῆς εἰς Λαιστρυγόνας δε· αὖθις ὡς πρὸς τὴν Κίρκην·
εἰς Ἅιδην μετὰ Κίρκην δε πάλιν πρὸς τὰς Σειρῆνας·
μικρῷ πρὸς πέτρας τὰς πλαγκτὰς, καὶ Χάρυβδιν καὶ Σκύλλαν·
μετέπειτα πρὸς νῆσον δε τὴν τῶν βοῶν ἡλίου·
μετὰ βραχὺ τῆς νήσου δε ταύτης ἀποπλεόντων,
ἡ ναῦς ἐβλήθη κεραυνῷ καὶ φλέγονται μὲν πάντες·
σώζεται μόνος δ' Ὀδυσσεὺς εἰς Καλυψῶς τὴν νῆσον·
ἐκεῖθεν δὲ πρὸς Φαίακας, ἐκ τούτων δ' εἰς Ἰθάκην,
ἔ πάντας, ἄγνωστος ἐλθὼν, ἀνῆλε τοὺς μνηστῆρας·
καὶ αὕτη μὲν ὑπόθεσις πάσης τῆς Ὀδυσσείας.

Digitized by Google

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ Α. ΑΕ ΜΟΝΗΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ

Ἑρμῆς βουλαῖς ταῖς τῶν θεῶν τῆς Καλυψοῦς εἰς νῆσον
ἐλθὼν, ἐκείνην ἔπεισε στεῖλαι τὸν Ὀδυσσέα·
ἡ Ἀθηνᾶ Ταφίῳ δὲ ὁμοιωθεῖσα Μέντῃ
ἦλθε πρὸς τὸν Τηλέμαχον εἰς τὴν Ἰθάκην νῆσον·
τότε τοῖς τούτου δώμασι τρυφώντων τῶν μνηστήρων,
ὃν τοῦ πατρὸς πρὸς ζήτησιν λέγει παραγενέσθαι,
εἰς Πύλον μὲν πρὸς Νέστορα, πρὸς δὲ τὴν Σπάρτην αὖθις
εἰς τὸν Μενέλαον αὐτὸν ὑστέρως ἀφιγμένον·
ταῦτα εἰποῦσα ὡς θεὸς ἀπέδραμεν εὐθέως·
ἤδη τὰ τοῦ κειμένου μοι λοιπὸν ἀναπτυκτέων
ὁπόσα τέως δέονται τινὸς ἀλληγορίας.

Ἄνδρα, τὸν ἄνθρωπον φησὶ νῦν· μοῦσα δὲ, τὴν γνῶσιν·
βόες ἡλίου τίνες δὲ, οἱ ἀροτῆρες βόες,
ὡς ἐργαζόμενοι τὴν γῆν καὶ τρέφοντες ἀνθρώπους,
καὶ βλέπειν παρεχόμενοι ζῶντας τὸ φῶς ἡλίου,
καὶ μὴ θανεῖν ἐκ τῆς λιμοῦ καὶ κατελθεῖν εἰς ᾅδου·
πῶς δὲ ὁ ἥλιος αὐτοῖς ἀφείλετο τὸν νόστον,
ἄκουσον βραχυτάτοις νῦν· μάθοις δ' οὐ χρὴ πλατέως.

Τοῖς πρὶν ἀνθρώποις ἀσεβὲς ἐσθίειν βοῦν ἐργάτην·
ἐπεὶ δὲ βίᾳ τῆς λιμοῦ, οἱ Ὀδυσσέως φίλοι
ἐργάτας βόας σφάξαντες ἐδαίσαντο τὰς σάρκας,
συνέβη τούτοις δὲ θανεῖν σκηπτοῖς καὶ ναυαγίᾳ,
ἅτε ἡλίου σφῶν ζωῆς καὶ χρόνου πληρωθέντος·
Ὅμηρος ὢν δεινότατος ἀνθρώπων νουθεσίας,
πάντας ἀνθρώπους νουθετεῖ τοῖς πταίσμασιν ἐκείνων
μηδέν τι δρᾶν παράνομον βλέποντας πρὸς ἐκείνους·
καὶ γὰρ παρανομίσασιν ἐκείνοις εἰς τὰς βόας,
ἐν ναυαγίᾳ τῇ δεινῇ, καὶ τοῖς σκηπτοῖς οἷς ἔφην,

Digitized by Google

ἥλιον λέγει τῆς ζωῆς πικρῶς ἐκπληρωθῆναι·
καὶ πάλιν περὶ τούτου δὲ τοῖς ἔμπροσθεν μαθήσῃ,
ὅπερ καὶ ὁ Ὅμηρος πρὸς πλάτος ταῦτα γράφει,
ἀμέθεν ὀθενδήποτε τῶν Ἀττικῶν τῷ τρόπῳ.

Θεὰ, γνῶσις καὶ φρόνησις Διὸς, νοὸς θυγάτηρ
Νύμφην δὲ λέγουσι θεὰν, ἄνασσαν νησιῶτιν.
Θεοὶ οἱ ἐπικλώσαντες, ἀστέρες, εἱμαρμένη·
θεοὶ πάντες ἐλέαιρον νόσφι τῆ Ποσειδῶνος,
στοιχεῖα καὶ ἀστέρες δε, ἐξ ὧν τὰ εἱμαρμένα,
εἴ τε καλὸν κατάστημα ὑπῆρχεν εὐκαιρίας·
καὶ οἱ ἀστέρες δὲ αὐτοῦ χρηστοὶ τῆς εἱμαρμένοις,
θάνατον οὐκ ἐμφαίνοντες· ἡ θάλασσα δὲ μόνη,
καὶ τὰ μακρὰ πελάγη δε καὶ νῆες μὴ παροῦσαι,
κώλυμα ἦσαν Ὀδυσσεῖ νοστεῖσαι τῇ πατρίδι·

» Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας·
Τὶς ἡ παρὰ Αἰθίοπας δαὶς ἡ τῆ Ποσειδῶνος,
καὶ τὶς δὲ Ζεὺς καὶ μέγαρον τούτου καὶ οἱ θεοί δε,
καὶ τίνες λόγοι οἱ Διὸς, καὶ τὶς ἡ Ἀθηνᾶ δέ,
ἡ ἀποκρίνεται Διὶ ἀντιτιθεῖσα λόγους,
τὶς ὁ Ἑρμῆς καὶ ὁ σταλεὶς εἰς Καλυψοῦς τὴν νῆσον,
καὶ πῶς αὐτὴ πορεύεται πάλιν πρὸς τὴν Ἰθάκην,
καὶ τ' ἄλλα πάντα μάνθανε λεπτῶς ἠκριβομένως·

Καιρὸς ἦν ἀναβάσεως Νείλω παρ' Αἰγυπτίοις,
ἤτοι τὸ θέρος ἔληγεν, ἀρχὴ δ' ἦν φθινοπώρου·
ἡ Νείλου γὰρ ἀνάβασις ἐκ τέλους Ἰουλίου,
μέχρι τῆς συμπληρώσεως γίνεται Σεπτεμβρίου·
τῆ Νείλου τὴν ἀνάβασιν ταύτην δὲ νῦν σοὶ λέγει
εἶναι περὶ Αἰθίοπας τῆ Ποσειδῶνος δαῖτα·
ταύρους δὲ τέτου παρεισφρεῖ καὶ ἀρνειοὺς τὴν δαῖτα,
εἰς Ταῦρον ταυρωδέστερον τῶν ποταμῶν ἠχούντων·
ἑώους δὲ Αἰθίοπας καὶ ἑσπερίους λέγει·

Digitized by Google

οὐ πρὸς τὸ πᾶν οἰκήσιμον γῆς τέτρας πλάτος λέγων,
ἀλλὰ πρὸς τὸ Αἰγίπτιον μέρος καὶ τῆς Λιβύης·
οἱ μὲν γὰρ Αἰθιόπων εἰς ἕσπερα Λιβύης,
οἱ δ' ἐν Αἰγύπτου μέρεσι τυγχάνουσιν ἠῶοις·
παντὸς τοῦ κόσμου γὰρ Ἰνδοὶ τυγχάνουσιν ἠῶοι,
ἑσπέριοι δὲ Ἴβηρες, οὓς Ἱσπανοὺς καλοῦμεν·
οὕτω μὲν ἦν ἀνάβασις παρ' Αἴγυπτον τῷ Νείλῳ,
ἀπανταχῇ δ' ἐν οὐρανῷ στοιχείων εὐκρασία·
οἶκον καὶ μέγαρον Διός, τὸν οὐρανὸν νῦν λέγει·
» Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε
Πρόσχες μὴ ἀπατήσῃ σε ὁ γέρων ὁ βαθύνους,
νῦν οὐ τὸν Δία οὐρανὸν θεῶν πατέρα λέγει,
θεῶν ὁμοῦ ἀνθρώπων τε, ἀλλὰ τὴν εἱμαρμένην,
ἥ περ ἅπαν εὐτύχημα καὶ πᾶσαν δυσκληρίαν,
οἷα πατὴρ ἀποσεννᾷ τοῖς σύμπασιν ἀνθρώποις,
σοφοῖς, ἀσόφοις, πένησιν, ἄρχουσι, βασιλεῦσιν·
ἡ ἥτις εἱμαρμένη μὲν κατὰ Ἑλλήνων δόξαν
ἀνθρώπους τε παρήγαγεν ὁμοῦ καὶ τὰ στοιχεῖα·
εἰ μὴ γὰρ εἱμαρμένον ἦν, ἐκ ἂν ὑπέστη κόσμος,
πολλῷ δὲ μᾶλλον ἄνθρωποι· καὶ ποῦ γὰρ ἂν δεῆγον;
ἢ ὅτι οὔτε ἄνθρωπος, οὐτέ τι ἔτους μέρος,
ἢ εὐτυχὴς ἢ δυστυχὴς, ἢ εὔκρατον ἢ δύσπνουν
γένοιτο, ὥς περ λέγουσιν, εἰ μὴ προεκυρώθη·
οὕτω τὴν εἱμαρμένην νῦν ἐν τῷ παρόντι τόπῳ
ἀνθρώπων ἅμα καὶ θεῶν δεικνὺς πατέρα λέγειν,
καὶ Δία δὲ τὸν πλάνητα τὸν καλλιστέρας
θεοὺς τοὺς ἄλλους πέντε δε, τὴν δ'' Αθηνᾶν σελήνην·
καὶ προσωποποιήσας δε καὶ λόγους θεὶς προσφόρους,
καὶ ἀπατήσας τοὺς παχεῖς πάνυ τῷ μύθῳ μόνῳ,
νοεῖντας Δία φλύαρον καὶ τ' ἄλλα παρομοίως·
τοὺς σοφωτέρους πάλιν δε τῷ γνῶναι εἱμαρμένην,

Digitized by Google

Δία δοκοῦντας πλάνητα· τὴν δ' Ἀθηνᾶν σελήνην·
θεμάτιον νομίζοντας ἔχον καλῶς κειμένους
τὸν Δία καὶ σελήνην τε καὶ τοὺς λοιποὺς ἀ⸗έρας,
τῶν ἄλλων πάντων πλέον δε τὸν Δία καὶ σελήνην,
οἷς παρ καὶ λόγοις οἴονται τὸν Ὅμηρον προσάψαι·
τῶν δ' αὐτῶν καὶ δι' Ἑρμοῦ, λέγω δὲ τοῦ ἀ⸗έρος
ἅπαντα τὰ συνοίσοντα τῷ Ὀδυσσεῖ γενέσθαι·
οὕτως ὁ γέρων ἀπατᾷ τινὰς ὡς μηθογράφος,
τοὺς δὲ σοφοὺς ἡπάτησε δόξαντας εἱμαρμένην·
εἰ τέως τὶς ἐνόμισε νῦν εἱμαρμένην λέγειν
νοεῖν καὶ Δία πλάνητα, καὶ Ἀθηνᾶν σελήνην,
καὶ τὸν ἀ⸗έρα τὸν Ἑρμῆν· τοῦτο δ' οὐχ οὕτως ἔχει·
ὀνόματος μετάβασις τὸ σχῆμα δὲ καλεῖται·
ᾧ νῦν ὁ γέρων κέχρηται δεινότητος μεθόδῳ·
πατὴρ ἀνδρῶν γὰρ καὶ θεῶν καὶ ὁ ἀὴρ καλεῖται,
ἡ εἱμαρμένη τε αὐτὴ, καὶ προλαβὼν εἰρήκειν,
καὶ νοῦς πατὴρ δὲ τῶν θεῶν καὶ τῶν ἀνδρῶν καλεῖται·
Ἐμπεδοκλῆς γὰρ Πλάτων τε καὶ ὁ Ἀναξαγόρας,
ἄλλοι τε πόσοι τῶν ἐκτὸς, νοῦν τὸν θεὸν παλαιὸν·
οὗτος νῦν μεταβάσει δε ὡς ἔφην κεχρημένος,
ἀνδρῶν πατέρα καὶ θεῶν τὸν ἔννουν ὀνομάζει·
ὡς γὰρ ὁ ναῦς ὁ ὑπὲρ νοῦν ἐκόσμησε τὸν κόσμον,
οὕτω καὶ ἔννους ἄνθρωπος καὶ προορῶν τὸ μέλλον,
κόσμῳ καὶ τάξει καὶ ῥυθμῷ πάντα ποιεῖ προσφόρως·
ἐπεὶ γοῦν ἅπαντα λεπτῶς ἤδη σοι διηθρώκειν,
ταυῦν πάνυ σαφέ⸗στατα πραγματικῶς σοι λέξω·
Καιρὸς ἦν ἀναβάσεως παρ' Αἴγυπτον τῷ Νείλῳ,
ἦτοι τέλος τῷ θέρους μεν, ἀρχὴ δὲ φθινοπώρου·
ὁ Μέντης δὲ ὁ Τάφιος ἔμπορος ἀνὴρ ὑπάρχων,
καὶ προορῶν τὰ μέλλοντα τῇ τῶν φρενῶν πυκνώσει,
καὶ ἐν τοῖς μάλι⸗στα τελῶν τῶν φίλων Ὀδυσσέως,

Digitized by Google

τῷ τότε χρόνῳ σὺν πολλοῖς εὔφροσιν ἄλλοις φίλοις,
εἰς οἶκον οὗσι τὸν αὐτῆ θυσίαις τερπουμένοις,
ἐπιμνησθεὶς τῆς τελευτῆς Αἰγίσθ παρ' Ὀρέσ-ε,
εἰς μέσον λόγους προὔθετο περὶ τῆς εἱμαρμένης,
λέγων εἰς μάτην ἄνθρωποι τὴν μοῖραν αἰτιῶνται·
οὐ πάντα γὰρ ἃ γίνεται εἰσὶν ἐξ εἱμαρμένης,
ἀλλὰ τὰ πλείω γίνεται κατὰ τὴν εἱμαρμένην·
πολλὰ καὶ κακοβούλως δε τῶν ἀπρεπῶν συμβαίνει
ὡς ὁ Αἰγίσθ θάνατος χερσὶ ταῖς Ὀρες-είας·
χρησμοῖς γὰρ προδεδήλωτο τὸ πρὶν ἐγγράφως τέτῳ,
ἢ τῇ γραφῇ κατὰ λεπτὸν ἑφερμηνεύσας ἅπαν,
οὕτως ἑρμήνευσε χρησμοῖς εἰργνύειν τὴν μοιχείαν,
οὕτως πεισθεὶς δὲ μαθαμιῶς, ἀπέδωκε τὸ χρέος·
ἔτω τῆ Μέντου λέξαντος, ἔφασαν οἱ φρονῦντες,
οὓς Ἀθηνᾶν γλαυκώπιδα ὁ ποιητὴς νῦν λέγει·
ἡ Ἀθηνᾶ καὶ φρόνησις λευκῶς καὶ καθαρῶς γὰρ
τὰ πάντα βλέπει καὶ ὁρᾷ, βλέπει τῷ λογισμῷ δε·
τὶ, πρὸς τὸν Μέντην ἔφαν δὲ οἱ ἔμφρονες ἐκεῖνοι,
ὦ πάτερ βαθυνούς-ατε, ὑπέροχε ἀρχόντων,
ἢ καὶ σοφῶν ὑπέροχε προβλεπτικῆ καρδίᾳ,
πατὴρ, ὁ ἔννους γὰρ σοφῶν ὑπάρχει καὶ φρονίμων,
ὁ Αἴγισθος ἀξίως μεν ἀπώλετο μοιχεύων·
περὶ τῆ Ὀδυσσέως δε ὄλίψις ἡμῖν μεγίς-η
ὃς ἐν τῇ νήσῳ Καλυψοῦς θεᾶς καὶ βασιλίδος
πάσχει πολλὰ καὶ δυσχερῆ μακρόθεν ὢν τῶν φίλων·
ἡ νῆσος αὕτη μέσον δὲ Ἀτλαντικῆ πελάγους,
ὡς πέρ τις ἔς-ιν ὀμφαλὸς, ὁ πέλαγος, ὁ Ἄτλας·
ὃ καὶ πατὴρ τῆς Καλυψοῦς, καὶ ἡ πατρὶς ἑκάς-ε·
ὁρίζων γῆς καὶ οὐρανοῦ καθές-ηκε τερμάτων,
τὸν ὃν ὁρίζοντα καλεῖ κίονας μακροτάτας·
Ἄτλαντα δολόφρονα, τὸ πέλαγος ἐκεῖνο·

Digitized by Google

ὡς χαλεπὸν καὶ ἄγριον καὶ δυσχερὲς εἰς πλόον·
οὕτως ὦ Μέντη ἔλεξαν· ὁ Ὀδυσσεὺς κρατεῖται
ἐν τῷ πελάγει τῷ δεινῷ, ἠκούετο γὰρ τῆτο·
σὺ δὲ ὦ Ζεῦ ἀλύμπιε, σοφὲ ἀς-εροσκόπε,
οὐχὶ φροντίζεις, σὺχ' ὁρᾷς, περὶ τῦ Ὀδυσσέως·
χρησμοῖς τε καὶ μαντεύμασι, καὶ λέγεις ὁ πρακτέον,
ἐπίληθος τῶν τούτου δε χαρίτων ἐγεγόνεις,
ἢ, ὧν ἐν Τροίᾳ ἔδρα σοὶ εἰ Μέντης ἦν ς-ρατεύσας,
εἴ περ δ' οὐ συνες-ράτευσας Ἕλλησι πρὸς τὴν Τροίαν,
ὧν ἐν τῆς Τροίας ἔς-ελλε σὴν ὡς τιμῶν φελίαν·
ὦ Ζεῦ σὺ νοῦ καὶ φρόνιμε, τί οἱ ἐργίσθης τόσον;
» Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγε ρέτα Ζεύς.
Πρὸς τέτους ἀπεκρίνατο Μέντης δὲ ὁ βαθύνους·
ἐμὰ τέκνα καὶ παῖδες μοι τίνας φατὲ τεὺς λόγους;
πῶς ἂν ἐπίληθος ἐγὼ γενοίμην Ὀδυσσέως,
τῦ συνετῦ καὶ σώφρονος καὶ ἀρετῶν κανόνος,
καὶ πάσαις ἄλλαις χάρισι τῶν ἀρετῶν κομῶντος;
ἃ νῦν καὶ ἐρανίωνας θεὺς κατονομάζει·
ὡς ἐρανῦ τῇ κεφαλῇ τῦ λογισμῦ κειμένυ,
κἂν ἄλλοι δογματίζουσιν ἐν τῇ καρδίᾳ κεῖσθαι,
πῶς οὖν, φησὶν, ἐπίληθος γενοίμην Ὀδυσσέως;
» Ἀλλὰ Ποσειδάων γαήοχος ἀσκελὲς αἰεὶ
» Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμῦ ἀλάωσεν.
Ἐγὼ μὲν οὐκ ἐπίληθος τελῶ τῦ Ὀδυσσέως·
ἐκ μαντειῶν εὑρίσκω δε κρατούμενον πελάγει,
καὶ ἐξ ἀφανουμένου δε τῆτο τινῶν μανθάνω
διὰ τὸ, πλοῖα τὲ αὐτὸν τὸ σύνολον μὴ ἔχειν·
κἂν εὕρῃ δὲ, πτοσύμενον τὸν Κύκλωπα ἐκπλέειν·
ἀνθ' οὗ τὴν Ἔλπην ἥρπασεν ἐκείνου θυγατέρα·
ἣν ὀφθαλμὸν τῦ Κύκλωπος ἐκβεβλημένον λέγει,
κἂν ταύτην πάλιν ἔλαβον περίλαι ς-ρυγονίαν,

Digitized by Google

τῆ 'Οδυσσέως κτείναντες πάντας σχεδὸν ἑταίρους,
τῆ 'Οδυσσέως σὺν μοίρᾳ μόλις νηὶ φυγέντος·
ὡς ὅπη χρὴ πλατύτερον λέξαι μὲν περὶ τούτων,
οὕτως ἐν τῇ θαλάσσῃ μὲν κατέχεται ὡς ἔφην
τῷ φόβῳ τῷ τῆ Κύκλωπος ἡ Θόωσα, ὃν τίκτει·
θυγάτηρ μὲν τῆ Φόρκυνος μιγεῖσα Ποσειδῶνι·
ὁ Φόρκυς δὲ καὶ Ποσειδῶν ἡ θάλασσα τυγχάνει·
παῖδα θαλάσσης ταύτην δὲ φησὶ καὶ νησιῶτιν·
πάλιν τὸν Κύκλωπα υἱὸν τῆ Ποσειδῶνος λέγει,
ὡς ἄγαν ἀγριώτατον ὄντα καὶ θηριώδη·
οὕτως ἐκεῖσε 'Οδυσσεὺς κατέχεται ὡς εἶπον
καὶ βραδυνεῖ δὲ πρὸς καιρόν· θαλάσσῃ δ' οὐ βαλεῖται·
ὥς περ ἐφεῦρον τεχνικῶς χρησμοῖς ἀρομαντείας·
καὶ συμβουλαῖς εἰ βούλεσθε σκοπῶμεν ὅπως ἔλθοι,
οὐκ ἀποπνέξαι γὰρ αὐτὸν θάλασσα δυνηθείη,
θεοὺς ἀστέρας ἀγαθοὺς ἔχοντα γενεθλίους·
οἱ δὲ φασίν· εἰ πέπρωται ἄστρασι γενεθλίοις
τὸν 'Οδυσσέα πρὸς αὐτοῦ τὸν οἶκον ὑποστρέψαι,
γράμματα δοίη μὲν τισὶν ἀνθρώποις τῶν ἐμπόρων·
οὓς νῦν Ἑρμῆν διάκτορον καὶ 'Αργειφόντην λέγει,
ἀποκομίσαι Καλυψοῖ δηλοῦντα πέμψειν ταῦτον,
ἔχοντα σύζυγον, υἱὸν, πατέρα τε καὶ φίλους·
Νῦν Ἀθηνᾶν γλαυκώπιδα νόει μοι τὸν ἀςέρα· ἡ γὰρ φωνή τε καὶ ὀρθρῶς ἀήρ τε πεπληγμένος, οἷς Ὀδυσσεὺς ἐξυπνισθεὶς εἶδε τὴν Ναυσικάαν, καὶ δι' αὐτὴν τετύχηκε ταύτης πατρὶ καὶ νόςῳ· θεοειδῆ, νῦν νόον μοι τὸν δίκαιον νῦν νόει· τὸ δίκαιον δυνάμεως δε ψυχικῆς τυγχάνει· τῇ Ναυσικάᾳ θάρσος δὲ ἐνῆκεν ἡ Ἀθήνη· ἦγουν ἡ φρόνησις αὐτῆς· ἦν γὰρ φρονιμωτάτη· τὸ δὲ θεὸς νυκτός ἐςι φάνταςμα ἡ σελήνη· δαίμων, ἡ εἱμαρμένη δὲ τῷ ἕπει τῷ ἐνθάδε· θεοὶ, τελέθουσι δὲ νῦν ςοιχεῖα, εἱμαρμένη· ἦγουν τὸ μέγα πέλαγος κατὰ τῆς εἱμαρμένης· σοὶ δὲ θεὸς τόσα δοῖεν, αὐτὴ ἡ εἱμαρμένη· καὶ Ζεὺς δὲ ὁ Ὀλύμπιος, αὐτὴ ἡ εἱμαρμένη·

Digitized by Google

φίλοι γὰρ ἀθανάτοισιν, αὐτῇ τῇ εἱμαρμένῃ·
εἴτ' ἂν περιφρυάμεθα ϛοιχείῳ τῇ θαλάσσῃ,
ἤ ὅτι πάνυ σέβομεν τὰ δίκαια καὶ θεῖα·
πρὸς γὰρ Διὸς οἱ ξύμπαντες, ξεῖνοι πτωχοὶ τελεῦσι,
ξένοι πτωχοί τε γίνονται· καὶ γὰρ ἐξ εἱμαρμένης.
» Τὸν μὲν Ἀθηναίη θῆκε Διὸς ἐκγεγαυῖα,
» μείζονά τ' εἰσθέειν καὶ πάσσονα· κάδδε κάρητος,
» οὐλας ἧκε κόμας ὑακίνθῳ ἄνθει ὁμοίας.
Νῦν Ἀθηναίην λέγει σοι Διὸς ἐκγεγαυῖαν·
αὐτὸ κατὰ μετάληψιν τὸ δένδρον τῆς ἐλαίας·
πάντα τὰ δένδρα γὰρ ὁ Ζεὺς, ἤγουν ἀὴρ, ἐκτρέφει·
μᾶλλον (ἄλλε) τὸ δένδρε πλὴν τὸ ἔλαιόν σοι λέγει·
ὡς οἶνον καὶ τὴν ἄμπελον Διόνυσον καλοῦμεν·
τοῦτο γὰρ λέγει προφανῶς τοῖς ἔπεσιν οἷς γράφει,
ὅτι λουθεὶς ὁ Ὀδυσσεὺς, καὶ ἐκχρισθεὶς ἐλαίῳ·
οὕτω γὰρ ἦν τὸ παρ' ἡμᾶς σύνθετον τοῦτο σμίσγαι·
καὶ μείζων καὶ παχύτερος ἐφάνη καὶ εὐκόμης,
ἡ θάλασσα ξηραίνει γαρ καὶ ἡ ταλαιπωρία·
τὸ δὲ θερμὸν ἂν καὶ γλυκὺ περιχυθὲν ὑγραίνει,
καὶ ἀραιοῖ τὰς πόρους δε, τὰς πόρους τὰς ἀδήλους,
μείζονα καὶ παχύτερα τὰ σώματα δεικνύει·
σύλίζει καὶ τὰς τρίχας δε, καὶ χρίσις ἡ ἐλαίου·
τὰς πόρους παρεμρφάττουσα ταύτης παχυμερεία,
καὶ συντηροῦσα τὸ ὑγρὸν ἔντωσθεν τῶν σωμάτων·
μείζω τε καὶ παχύτερα, καὶ τὸ θερμὸν δεικνύει,
καὶ μαλακὰ δὲ καὶ ϛιλπνά· τρέφει δὲ καὶ τὰς κόμας·
» Ἴδρις, ὃν Ἥφαιϛος δέδωκε, καὶ Παλλὰς Ἀθήνη.
Ἥφαιϛος νῦν τὸ πῦρ ἐστιν· ἡ φρόνησις Ἀθήνη·
οὐ τῶν θεῶν ἀέκητι, ἀστέρων, εἱμαρμένης·
ἤγουν οὐ μοίρας ἀγαθῆς ἄνευθεν ἦλθε τῇδε·
ἀντίθεοι, ἰσόμενοι τῇ ψυχαῖῃ δυνάμει·

Digitized by Google

δίκαιοι καὶ φιλόξενοι καὶ ἕτερα ἐν ἄλλοις·
νῦν δὲ θεοῖσιν ἔοικας, ἄστρασιν οὐρανίοις·
» Ἤ τις οἵ εὐξαμένῃ πολυάρητος θεὸς ἦλθεν,
» οὐρανόθεν καταβάς, ἕξει δέ μιν ἤματα πάντα
Θεὸς νῦν βασιλεύς ἐστι· τὸ δ' οὐρανόθεν λέγει,
ἐξ οὐρανίας ἐπελθὼν μοῖρας καὶ εἱμαρμένης.
» Δήμεν ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου·
Ἀθήνης τε φρονήσεως νῦν δὲ, οὐ τῦ ἀέρος·
οἱ παλαιοὶ γὰρ ὡς θεοὺς ἐτίμων τὰ στοιχεῖα
καὶ τοὺς ἀστέρας δὲ αὐτὲς, αὐτὴν τὴν εἱμαρμένην
σοφοὺς ὁμῦ καὶ βασιλεῖς καὶ ψυχικὰς δυνάμεις·
ταῦτα ἐτίμων ἄλσεσι καὶ ἐν βωμοῖς, ναοῖς τε·
ἀλλ' ἰατέον τὰ λοιπὰ, τὰ ψυχικὰ λεκτέον·
Ἄρεος μὲν καὶ τῦ θυμοῦ νεώς τε καὶ εἰκόνας,
ἐν τοῖς ἀγροῖς καὶ πόρρωθεν ἔξω τῶν παλισμάτων·
τῆς δ' Ἀθηνᾶς, φρονήσεως, ἀγάλματα ἐποίουν,
ἔγγιστα τείχους πόλεως· πρὸ τῶν πυλῶν δε πλέον
διὸ καὶ κατωνόμαζον ἐκείνην πολιάδα·
ταυτὶ δ' ὑπῆρχε σύμβολα μονονουχὶ βοῶντα,
πρὸς τὲς ἐκτὸς καὶ πόρρωθεν μάχας συνάπτειν δέον,
πρὸς τὴν ἐντὸς δὲ φρόνησιν ἀσκεῖν καὶ εὐβουλίαν·
» Κλῦθί μευ, Αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη·
τέκος νοὸς Διός ἐστιν ἡ φρόνησις Ἀθήνη·
ἡ Ἀτρυτώνη φρόνησις ὡς μὴ δαμαζομένη·
ὅθεν καὶ ἄφθορον αὐτὴν φασί τε καὶ παρθένον·
ὁ Ζεὺς δὲ νοῦς Αἰγίοχος, οὕτως ἐκλίθη πάλιν,
ὁ κατατγίσι λογισμῶν κλονῶν τοὺς ἐναντίους·
ἢ ὁ ἀκαταπόνητος καὶ συγκεκαλυμμένος,
ὡς περ ἐν κατατγίσι τὶς καὶ γνόφῳ καὶ συέλλῃ,
ἡ Ἀθηνᾶ δ' ἐκ ἤκουσε κινδύνοις Ὀδυσσέως
(ἐστὶ) βελὴ γὰρ ἄπρακτος πρὸς κλύμενον θαλάσσης·

Digitized by Google

» Ὡς ἔφατ' εὐχόμενος, τῷ δ' ἄκλυε Παλλὰς Ἀθήνη·
» αὐτῷ δ' οὔπω φαίνετ' ἐναντίον· ἄζετο γάρ ῥα
» πατρὸς κασίγνητον· ὃ δ' ἐπιζαφελῶς μενέαινεν·
» ἀντιθέῳ Ὀδυσσῆϊ πάρος ἦν γαῖαν ἱκέσθαι·
Τῷ Ὀδυσσέως ἤκουσε φρόνησις εὐξαμένου,
οὔπω αὐτῷ ἐφάνη γὰρ μετὰ βραχὺν δὲ χρόνον,
οὗ τε τὸ φρόνημα αὐτοῦ τοῖς Φαίαξιν ἐδείκνυ·
οὕτω μὲν οὔπω φρόνησις τῷ Ὀδυσσεῖ ἐφάνη,
Ὅμηρος παίζων δὲ φησὶ σκῆμα τῇ μεταβάσει·
τὸν γὰρ αὐτῆς παράδελφον ἠδεῖτο Ποσειδῶνα·
πῶς δ' Ὅμηρε ἡ θάλασσα Διὸς νοὸς συναίμων
οὗ περ νοὸς ἡ Ἀθηνᾶ καὶ φρόνησις θυγάτηρ;
οὕτω θυμὸς μὲν Ποσειδὼν Διὸς νοὸς συναίμων·
οὗτος δὲ παίζων τὰς παχεῖς τὰς μυθικῶς νοοῦντας,
ἐπεὶ καὶ Ζεὺς ὁ οὐρανὸς, καὶ Ζεὺς αὐτὸς τυγχάνει,
σκήματι μεταβάσεως ἀξιωτάτῳ λέγει·
ἠδεῖτο γὰρ παράδελφον αὐτῆς τὸν Ποσειδῶνα,
ἢ τὸν θυμὸν πατράδελφον φρονήσεως νῦν λέγει,
θυμὸν τῷ Ποσειδῶνος δε, τετέχ-ι τῆς θαλάσσης·
πρὸς γὰρ θαλάσσης τὸν θυμὸν καὶ φρόνησις ἠττᾶται·
τῷ Ὀδυσσεῖ ὠργίζετο οὗτος γὰρ καὶ μεγάλως
πρὶν ἢ ἐκεῖνον ἀπελθεῖν εἰς τὴν αὐτῦ πατρίδα,
φθάσαντι πρὸς πατρίδα γαρ φόβος ὡκ ἦν θαλάσσης.

---

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Η. ΑΕ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ·

Ἡ Ναυσικάα πρὸς αὐτὴν τὴν πόλιν ἀφικνεῖται,
καὶ μετ' ὀλίγον Ὀδυσσεὺς Ἀρήτην ἱκετεύει·
ἐρωτησάσης δὲ αὐτῆς μετὰ τροφὴν καὶ δεῖπνον,

Digitized by Google

πόθεν αὐτός ὁ Ὀδυσσεὺς ἐσχήκει τὴν ἐσθῆτα,
ἄοχεται πᾶν κατὰ λεπτὸν ἐκείνῃ δηγεῖσθαι
ἀπὸ τῆς νήσου Καλυψῶς μέχρι καὶ τῶν Φαιάκων·
τοῖς ἀθανάτοις ὅμοιοι, τοῖς ἄρασιν εἰς κάλλος·
θεῦ δ' ὡς δῆμος ἄκουε, τετέρτην εἰμαρμένης
ἤτοι καθὼς ὑπήκουσι πάντες τῇ εἱμαρμένῃ,
οὕτως ὑπεῖκον Φαίακες αὐτῷ τῷ Ἀλκινόῳ.
» Καὶ τότ' Ὀδυσσεὺς ὦρτο πόλενδ' ἴμεν, ἀμφὶ δ' Ἀθήνη
» πολλὴν ἠέρα χεῦε, φίλα φρονέουσ' Ὀδυσσῆϊ
Ἐπ' εὐτυχίᾳ ὁ ἀὴρ τῶ Ὀδυσσέως τότε
μεσὸς ὁμίχλης γεγονὼς εἶρξε χεᾶσθαι τῦτον·
Ἀθήνη πάλιν φρόνησις παρθενικῇ ὁμοῖα,
νεάνις γὰρ ἡρμήνευσε πάντα τῷ Ὀδυσσῆϊ·
τὸν Ἀλκινόε οἶκον τε, γυναῖκα, γένος τούτων·
ἐκ εἶα ἡ εὐπλόκαμος Ἀθήνη δὲ ἐκεῖνον·
ἀὴρ ὁ ἀερόσημος φάναι κατὰ Πισίδην,
ὁμίχλην καταχέσθαι Φαίαξι θεαθῆναι
θεὰ γλαυκῶπις ἦρχε δὲ πάλιν Ἀθήνη μύθων·
αὕτη δ' ἡ ἑρμηνεὺς αὐτῦ νεάνις ἡ ῥηθεῖσα·
ὅσα δὲ νῦν τὸν Ὅμηρον πῶς ἐν φρενὶ πανσόφῳ
παίζων παραλσγίζεται φωναῖς ταῖς ὁμωνύμοις,
τῇ μεταβάσει χρώμενος συχναῖς τῶν ὀνομάτων·
» Ναυσίθοον μὲν πρῶτα Ποσειδάων Ἐνοσίχθων
» γείνατο, καὶ Περίβοια, γυναικῶν εἶδος ἀρίστη
Οὐκ Ἐνοσίχθων Ποσειδῶν ἐγέννησεν ἐκεῖνον,
ἄνθρωπος δέ τις Ποσειδῶν καλούμενος τὴν κλῆσιν·
Ὅμηρος μεταβάσει δὲ παίζει τῶν ὀνομάτων·
ὀξεῖς θανάτους ἔγνωκεν Ἀπόλλωνος τοξείας·
θεὸν ὡς εἰσορόωντες, ὁποίαν τὴν σιλήνην·
εἴ τε καὶ ἕκαστος αὐτὴν ὡς σφὴν ψυχὴν προβλέπει·
ὡς καὶ αὐτὸς τοῖς ἔπεσιν οὕτω προερμηνεύει.

Digitized by Google

» Ὡς κείνη περὶ κῆρι τετίμηταί τε καὶ ἐσ-ίν·
» ὡς ἄρα φωνείσασ' ἀπέβη γλαυκῶπις Ἀθήνη,
» δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον· αὐτὰρ Ὀδυσσεύς.
Οὕτω τὲς δύο σ-ίχους μοι τὲς μέσους ὀφελίσας,
νόθοι καὶ γάρ εἰσι, γράψον ὡς καὶ αὐτὸς νῦν γράφω·
ὁ νοῦς τῶν σ-ίχων τῶνδ' ἐσ-ίν, ἀπέβη ἡ νεάνις,
πρὸς δὲ τὸν δόμον ἔδυνε πλασθέντος Ἐρεχθέως,
ναυπηγικῇ τινὲς ἀνδρὸς κρατῦντος ναυπηγίαις·
ἐρέχθω οἶδας τὸ ἠχῶ, καὶ κρότους ἀνεγείρω·
οὐκ Ἀττικοῖς ἐν δόμοις γαρ εἰς Ἐρεχθέως δῆμον·
μυθώδη δαίμονα τινὰ νῦν ἀπιέναι λέγει,
ἀλλ' ὥς περ εἶπον χρώμενος οὕτω τῇ μεταβάσει·
κύνες χρυσοῖ καὶ ἀργυροῖ φυλάσσοντες τὸ δῶμα,
καὶ κοῦροι δὲ οἱ χρύσεοι βασ-άζοντες λαμπάδας,
ἀπὸ ἀργύρου καὶ χρυσῆ κατασκευὰς τοιαύτας·
τῶν μὲν κυνῶν καὶ φυλακῆς δόκησιν ἐμποιούντων·
οἱ νέων ἀνδριάντες δε κερόπηγες τελῦντες,
πᾶσι φῶς βλέπειν ἐν νυκτὶ παρεῖχον δαιτυμόσι·
διὰ τὸ μακροχόνιον καλεῖ δὲ ἀθανάτες·
» Τοῖα ρ' ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα.
Ἐκ τῶν σ-οιχείων γε αὐτῶν καί γε τῆς ἡμαρμένης·
στοιχείων εὐφορίαι τε ὁμῆ καὶ ἀκαρπίαι·
ἐκ δ' εἱμαρμένες τὸ πλουτεῖν, καὶ τὸ κρατεῖν Φαιάκων·
ἀέρα χεῦεν Ἀθηνᾶ· νῦν ὁ ἀὴρ ὁμίχλῃ·
αὐτός τε συγκρυπτόμενος φρονήσει τῇ οἰκείᾳ·
Δία νῦν τερπικέραυνόν τὴν εἱμαρμένην λέγει·
καὶ τὸ, θεοῖσι ῥέξομεν, σ-οιχείοις, εἱμαρμένῃ·
» Εἰ δέ τις ἀθανάτων τε κατ' ὠρανῆ εἰλήλυθεν,
» ἀλλ' ὅτι δὴ τόδ' ἔπειτα θεοὶ περιμηχανέωνται·
» αἰεὶ γὰρ τὸ πάρος γε θεοὶ φαίνονται ἐναργεῖς·
Εἰ δέ τις ἀθανάτων γε, σαφῶν ἢ βασιλέων,

Digitized by Google

ἐξ ὠρανῦ καὶ μοίρας δὲ φημὶ τῆς ὠρανίης,
ἢ ἀναακτόρων ὑψηλῶν μεταφορικοτέρως·
θεοὶ δὲ μηχανόωνται, πληροῖ ἡ εἱμαρμένη·
θεοὶ ὁρῶνται ἐναργεῖς, σοφοὶ καὶ βασιλέες·
ἔρχονται πόθῳ τῦ ἰδεῖν χώραν τὴν ἡμετέραν·
δεινὴ θεὸς ἡ Καλυψώ· νῦν βασιλὶς μεγάλη·
θεὺς, ἀνθρώπους τὲ φησὶ σοφὺς καὶ ἰδιώτας·
ὁ Ζεὺς ἐκέασε τὴν ναῦν· σκοπτὸς καὶ εἱμαρμένη·
ἀθάνατον, ἀγήραον τοῖς ὄπισθεν ἐρρέθη·
Ζηνὸς ὑπ' ἐξ ἀγγελίης δε φρονέμων κνημάτων·
τὸ ἔρον δὲ προέηκεν, ἔπεμψε δέ με τότε,
ὁπόταν ἄνεμος φορὸς ἐμοὶ χρειώδης ἔπνει·
Ζεῦ πάτερ, Ἀθηναίη τὲ καὶ Ἀπολλον, ἐρρέθη·

---

## ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Θ. ΔΕ ΥΠΟΘΕΣΙΣ ΤΟΙΑΔΕ.

Δι' Ὀδυσσέα Φαίαξιν ἐς-ὶ νῦν ἐκκλησία,
καὶ νοῦς τις εὐτρεπίζεται πρὸς ἐκπομπὴν ἐκείνε·
παρ' Ἀλκινόε δ' ἀρις-οι Φαιάκων ἐς-ιῶνται·
εἶτα καὶ ἀγωνίζονται καὶ Ὀδυσσεὺς σὺν τέτοις·
ἄθλα δὲ ὁ Δημόδοκος· ἐπιβολῇ μὲν πρώτῃ
μοιχεῖαν τὴν τῦ Ἄρεος ὡς πρὸς τὴν Ἀφροδίτην·
εἶτα τὴν Τροίας πόρθησιν ὑφ' ἵππε τῦ δουρείε·
κλαίοντος Ὀδυσσέως δε, πυνθάνεται Ἀλκίνους,
τίς ὢν καὶ τίνος ἕνεκα τέτων ἀκούων κλάιει.
» Πλησίον, ἡ δ' ἀνὰ ἄς-υ μετώχετο Παλλὰς Ἀθήνη,
» εἰδομένη κήρυκι δαΐφρονος Ἀλκινόοιο,
» νός-ον Ὀδυσσῆϊ ταλασίφρονι κυδιόωσα·
» καὶ ῥ' ἑκάς-ῳ φωτὶ παρις-αμένη φάτο μῦθον.

Digitized by Google

Παλλὰς Ἀθήνη, φρόνησις ταυῦν τῷ Ὀδυσσέως·
εἴ τε καὶ ἡ τῷ κήρυκος αὐτῷ τῷ Ἀλκινόου,
ἣ καὶ αὐτὸς ὢν φρόνιμός φρονίμως συνεκάλει·
δαΐφρων νῦν πολεμικὸς ἐκ ἔστιν ὁ Ἀλκίνους·
ὁ πάντα δὲ λεπτοτομῶν φρονήσει καὶ συνέσει·
τὸ δέμας ἀθανάτοισιν ὁμοῖος, βασιλεῦσι·
τίς Ἀθηνᾶ ἡ πάσσονα μακρότερον τιθεῖσα;
ἡ τῷ ἐλαίῳ ἔκχρισις, καὶ τὸ λουτρὸν ἐκεῖνο·
ἣ καὶ ἡ φρόνησις αὐτῷ· θαρσήσας γὰρ ἐκείνη,
μηκέτι δὲ φελλόμενος τῇ δέους ὑποψίᾳ,
μείζων τε καὶ παχύτερος αὐτὸς αὐτῷ ἐφάνη·
θεὸς ὁ δοὺς τὴν ἀοιδήν· γνῶσις, ἡ εἱμαρμένη
θεῶν δαπὶ θαλείη τε. γνώσει τῆς εἱμαρμένης,
ἣ ψυχικῶν δυνάμεων· τέρψεως, εὐφροσύνης·
Διὸς μεγάλου δὲ βουλὰς, τῆς εἱμαρμένης λέγει·
τὸ δὲ, θεὸς φέρει μορφὴν καὶ ὡς θεὰν ὁρῶσι,
γνῶσιν καὶ φρόνησιν δηλοῖ· τὰ δ' ἄλλα εἱμαρμένην·
τέρματα καὶ σημεῖα δὲ τὶς ἔθηκεν, Ἀθήνη,
ἣ Ὀδυσσέως φρόνησις, ἣ καὶ τινῶν Φαιάκων·
τοῦτον γὰρ θεραπεύοντες, ἣ καὶ ὀρθῶς φρονοῦντες,
ἔλεγον, ξεῖνε καὶ τυφλὸς τὸ σῆμα διακρίνει·
» Οἱ ῥὰ καὶ ἀθανάτοισιν ἐρίζεσκον περὶ τόξων.
Εὐσκόχως κατετόξευον ἐπίσης τῷ ἠλίῳ·
ἀνεῖλε δὲ τὸν Εὔρυτον νόσημα τῶν ὀξέων·
ὅθεν φασὶν Ἀπόλλωνα τοῦτον ἀνηρηκέναι,
ἅτε αὐτῷ ἐρίζοντα τοξεύμασιν εὐσκόποις·
εἷα δ' ὡ Ζεὺς ἔργα τιθεῖ, ἐστιν ἡ εἱμαρμένη.
» Ἀμφ' Ἄρεος φιλότητος εὐσεφάνου τ' Ἀφροδίτης·
» ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισιν·
Ἐνταῦθα παίζων Ὅμηρος τὰ περὶ κόσμου γράφει,
κατὰ τὴν δόξαν τῶν σοφῶν τῶν παλαιῶν ἐκείνων·

Digitized by Google

ὅτι μετὰ διάρθρωσιν τῆς ὕλης ὡς πρὸς εἶδος,
καὶ τὴν ὑπόστασιν αὐτῆς πάσης τῆς κοσμουργίας,
πρὸ τῦ τὸν ἥλιον λαβεῖν δρόμους εὐτάκτους σφαίρα,
δεινὴ ζάλη καὶ σύγχυσις ὑπῆρχε τῶν στοιχείων·
ὁτὲ ὑπερνικῶντος μὲν ἀέρος τὸ καθύγρου,
ὁτὲ εὐκρατοτέρυ δὲ ἀέρος καὶ φιλίυ,
ὃ Ἀφροδίτην ἔφασαν οἱ πάλαι μυθογράφοι,
καὶ τῦ Ἡφαίστυ καὶ θερμῦ σύζυγον πεφυκέναι·
οὕτω πῶς μετετρέπετο ἡ φύσις τῦ ἀέρος,
ποτὲ δὲ φλεκτικώτερον τὸ πῦρ ἐξαναθρῶσκον,
τὴν εὐκρασίαν ἔφθειρε τὴν σύζυγον Ἡφαίστυ·
ἡλίου θέρμη δ' ἄκρατος ἔσχεν ὁρμὰς ἀτάκτες,
ἀφ' οὗ τὸν σφαίρας εὔτακτον δρόμον ἐτάχθη τρέχειν·
Ἥφαιστον ὅθεν λέγουσι τὸν Ἄρεα δεσμῆσαι·
ταῦτα δὲ ἠλληγόρησα πρὶν ἰαμβείῳ μέτρῳ,
καὶ νῦν συνεπειγμένως δε πάντα τὸν νοῦν εἰρήκειν,
ὡς πρὸ τῦ ἥλιον λαβεῖν εὔτακτον σφαίρας δρόμον,
ἀτάκτως ἐκεκίνητο τὰ σύμπαντα στοιχεῖα·
τὴν εὐκρασίαν φθείροντα τὸ πῦρ δὲ πάντων πλέον·
ἡλίυ δρόμον δὲ τακτὸν σχόντος περὶ τὴν σφαῖραν,
ὥς περ δεσμῷ κατέχοντα ταῦτα πρὸς εὐκρασίαν·
τῷ ἀνασπᾶν ὑγρότητα· τὸ φλέγον κεραννύντος,
τῷ δὲ θερμῷ καθαίροντος τὸν κάθυγρον ἀέρα·
αὕτη ἐστὶν ἡ σύμπασα νῦν ἔννοια τῦ λόγου·
νῦν δὲ καὶ κατατμήμασι τισὶ λεπτολογήσω,
τίς Ἀφροδίτη τε ἐστὶ, καὶ πῶς Διὸς θυγάτηρ,
καὶ πῶς Ἡφαίστυ σύνευνος· τὶς δ' Ἥφαιστος τυγχάνει,
πῶς Ἄρης ταύτης τε μοιχός· καὶ τὶς ἐστὶν ὁ Ἄρης·
τό τε ἡλίυ μήνυμα, καὶ οἱ δεσμοὶ δὲ τίνες,
καὶ τὰ λοιπὰ δὲ σύμπαντα, καὶ δὴ λοιπὸν ἀρκτέον.
Ὕλη πρὶν ἦν ἀκίνητος, τὸ ἔρεβος καὶ χάος·

Digitized by Google

Ζεὺς δὲ ἀήρ τις κινηθεὶς πνεῦμα τῆς εἰδουργίας,
καὶ σὺν αὐτῷ λεπτότερον ὅπερ ἐστὶν ἡ Ἥρα,
διεῖλον γῆν καὶ θάλασσαν καὶ πρόσγειον ἀέρα·
ὅς περ ἐστὶν ἡ Ἀθηνᾶ· εἶτα τῇ συγκινήσει
ἐς πλέον ἐκαθαίροντο· καὶ διηρθρῶντο πλέον·
τοῦτο ἡ Ἀφροδίτη δε ἐστὶν ἡ εὐθεσία·
καὶ πῦρ χωλὸν καὶ ἀτελὲς ῥαγὲν τῇ συγκινήσει,
τῇ εὐθεσίᾳ τε μιγὲν, ἐς πλέον ἠρθρωσε ταῦτα,·
ὅ περ ἐστὶν ὁ Ἥφαιστος σύζυγος Ἀφροδίτης·
πῦρ δὲ σκιρτῆσαν ἄτακτον, ἔφθειρε ταῦτα πάλιν·
ὅ περ ὁ Ἄρης ὁ μοιχὸς ἐστὶ τῆς Ἀφροδίτης·
ἡλίου μήνυμα ἐστὶ τῆς Ἄρεος μοιχείας,
ἡ τῆς θαλάσσης ἄνοδος καὶ τῆ ἡμισφαιρίῳ,
καὶ φαῦσις τῶν ἀκτίνων δε παρὰ τὸ ἄνω μέρος·
οὕτω γὰρ ἀνερχόμενα αὗται συγκεκραμέναι,
ὡς τὸ φλογώδες ὕδασιν αὐτῶν συγκερανῦσαι·
τῷ δὲ θερμῷ καθαίρουσαι τὸ κάθυργον ἀέρος
ἔδειξον νόθον καὶ μοιχὸν ὄντως τὸ πῦρ ἐκεῖνο·
δεσμοὶ δ' Ἡφαίστου ἄλυτοι, δρόμος ὁ περὶ σφαίρας·
ἀτάκτως ἄνω, κάτω τε πάντα χωρῶν εἰς χρόνον·
Ἥφαιστος δὲ καὶ ἥλιος ἓν κατ' αὐτὸ τυγχάνον·
ὡς μὲν ἰὼν ἐκ τῆς ἁλὸς, καὶ δῆλος ὑπηρμένος,
ἥλιος κλῆσιν ἔσχηκεν. Ἥφαιστος δὲ καλεῖται,
ὡς ὢν θερμὸς πυρώδης τε καὶ ταῖς ἀφαῖς δὲ τόσαις,
εἴ τε καὶ ὡς ἀνάψεων αἴτιος ὢν πυρφόρων·
Ἡφαίστῳ δόμος δέ ἐστι τόπος ὁ πρὸς αἰθέρα·
λέχος Ἡφαίστου καὶ ἀήρ, τὸ εὔκρατον τυγχάνει·
ὁ χαλκεὼν Ἡφαίστου δε σφοδρότερον γενέσθαι
ἀκμῶν, ἡ σφῦρα δέ ἐστιν· ὁ δέ γε ἀκμοθέτης
ἐνθέρμου δύναμις τινὸς πνεύματος ἐγκειμένου·
ὑφ' οὗ ὁ ἄκμων ἱρανὸς παντὶ κινεῖται χρόνῳ·

Digitized by Google

δεσμοὶ δὲ ἄῤῥηκτοι εἰσὶν, ὡς περ καὶ πρὶν εἰρήκειν,
ἡ τῦ ἡλίυ εὔτακτος κίνησις περὶ σφαῖραν·
τὰ πρὸς αἰθέραν θάλαμος καὶ κοίτη τῦ Ἡφαίςυ,
ἑρμῖνες καὶ κλινόποδες, τὸ κάτω μέρος σφαίρας,
τὸ δ' ἄνω ἡμισφαίριον τὸ μέλαθρον ὑπάρχει·
τὸ, ὡς ἀράχνα δὲ λεπτὰ, ἃ δ' ὁ Θεός τις ἴδοι,
τὴν συγκινῦσαν εἰσαεὶ δύναμιν σφαίρας λέγει,
ἀῤῥηκτον οὖσαν καὶ λεπτὴν, καὶ ὑπὲρ νοῦν ἀνθρώπων.
μετὰ δεσμῶν δὲ συσκευὴν τὶς ἡ ἀρχὴ πρὸς Λῆμνον,
μετὰ πυρὸς τὴν δύναμιν τὴν ἄῤῥηκτον ἐκείνην,
τὴν τέχνην λεπτουργήσασαν πᾶσαν ἁπλῶς τὴν σφαῖραν·
εἰς Λῆμνον, κόσμυ ἤρξατο θέρμη χωρεῖν ἡλίυ·
εὐκράτῳ θέρμῃ γὰρ τὸ πῦρ τὸ ἄτακτον ἐκεῖνο,
ὃ μοιχικῶς ἐμίγνυτο τῇ νέᾳ διαθράσει,
τῇ γινομένῃ ἐκ Διὸς πνεύματος εἰδουργίας,
ἐδέθη καὶ κεκράτηται τῇ συςροφῇ τῆς σφαίρας,
εὐκρατωθὲν καὶ εὐκρατῆν ὑδάτων ἀνιμήσει·
Λῆμνον, μοιχείας, καὶ δεσμὲς ἔχεις λεπτῶς ῥηθέντας·
ἡ αὖθις τῦ Ἡφαίστυ δὲ ὑποστροφὴ ἐκ Λήμνυ,
τῆς σφαίρας ἡ ἀνάλυσις ἡ ἐκ τῦ πορείυ,
σὺν ᾗ θερμότης ἄνεισιν ἡλιοκαῖς ἀκτῖσι·
τὴν περὶ πρόθυρα βοὴν νῦν τῦ Ἡφαίστυ μάθε·
ἡ τῦ ἡλίυ πρώτη μὲν ἀνέλευσις σὺν σφαίρᾳ,
τὰ πρόθυρα τυγχάνουσιν, ἅ περ ἐνθάδε λέγει·
ἡ εὔτακτος δὲ κίνησις βοὴ ἡ σμερδαλέα·
ἡ εὔτακτος πορεία γὰρ ἡλίυ βοᾷ μέγα·
ἤτοι δεικνύει προφανῶς τῇ τεταγμένῃ βάσει,
ὅτι τὸ πῦρ τὸ μοιχικὸν ἐκεῖνο κατεχέθη·
χωλὸν τὸ πῦρ ἡλίυ δὲ, ὁ Ἥφαιστος τυγχάνει,
ὅτι λοξὴν ὁ ἥλιος ποεῖται τὴν πορείαν,
καὶ βραδυτέραν δὲ πολὺ πυρὸς τῦ καιομένυ,

Digitized by Google

καὶ ἀερίου δὲ παντὸς πυρὸς ἀτακτοτέρου,
ἃ Ἄρης κατωγόμασται τοῖς πάλαι μυθογράφοις·
ἠπεδανὸς, ὁ ἀσθενὴς καὶ ὁ χωλὸς τυγχάνει·
πῶς δὲ χωλὸς ὁ Ἥφαιστος εἰρήκαμεν τυγχάνει·
Ἡφαίστου λόγοι δὲ λοιπὸν νῦν προσωποποιΐαι·
τὴν τῶν θεῶν συνέλευσιν εἰς ἀρανὲν νῦν μάθε·
τῷ Ποσειδῶνος, τῷ Ἑρμῇ, Ἀπόλλωνος σὺν τέτοις
καὶ τὴν αἰδὼ τῶν θεαινῶν μέχρι τῷ τέλους πάντες
μετὰ τὸ σφαῖραν εὔτακτον δρόμον λαβεῖν ὡς ἔφην,
ὅ περ βοὴν ἐπάλεσεν ὁ ποιητὴς Ἡφαίστου,
τρανῶς δοκοῦσαν ὡς τὸ πῦρ τὸ μοιχικὸν ἐδέθη,
ἦλθον θεοὶ ὁ Ποσειδῶν, Ἑρμῆς καὶ ὁ Ἀπόλλων,
τουτέστι κατηυπράτωται τὸ πᾶν καὶ ηὐθετήθη·
ἀναστρωμένων κάτωθεν κερατικῶν ἰκμάδων·
Ἑρμῇ πυρφορημάτων τε καθαρτικῶν ἀττόντων·
ἃ πνεύματι γινόμενα καθάιρει τὸν ἀέρα·
Ἀπόλλων τε καὶ ἥλιος λαμπρότερος ἐφάνη,
ὅ περ λαμπρὸν καὶ γένος νῦν λαμπρότερον στοιχεῖον·
αἱ δ' αἰδὼ δὲ θήλιαι θεαὶ τοῖς οἴκοις οὖσαι,
ὕδωρ τὸ γεωδέστερον τὸ κάθυγρον ἀέρος,
τὰ τέτων ἀνυμήθη γὰρ λεπτότερα τοῖς ἄνω·
καὶ εὐκρασίας αἴτια γογόνασιν, ὡς ἔφην·
ταῦτα δὲ ὡς βαρύτερα τοῖς κάτωθεν ἐλείφθη·
τῷ πλάσματι δ' ὁ Ὅμηρος προφυεστάτως λέγει
θηλείας ταύτας σοι θεὰς, ἤτοι ἀσθενεστέρας,
καὶ ὑπ' αἰδῦς μὴ ἀνελθεῖν τοῖς οἴκοις δὲ λειφθῆναι,
ὁ πρὸς Ἑρμῆν δ' Ἀπόλλωνος δὶ Ἀφροδίτην λόγος,
κἀκείνου συγκατάνευσις ἐκείνῃ συγκαθεύδειν,
ἓν γε δεσμοῖς τραχυτοσαπλοῖς πάντας θεοὺς δὲ βλέπειν,
σαφὴς καὶ προφανές ἐστιν, ὡς δὲ μετ' ὀφασίαν
καὶ δέσιν τὴν πρὶν ἄτακτον πυρὸς περὶ τὴν σφαῖραν,

Digitized by Google

νῦν δ' εὔκρατον καὶ εὔτακτον ἡλιακὴν λαμπάδα,
καὶ ἁρμογὴν τῷ σύμπαντος τόσην ἠκριβωμένην,
Ἑρμαϊκὰ διάττουσιν ὁμῶς καὶ πάλιν σέλας·
καὶ εὐκρασίας αἴτια μᾶλλον εἰσὶν ἐκεῖνα·
πνεύμασι μὲν κινούμενα, καὶ πνεύματα δηλοῦντα,
καὶ κάθαρσιν ἀέρος δὲ, τυγχάνει γὰρ ἐκεῖνα
τὶ πῦρ ὑγρομενέστερον περίττωμα ἀέρος·
ἡ Ποσειδῶνος αἴτησις λυθῆναι δὲ τὸν Ἄρην,
ἡ λύσις τε καὶ ἄφεξις ἐκείνου πρὸς τὴν Θράκην,
τῆς δ' Ἀφροδίτης ἄφιξις πρὸς Κύπρον τὲ καὶ Πάφον,
καὶ τὰ λουτρὰ Χαρίτων δὲ καὶ εὔδυσις εἱμάτων,
ἔχουσιν ἀλληγόρημα, ὅ περ τανῦν μοι μάθε.
Ἀτάκτως πρὶν ἐφέρετο τὸ πῦρ ὡς ἠκηκόεις,
μετὰ δὲ σφαίρας κίνησιν τὴν ἄτακτον οὐκέτι,
ἀλλ' ἣν κρατῶν καὶ εὐτακτῶν τῇ θέσει τῇ τῆς σφαίρας,
ἀνιμωμένων καὶ ὑγρῶν νεφῶν πεπαχυμένων,
καὶ ῥηγνυμένων τῶν νεφῶν, βροντὰς ἀποτελούντων,
πῦρ κεραυνῶν ἐφέρετο θρασέως ἀναθρῶσκον,
καὶ ὄμβροι ῥέειν ἤρξαντο τὴν γῆν ἐγκυμονοῦντες·
ὃ λύσις ἐστιν Ἄρεος καὶ ἔλευσις εἰς Θράκην,
καὶ Ἀφροδίτης ἄφιξις εἰς Κύπρον τὲ καὶ Πάφον,
λουτρά τε Χαριτήσια, καὶ ἐσθημάτων κόσμος·
οἷον ἵνα σαφέστερον ἐρῶ σοι πάλιν τοῦτο,
μετὰ τὴν σφαίρας κίνησιν, καὶ κεραυνοὶ καὶ ὄμβροι,
καὶ τῶν καιρῶν διαίρεσις ἐφάνη σαφεστέρα
χειμῶνός τὲ καὶ ἔαρος, θέρους καὶ μετοπώρου·
καὶ τῷ ὑγρῷ μὲν λύεται πάλιν τὸ πῦρ χειμῶνι,
πῦρ κεραυνῶν καὶ Ἄρεος ταχέως ἀναθρῶσκον,
τῇ εὐκρασίᾳ πάσῃ δὲ τὸ κύειν ἐπορίσθη,
καὶ πάντα φύειν ἤρξατο καὶ χάρισι κοσμεῖσθαι.
Ἔχεις τὸ ἀλληγόρημα πᾶν λεπτολογηθέν σοι·

Digitized by Google

Θεοὶ δὲ νῦν παράσχοιεν, ἐστὶν ἡ εἱμαρμένη·
Διὶ καὶ ἄλλοισι θεοῖς, τῷ ἀρκνῷ, ἡλίῳ,
καὶ τοῖς λοιποῖς στοιχείοις δε, αὐτῇ τῇ εἱμαρμένῃ·
θεῶν δὲ κάλλος ἔχουσα, σημαίνει τῶν ἀστέρων·
Ζεὺς ὁ ἐρίγδουπος, ἀὴρ ῥάδιον θείη πλοῦν μοι.
ὥσπερ θεῷ, στοιχείῳ νῦν, ἡλίῳ, καὶ σελήνῃ·
Διὸς θυγάτηρ, νῦν κρᾶς ὁ ἥλιος· Ἀπόλλων·
θεὸς παρέσχε σοι ὁδὸν· νῆς ἡ εἱμαρμένη·
θεῷ τῷ γῷ καὶ λογισμῷ κεκινημένος ἥδε·
τὸν ἵππον ἄγαλμα θεῶν, ἡλίου καὶ στοιχείων,
ἤτοι ἵνα μνημόσυνον αἰώνιον ὑπάρχῃ,
ἡλίου καθορώμενον κύκλοις μακροῖς καὶ χρόνοις·
Ἀθήνην νῦν μεγάθυμον, τὴν φρόνησιν εἰρήκειν·
τὸ ἀοιδὸν, τὸν θεῖον δὲ, σοφὸν νοεῖν σε δέον,
φρένας τὰς νῆας εἶπε τὰς τῶν Φαιάκων ἔχειν,
ἐν ναυτικῇ τοὺς Φαίακας ὑπερβολαῖς ἐξαίρων·
τὸν Ποσειδῶ, τὴν θάλασσαν φθονῆσαι τέτοις λέγων,
τῷ ἄριστα ναυτίλλεσθαι ὑπερβολαῖς ὁμοίως·
τὸ δὲ προεῖδε μὲν χρησμοῖς νῆα ῥαισθῆναι τέτων,
τῶν ἀπεικότων σύδαμῶς, οὐ δὲ τῇ φύσει ξέναν
θεὸς δ' εἶκε τελέσειεν, ἐστὶν ἡ εἱμαρμένη·
θεοειδὴς, ὁ νῆς ἐστιν ὁ δίκαιος ἐνθάδε·
θεοὶ, ἡ εἱμαρμένη δε, οἱ τάξαντες ὀλέθρους.

---

## ΑΥΤΗ Η ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ι. ΟΔΥΣΣΕΙΑΣ

Ὁ Ὀδυσσεὺς ἀπάρχεται νῦν σφῶν διηγημάτων,
πῶς πρῶτα μὲν τοῖς Κίκοσι πόλεμον συνταράττει·
εἶτα δ' ἀνέμοις ἐξωσθεὶς, ἦλθεν εἰς Λωτοφάγους·



Digitized by Google

μετέπειτα πρὸς Κύκλωπα Πολύφημον τῇ κλήσει
τὸν ὃν καὶ ἀπετύφλωσεν ἀντάποινα τῶν φίλων·
ἐκ τέτων γὰρ ἓξ βέβρωκε δώδεκα συνελθόντων·
θεοῖς ἀλίγκιος αὐδῇ ὁ ἀοιδὸς τυγχάνει,
τοιάδε ἄδει εὔφθογγα ὡς μουσικὴ ἀστέρων·
θεοὺς νῦν ἠρανίωνας τὴν εἱμαρμένην λέγει·
θεάνων, βασιλίδων καὶ ἀρχουσῶν γυναίων·
» Ὅν μοι Ζεὺς προέηκεν ἀπὸ Τροίηφιν ἰόντι.
Ζεὺς καὶ ἡ εἱμαρμένη νῦν· ὁ δὲ ἀὴρ ἐς πλέον·
φησὶ γὰρ Ἰλιόθε με ὁ ἄνεμος ἐφόρει·
Διὸς αἶσα, κατάλληλον ἐστὶν ἡ εἱμαρμένη·
ἄνεμος νῦν ἐκ τῆ Διὸς ἐφάρμησεν, ἀέρος·
» Τῶν δ' ὅστις λωτοῖο φάγοι μελιηδέα καρπόν,
» ἐκ ἔτ' ἀπαγγέλλειν πάλιν ἤθελεν, οὐδὲ νέεσθαι·
Λωτὸν καὶ τὴν ἀγρίαν δὲ καλεῦσιν τὴν βοτάνην,
καὶ δένδρον τὶ καθέστηκε Γαδείροις καὶ Αἰγύπτῳ,
φέρον καρπὸν ὡς κύαμον, ἐξ οὗ ποιῶσιν ἄρτους·
τινὲς λωτὸν δὲ λέγουσι τὶ καλαμῶδες Νείλῳ·
οὐδεὶς λωτὸς δὲ δύναμιν θέλγειν ἀνθράπεις ἔχει,
ὡς γευσαμένους μὴ ποθεῖν τὴν ἑαυτῶν πατρίδα,
ἔποικος εἶναι θέλειν δὲ γῆς τῆς λωτοφορβίσης·
δεκαετῶς ἐκεῖνοι δὲ πόσα παθόντες Τροίᾳ
καὶ μετὰ τὸν ἀπόπλουν δε κύμασιν ἐξωσθέντες
εἰς μακρὰν γῆν ἀλλοδαπὴν πόρρω τῆς σφῶν πατρίδος.
καὶ νῦν προμαντευόμενοι τὰ δυσχερῆ θαλάσσης,
ἰδόντες τὸ φελόξενον ἀνδρῶν τῶν Λωτοφάγων,
καὶ γῆν ἐκείνων ἀγαθὴν, ἤθελον συνοικῆσαι·
ὁ Ὅμηρος δ' ὁ πάνσοφος ἡ θάλασσα τῶν λόγων,
μεταρσιεῖ τὰ εὐτελῆ, τὰ δ' ὑψηλὰ κατάγει,
ἐν τοῖς ἀλληγορήμασι δεινὸς ὢν λογογράφος,
καὶ μυθικῷ τῷ νέκταρι πάντα καταγλυκάζει.

Digitized by Google

» Κυκλώπων δ' εἰ γαῖαν ὑπερφιάλων, ἀθεμίστων,
» ἱκόμεθ', οἳ ῥὰ θεοῖσι πεποιθότες ἀθανάτοισιν,
» οὔτε φυτεύουσιν χερσὶ φυτὸν, οὐτ' ἀρόωσιν·
» ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται.
Θεοὺς, τὴν εὐκρασίαν δε τὴν τῶν στοιχείων λέγει·
Διὸς ὄμβρος ἀέξει δε, τῷ ὐρανῷ μιγνύει·
Θεός τις ἡγεμόνευε, τετέυχεν εὐτυχίᾳ·
» Ὧρσαν δὲ Νύμφαι κοῦραι Διὸς Αἰγιόχοιο,
» αἶγας ὀρεσκῴους· ἵνα δειπνήσειαν ἑταῖροι.
Ἐκ τῶν Νυμφῶν τῶν τόπων δε νῦν τῶν συνδένδρων λέγει,
αἱ συγατέρες τῷ Διὸς καὶ ὐρανῷ τελοῦσιν·
ἀνέμων κατειγίσι τε τρεφόμεναι καὶ ὄμβροις,
ὥρμησαν καὶ ἐξέδραμον αἶγες ἐκ τῶν ἀγρίων·
Θεὸς ἔδωκε θήρην δε· φρόνησις, εὐτυχία·
νοῦς θεσπεσίης, ὁ δίκαιος, ὥς περ καὶ πρώην ἔφην·
Ἀπόλλωνι μὲν, ὁ ἥλιος· ἀκήρατος δ' οἶνος,
ὁ κάλλιστος καὶ γέρων δε καὶ μὴ φθαρεὶς τῷ χρόνῳ·
» Αὐτὰρ ἔπειτ' ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ' ἀείρας,
» ὄβριμον· ἐκ ἂν τόν γε δύω καὶ εἴκοσ' ἄμαξαι.
Τὰς πυλαιῶνας ἔκλεισαν ἐκείνου τὰ πυλίε,
οὓς πόσαι ἀνασπάσειαν ἅμαξαι κεκλεισμένους·
ἅρτι Ζεὺς ἤθελεν αὐτὸς καὶ οἱ λοιποὶ θεοί δε·
ἀὴρ ἀνέμων συστροφαῖς συνών, ἡ εἱμαρμένη·
αἰδεῖο φέριστε θεούς· τὰς παρακλήσεις λέγει·
ψυχῆς δὲ πάθος, ἔλεος εἰσὶ καὶ παρακλήσεις·
Ζεὺς ὁ ἐπιτιμήτωρ δε τῶν ξένων, εἱμαρμένη·
» Ὅς κε θεοὺς κέλεαι, ἢ δειδίμεν ἢ ἀλέασθαι·
» οὐ γὰρ Κύκλωπες Διὸς Αἰγιόχου ἀλέγουσιν·
» οὐδὲ θεῶν μακάρων· ἐπεὶ δὴ πολὺ φέρτεροί εἰμεν·
» οὐδ' ἂν ἐγὼ Διὸς ἄχθος ἀλευάμενος πεφιδοίμην,
» οὔτε σεῦ, οὐδ' ἑτάρων, εἰ μὴ θυμός με κελεύει.

Digitized by Google

Ἦ τῶν ἀφρόνων πέφυκας, ἢ ξένος τῶν ἐνθάδε,
ὅς τις αἰδεῖσθαι μὲ θεοὺς καὶ παρακλήσεις λέγεις
μὴ ξενωθεὶς κατασχεθῶ τοιάδε εἱμαρμένῃ·
Κύκλωπες οὐκ ἐκπλέουσι τῆς ἑαυτῶν πατρίδος,
ὅθεν ὑπέρτεροι ἐσμὲν τοιᾶσδε εἱμαρμένης·
καὶ φόβου δὲ ξενώσεως καὶ τῶν λιπαρημάτων,
οὐδὲ ἐγὼ οἰκτεριῶ φόβῳ τοιᾶσδε τύχης,
οὐ σοὺς ἑτάρους, οὐδὲ σέ, εἰ μὴ αὐτὸς θελήσω·
» Τοὺς δὲ διαμελεῖ τι ταμὼν ὠμίσσατο δόρπον.
Τῶν φίλων τὴν ἀναίρεσιν κατάβρωσιν νῦν λέγει·
Κύκλωψ γὰρ Δευκαλίωνα τῆς κόμης ἁναρπάσας,
θατέρας διηντέρευε κάτω βαλὼν τὸ ξίφος·
Διὶ χεῖρας ἀνέσχομεν, τῷ οὐρανίῳ ὕψει·
ἄχος Ἀθήνη δοίη μου, φρόνησις ἢ οἰκεία·
ἢ καὶ θεὸς ἐκάλεσεν, αὐτὴ ἡ εἱμαρμένη·
Διὸς ὄμβρος ἀέξει δε, τῷ ὐρανῷ νῦν λέγει·
» Νοῦσον δ' οὔπως ἐστὶ Διὸς μεγάλα ἀλέασθαι.
Νόσον., τὴν εἱμαρμένην, δε ἀποφυγεῖν οὐκ ἔστιν·
ὑπέρτεροι ὑπῆρχον δὲ Κύκλωπες, εἱμαρμένης,
ἀποδημίας, φόβου τε καὶ τῶν λιπαρημάτων·
τῆς εἱμαρμένης νόσῳ τε θανάτου καὶ τοιούτων,
Τζέτζης φησὶν ὑπέρτεροι συνόλως οὐχ ὑπῆρχον.
» Ἀλλὰ σύγ' εὔχεο πατρὶ Ποσειδάωνι ἄνακτι.
Φέρε δὴ ταύτην καρτερῶς γενναῖος, ὑπηργμένος·
ὁποῖα παῖς θαλάσσης τε· εἴτε πετρῶν ἀγρίων·
ὁ Ζεὺς καὶ ἄλλοι τε θεοὶ, οἱ πλάνητες ἀστέρες·
ἤτοι ἡ εἱμαρμένη γε ἐτίσατο ἀξίως.
» Πομπὴν δ' ὀτρύνω δόμεναι κλυτὸν Ἐννοσίγαιον·
» τῷ γὰρ ἐγὼ παῖς εἰμὶ, πατὴρ δ' ἐμοὶ εὔχεται εἶναι.
Ἤτοι καὶ εἴπωσι καιρὸν ὅτε σοι πλεῦσαι δέον·
οἶδα τὰ τῆς θαλάσσης γὰρ τῆς τῇδε σαφεστάτως·

Digitized by Google

ὡς γεννηθεὶς καὶ ἐντραφεὶς ἐν μέρεσι γῆς τῆσδε·
» Αὐτὸς δ' αἴκ' ἐθέλῃς ἰήσεται οὐ δέ τις ἄλλος.
Ἰάσεται τὸ θλίβεν με ὁ πλῆς ὁ τῆς θαλάσσης·
κατασχεθεὶς ἐνταῦθα γὰρ τὸν ὀφθαλμόν με δότε,
τὴν θυγατέρα τὴν ἐμὴν τὴν Ἔλπην καλουμένην·
θάλασσα γὰρ καὶ Ποσειδῶν ἐκ ὀφθαλμοὺς ἰᾶται·
» Οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων.
Οὐ βασιλεὺς, οὐδὲ σοφός· οὔτε τῆς κάτω τύχης.
Πῶς τοῦτό φῃς ὦ Ὄμηρε; καὶ μὴν ὁ Ἀντιφάτης
ὁ Λαιστρυγὼν ὁ ἀδελφὸς Κύκλωπος Πολυφήμε,
τὰς Ὀδυσσέως ἕνδεκα κατέαξεν ὁλκάδας,
τὴν Ἔλπην πάλιν δὲ λαβὼν δέδωκε Πολυφήμῳ,
κἂν περ σὺ τοῦτο σιωπᾷς θέλων γλυκάζειν μύθοις·
ἀλλ' εἰ καὶ δέδρακεν αὐτὸ τοῦτο ὁ Ἀντιφάτης
τῇ δυσχαιρείᾳ φαίης μοι θαλάσσης ἐδεδράκει·
εὔχετο δὲ τῷ ἄνακτι Κύκλωψ τῷ Ποσειδῶνι·
ἤτοι δυσχέρειαν πλοὸς ἐπηύχετο γενέσθαι·
» Ὡς ἔφατ' εὐχόμενος· τῆ δ' ἔκλυε κυανοχαίτης.
Οὕτω συνέβη Ὀδυσσεῖ περὶ τὰν πλοῦν γενέσθαι·
εἰς μέρος ἕτερον ἐλθὼν καὶ γὰρ τῆς Σικελίας,
ὡς εἶπον, πρὶν ἀπώλεσεν ὁλκάδας Ἀντιφάτης·
Ζηνὶ κελαινεφεῖ δε, τανῦν τῇ εἱμαρμένῃ·
λοιπόν μοι τὸ τῆ Κύκλωπος πᾶν ἀλληγορητέον·
ὁ Κύκλωψ ὁ μονόφθαλμος οὐδὲ ἀνθρώπους ἦλεν,
οἱ Ἰσσηδοὶ μονόφθαλμοι ὡς Ἀριστέας γράφει·
» Ἰσσηδοὶ χαίτησιν ἀγαλλόμενοι ταναοῖσι,
» καί σφας ἀνθρώπους εἶναι καθύπερθεν ὁμούρους
» πρὸς Βορέω πολλάς τε καὶ ἐσθλὰς κάρτα μαχητάς·
» ἀφνειὰς ἵπποισι πολύρρηνας πολυβώτους·
» ὀφθαλμὸν δ' ἐν ἕκαστος ἔχει χαρίεντι μετώπῳ·
» καίτησι λασίῃσι πάντων στιβαρώτεροι ἀνδρῶν.

Digitized by Google

Οἱ Ἰσσηδοὶ μονόφθαλμοι οὐ τὰ Κυκλώπων γένη·
ὅπως δ' ὁ Κύκλωψ λέγεται μονόφθαλμος ὑπάρχειν,
καὶ πῶς δαλῷ τετύφλωται, μάνθανε σαφεστάτως·
οἱ Σικελοὶ οἱ Κύκλωπες πλὴν ὀλιγανθρωποῦντες
ὑπάρχοντες καὶ ἄπειροι τῶ ναυπηγεῖν ὁλκάδας,
τοὺς ξένους τοὺς καταίροντας πτοέμενοι ἀνήρουν,
μήπως αὐτῶν κρατήσωσι τῆς χώρας ἐπελθόντες·
οὕτω καὶ Ὀδυσσέα δὲ σὺν δώδεκα τῶν φίλων,
κατάραντα κατέσχηκε Πολύφημος ὁ Κύκλωψ,
καθεῖρξε καὶ ἀνεῖλε δὲ καὶ ἓξ ἐκ τῶν ἑταίρων·
Ἄντιφον, Εὐρυλέοντα, Ἀφήβαντα, Κηφέα.
Στράτιόν τε καὶ Μένετον· καὶ τέτους μὲν ἀνεῖλεν·
οἱ ἓξ περιλειφθέντες δὲ μόνοι μετ' Ὀδυσσέως,
Λυκάων καὶ Ἀμφίαλος, Ἄλκιμος, Ἀμφιδάμας,
Ἀντίλοχος, Εὐρύλοχος βουλαῖς τῶν εὐσυνέτων
ἢ οἴνῳ, ἢ καὶ χρήμασι μεθύσαντες ἐκεῖνον
τὴν θυγατέρα Κύκλωπος τὴν Ἐλπην καλουμένην.
ὅμμα τελέσαν τῷ πατρὶ τινὲς αὐτῶν ἐρῶσαν,
οἴξασαν τέτοις τὴν εἰρκτὴν ἀπέπλεον λαβόντες,
κακτῶν ποιμνίων δὲ πολλὰ καὶ ἕτερα τῶν τέτων·
ἦν δὲ νυκτὸς καιρὸς αὐτοῖς φυγῆς καὶ τῶ ἀπόπλω
ὁ κύκλος ὅχλος σύμπας δὲ δραμὼν ἀκρωτηρίοις
πολλοὺς ἀμαξιαίους μὲν κάτω κλινθέντες λίθους,
πολλὴν δὲ λίθων χάλαζαν ἐκπέμποντες σφενδόναις·
εἰ μὴ ἡ νὺξ ἐμπόδιος ὁράσεως ὑπῆρχεν,
εἴ τ' αὖ κατέκλυσαν αὐτοὺς ὑπερβριθέσι λίθοις,
εἴ τε καὶ συνκατήραξαν αὐτοὺς καὶ τὴν ὁλκάδα.
τοῖς ῥιπτομένοις λίθοις δὲ καὶ τοῖς σφενδονουμένοις,
καὶ ὕστερον τὰς ἕνδεκα συνέτριψαν ὁλκάδας·
οἱ Λαιστρυγόνες βάλλοντες ἐκ τῶν ἀκρωτηρίων,
μετὰ μιᾶς ὁλκάδος δὲ ὁ Ὀδυσσεὺς ἀπέδρα·

Digitized by Google

οὕτω μὲν ἡ διήγησις ἔχει τῆς ἱστορίας·
Ὅμηρος δὲ τῷ νέκταρι τὸν λόγον κεραννύων
τὸ ἄξενον Κυκλώπων τε καὶ ῥώμην αὖξων τούτων,
ὀρῶν ἀκρωτηρίοις που καὶ γίγασιν εἰκάζει·
τὰς δ' ἀναιρέσεις σφᾶς αὐτῶν τῶν Ὀδυσσέως φίλων
κατάβρωσιν ἐκ Κύκλωπος λέγει καὶ Λαιστρυγόνων
μέθην δὲ τὴν ἐν χρήμασι χαύνωσιν πρὸς τὰς φόνους·
τὴν ῥάβδον δὲ τὴν ἀληθῆ τῶ Κύκλωπος ἐπαύξων,
ἴσην ἱστῷ σοι εἴρηκε νηὸς εἰκοσόρου·
τὴν ἁρπαγὴν τῆς Ἕλπης δὲ τῆς θυγατρὸς ἐκείνου,
τὴν γεγονυῖαν ἔρωτι πάλιν κατανομάζει,
τῶ ὀφθαλμοῦ ἐξαίρεσιν δαλῷ δῆθεν ἐρώτων·
τοῦτο τὸ ἀλληγόρημα ξένον οὐχὶ τῶ Τζέτζου·
πλὴν ὄμματος ἡ τύφλωσις ἡ ἐν δαλῷ καὶ μόνη,
ὅση ἡ Ἕλπη ὀφθαλμὸς τῶ Κύκλωπος τελοῦσα,
τοῖς ξένοις συναπέπλευσε λιποῦσα τὸν πατέρα,
καὶ ὅτι προμεμέθυστο τοῖς χρήμασιν ὁ Κύκλωψ·
τὰ δ' ἄλλα σύμπαντα δεινῇ κυμαίνονται τῇ ζάλῃ,
τῶν ὧν τὰ πλείω εἴρηκα καὶ ἠλληγόρηκά σοι·
ἔχεις μὲν τὴν τῶ Κύκλωπος πᾶσαν ἀλληγορίαν,
πλὴν βραχυτάτων· τῇ φειδοῖ τῶ χάρτου παρειμένων.

---

## ΤΟΥ Κ. ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ ΛΕΓΕΙ

Αἰόλον τὸν δεσπότην μὲν δεσπότου τῶν ἀνέμων,
ἀσκῷ βοὸς τῷ Ὀδυσσεῖ δεσμῆσαι τοὺς ἀνέμους,
μόνον αὐτῷ πνεῖν Ζέφυρον ὡς ἥριον ἔασαι,
ἔγγιστα τῆς πατρίδος δὲ νυστάξαι Ὀδυσσέα·
τὸν τῶν ἀνέμων δὲ ἀσκὸν λυσάντων τῶν ἑταίρων,

Digitized by Google

πάλιν νοστῆσαι πρὸς αὐτὰς τὰς νήσους τῆ Αἰόλη,
καὶ πρὸς τὰς Λαιστρυγόνας ἱκέσθαι πλανωμένους·
οὓς περ οἱ μῦθοι λέγουσιν ἀνθρωποβρῶτας εἶναι.
αὐτάνδρους ἀνὴ' ὧν ἕνδεκα συνέτριψαν ὁλκάδας,
καὶ μετὰ Λαιστρυγόνας δὲ πρὸς Κίρκην πεπλευκότας,
τὰς φίλους Ὀδυσσέως μὲν πρῶτον ἐκχειρωθῆναι·
πάλιν ἀνθρωπωθῆναι δὲ αὐτὸν τὸν Ὀδυσσέα,
βουλαῖς Ἑρμῆ τὸ δυσχερὲς ταυτὶ μὴ πεπονθέναι.
Τζέτζης τὸν Ὀδυσσέα δὲ φησὶν ἐκχειρωθῆναι
πλέον τῶν φίλων τῶν αὐτῆ ὑφ' ὁλοκλήρῳ ἔτει,
τῇ Κίρκῃ συγκαθευδόντα πορνείαις τῆς ἐκείνης·
οὕτως ἡ Κίρκη λέγεται καὶ γὰρ χοιροῦν ἀνθρώπους·
κατάρχουσα τῆς νήσου γὰρ οὔσης ὀλιγανθρώπου,
καὶ συῤῥαγὰς πολέμων δὲ τῶν πέριξ πτοουμένη,
πορνεῖα συσκευάσασα, πολλοὺς τοὺς ἐκπλεύντων,
οὕτως ἐποίει κατοικεῖν καὶ συμμαχεῖν ἐκείνῃ·
οἱ τῷ βορβόρῳ γοῦν ἀεὶ κρατούμενοι τῆ πάθους,
καὶ τοῖς πορνείοις μένοντες ἐξοχειρώντο τάχα·
οἱ πρὸς βραχὺ δὲ μείναντες, ἔμπαλιν ὑπεχώρουν,
λύκοι ὁμοῦ καὶ λέοντες ἐκλήθησαν τοῖς μύθοις·
οὗ περ συμβάντος καὶ αὐτοῖς τοῖς Ὀδυσσέως φίλοις,
ἐξ ἑρμηνέως Ὀδυσσεὺς πῶς γνοὺς ἠκριβωμένως,
ὅπως ἐν ταῖς πορνείαις τε καὶ γέ τισὶ φαρμάκοις,
τοὺς ξένους πάντας παρ' αὐτῇ χειροῖ τε καὶ κατέχει·
μῶλυ λαβὼν ἀπέρχεται πορνείοις τοῖς Κιρκαίοις·
τὸ μῶλυ γὰρ καὶ κόνιζα, καὶ ῥάμνος, καὶ ἰτέα,
καὶ ἕτερα μυρία δὲ, μαγείαις ἀντιπράττει·
οὕτως ἐλθὼν ὁ Ὀδυσσεὺς καὶ ὁλοκλήρῳ ἔτει,
τῇ Κίρκῃ συμφθειρόμενος πλέον ἦν πάντων χοῖρος·
ἀλλὰ τὰ Κίρκης ἔφημεν καὶ τὰ τῶν Λαιστρυγόνων·
τὰ τῆ Αἰόλη φράσω δὲ ἄρτι σοι σαφέστατος·

Digitized by Google

Αἰόλες ἄρχων τῶν ἐκεῖ δώδεκα παῖδας εἶχεν,
ὧν περ τὰς κλήσεις μάνθανε, καὶ χρόνον μή μοι νόει·
Περίφας σὺν Ἀγήνορι, Εὐχήνωρ τε ὁ τρίτος,
Κλύμενος, Ξῶθος, Μακαρεὺς, κλήσεις ἀρρένων αἴδε·
Κλυμένη, καὶ Καλλίδοια σύν γε τῇ Εὐρυγόνῃ,
καὶ Λυσιδίκην ἄλλην τε συνάμα τῇ Κανάκῃ
τηρῶν δὲ τὴν ὁμόνοιαν καὶ τὴν ξοργὴν Αἰόλος,
τὰς ἀδελφὰς τοῖς ἀδελφοῖς συνέζευξεν ἐν γάμοις·
ὃς τὸν Αἰόλον χρόνον δὲ καὶ μῆνας ληροῖ τούτοις,
ἐκ τῶν μηνῶν λεγέτω μοι τὶς Μακαρεὺς νοεῖται,
καὶ ποῖος· ἡ Κανάκη δὲ, καὶ οἱ λοιποὶ ὁμοίως·
πῶς τὸν Αἰόλον λέγουσι δεσπότην δὲ ἀνέμων,
καὶ Ὀδυσσεῖ τὸν Ζέφυρον μόνον ἐᾶσαι πνέειν,
ἀσκῷ δεσμῆσαι δὲ πνοὰς καὶ τῶν λοιπῶν ἀνέμων,
ἄσουσι, καί μου μάνθανε τὸ πᾶν ἠκριβωμένως.
Οἱ τελεσταὶ μὲν λέγουσι καὶ οἱ θαυματεργάται,
ἂν ἐξ ἰχθύος τὶς ἀσκὸν ποιήσειε δελφῖνος,
φησήσας τοῦτον δήσῃ τε, πρὸς ἄνεμον δὲ θείη,
ἐκεῖνος μόνος πνεύσειε, στγήσουσι δ' οἱ ἄλλοι·
ἴσως δ' ἂν ὑπολάβοι τὶς καὶ τὸν Αἰόλον τοῦτον
εἶναι τοιοῦτον τελεστὴν καὶ ἔμπειρον τοιούτων,
καὶ οὕτω δράσαι Ζέφυρον τῷ Ὀδυσσεῖ πνεῖν μόνον,
πᾶσαν πνοὴν δὲ τῶν λοιπῶν ἐγκατασχεῖν ἀνέμων·
οὐκ ἔστι τοῦτο εὐδαιμῶς· ἦν δ' οὗτος ὁ Αἰόλος
ναυτιλλομένων φρόντις, καὶ φρόντις ἀνέμων,
ὡς λέγειν πᾶσιν ἀκριβῶς, ποῖος ἀνέμων πνεύσει,
καὶ μέχρι ποίου χρόνου δὲ οὗτος κρατήσει πνέων,
καθάπερ δὴ καὶ Ὀδυσσεῖ ἐκπλέοντι προεῖπεν·
ὁ ἄνεμος ὁ Ζέφυρος οὗτος οὐ λήξει πνέων,
ἕως ἂν ἀποκομίσηταί πρὸς τὴν αὐτοῦ πατρίδα,
εἰ μήπω σὺ βραδύνειας καὶ μελλητὴς φανείης·

Digitized by Google

οὗ γεγονότος καὶ αὐτοῦ ῥαθύμου γεγονέτος,
ἀντίπνους πνεύσας ἄνεμος, στρέφει πρὸς Αἰολίαν·
Ὅμηρος ὕπνον λέγει δὲ τὴν τούτου ῥαθυμίαν·
τὴν ἐναντίαν πνεῦσιν δὲ πάλιν ἀνέμων λέγει,
περὶ ἑταίρων τοῦ ἀσκοῦ τὴν τῶν ἀνέμων λύσιν.
Ἀλλ' ἤδη μὲν εἰρήκειμεν πάντα τὸν νοῦν τῆ κάππα.
ὀπόσος ἦν ἁρμόδιος ἀλληγορεῖσθαι τέως·
νῦν δὲ καὶ πᾶν κατάτμημα χρῆζον ἀλληγορίας,
ἀλληγορήσω προσφυῶς τοῖς τόποις τοῖς ἑκάστου.
Θεοῖς τοῖς ἀθανάτοισι φίλον Αἰόλον λέγει.
τὸν φρόνιμον καὶ ἔννουν δὲ καὶ στοχαστὴν μελλόντων·
τεῖχος δὲ χάλκειον φησὶν, ὡς ὢν τῶν στερροτάτων,
εἴτε τὸ τειχιζόμενον ὅπλοις καὶ στρατιώταις·
ταμίαν δὲ ἐποίησεν ἀνέμων ὁ Κρονίων,
ἤγουν προγνώστην τέθεικεν ὑπάρχειν τῶν ἀνέμων,
ἡ σκοτεινὴ καὶ ἄγνωστος τοῖς πᾶσιν εἱμαρμένη,
εἴτε ὁ νοῦς καὶ λογισμὸς, καὶ φρόνησις οἰκεία·
» Ἄνδρα τὸν, ὅς κε θεοῖσιν ἀπέχθηται μακαρέσσιν·
ὃς ἄφρων, νῦν ἐστιν αὐτῇ μισούμενος φρονήσει,
ἢ καὶ τὸ, ὃς μεμίσηται αὐτῇ τῇ εἱμαρμένῃ·
γυναῖκα ἴσην κορυφῇ τε ὄρους δὲ νῦν λέγει,
ἀγρίαν, ὑψουμένην τε τῷ τύφῳ καὶ μεγάλην·
» Αὐτίχ' ἕνα μάρψας ἑτάρων, ὡπλίσσατο δόρπον·
καὶ μετὰ ἔπη δὲ τινὰ πάλιν φησὶν ὁμοίως·
» Ἰχθῦς δ' ὡς πείροντες, ἀτερπέα δαῖτα πένεντο·
τὰς ἀναιρέσεις τῶν ἀνδρῶν νῦν καταβρώσεις λέγει·
» Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα.
Θεὸς φωνῇ ἀνθρώπῳ δὲ χρωμένη καὶ λαλοῦσα,
ἤτοι σοφὴ ταῖς ἐπῳδαῖς, καὶ ἄρχουσα τῶν τόπων·
οἱ γὰρ ἀστέρες οἱ θεοὶ, στοιχεῖα, καὶ οἱ ἄλλοι
θεοὶ μὲν ὀνομάζονται ἀϋδήεντες δὲ οὔκων

Digitized by Google

Ἥλιον νῦν Ὠκεανὸν ἀκούοντες ἐνθάδε,
πατέρα Κίρκης ἄνθρωπον καὶ βασιλέα νέει,
τὸν, φασίμβροτον, λαμπρὸν ἐν τοῖς ἀνθρώποις νέει·
θεὸς τὶς ἡγεμόνευε, τύχη τίς προηγεῖτο·
θεῶν τις ὠλοφύρατο· ὠκτείρησεν ἡ τύχη·
θεᾶς καλλιπλοκάμοιο, ἀρχούσης βασιλίδος·
θεάων, βασιλίδων νῦν ὁμοίως τῷ προτέρῳ·
ἠὲ θεὸς, ἠὲ γυνὴ, πάλιν αὐτὸ σημαίνει·
ἦ ἦχος ἔστι τῶν ὁρῶν, ἢ καὶ γυνή τις ᾄδει·
φάρμακα ἦσαν δὲ λυγρὰ τῷ σίτῳ μεμιγμένα,
αἱ τῶν πορνῶν νῦν ἐπαφαὶ ἅπερ ἐχοίρουν τούτους·
ῥάβδος ἡ πλήττουσα αὐτοὺς, αἱ ἰῦγγες τὸ πόθεν·
Ἑρμείαν νῦν χρυσόῤῥαπιν, ὃς εἶπε τὰ τῆς Κίρκης·
θεοῦ εὐνὴν, τῆς Κίρκης δὲ τῆς βασιλίδος λέγει·
μῶλυ καλέουσι θεοὶ, καὶ οἱ ἐξῆς θεοί δε,
σοφοὺς τανῦν σημαίνουσιν ἐχ ἕτερόν τι πλέον·
ὁ τῷ Ἑρμῷ δὲ Ὄλυμπος, τὸν οἶκον τὸν ἐκείνου·
ὁ περὶ Ὀδυσσέως δὲ Ἑρμῆς εἰπὼν τῇ Κίρκῃ,
τὶς ἑρμηνεὺς ἠκούετο πλανᾶσθαι γὰρ ἐκ Τροίας·
αἱ τέσσαρες ἀμφίπολοι τῆς Κίρκης τὶ δηλοῦσιν;
ἔχειν ἐκείνην ἄφθονα τὰ ἐξ ὡρῶν τεσσάρων·
σὺ μὴ κιρκαίως Κίρκην δὲ τὸν χρόνον ὀνομάσῃς·
πῶς γὰρ Τηλέγονον γεννᾷ χρόνος ἐξ Ὀδυσσέως·
καὶ τὰ λοιπὰ πῶς φαίη τίς τῆσδε τῆς ἱστορίας;
ἡ ῥάβδος καὶ τὸ φάρμακον τὸ βροτουργοῦν ἐκ χοίρων,
ἡ μετ' ὀργῆς παραίνεσις ἐστὶ καὶ νουθεσία·
εἰς Ἅιδην δὲ κατέλευσιν καὶ χρῆσιν Τειρεσίου,
βουλοῖς τῆς Κίρκης νόησον πῶ τῶν ἐκεῖσε τόπων,
τὸν Ὀδυσσέα χρῆσθαι δὲ ταῖς αἱματομαντείαις
σὺν τοῖς ἐκεῖσε μάντεσι καὶ μάγοις ὑπηργμένους,
ἀναγαγεῖσιν εἴδωλον ψυχῆς τοῦ Τειρεσίου,

Digitized by Google

130 ἐξ οὗ πάντα μεμάθηκεν ὁπόσων χρείαν εἶχεν·
τίς ἂν θεὸν οὐ θέλοντα ἐν ὀφθαλμοῖσιν ἴδοι;
τὶς ἂν σοφοῦ μὴ θέλοντος οἰκονομίαν γνοίη;

---

## Ἡ ΛΑΒΔΑ ΔΕ ΥΠΟΘΕΣΙΣ ΕΣΤΙ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ.

Αὐτὸς λαβὼν ὁ Ὀδυσσεὺς τὰς Τειρεσίου χρήσεις,
ἃς κατελθόντι ἔχρησεν αὐτῷ περὶ τὸν Ἅδην,
καὶ τὴν μητέρα εἶδε τε καὶ πόσας ἡρωΐδας,
τινὰς τῶν ἐν τῇ Τροίᾳ τε καὶ τὰς κολαζομένους,
πῶς τότῳ Κίρκη ὄπισθεν ἀγρίας πνοὰς πέμπει,
πέμπειν ἀνέμους Ὀδυσσεῖ οὐκ εὐσθενὴς ἡ Κίρκη·
πνοὴν δ' ἰδοῦσα ἄγριον ἐκέλευσε πλεῖν τᾶτον.
» Ἡ δ' ἐς πείραθ' ἵκανε βαθυρρόου Ὠκεανοῖο·
» ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε
» ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
» ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν.
Τὰς Κιμμερίους οἱ πολλοὶ ἔθνος φασὶν ὑπάρχειν
περὶ τὰς Ταυροσκύθας τε καὶ τὴν Μαιώτιν λίμνην,
οἳ περ ἀφώτιστοί εἰσιν ἠλίου σὺχ ὁρῶντες·
ἐν σκότει δὲ διάγουσιν, ἔκ τε νυκτὶ βαθείᾳ
ἡμέρας τεσσαράκοντα καιρὸς δ' αὐτοῖς τῇ σκότος·
ἄλλοι δ' ἄλλ' ἀψευδέστατα λέγουσι περὶ τούτων·
καὶ θεῶν ἐν συνάψει δὲ συντάξεως μεγάλης
ἔκμηνον φῶς καὶ σκότος δὲ λέγει τοῖς Κιμμερίοις.
Ὅμηρος Κιμμερίους δὲ παρ' Ἰταλίαν λέγει,
καὶ ἀφωτίστους εἶναι τούτους φησὶν ὑπάρχειν,
καὶ τᾶτα θάρυβον πολὺν τοῖς φυσικοῖς παρέσχεν·
εἰσὶ δὲ οἱ Κιμμέριοι μέρος βραχὺ καὶ δῆμος

Digitized by Google

ἔθνους τινὸς Ἰταλικοῦ· αἱ δὲ οἰκήσεις τέτων
ἐν φάραγξι καὶ κοίλοις τε καὶ βαθυτάτοις τόποις,
καὶ ὅλως ἥλιος αὐτοῖς ἀβόλως ἐπιλάμπει·
ἐκεῖ καὶ λίμνη τις ἐστι Σιάχα καλεμένη,
ἣ καὶ τὰ φύλλα πίπτοντα βυθίζεται τῶν δένδρων·
ἐκεῖ δὲ καὶ μαντεῖον ἦν ψυχαγωγὸν ἀνθρώπων,
οἱ Ὀδυσσεῖ (ἐξαίροντες πᾶσαν) τὴν ἁμαρτίαν,
ἀναγαγόντες δεῦθεν τε ψυχὴν τοῦ Τειρεσίε,
δι' αὐτοῦ μὲν μαντεύονται πάντα τῷ τοῦ Λαέρτε,
καὶ πάντα δὲ δεικνύουσι τὰ τῶν νεκρῶν καὶ ζώντων·
ὅθεν εἰς Ἅιδε λέγουσιν ἐλθεῖν τὸν Ὀδυσσέα·
θεῶν δὲ μήνιμα δηλοῖ ὀργὴν ἐξ εἱμαρμένης·
θεὸς σε νόσον χαλεπὸν θήσει, ἡ εἱμαρμένη,
ἣ καὶ ἡ θάλασσα αὐτὴ, ὡς κατωτέρω λέγει·
» Χωόμενος ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας·
ἡ θάλασσα φρουρεῖται γὰρ παρὰ τῶν ὁμορούντων,
ἁρπάσαντα τὴν Κύκλωπος παῖδα δὲ σχεῖν ζητοῦντα.
» Ὁππότε δὴ πρῶτον πελάσας εὐεργέα νῆα
» Θρινακίῃ νήσῳ, προσφυγὼν ἰοειδέα πόντον,
» βοσκομένας δ' εὕρητε βόας καὶ ἴφια μῆλα
» ἠελίου, ὃς πάντ' ἐφορᾷ, καὶ πάντ' ἐπακούει.
Βοᾶς ἠελίε νῦν τὰς ἀροτῆρας λέγει,
ὡς καὶ ἀρχῇ προείπομεν τῆς ἄλφα Ὀδυσσείας,
καὶ πάλιν δὲ πλατύτερον ἃ δέον γράφω ταῦτα·
τοῖς ἀθανάτοις δὲ θεοῖς, τῇ εἱμαρμένῃ λέγει,
καὶ τοῖς στοιχείοις δὲ αὐτοῖς τοῖς ὑρανίοις μόνον·
Λιὶ καὶ τῷ Ἡλίῳ τε, ἤτοι πυρὶ, ἀέρι
ταῦτα σου ἐπεκλώσαντο θεοὶ, ἡ εἱμαρμένη·
» Ἡ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα·
Ἄρτεμις ἰοχέαιρα, ἡ νόσος ἡ ὀξεῖα,
ὡς γὰρ πολλάκις ἔφημεν τὰς νόσους τὰς ὀξείας

Digitized by Google

σελήνῃ, τῷ ἡλίῳ τε οἱ παλαιοὶ προσῆπτον·
ὡς κἀντῷ ἐπιδείκνυται τόδε συμφανες-έρως,
μᾶλλον τῶν ἄλλων πλέον δὲ ὀξέων νοσημάτων
τὰ ἐκ λοιμῶ νοσήματα προσῆπτον τοῖς ῥηθεῖσι·
ἡ Περσεφόνη, μοῖρα τε καὶ θάνατος κάς-α·
παῖς εἶναι λέγεται Διὸς αὐτῶς τῆς εἱμαρμένης·
ἡ Περσεφόνη πάλιν δὲ, ὁ τόπος ὁ τῦ Ἅδυ,
παῖς εἶναι λέγεται Διὸς, τῦ εὐδουργῦ ἀέρος·
ὃς πρὶν ἐξ ὕλης κινηθεὶς, διήρθρωσε τὰ πάντα,
ὡς περ νεανιεύονται δόξαι σοφῶν Ἑλλήνων·
Τυρὼ τῦ Ἐνιππέως μὲν ἀνθρώπυ τινὸς ἦρα,
ἐξ οὗ τὴν κλῆσιν Ἐνιππεὺς ὁ ποταμὸς ἐσχήκη,
ἀντὶ τῦ Ἐνιππέως δε τὶς ποταμὸς τὴν κλῆσιν,
ἐμίγη ταύτῃ τῇ Τυροῖ· ἢ τὶς τῶν ἐκ θαλάσσης·
Διὸς ἐν τοῖς ἀγκοίνησι, τετέ-τι βασιλέως·
θεοὶ θέσαν ἀνάπυς-α, θεῶν βελάς τε πάλιν,
τὴν εἱμαρμένην νόει μοι τῇδε τὰ ἔπη λέγειν·
ἡ χαλεπὴ κατέδησε μοῖρα θεοῦ, ὁμοίως.
» Ἡ ῥ ἐπὶ Τυνδάρεω κρατερόφρονε γείνατο παῖδε
» Κάς-ορά θ' ἱππόδαμον, καὶ πὺξ ἀγαθὸν Πολυδεύκην
» τοὺς ἄμφω ζωοὺς κατέχει φυσίζοος αἶα·
» οἳ καὶ νέρθε γῆς τιμὴν πρὸς Ζηνὸς ἑλόντες
» ἄλλοτε μὲν ζώουσ' ἑτερήμερος· ἄλλοτε δ' αὖτε
» τεθνάασιν· τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσιν·
Γῆν ζῶντες ἔχειν λέγουσι Κάς-ορα, Πολυδεύκην,
διὰ τὸ δίκαιον αὐτῶν καὶ ἀρετὰς τὰς ἄλλας·
οἱ ἀρεταῖς βιῶντες γὰρ ζῶσι καὶ τεθνηκότες·
διὰ Θησέα γὰρ αὐτοὶ στρατεύσαντες Ἀθήνας,
τὴν ἀδελφὴν τὴν ἑαυτῶν ἀπέλαβον Ἑλένην,
καὶ μόνην ἡχμαλώτησαν μητέρα τῦ Θησέως,
τῶν δ' ἄλλων πάντων οὐδὲ εἷς ἄχρι τριχὸς ἐβλάβη

Digitized by Google

δι' ἃ καὶ νέρθεν ὄντες γῆς τιμαῖς τῆς εἱμαρμένης,
ἡμέραν παρ' ἡμέραν μεν τοῖς εὐηργετημένοις
ὥς περ θεοὶ τετίμηνται ἀςέρες καὶ ςοιχεῖα,
καὶ ψυχικαὶ δυνάμεις δε δίκαιον σὺν φρονήσει·
ἐν τῇ μιᾷ ἡμέρᾳ μεν ὑμνούμενοι ὡς ζῶντες,
ἐν τῇ ἑτέρᾳ πάλιν δε, τρόπῳ τῶν τεθνηκότων·
Ἰφιμεδείας δὲ τινὸς γενναίου Ποσειδῶνος,
Γίγαντες νέοι ἄθεοι γεννῶνται τῶν ἀφρόνων,
ὧν περ αἱ κλήσεις Ὦτος τε καὶ Ἐπιάλτης ἦσαν,
οὓς ψυχικῶς, ςοιχιακῶς ἐν ςίχοις ἰαμβείοις
τρότερον ἠλληγόρησα· νῦν δὲ πραγματικῶς σοι·
τὰς ἀφροσύνας Ὅμηρος ἐκείνων παρεισφέρει,
καὶ πῶς λοιμῷ τεθνήκασιν Ἀπόλλωνος τοξείᾳ·
ζῶντες δὲ καὶ τὸν Ἄρεα μυθεύονται δεσμῆσαι,
ὅτι πάντας κατέπαυσαν σφῶν ῥώμῃ τοὺς πολέμους,
τὴν Ἀριάδνην Μίνωος τελοῦσαν θυγατέρα,
Θησέως ἄγοντος αὐτὴν Ἄρτεμις Νάξῳ κτείνει·
οἱ δε φασὶ Διόνυσον ταύτην ἁρπάξαι Νάξῳ·
ὁ Τζέτζης εἰρηνεύων δε καὶ διαλύων μάχας,
ἕν σοι τὰ δύο καὶ ταὐτὸν νῦν λέγω πεφυκέναι·
οἴνου πόσει θανοῦσα γὰρ ἡρπάγη Διονύσῳ·
ἐπεὶ τῶν νοσημάτων δε τῶν ὀξυτάτων πάντων
αἴτιος εἶναι λέγεται ἥλιος καὶ σελήνη,
εὐλόγως γράφει νὶν, αὐτὴν, τὴν Ἄρτεμιν φονεῦσαι,
καὶ τὸν ἐξ οἴνου θάνατον σεμνῶς σοι παρεμφαίνει·
ταῖς Διονύσου ἐκβοῶν κτεῖναι δὲ μαρτυρίαις,
ἤγουν ὀξέως τέθνηκεν οἴνου ἀμέτρου πόσει·
θεῶν ἰότητι φησὶ, βουλαῖς τῆς εἱμαρμένης·
Ζεὺς νῦν εὐρύοπα, ἐςὶν αὕτη ἡ εἱμαρμένη,
ἣ ἔςι μεγαλόφωνος καὶ περιθρυλλουμένη·
» Τεύχεσιν ἀμφ' Ἀχιλῆος· ἔθηκε δὲ πότνια μήτηρ·

Digitized by Google

» παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη.
Ἡ περὶ ὅπλων γέγονε κρίσις ἐγγὺς θαλάσσης,
τὴν θάλασσαν γνώσεις δὲ πῶς μήτηρ Ἀχιλέως
παῖδες δὲ Τρώων δίκασαν· εὐχμέλωται τὴν κρίσιν,
καὶ ἡ Παλλὰς Ἀθήνη δὲ, οἱ φρόνιμοι Ἑλλήνων·
πῆμα θεοὶ δὲ ἔθεσαν, αὐτὴ ἡ εἱμαρμένη·
ὁ Ζεὺς ὁμοίως τὸν στρατὸν ἠχθηρεν, εἱμαρμένη.
» Καὶ Τιτυὸν εἶδεν, γαίης ἐριαύχεα νιόν.
Ὁ Τιτυὸς παῖς θυγατρὸς Ὀρχωμενοῦ Ἐλάρας,
τὴν ἣν ταφεῖσαν ἔγγυς οὖσαν σωματεμέντες,
Καισάρων πάντων πρώτιστον τὸν Τιτυὸν ἐξόξεν·
ὅθεν καὶ λέγουσιν αὐτὸν γῆς παῖδα πεφυκέναι
» Λητὼ γὰρ ἦλκωσε Διὸς κυδρὴν παράκοιτιν.
Λητὼ καὶ νυὸξ καὶ ὁ αἰθὴρ, ἓν, σύνευνος ἄερος·
τὴν Λητὼ, νύκτα πῶς δὲ Τιτυὸς ἦν τραυματίζων,
πάντας γεῦν ἁμαρτήσαντας ἀνθρώπους ἐν τῷ βίῳ,
καὶ Ἕλληνες ἐδόξαζον ἐν Ἅδῃ τιμωρεῖσθαι·
ὡς τῦτον τε καὶ Τάνταλον καὶ Σίσυφον σὺν τέτοις,
οὓς αἱματομαντείαις νῶν καὶ οὗτος ἰδεῖν λέγει·
ἀρχιερεὺς καὶ ἄρχων δὲ ὁ Τάνταλος ὑπάρχων,
ζῶν τὰ θεῶν μυστήρια εἰπὼν, ἐτιμωρήθη,
ἃ καὶ ἠλληγορήσαμεν ὅπερ ὑπῆρχε θέον·
ἐν Ἅδῃ δὲ κολάζεσθαι τῦτον φασὶ τοιῶσδε.
Ζηνὸς μὲν παῖς ὁ Ἡρακλῆς ὑπῆρχε βασιλέως,
καὶ ἀστρολόγου μάντεως, μάγου, σοφοῦ τοῖς πᾶσι·
πλείστους δεδμῆσθαι Εὐρυσθεῖ κελεύει δ' ὁ Κρονίων,
καὶ εἱμαρμένη προφανῶς καὶ τῦτο ἐστέον·
τὸν Ἡρακλέος Ἅδην δὲ νῶν ἀλληγορητέον·
Ἅδης ὑπῆρχε βασιλεὺς τῆς Μαλοσσίας χώρας·
τέτῳ τὴν κλῆσιν Κέρβερος μέγας ὑπῆρχε κύων·
θυγάτηρ δὲ ὡραία τις ἦν κρυβομένη Κόρη·

Digitized by Google

ἦν ὁ Πειρίθους καὶ Θησεὺς μέλλοντες ἐφαρπάσαι,
ὁ μὲν Πειρίθους βέβρωκτο Κερβέρῳ τῷ ῥηθέντι·
Θησεὺς δεσμοῖς δὲ κρατηθεὶς, ἦν ἐν τοῖς Ἅδου δόμοις·
ὁ Ἡρακλῆς δὲ Εὐρυσθεῖ πρὸς Ἅδην ϛαλεὶς τοῦτον,
ἐν ἑρμηνεῖ φρονήσει τε, ἃ ὁ Ἑρμῆς, Ἀθήνη,
ἀνάγει καὶ τὸν Κέρβερον, ἀνάγει καὶ Θησέα·
πρὸς τὴν ὁμωνομίαν δε ὁ Ὅμηρος νῦν παίζων,
ταῖς Εὐρυσθέως προϛαγαῖς τὸν Ἡρακλῆ τὸν μέγαν,
πρὸς Ἅδην ἀνυπόϛροφον, νῦν κατελθεῖν σοὶ λέγει,
μὴ κεφαλήν μοι τῆς Γοργοῦς ἡ Περσεφόνη πέμψῃ,
μὴ φόβον καὶ κατάπληξιν καὶ τῶν φρενῶν ἐκϛαίην.

---

## ΤΗΣ ΜΥ ΔΕ Η ΥΠΟΘΕΣΙΣ ΚΑΙ ΝΟΥΣ ΕΣΤΙ ΤΟΙΟΣ ΔΕ.

Πρὸς Κίρκην Ὀδυσσεὺς φησὶν ἃ κατεῖδεν εἰς Ἅδην·
αὐτὴ προλέγει τούτῳ δε πῶς πλεύσει τὰς Σειρήνας,
καὶ Σκύλλαν καὶ τὴν Χάρυβδιν καὶ τὰ βοῶν ἡλίου,
ἀπόλειαν τῶν φίλων τε νηὸς κεραυνωθείσης,
πῶς τε σωθῇ πρὸς Καλυψὼ μόνος νηὸς ἐν ξύλῳ.
» Νῆσον τ' Αἰαίην, ὅθι τ' ἠοῦς ἠριγενείης
» οἰκία καὶ χοροί εἰσι, καὶ ἀντολαὶ ἠελίοιο·
ἤγουν οὗ φῶς καὶ ἥλιος, οὗ σκότος Κιμμερίων·
» Ὥς τοι ἐγὼν ἐρέω· μνήσει δέ σε καὶ θεὸς αὐτός·
καὶ ἡ ψυχή σου δὲ αὐτὴ σὲ ἀναμνήσει τούτων·
» Σειρῆνας μὲν πρῶτον ἀφίξεαι αἵ ῥα τε πάντας.
Αὗται πόρναι περίφημοι καὶ ᾠδικαὶ ὑπῆρχον,
καὶ πτοηθεὶς ὁ Ὀδυσσεὺς μὴ συσχεθῇ καὶ ταύταις,
τὰς πέντε τῶν αἰσθήσεων ἐμφράττει, τὰς καὶ φίλους·
οὐ γὰρ τὰ ὦτα ἔχρισεν ἑταίρων ἐν κηρίῳ



Digitized by Google

τὸν νεῶν μεταφίσσας τε ἐκ ἂν ἐῤῥῷ κρὰς δὲ,
κρίσσα δ' ἀρίζηλα λοιγαμοῖς παρέπλεσσεν ἐκείνας·
πλεκτὰς πελέσσας Διὸς· νῦν τὰς σφετέρας μὰ κόα.
» Τῇ μὲν τ' εἰδὲ πατὴρ παρέρχεται, αὐτὰρ πέλεια
» τρήρωνες, ταύτ' ἀμβροσίην Διὶ πατρὶ φέρουσι.
Δαπὸ λέγων τὸν Ὄμηρον ἐν τῷδε τῷ χωρίῳ,
μηδὲ τὸ ἄστρον φαίνεσθαι ἐκεῖσε τῶν Πλειάδων,
ὡς ἐν τῇ ἀμαθρᾷ φησὶ πάλιν ὁ Ἀνθεμέρας,
αὐτὴν τὴν Ἄρατον μηδεμιᾶς τὸ ἄστρον ἀκθερᾶσθαι·
αἱ δὲ Πλειάδες σφᾶν πατρὶ Διὶ, τῷ οὐρανῷ δε,
φέρουσιν, ἅτα ἔχουσιν τὴν δὲ τὴν ἀμβροσίαν,
ἢ φέρουσι, παρέχουσι τὴν δε τὴν ἀμβροσίαν·
σφᾶν ἑσπερία δύσει μὲν σπόρου καιρὸν σημαίνει,
ἀνατολαῖς ἐώαις δὲ, τὸ θέρος καταγέλλει·
ἄλλων ἀνίκητα πατὴρ, ἅτα ἡ εἰμαρμένη.
» Ἀλλ' Ἥρη παρέτρεψεν· ἐπεὶ φίλος ἦεν Ἰήσων·
ἀὼρ δὲ τῷ Ἰάσονι φίλος ἦν, πνεύσας τότε
» Ἔνθα δ' ἐνὶ Σκύλλα καὶ δεινὸν λελακυῖα
Σκύλλα δὲ ἀκρωτήριον περὶ τὴν Σικελίαν,
δίσπλαγκτόν τε καὶ ὀλέθριον τοῖς πλέουσιν ἐκεῖσε,
καὶ σκυλικάμας ἐξ ἁπάσης ἔχον ἐκτεταμένας,
ὑφάλους πέτρας τε πολλὰς καὶ σμυροφὰς ῥευμάτων,
καὶ σκόλον πρὸς σκοπὰς (ἀκτὰς), καὶ ῥόχθον τῶν κυμάτων,
θηρία τε θηλέοντα ἐκεῖσε περιπλέει,
ἃ φθειρομένων τῶν νεῶν τοὺς ἄνδρας κατεσθίει,
κἄκ τῶν ὀλκάδων δὲ τινὰς πολλάκις ἁρπάζει·
ἀνάγκη γοῦν (τοὺς) πλέοντας πρὸς τέσσαρας τοὺς κινδύνους,
ἢ προφανῶς καὶ καρπερῶς χρωμένους εἰρεσίαις,
τρεῖς μόνους ἢ καὶ τέσσαρας λιπεῖν ἐκ τῶν ἑταίρων,
ὑποπεπωκότας τῷ σφαδρῷ τῇ ῥάμνῃ τῶν κυμάτων·
βορὰν γενέσθαι τοῖς θηρσὶ, τοὺς δὲ λοιποὺς σωθῆναι,

Digitized by Google

ἦ ῥαθυμίᾳ σύμπαντας φθαρῆναι σὺν ὀλκάδι·
τὰ τῶ Σκυλλαίω ταχθὲ μετέπεσεν εἰς μυθον·
τῇ Σκύλλῃ οὐ γηθήσειεν, οὐδὲ θεὸς ἀντήσαι,
μεγάλως πτοηθείη τὶς, οὐ δ' ἀβλαβῶς παρέλθοι
Σκύλλης τὸν πλῶν κάν περ σοφὸς, ὥς τε φησὶ, τυγχάνει·
ἤτοι σοφὸς καὶ τελεσ-ὴς, καὶ ἐπῳδὸς καὶ μάγος
οὐδὲ θεοῖς ὑπείξειαν θεὸν νῦν τὰ σ-οιχεῖα·
» Ἡ δέ τι οὐ θνητὴ, ἀλλ' ἀθάνατον κακόν ἐσ-τιν·
ἡ Σκύλλα ζῶσν, Ὀδυσσεῦ, κύων θνητὸς οὐκ ἔσ-ιν,
ἀλλὰ θαλάττης μέρος τὶ ναυτιλλομένοις, οἷον,
» Ἀλλὰ μάλα σφοδρῶς ἐλάαν, βωσ-ρεῖν δὲ Κραταιὶν,
» μητέρα τῆς Σκύλλης· ἣ μιν τέκε πῆμα βροτοῖσιν,
» ἦ μιν ἔπειτ' ἀποπαύσει δ' ἐς ὕσ-ερον ὁρμηθῆναι·
Βλέπε νῦν γέροντος χρυσοῦ καὶ μελιχρὸν καρδίαν,
καὶ ὀνομάτων πλάσματα· θέλων εἰπεῖν γὰρ τῇδε
ὡς πρὸς τὴν Σκύλλαν πολεμεῖν, ὦ Ὀδυσσεῦ, οὐ δέον,
ἐν κραταιᾷ δυνάμει δὲ ναύτας βοᾷν ἐλαύνειν,
οὕτω γὰρ ἂν ἐκφύγητε καὶ δεύτερον βλαβῆναι·
καὶ κραταιὰ γὰρ δύναμις ἐτέκνωσε τὸ ῥεῦμα,
Σκύλλαν καὶ Κράταιΐν φησὶ, καὶ ταύτης παρακλήσεις,
καὶ ἐξ αὐτῆς ἀπόπαυσιν, παιδὸς αὐτῆς τῆς Σκύλλας.
» Θρινακίην δ' ἐς νῆσον ἀφίξεαι, ἔνθα δὲ πολλαὶ
» βόσκονται ἠελίοιο βόες καὶ ἴφια μῆλα·
» ἑπτὰ βοῶν ἀγέλαι τόσα δ' οἰῶν πώεα καλά·
» πεντήκοντα δ' ἕκασ-α· μένος δ' οὐ γίγνεται αὐτῶν,
» οὐδέποτε φθινήθουσι. θεοὶ δ' ἐπιποιμένες εἰσί.
Τῇ ἄλφα τῆς παρούσης βίβλου τῆς Ὀδυσσείας
τοὺς ἀροτῆρας ἔφημεν βόας ἠλίου εἶναι·
ἰσ-έον ὡς καὶ βόας δὲ καὶ πρόβατα καὶ ἵππους,
καὶ ἅπαν ζῶον ἕτερον καὶ ἄλση καὶ φυτὰ δὲ
ἡλίῳ ἐνετίθεντο, ἀέρι, καὶ τοῖς ἄλλοις·

Digitized by Google

ὐδὲν τοιοῦτον ζῶον δὲ τὶς ἀνελεῖν ἐτόλμα,
οὔτε τὸ ἄλσος δὲ τεμεῖν· ἀεὶ δὲ ἐτηροῦντο
ἐν τῇ αὐτῇ ποσότητι τῶν ϛείρων πεφυκότα·
κἂν ἐτεθνήκει τὶ αὐτῶν, πάλιν ἀπεπληροῦτο·
αἱ τῶν βοῶν ἀγέλαι δὲ ἡλίῳ καὶ προβάτων
ἑπτὰ μὲν ἦσαν ἔχουσαι ἀνὰ πεντηκοντάδος,
καὶ φύλακα Φαέθουσαν ὁμοῦ καὶ Λαμπετίην·
εὐλόγῳ λόγῳ προσφυεῖ καὶ χρόνῳ καὶ ἡλίῳ·
πεντήκοντα καὶ δύο γὰρ ἔτους αἱ ἑβδομάδες,
ποιητικοὶ δὲ ἀριθμοῖς ἀστηρτισμένοις χρῶνται·
ἡμέραι δὲ πεφύκασι φρουρεῖν τὰς ἑβδομάδας·
αἱ ἑβδομάδες μῆνας δε, μῆνες δὲ πληροῦν χρόνον·
κἂν μῆνας παραλέλοιπεν εἰπεῖν τῇ συντομίᾳ,
καὶ τῷ μὴ θέλειν φανερῶς δεῖξαι γυμνὸν τὸν μῦθον·
ἐπεὶ τοῖς Ὀδυσσέως δε συμπέπτωκεν ἑταίροις
φαγοῦσι τούτων τῶν βοῶν, πάντας θανεῖν θαλάσσῃ
ἐκτρέπων πάντας Ὅμηρος πράξεων τῶν ἀθέσμων,
τὶ οὐ ποιεῖ, τὶ οὐ λαλεῖ κενοῦν εἰς νουθεσίαν;
φέρει καὶ γὰρ τὸν ἥλιον ἐν προσωποποιΐᾳ
ἀγανακτοῦντα περιττῶς, ζητοῦντα τιμωρίαν,
καὶ τῶν βοῶν τοῖς ὀβελοῖς μυκώμενα τὰ κρέα,
καὶ καθερπούσας βόρσας δε καὶ ἕτερα μυρία
ἅ περ κολάϛικώτερον ἂν εἶπε ῥήτωρ γράφων,
τοῖς ὀβελοῖς ἂν εἶπε τὶς μυκᾶσθαι τότε κρέα·
Ζεὺς ὦσεν ἄνεμον ζωήν, ὁ οὐρανὸς ἐνθάδε·
σπηλαίῳ ἦσαν τὰ Νυμφῶν, γλυφαὶ τῶν Νηρηΐδων·
ἠράμην πάντεσσι θεοῖς, ἀέρι καὶ ϛοιχείοις·
ῥέξομην ἀθανάτοισι, ϛοιχείοις, εἱμαρμένῃ·
ἕψονται ἄλλοι δὲ θεοὶ, ἀστέρες ἢ ϛοιχεῖα·
Ζεῦ πάτερ, ἦγουν ὦ ἀὴρ καὶ τὰ λοιπὰ ϛοιχεῖα·
ὁ γὰρ ἀὴρ καὶ τὰ ὑγρὸν εἰώθην ὑποφέρειν·

Digitized by Google

ἡ Λαμπετίη ἄγγελος ἀπέρχεται ἠλίῳ·
ἑβδόμην Ζεὺς ἐποίησεν, ὁ ὑρανὸς, ἡμέραν·
ἀποκατάστασις καὶ γὰρ τῇ ὑρανῇ ἡμέρα·
Διὸς πληγεῖσα κεραυνῷ, νεφῶν τε καὶ ἀέρος·
θεὸς, ἡ εἱμαρμένη δε τὸν νόστον ἀφηρεῖτο·
Σκύλλην ἐμὲ δὲ ὁ πατὴρ, ἤγουν ἡ εἱμαρμένη·
οὐκ εἴασε θεάσασθαι τί δὲ ἂν ἐθέλῃς;
ὁ πᾶς φόβος ἐν Σκύλλῃ γὰρ μὴ καταχθῇ τὸ πλοῖον,
καὶ οἱ πλωτῆρες ὕδασιν ἐμπέσωσι θαλάσσης·
σὺ δὲ πεσὼν τι δέδοικας ἔτι λοιπὸν τὴν Σκύλλαν;
εἰ μήπω φὴς ποτοσύμενος μὴ ἐντυχεῖν θηρίῳ·
καὶ τὸ πεσεῖν εἰς θάλασσαν, πᾶς φαίη δεινὸν λέγει·
πρὸς τοῦτο· τοῦτο δὲ φημί· ὁ παίζων τῇδε γράφει·
ὅτι μετὰ τὴν ἔκπτωσιν, ἣν πέπτωκε θαλάσσῃ,
ὁ Ζεὺς ἐκεῖνον κατεδεῖν ὐκ εἴασε τὴν Σκύλλαν·
θεοὶ ἐς νῆσον πέλασαν, ἤδη τὴν Ὠγυγίαν·
στοιχεῖα θάλασσα αὐτὴ καὶ αἱ πνοαὶ ἀνέμων·
θεοὶ καὶ εἱμαρμένη δε νοεῖται γὰρ ἐνθάδε·

---

ΑΥΤΗ ΕΣΤΙΝ ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ν. ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ.

Μετὰ τῶν δώρων Φαίακες τὸν Ὀδυσσέα τῇδε
κοιμώμενον ἐξάγουσιν εἰς γῆν τὴν τῆς Ἰθάκης·
τῷ δ' ὑποῤῥέφειν Ποσειδῶν τέτων λιθοῖ τὴν νῆα·
τῷ δ' Ὀδυσσεῖ δὲ Ἀθηνᾶ κτεῖναι μνηστῆρας λέγει·
τὰ δ' ἐκ Φαιάκων χρήματα τέτε σπηλαίῳ κρύπτει·
αὐτὸν δὲ μετεμόρφωσεν, ὡς περ μορφὴν γερόντων·
Ζηνὶ κελαινεφεῖ δε, ἄρτι τῇ εἱμαρμένῃ
θεοὶ οἱ ὐρανιώνιες, ὁμοίως εἱμαρμένη·

Digitized by Google

καὶ τὸ θεοὶ δὲ ἀρετὴν ἀπάσειαν, ὡσαύτως
Διὶ πατρὶ, ὁμοίως δέ· οἱ οὐρανοὶ, ὁμοίως,
δηλοῦσιν εἱμαρμένην τε, δηλοῦσι καὶ στοιχεῖα·
» Ἄνδρα φέρουσα, θεοῖς ἐναλίγκια μηδὲ ἔχοντα·
ταῖς ψυχικαῖς δυνάμεσιν ὅμοιον καὶ ἀγχίνουν·
» Ἱρὸν Νυμφάων, αἱ Νηϊάδες καλέονται·
ὅσα φασὶν ἐν ἱερῷ, τῷ τῶν Νυμφῶν ἃ λέγει,
κρητῆρες τε καὶ ἀμφορεῖς· ἱστοὶ πορφύρας, φάρη,
λιθόξεστα μιμήματα ἦσαν καὶ εἰκασίαι.
» Αἱ μὲν πρὸς Κορέω καταβάται ἀνθρώποισιν·
» αἱ δ' αὖ πρὸς Νότον εἰσὶ θεώτεραι· οὐδέ τι κείνῃ
» ἄνδρες ἐπέρχονται· ἀλλ' ἀθανάτων ὁδὸς ἐστί.
Αἱ μὲν βαταὶ τυγχάνουσι τοῖς σύμπασιν ἀνθρώποις,
αἱ δὲ εἰσὶ θεώτεραι καὶ ἱερέων μόνων·
» Ὅπασαν οἴκαδ' ἴοντι διὰ μεγάθυμον Ἀθήνην·
διὰ τὴν φρόνησιν αὐτὴν δεδώκασι τὰ δῶρα·
» Αὐτοὶ δ' αὖτ' οἶκον πάλιν κίον· οὐ δ' Ἐνοσίχθων
» λήθετ' ἀπειλάων, τὰς ἀντιθέῳ Ὀδυσσῆϊ·
Φαίακες δ' ὑπεστρέφοντο δεινῇ τῇ τρικυμίᾳ,
ἐν πέτραις διεφθάρησαν ῥαγείσης τῆς ὁλκάδος·
τὴν τρικυμίαν Ὅμηρος πλάττει δὲ Ποσηδῶνα,
ὡς πρὸς τὸν Δία οὐρανὸν ἅ περ φησὶ λαλοῦντα,
καὶ Δία πάλιν πρὸς αὐτόν· ἃ Ποσειδῶν δὲ λέγει·
» Ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ' ἀλεείνω.
Καλῶς φησὶν ἡ θάλασσα· κλύδωνας γὰρ οὐκ ἔχει,
ἂν οὐρανός τε καὶ ἀὴρ τελῶσι τῶν νηνέμων·
τὴν τῆς νηὸς ἀπώλειαν ἣν ἔφη περὶ πέτρας,
καὶ πρὸς τοὺς Φαίακας φησὶ φθόνον ἐκ Ποσειδῶνος·
ἀνθ' ὧν ἐτέλουν ἄριστοι φθόνον ναυτιλλομένων·
τὸ, τῇ θαλάσσῃ νῆα δὲ ῥαισθῆναι τῶν Φαιάκων,
καὶ μέγα ὄρος τούτων δὲ τὴν πόλιν γεγονέναι·

Digitized by Google

ἐκ παλαιῶν τοῖς Φαίαξιν ἠκούετο τῶν χρόνων·
ἡ Ἀθηνᾶ τῷ Ὀδυσσεῖ ποιεῖ ἀορασίαν.
καὶ τὴν Ἰθάκην ἀγνοεῖ τὴν ἑαυτοῦ πατρίδα·
τουτέστι χρόνον ἐς μακρὸν ἔκδημος ὢν Ἰθάκης,
γνῶναι αὐτὴν οὐκ ἴσχυσε φρονήσει τῇ οἰκείᾳ·
ἐζυγομάχει δὲ πολλὰ, διὸ καὶ κατηρᾶτο·
ὁ Ζεὺς ὁ ἱκετήσιος, ἤγουν ἡ εἱμαρμένη·
ἢ τοῖς ἱκέταις βοηθεῖ· Φαίαξι δοίη βλάβας·
ἦλθε σχεδὸν ἡ Ἀθηνᾶ δέμας ὁμοιωθεῖσα·
νέῳ παιδὶ καὶ τρυφερῷ ποιμνίων ἐπιστάτῃ·
νοῦν Ἀθηνᾶν καὶ φρόνησιν ὁ Ὅμηρός σοι λέγει,
ἐκεῖνο τὸ παιδάριον, ὃ ἔνεμε τὴν ποίμνην·
ἐκεῖνο πάντα γὰρ λεπτῶς εἰπὼν πρὸς Ὀδυσσέα
τὴν ἄνοιαν ἐσκέδασεν, ἣν εἶχε τῆς πατρίδος·
καὶ ὥς περ κατεφρένωσε τὸν πρὶν ἠγνοηκότα.
Ὡς φάτο· μείδησε δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
χειρί τε μὲν κατέρεξε· δέμας δ' ἤϊκτο γυναικί·
Ὡς ἀκριβῶς ἐπέγνωκεν ἅπαν ἐκ τοῦ ποιμένος,
ἐκμυδιᾷ ἐν τῇ φρενὶ τῇ ἑαυτοῦ Ἀθήνη·
ὁμαλισθεὶς ἐν τῇ χειρὶ καὶ πρακτικῶς νοήσας·
ὁπόσον ἔχρηζε μαθεῖν ἵνα διττολογήσω,
χρήζων Ὁμήρου παίγνια σαφῶς σοι παρεστάναι·
τὸ, γυναικὶ δὲ ἤϊκτο, καλῇ τε καὶ μεγάλῃ·
καὶ ἀγλαὰ δὲ καὶ λαμπρὰ ἐπισταμένῃ ἔργα·
τοῦτο σημαίνει προφανῶς, ὡς ἀγνοῶν ἦν πρῶτον·
ἐκ τοῦ παιδὸς δὲ διδαχθεὶς ἠκριβομένως ἄνω,
καὶ σφῶν εἴκασε φρόνησιν τῷ συνεργῷ γυναίῳ·
ἤτοι πάλιν κατήρξατο πανουργιῶν ὡς πρώην·
ὅσα δὲ πλάττει Ἀθηνᾶν λέγουσαν Ὀδυσσεῖ·
αὐτὸς αὐτῷ ὁ Ὀδυσσεὺς, νῷ τῷ οἰκείῳ λέγει·

Digitized by Google

# ἘΗΡΑΚΛΕΙΔΟΥ.

Cap. 1. Μέγας ἀπ' οὐρανοῦ καὶ χαλεπὸς ἀγὼν Ὁμήρῳ καταγγέλλεται περὶ τῆς εἰς τὸ θεῖον ὀλιγωρίας· πάντη γὰρ ἠσέβησεν εἰ μηδὲν ἠλληγόρησεν· ἱερόσυλοι δὲ μῦθοι καὶ θεομάχου γέμοντες ἀπονοίας, δι' ἀμφοτέρων τῶν σωματίων μεμήνασιν· ὥς τε εἴ τις ἄνευ φιλοσόφου θεωρίας μηδενὸς αὐτοῖς ὑφεδρεύοντος ἀλληγορικοῦ τρόπου, νομίζοι κατὰ ποιητικὴν παράδοσιν εἰρῆσθαι, Σαλμωνεὺς ἄν, Ὅμηρος εἴη καὶ Τάνταλος ἀκόλαστον γλῶσσαν ἔχων αἰσχίστην νόσον· ὥς τε ἔμοιγε καὶ σφόδρα συμβέβηκε θαυμάζειν, πῶς ὁ δεισιδαίμων βίος ὁ ναοῖς καὶ τεμένεσι καὶ ταῖς διὰ ἔτους ἐν ταῖς περὶ θεῶν προτρεπόμενος ἑορταῖς, οὕτω τὴν ὁμηρικὴν ἀσέβειαν ἐνηγκάλισται φιλοστόργως τοὺς ἐναγεῖς λόγους διὰ στόματος ᾄδων· εὐθὺς γὰρ ἐκ πρώτης ἡλικίας τὰ νήπια τῶν ἀρτιμαθῶν παίδων, διδασκαλία παρ' ἐκείνῳ τιτθεύεται· καὶ μόνον οὐκ ἐνεσπαργανωμένοι τοῖς ἔπεσιν αὐτοῦ καθαπερεὶ ποτίμῳ γάλακτι τὰς ψυχὰς ἐπάρδομεν· ἀρχομένῳ δ' ἑκάστῳ συμπαρέστηκε καὶ κατ' ὀλίγον ἀπανδρουμένῳ· τελείοις δ' ἐνακμάζει· καὶ κόρος οὐ δεεὶς ἄχρι γήρως· ἀλλὰ παυσάμενοι διψῶμεν αὐτοῦ πάλιν· καὶ σχεδὸν ἓν πέρας Ὁμήρῳ παρ' ἀνθρώποις ὃ καὶ τοῦ βίου·

Cap. 2. Δι' ὧν σαφὲς οἶμαι καὶ πᾶσιν εὔδηλον· οὐδεμία κηλὶς ἐναγῶν μύθων τοῖς ἔπεσιν ἐνεσπείρηται· καθαρὰν καὶ παντὸς ἀγνεύουσαν λύσιν Ἰλιὰς πρώτη καὶ μετὰ ταύτην Ὀδύσσεια σύμφωνον ἑκατέρα περὶ τῆς ἰδίας εὐσεβείας κέκραγε φωνήν·

a) Οὐκ ἄν, ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην.

a) Il. ζ· 129·

a) Νήπιοί οἱ Ζηνὶ μενεαίνομεν ἰσοφαρίζειν:
οἷος μὲν ἐν οὐρανῷ διὰ τῶν ἐπῶν καθιέρωται Ζεὺς, ἀφανεῖ νεύματι σείων· ὡς δὲ Ποσειδῶνος ὁρμήσαντος αἰφνιδίως, b) τρέμεν ἔρεα μακρὰ καὶ ὕλη. τὰ αὐτὰ
5 δ' ὑπὲρ Ἥρας ἄν τις εἴποι:
c) Σείσατο δ' ἑνὶ θρόνῳ· ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον.
ὁμοίως δὲ Ἀθηνᾶν παρεῖναι·
d) Θάμβησε δ' Ἀχιλεὺς· μετὰ δ' ἐτράπετ' αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην· δεινὼ δὲ οἱ ὄσσε φάανθεν:
10 e) οἵη δ' Ἄρτεμις εἶσι κατ' ἄρεος ἰοχέαιρα
ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον·
τερπομένη κάπροισι καὶ ὠκείαις ἐλάφοισιν·
ἃ μὲν γὰρ ἐξ ἴσου καὶ κατὰ κοινὸν ὑπὲρ ἁπάντων ἱεροπρεπῶς τεθεολόγηται, τί δεῖ καὶ λέγειν· f) μάκαρες
15 θεοὶ αἰὲν ἐόντες g) καὶ ἀφθιτα μήδε' ἔχοντες· ἢ νὴ Δία h) δωτῆρες ἐάων καὶ i) ῥεῖα ζώοντες.
k) ὁ γὰρ σῖτον ἔδων· ὁ πίνων· αἶθοπα οἶνον·
τέκνα ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται.
Cap. 3. Τίς ἂν ἐπὶ τούτοις Ὅμηρον ἀσεβῆ λέγειν τολμᾷ.
20 l) Ζεῦ κύδιστε μέγιστε κελαινεφὲς αἰθέρι ναίων.
m) ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις·
καὶ ποταμοὶ καὶ γαῖα καὶ οἱ ὑπένερθε καμόντες
ἀνθρώπους τίνυσθον ὅς τις κ' ἐπίορκον ὀμόσσῃ·
ὑμεῖς μάρτυροι ἐστὲ τῆς Ὁμήρου θεοσεβοῦς προαιρέσεως
25 ὅτι πάθεσιν ἐξαιρέτοις ἐπὰν νεοκορῇ τὸ δαιμόνιον. ἐπεὶ κ' αὐτός ἐστι θεῖος· εἰ δ' ἀμαθῶς τινες ἄνθρωποι τὴν Ὁμηρικὴν ἀλληγορίαν ἀγνοοῦσιν· ὁ δ' εἰς τὰ μυχία τῆς ἐκείνου σοφίας καταβεβήκασιν, ἀλλ' ἀβασάνιστος αὐτοῖς ἡ

a) Il. ο. 104. b) Il. ν. 18. c) Il. θ. 199. d) Il. α. 199. e) Od. ζ. 102. f) Od. θ. 306, μ. 374. 377. g) Il. ω. 88. h) Od. θ. 324. i) Od. δ. 805. k) Il. ε. 342. l) Il. β. 412. m) Il γ. 276. seqq.

Digitized by Google

τῆς ἀληθείας κρίσις ἔῤῥιπται. καὶ τὸ φιλοσόφως ῥηθὲν οὐκ εἰδότες, ὁ μυθικῶς δοκεῖ πλάσαι προσαρμόζουσιν, οὗτοι μὲν ἐῤῥέτωσαν· ἡμεῖς δ' οἱ τῶν ἀβεβήλων ἐντὸς περιραντηρίων ἡγνίσμεθα, σεμνὴν ὑπὸ νόμῳ τῶν ποιημάτων τὴν ἀλήθειαν ἰχνεύωμεν·

Cap. 4. Ἐῤῥίφθω δὲ καὶ Πλάτων ὁ κόλαξ Ὁμήρου συκοφάντης ἔνδοξον ἀπὸ τῆς ἰδίας πολιτείας τὸν φυγάδα προπέμπων λευκοῖς ἐρίοις ἀνεστεμμένον καὶ πολυτελεῖ μύρῳ τὴν κεφαλὴν διάβροχον· οὐδ' Ἐπικούρου φροντὶς ἡμῖν· ὃς τῆς ἀσέμνου περὶ τοὺς ἰδίους κήπους ἡδονῆς γεωργός ἐστιν ἅπασαν ὁμοῦ ποιητικὴν ὥς περ ὀλέθριον μύθων δέλεαρ ἀφασιούμενος· πρὸς οὓς μέγα δή τι στενάξας, εἴποιμ' ἄν, εὐλόγως·

a) ὦ πόποι· οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·

καὶ τὸ πικρότατον ἀρχὴν ἑκάτεροι τῶν παρ' ἑαυτοῖς δογμάτων ἔχοντες Ὅμηρον· ἀφ' οὗ τὰ πλεῖστα τῆς ἐπιστήμης ὠφέληνται, περὶ τοῦτον ἀχαρίστως εἰσὶν ἀσεβεῖς· ἀλλ' ὑπὲρ μὲν Ἐπικούρου καὶ Πλάτωνος, αὖθις ἐξέσται λέγειν.

Cap. 5 Νυνί δ' ἀναγκαῖον ἴσως μικρὰ καὶ σύντομα περὶ τῆς ἀλληγορίας τεχνολογῆσαι· σχεδὸν γὰρ αὐτὸ τοὔνομα καὶ λίαν ἐτύμως εἰρημένον, ἐλέγχει τὴν δύναμεν αὐτῆς. ὁ γὰρ ἄλλα μὲν ἀγορεύων τρόπος· ἕτερα δὲ ὧν λέγει σημαίνων, ἐπωνύμως ἀλληγορία καλεῖται· καθάπερ Ἀρχίλοχος μὲν ἐν τοῖς θρᾳκικοῖς ἀπειλημμένος δεινοῖς, τὸν πόλεμον εἰκάζει θαλαττίῳ κλύδωνι· λέγων ᾧδε πως b).

Γλαῦκε ὅρα· βαθὺς γὰρ ἤδη κύμασι ταράσσεται
πόντος· ἀμφὶ δ' ἄκρα γύρεον ὄρπων ἵστατο νέφος·
σῆμα χειμῶνος. κιχάνει δ' ἐξ ἀελπτίης φόβος·

a) Od. α. 32. b) Cf. Plut. de superst., Brunck. anecd. veter. poet. T. I. 42. XIII.

Digitized by Google

ἐν ἱκανοῖς δὲ καὶ τὸν Μιτυληναῖον μελοποιὸν εὑρήσομεν ἀλληγοροῦντα· τὰς γὰρ τυραννικὰς ταραχὰς ἐξ ἴσου χειμερίῳ προσικάζει καταστήματι. θαλάσσης ἀσυνέτην· νὴ τῶν ἀνέμων στάσιν a).

Τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται·
τὸ δ' ἔνθεν· ἄμμες δ' ἂν τὸ μέσον ναὶ
φορήμεθα σὺν μελαίνα
χειμῶνι μοχθεῦντες μεγάλῳ· καλὰ
περάμεν γὰρ ἄντλος ἱστοπέδαν ἔχει·
λαῖφος δὲ πᾶν ζάδηλον ἤδη
καὶ λακίδες μεγάλαι· κατ' αὐτὸ
χολαῖσι δ' ἄγκυραι·

τίς οὐκ ἂν εὐθὺς ἐκ τῆς προτρεχούσης περὶ τὸν πόντον εἰκασίας, ἀνδρῶν πλωϊζομένων θαλάττιον εἶναι νομίσειε φόβον· ἀλλ' οὐχ οὕτως ἔχει. Μύρσιλος γὰρ ὁ δηλούμενός ἐστι· καὶ τυραννικὴ κατὰ Μιτυληναίων ἐγειρομένη σύστασις· ὁμοίως δὲ τὰ ὑπὸ τούτου αἰνιττόμενος, ἑτέρωθί που λέγει b).

Τό δ' εὖτε κῦμα τῷ προτέρῳ νέμω στίχει·
παρέξει δ' ἄμμι πόνον πολὺν ἄντλην·

ἐπεὶ καὶ ναὸς ἐμβαίνει κατακόρως ἐν ταῖς ἀλληγορίαις ὁ νησιώτης θαλασσεύει· καὶ τὰ πλεῖστα τῶν διὰ τοὺς τυράννους ἐπεχόντων κακῶν πελαγείοις χειμῶσιν εἰκάζει· καὶ μὴν ὁ Τήϊος Ἀνακρέων ἑταιρικὸν φρόνημα καὶ σοβαρᾶς γυναικὸς ὑπεριφανίαν ὀνειδίζων, τὸν ἐν αὐτῇ σκιρτῶντα νοῦν ὡς ἵππον ἠλληγόρησεν· οὕτω λέγων·

c) Πῶλε θρηϊκίη· τί δή με
λοξὸν ὄμμασι βλέπουσα,

a) Cf. Alcaei ed. F. Ursini carm. poët. lyr., p. 102. Steph. fragm. lyr. p. 17., Walckenar. ad Ammon. p. 114. b) Steph. ib. etc. c) Carm. νή.

Digitized by Google

νηλεῶς φεύγας· δοκέεις δέ
μ' ἔθεν εἰδέναι σοφόν·
ἴσθι τοι καλῶς μὲν ἔν τοι
τὸν χαλινὸν ἐμβάλοιμι·
ἡνίας δ' ἔχων, στρέφοιμ'
ἀμφὶ τέρματα δρόμου·
νῦν δὲ λειμῶνας τε βόσκεαι
κῶφα τὲ σκιρτοῦσα παίζεις·
δεξιὸν γὰρ ἱππαπείρην
ἠχ' ἔζεις ἐπεμβάτην·

Καθόλω μακρὸς ἂν, εἴην ἐπεξιὼν ἕκαστα τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν ἠλληγορημένων· ἀπόχρη ὀλίγαις εἰκόσι τὴν ὅλην τοῦ πράγματος τεκμηρώσασθαι φύσιν· ἀλλ' οὐδ' αὐτὸς Ὅμηρος ἀμφιβόλοις ἔοικε ὅτε καὶ ζητουμέναις ἔσι ταῖς ἀλληγορίαις εὑρίσκεται χρώμενος, ἐν ἀρχῇ τὸν τρόπον ἡμῖν τῆς ἑρμηνείας παραδέδωκε τοῦτον· ἐν οἷς Ὀδυσσεὺς τὰ πολέμου καὶ μάχης κακὰ διεξιὼν φησίν·

a) Ἤ ὅτε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν·
ἀμητὸς δ' ὀλίγιστος ἐπὴν κλίνῃσι τάλαντα
Ζεύς·

τὸ μὲν γὰρ λεγόμενον ἐπὶ γεωργίᾳ· τὸ δὲ νοούμενον μάχῃ· πλὴν ὅμως δί' ἐναντίων ἀλλήλοις πραγμάτων τὸ δηλούμενον ἐπείπορεν·

Cap. 6. Ὁπότ' οὖν συνήθης μὲν ἅπασι τοῖς ἄλλοις ὁ τῆς ἀλληγορίας τρόπος· ἠγνόηται δὲ οὐδὲ παρ' Ὁμήρῳ, τί παθόντες ἅπερ φαύλως ἔχειν δοκεῖ περὶ θεῶν, οὐ διὰ τοιαύτης ἀπολογίας θεραπεύσομεν· τάξις δέ μοι γενήσεται τῶν λόγων ἡ τῶν Ὁμηρικῶν ἐπῶν τάξις· ἐν ἑκάστῃ ῥαψῳδίᾳ διὰ λεπτῆς ἐπισήμης ἐπιδεικνύντι τὰ περὶ θεῶν

a) Il. τ. 222.

Digitized by Google

ἠλληγορημένα· ὁ τοίνυν μαρὸς αἰεὶ καὶ βάσκανος φθόνος, οὐδὲ τῆς πρώτης ἐν ἀρχῇ, πέφευγε· πολύς δ' αὐτῷ θρυλεῖται περὶ τῆς Ἀπόλλωνος ὀργῆς λόγος· ὅτι τοὺς οὐδὲ αἰτίους Ἕλληνας, οἱ μάτην ἀφεθέντες οἷοι παρανάλωσαν· καὶ οὕτως ἄδικός ἐστιν ἡ τούτου μῆνις· ὥςθ' ὁ μὲν ὑβρίσας Χρύσην Ἀγαμέμνων, οὐδὲν ἐξαίρετον ἔπαθεν· ὀφείλων εἴ περ ἠδίκει κολασθῆναι· οἱ δ' ἐπιβοήσαντες

a) Αἰδεῖσθαί θ' ἱερῆα καὶ ἁγλαὰ δέχθαι ἄποινα,

τῆς ἀγνωμοσύνης τῷ μὴ πεπεισμένῳ γεγόνασι παρανάλωμα· πλὴν ἔγωγε τὴν ὑπολελημμένην ἐν τοῖς ἔπεσιν ἀλήθειαν ἀκριβῶς διαθρήσας, οὐκ Ἀπόλλωνος ὀργὴν οἶμαι ταῦτα· λοιμικῆς δὲ νόσου κακόν· οὐ θεόπεμπτον ἀλλ' αὐτόματον φθορὰν συστάντος τότε καὶ πολλαχῆ· ὥστε καὶ μέχρι τῶν δεῦρο χρόνων ἐκνέμεσθαι τὸν ἀνθρώπινον βίον· ὅτι μὲν τοίνυν ὁ αὐτὸς Ἀπόλλων ἡλίῳ· καὶ θεὸς εἷς δυσὶν ὀνόμασι κοσμεῖται, σαφὲς ὑμῖν εἴ τε τῶν μυστικῶν λόγων οὓς αἱ ἀπόρρητοι τελεταὶ θεολογοῦσι· καὶ τὸ δημῳδὲς ἄνω καὶ κάτω θρυλούμενον· ἥλιος Ἀπόλλων· ὁ δέ γε Ἀπόλλων ἥλιος·

Cap. 7. Ἠκρίβωται δ' ἡ περὶ τούτων ἀπόδειξις καὶ Ἀπολλοδώρῳ περὶ πᾶσαν ἱστορίαν ἀνδρὶ δεινῷ· τῦτ' ἔγωγε τὴν ἐπὶ πλέον ἐξεργασίαν καὶ ἀκαίρου λόγου περιττὸν ὑπερθήσομαι μῆκος· ἐκεῖνο δ' ὃ ἐκ τῆς ἡμετέρας εἰκασίας ἀναγκαῖον εἰπεῖν οὐ παρήσω· δεικνὺς ὅτι καὶ καθ' Ὅμηρον αὐτός ἐστιν Ἀπόλλων καὶ ἥλιος· τοῦτο δ' εἰ λεπτῶς ἐθέλει σκοπεῖν τις ἐξ ἁπάντων εὑρήσει τῶν ἐπιθέτων γνώριμον· ἀμέλει Φοῖβον αὐτὸν εἴωθε συνεχῶς ἀναμάζειν· οὐ μὰ Δία οὐκ ἀπὸ Φοίβης ἣν Λητοῦς φασιν εἶναι μητέρα· σύνηθες γὰρ Ὁμήρῳ τοῖς πατρόθεν ἐπιθέτοις χρῆσθαι·

a) Il. α. 23.

Digitized by Google

οὐδὲν τοιοῦτον ζῶον δὲ τὶς ἀνελεῖν ἐτόλμα,
οὔτε τὸ ἄλσος δὲ τεμεῖν· ἀεὶ δὲ ἐτηροῦντο
ἐν τῇ αὐτῇ ποσότητι τῶν ϛείρων πεφυκότα·
κἂν ἐτεθνήκει τὶ αὐτῶν, πάλιν ἀπεπληροῦτο·
αἱ τῶν βοῶν ἀγέλαι δὲ ἡλίου καὶ προβάτων
ἑπτὰ μὲν ἦσαν ἔχουσαι ἀνὰ πεντηκοντάδος,
καὶ φύλακα Φαέθουσαν ὁμοῦ καὶ Λαμπετίτην·
εὐλόγῳ λόγῳ προςφυεῖ καὶ χρόνῳ καὶ ἡλίῳ·
πεντήκοντα καὶ δύο γὰρ ἔτους αἱ ἑβδομάδες,
ποιητικοὶ δὲ ἀριθμοῖς ἀπηρτισμένοις χρῶνται·
ἡμέραι δὲ πεφύκασι φρουρεῖν τὰς ἑβδομάδας·
αἱ ἑβδομάδες μῆνας δε, μῆνες δὲ πληροῦν χρόνον·
κἂν μῆνας παραλέλοιπεν εἰπεῖν τῇ συντομίᾳ,
καὶ τῷ μὴ θέλειν φανερῶς δεῖξαι γυμνὸν τὸν μῦθον·
ἐπεὶ τοῖς Ὀδυσσέως δε συμπέπτωκεν ἑταίροις
φαγοῦσι τούτων τῶν βοῶν, πάντας θανεῖν θαλάσσῃ·
ἐκτρέπων πάντας Ὅμηρος πράξεων τῶν ἀθέσμων,
τὶ οὐ ποιεῖ, τὶ οὐ λαλεῖ κινοῦν εἰς νουθεσίαν;
φέρει καὶ γὰρ τὸν ἥλιον ἐν προσωποποιΐᾳ
ἀγανακτοῦντα περιττῶς, ζητοῦντα τιμωρίαν,
καὶ τῶν βοῶν τοῖς ὀβελοῖς μυκώμενα τὰ κρέα,
καὶ καθερπούσας βύρσας δε καὶ ἕτερα μυρία·
ἅ περ κολαϛικώτερον ἂν εἶπε ῥήτωρ γράφων,
τοῖς ὀβελοῖς ἂν εἶπε τὶς μυκᾶσθαι τότε κρέα·
Ζεὺς ὦσεν ἄνεμον ζωὴν, ὁ οὐρανὸς ἐνθάδε·
σπηλαίῳ ἦσαν τὰ Νυμφῶν, γλυφαὶ τῶν Νηρηΐδων·
ἠράμην πάντεσσι θεοῖς, ἀέρι καὶ ϛοιχείοις·
ῥέξομην ἀθανάτοισι, ϛοιχείοις, εἱμαρμένῃ·
ἕψονται ἄλλοι δὲ θεοὶ, ἀστέρες ἢ ϛοιχεῖα·
Ζεῦ πάτερ, ἤγουν ὦ ἀὴρ καὶ τὰ λοιπὰ ϛοιχεῖα·
ὁ γὰρ ἀὴρ καὶ τὸ ὑγρὸν εἴωθεν ὑποφέρειν·

Digitized by Google

ἡ Λαμπετίη ἄγγελος ἀπέρχεται ἠλίῳ·
ἑβδόμην Ζεὺς ἐποίησεν, ὁ ὐρανὸς, ἡμέραν·
ἀποκατάστασις καὶ γὰρ τῇ ἑρανῇ ἡμέρᾳ·
Διὸς πληγεῖσα κεραυνῷ, νεφῶν τε καὶ ἀέρος·
Θεὸς, ἡ εἱμαρμένη δε τὸν νόστον ἀφηρεῖτο·
Σκύλλην ἐμὲ δὲ ὁ πατὴρ, ἤγουν ἡ εἱμαρμένη·
οὐκ εἴασε θεάσασθαι· τί δὲ ἂν ἐθεάθης;
ὁ πᾶς φόβος ἐν Σκύλλῃ γὰρ μὴ καταχθῇ τὸ πλοῖον,
καὶ οἱ πλωτῆρες ὕδασιν ἐμπέσωσι θαλάσσης·
σὺ δὲ πεσὼν τὶ δέδοικας ἔτι λοιπὸν τὴν Σκύλλαν;
εἰ μήπω φὴς ποτούμενος μὴ ἐντυχεῖν θηρίῳ·
καὶ τὸ πεσεῖν εἰς θάλασσαν, πᾶς φαίη δεινὸν λέγει·
πρὸς τοῦτο· τοῦτο δὲ φημί· ὁ παίζων τῇδε γράφει·
ὅτι μετὰ τὴν ἔκπτωσιν, ἣν πέπτωκε θαλάσσῃ,
ὁ Ζεὺς ἐκεῖνον κατεδεῖν οὐκ εἴασε τὴν Σκύλλαν·
θεοὶ ἐς νῆσον πέλασαν, ἤδη τὴν Ὠγυγίαν
στοιχεῖα· θάλασσα αὐτὴ καὶ αἱ πνοαὶ ἀνέμων·
θεοὶ καὶ εἱμαρμένη δε νοεῖται γὰρ ἐνθάδε·

---

ΑΥΤΗ ΕΣΤΙΝ ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ν. ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ.

Μετὰ τῶν δώρων Φαίακες τὸν Ὀδυσσέα τῇδε
κοιμώμενον ἐξάγουσιν εἰς γῆν τὴν τῆς Ἰθάκης·
τῷ δ' ὑποφρέφειν Ποσειδῶν τέτων λιθοῖ τὴν νῆα·
τῷ δ' Ὀδυσσεῖ δὲ Ἀθηνᾶ κτεῖναι μνηστῆρας λέγει·
τὰ δ' ἐκ Φαιάκων χρήματα τέτε σπηλαίῳ κρύπτει·
αὐτὸν δὲ μετεμόρφωσεν, ὥς περ μορφὴν γερόντων·
Ζηνὶ κελαινεφεῖ δε, ἄρτι τῇ εἱμαρμένῃ
θεοὶ οἱ οὐρανιώνες, ὁμοίως εἱμαρμένη·

Digitized by Google

καὶ τὸ θεοὶ δὲ ἀρετὴν ὀπάσειαν, ὡσαύτως·
Διὶ πατρὶ, ὁμοίως δέ· οἱ οὐρανοὶ, ὁμοίως,
δηλοῦσιν εἱμαρμένην τε, δηλοῦσι καὶ στοιχεῖα·
» Ἄνδρα φέρουσα, θεοῖς ἐναλίγκια μήδε' ἔχοντα·
ταῖς ψυχικαῖς δυνάμεσιν ὅμοιον καὶ ἀγχίνουν·
» Ἱρὸν Νυμφάων, αἳ Νηϊάδες καλέονται·
ὅσα φασὶν ἐν ἱερῷ, τῷ τῶν Νυμφῶν ἃ λέγει,
κρητῆρες τὲ καὶ ἀμφορεῖς· ἱστοὶ πορφύρας, φάρη,
λιθόξεστα μιμήματα ἦσαν καὶ εἰκασίαι.
» Αἱ μὲν πρὸς Κορέω καταβάται ἀνθρώποισιν·
» αἱ δ' αὖ πρὸς Νότον εἰσὶ θεώτεραι· οὐδέ τι κείνῃ
» ἄνδρες ἐπέρχονται· ἀλλ' ἀθανάτων ὁδὸς ἐστί.
Αἱ μὲν βαταὶ τυγχάνουσι τοῖς σύμπασιν ἀνθρώποις,
αἱ δὲ εἰσὶ θεώτεραι καὶ ἱερέων μόνων·
» Ὤπασαν οἴκαδ' ἴοντι διὰ μεγάθυμον Ἀθήνην·
διὰ τὴν φρόνησιν αὐτὴν δεδώκασι τὰ δῶρα·
» Αὐτοὶ δ' αὖτ' οἶκον πάλιν κίον· οὐ δ' Ἐνοσίχθων
» λήθετ' ἀπειλάων, τὰς ἀντιθέῳ Ὀδυσσῆϊ·
Φαίακες δ' ὑπεστρέφοντο δεινῇ τῇ τρικυμίᾳ,
ἐν πέτραις διεφθάρησαν ῥαγείσης τῆς ὁλκάδος·
τὴν τρικυμίαν Ὅμηρος πλάττει δὲ Ποσηδῶνα,
ὡς πρὸς τὸν Δία οὐρανὸν ἅ περ φησὶ λαλοῦντα,
καὶ Δία πάλιν πρὸς αὐτόν· ἃ Ποσειδῶν δὲ λέγει·
» Ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ' ἀλεείνω.
Καλῶς φησὶν ἡ θάλασσα· κλύδωνας γὰρ οὐκ ἔχει,
ἂν οὐρανός τε καὶ ἀὴρ τελῶσι τῶν νηνέμων·
τὴν τῆς νηὸς ἀπώλειαν ἣν ἔφη περὶ πέτρας,
καὶ πρὸς τοὺς Φαίακας φησὶ φθόνον ἐκ Ποσειδῶνος·
ἀνθ' ὧν ἐτέλουν ἄριστοι φθόνον ναυτιλλομένων·
τὸ, τῇ θαλάσσῃ νῆα δὲ ῥαισθῆναι τῶν Φαιάκων,
καὶ μέγα ὄρος τούτων δὲ τὴν πόλιν γεγονέναι·

Digitized by Google

ἐκ παλαιῶν τοῖς Φαίαξιν ἠκούετο τῶν χρόνων·
ἡ Ἀθηνᾶ τῷ Ὀδυσσεῖ ποιεῖ ἀορασίαν.
καὶ τὴν Ἰθάκην ἀγνοεῖ τὴν ἑαυτοῦ πατρίδα·
τουτέστι χρόνον ἐς μακρὸν ἔκδημος ὢν Ἰθάκης,
γνῶναι αὐτὴν οὐκ ἴσχυσε φρονήσει τῇ οἰκείᾳ·
ἐζυγομάχει δὲ πολλὰ, διὸ καὶ κατηρᾶτο·
ὁ Ζεὺς ὁ ἱκετήσιος, ἤγουν ἡ εἱμαρμένη·
ἡ τοῖς ἱκέταις βοηθεῖ· Φαίαξι δοίη βλάβας·
ἦλθε σχεδὸν ἡ Ἀθηνᾶ δέμας ὁμοιωθεῖσα·
νέῳ παιδὶ καὶ τρυφερῷ ποιμνίων ἐπιστάτῃ·
νοῦν Ἀθηνᾶν καὶ φρόνησιν ὁ Ὅμηρός σοι λέγει,
ἐκεῖνο τὸ παιδάριον, ὃ ἔνεμε τὴν ποίμνην·
ἐκεῖνο πάντα γὰρ λεπτῶς εἰπὼν πρὸς Ὀδυσσέα
τὴν ἄνοιαν ἐσκέδασεν, ἣν εἶχε τῆς πατρίδος·
καὶ ὥς περ κατεφρένωσε τὸν πρὶν ἠγνοηκότα.
Ὡς φάτο· μείδησε δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
χειρί τε μὲν κατέρεξε· δέμας δ' ἤϊκτο γυναικί·
Ὡς ἀκριβῶς ἐπέγνωκεν ἅπαν ἐκ τοῦ ποιμένος,
ἐκμυδιᾷ ἐν τῇ φρενὶ τῇ ἑαυτοῦ Ἀθήνη·
ὁμαλισθεὶς ἐν τῇ χειρὶ καὶ πρακτικῶς νοήσας·
ὁπόσον ἔχρηζε μαθεῖν ἵνα δεττολογήσω,
χρήζων Ὁμήρου παίγνια σαφῶς σοι παρεστάναι·
τὸ, γυναικὶ δὲ ἤϊκτο, καλῇ τε καὶ μεγάλῃ·
καὶ ἀγλαὰ δὲ καὶ λαμπρὰ ἐπισταμένῃ ἔργα·
τοῦτο σημαίνει προφανῶς, ὡς ἀγνοῶν ἦν πρῶτον·
ἐκ τοῦ παιδὸς δὲ διδαχθεὶς ἠκριβομένως ἄνω,
καὶ σφῶν εἴκασε φρόνησιν τῷ συνεργῷ γυναίῳ·
ἤτοι πάλιν κατήρξατο πανουργιῶν ὡς πρώην·
ὅσα δὲ πλάττει Ἀθηνᾶν λέγουσαν Ὀδυσσεῖ,
αὐτὸς αὐτῷ ὁ Ὀδυσσεὺς, νῷ τῷ οἰκείῳ λέγει·

# ἩΡΑΚΛΕΙΔΟΥ.

Cap. 1. Μέγας ἀπ' οὐρανοῦ καὶ χαλεπὸς ἀγὼν Ὁμήρῳ καταγγέλλεται περὶ τῆς εἰς τὸ θεῖον ὀλιγωρίας· πάντη γὰρ ἠσέβησεν εἰ μηδὲν ἠλληγόρησεν· ἱερόσυλοι δὲ μῦθοι καὶ θεομάχου γέμοντες ἀπονοίας, δι' ἀμφοτέρων τῶν σωματίων μεμήνασιν· ὥς τε εἴ τις ἄνευ φιλοσόφου θεωρίας μηδενὸς αὐτοῖς ὑφεδρεύοντος ἀλληγορικοῦ τρόπου, νομίζοι κατὰ ποιητικὴν παράδοσιν εἰρῆσθαι, Σαλμωνεὺς ἂν, Ὅμηρος εἴη καὶ Τάνταλος ἀκόλαστον γλῶσσαν ἔχων αἰσχίστην νόσον· ὥς τε ἔμοιγε καὶ σφόδρα συμβέβηκε θαυμάζειν, πῶς ὁ δεισιδαίμων βίος ὁ ναοῖς καὶ τεμένεσι καὶ ταῖς διὰ ἔτους ἐν ταῖς περὶ θεῶν προτρεπόμενος ἑορταῖς, οὕτω τὴν ὁμηρικὴν ἀσέβειαν ἐνηγκάλισται φιλοστόργως τοὺς ἐναγεῖς λόγους διὰ στόματος ᾄδων· εὐθὺς γὰρ ἐκ πρώτης ἡλικίας τὰ νήπια τῶν ἀρτιμαθῶν παίδων, διδασκαλία παρ' ἐκείνῳ τιτθεύεται· καὶ μόνον οὐκ ἐνεσπαργανωμένοι τοῖς ἔπεσιν αὐτοῦ καθαπερεὶ ποτίμῳ γάλακτι τὰς ψυχὰς ἐπάρδομεν· ἀρχομένῳ δ' ἑκάστῳ συμπαρέστηκε καὶ κατ' ὀλίγον ἀπανδρουμένῳ· τελείοις δ' ἐνακμάζει· καὶ κόρος οὐ δεεὶς ἄχρι γήρως· ἀλλὰ παυσάμενοι διψῶμεν αὐτοῦ πάλιν· καὶ σχεδὸν ἓν πέρας Ὁμήρῳ παρ' ἀνθρώποις ὃ καὶ τοῦ βίου·

Cap. 2. Δι' ὧν σαφὲς οἶμαι καὶ πᾶσιν εὔδηλον· οὐδεμία κηλὶς ἐναγῶν μύθων τοῖς ἔπεσιν ἐνεσπείρηται· καθαρὰν καὶ παντὸς ἀγνεύουσαν λύσιν Ἰλιὰς πρώτη καὶ μετὰ ταύτην Ὀδύσσεια σύμφωνον ἑκατέρα περὶ τῆς ἰδίας εὐσεβείας κέκραγε φωνήν·

a) Οὐκ ἂν, ἔγωγε θεοῖσιν ἐπουραινίοισι μαχοίμην.

a) Il. ζ· 129·

a) Νήπιοί οἱ Ζηνὶ μενεαίνομεν ἰσοφαρίζειν:
οἷος μὲν ἐν ἠρανῷ διὰ τῶν ἐπῶν καθιέρωται Ζεὺς, ἀφανεῖ νεύματι σείων· ὡς δὲ Ποσειδῶνος ὁρμήσαντος αἰφνιδίως, b) τρέμεν ἔρεα μακρὰ καὶ ὕλη. τὰ αὐτὰ
5 δ' ὑπὲρ Ἥρας ἄν τις εἴποι:
c) Σείσατο δ' ἐνὶ θρόνῳ· ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον.
ὁμοίως δὲ Ἀθηνᾶν παρεσκάναι·
d) Θάμβησε δ' Ἀχιλεὺς· μετὰ δ' ἐτράπετ' αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην· δεινὼ δὲ οἱ ὄσσε φάανθεν:
10 e) οἵη δ' Ἄρτεμις εἶσι κατ' ἄρεος ἰοχέαιρα
ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον·
τερπομένη κάπροισι καὶ ὠκείαις ἐλάφοισιν·
ἃ μὲν γὰρ ἐξ ἴσου καὶ κατὰ κοινὸν ὑπὲρ ἁπάντων ἱεροπρεπῶς τεθεολόγηται, τί δεῖ καὶ λέγειν· f) μάκαρες
15 θεοὶ αἰὲν ἐόντες g) καὶ ἀφθιτα μήδε' ἔχοντες· ἢ
νὴ Δία h) δωτῆρες ἐάων καὶ i) ῥεῖα ζώοντες.
k) ὃ γὰρ σῖτον ἔδουσ'· ὃ πίνουσ' αἶθοπα οἶνον·
τέκνα' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται.
Cap. 3. Τίς ἂν ἐπὶ τούτοις Ὁμήρου ἀσεβῆ λέγειν τολμᾷ.
20 l) Ζεῦ κύδιστε μέγιστε κελαινεφὲς αἰθέρι ναίων.
m) ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις·
καὶ ποταμοὶ καὶ γαῖα καὶ οἳ ὑπένερθε καμόντες
ἀνθρώπους τίνυσθον ὅς τις κ' ἐπίορκον ὀμόσσῃ·
ὑμεῖς μάρτυροι ἐστὲ τῆς Ὁμήρου θεοσεβοῦς προαιρέσεως
25 ὅτι πάθεσιν ἐξαιρέτοις ἐπὰν νεοκορῇ τὸ δαιμόνιον. ἐπεὶ
κ' αὐτός ἐστι θεῖος· εἰ δ' ἀμαθῶς τινες ἄνθρωποι τὴν Ὁμηρικὴν ἀλληγορίαν ἀγνοοῦσιν· ὃ δ' εἰς τὰ μυχία τῆς ἐκείνου σοφίας καταβεβήκασιν, ἀλλ' ἀβασάνιστος αὐτοῖς ἡ

a) Il. o. 104. b) Il. ν. 18. c) Il. θ. 199. d) Il. α. 199. e) Od. ζ. 102. f) Od. θ. 306, μ. 371. 377. g) Il. ω. 88. h) Od. θ. 324. i) Od. δ. 805. k) Il. ε. 342. l) Il. β. 412. m) Il. γ. 276. seqq.

Digitized by Google

τῆς ἀληθείας κρίσις ἐρρίπται. καὶ τὸ φιλοσόφως ῥηθὲν οὐκ εἰδότες, ὁ μυθικᾶς δοκεῖ πλάσαι προσαρμόζουσιν, οὗτοι μὲν ἐρρέτωσαν· ἡμεῖς δ' οἱ τῶν ἀβεβήλων ἐντὸς περιραντηρίων ἡγνίσμεθα, σεμνὴν ὑπὸ νόμῳ τῶν ποιημάτων τὴν ἀλήθειαν ἰχνεύωμεν·

Cap. 4. Ἐρρίφθω δὲ καὶ Πλάτων ὁ κόλαξ Ὁμήρου συκοφάντης ἔνδοξον ἀπὸ τῆς ἰδίας πολιτείας τὸν φυγάδα προπέμπων λευκοῖς ἐρίοις ἀνειλιγμένον καὶ πολυτελεῖ μύρῳ τὴν κεφαλὴν διαβρόχον· οὐδ' Ἐπικούρου φροντὶς ἡμῖν· ὃς τῆς ἀσίμνου περὶ τοὺς ἰδίους κήπους ἡδονῆς γεωργός ἐστιν ἅπασαν ὁμοῦ ποιητικὴν ὡς περ ὀλέθριον μύθων δέλεαρ ἀφοσιούμενος· πρὸς οὓς μέγα δή τι ἐνάξας, εἴποιμ' ἄν, εὐλόγως·

a) ὦ πόποι· οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·

καὶ τὸ πικρότατον ἀρχὴν ἑκάτεροι τῶν παρ' ἑαυτοῖς δογμάτων ἔχοντες Ὅμηρον· ἀφ' οὗ τὰ πλεῖστα τῆς ἐπιστήμης ὠφέληνται, περὶ τούτων ἀχαρίστως εἰσὶν ἀσεβεῖς· ἀλλ' ὑπὲρ μὲν Ἐπικούρου καὶ Πλάτωνος, αὖθις ἐξέσται λέγειν.

Cap. 5 Νυνὶ δ' ἀναγκαῖον ἴσως μικρὰ καὶ σύντομα περὶ τῆς ἀλληγορίας τεχνολογῆσαι· σχεδὸν γὰρ αὐτὸ τέτνομα καὶ λίαν ἐτύμως εἰρημένον, ἐλέγχει τὴν δύναμιν αὐτῆς. ὁ γὰρ ἄλλα μὲν ἀγορεύων τρόπος· ἕτερα δὲ ὧν λέγει σημαίνων, ἐπωνύμως ἀλληγορία καλεῖται· καθάπερ Ἀρχίλοχος μὲν ἐν τοῖς θρασικοῖς ἀπειλημμένος δεινοῖς, τὸν πόλεμον εἰκάζει θαλαττίῳ κλύδωνι· λέγων ὧδε πως b).

Γλαῦκε ὅρα· βαθὺς γὰρ ἤδη κύμασι ταράσσεται
πόντος· ἀμφὶ δ' ἄκρα γύρεον ὄρπων ἵστατο νέφος·
σῆμα χειμῶνος. κιχάνει δ' ἐξ ἀελπτίης φόβος·

a) Od. α. 32. b) Cf. Plut. de superst., Brunck. anecd. veter. poet. T. I. 42. XIII.

Digitized by Google

ἐν ἱκανοῖς δὲ καὶ τὸν Μιτυληναῖον μελοποιὸν εὑρήσομεν ἀλληγορῆντα· τὰς γὰρ τυραννικὰς παραχὰς ἐξ ἴσου χειμερίῳ προσπλάζει κατασήματι. Θαλάσσης ἀσυνέτην· νὴ τῶν ἀνέμων ϛάσιν a).

Τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται·
τὸ δ' ἔνθεν· ἄμμες δ' ἂν τὸ μέσσον ναὶ
φορήμεθα σὺν μελαίνᾳ
χειμῶνι μοχθεῦντες μεγάλῳ· καλὲ
περάμεν γὰρ ἄντλος ἐϛοπίδαν ἔχει·
λαῖφος δὲ πᾶν ζάδηλον ἤδη
καὶ λασκίδες μεγάλαι· κατ' αὐτὸ
χολαῖσι δ' ἔγκυραι·

τίς οὐκ ἂν εὐθὺς ἐκ τῆς προτρεχούσης περὶ τὸν πόντον εἰκασίας, ἀνδρῶν πλωϊζομένων θαλάττιον εἶναι νομίσειε φόβον· ἀλλ' οὐχ οὕτως ἔχει. Μύρσιλος γὰρ ὁ θηλαύμενός ἐστι καὶ τυραννικὴ κατὰ Μιτυληναίων ἐγειρομένη σύϛασις· ὁμοίως δὲ τὰ ὑπὸ τούτου αἰνιττόμενος, ἑτέρωθί πω λέγει b).

Τό δ' εὖτε κῦμα τῷ προτέρῳ νέμῳ ϛίχει·
παρέξει δ' ἄμμι πόνον πολὺν ἄντλην·

ἐπεὶ καὶ ναὸς ἐμβαίνει κατεκόρως ἐν ταῖς ἀλληγορίαις ὁ νησιώτης θαλασσεύει· καὶ τὰ πλεῖϛα τῶν πρὸς τυράννους ἐπεχόντων κακῶν πελαγείοις χειμῶσιν εἰκάζει· καὶ μὴν ὁ Τήϊος Ἀνακρέων ἑταιρικὸν φρόνημα καὶ σοβαρᾶς γυναικὸς ὑπερφανίαν ὀνειδίζων, τὸν ἐν αὐτῇ σκαρτῶντα νοῦν ὡς ἵππον ἠλληγόρησεν· ὕτω λέγων·

c) Παῦλε θρηϊκίη· τί δή με
λοξὸν ὄμμασι βλέπουσα,

a) Cf. Alcaei ed. F. Ursini carm. poët. lyr., p. 102. Steph. fragm. lyr. p. 17., Walckenar. ad Ammon. p. 114. b) Steph. ib. etc. c) Carm. vi.

Digitized by Google

νηλεὼς φεύγεις· δοκέεις δέ
μ' ἔθεν εἰδέναι σοφόν·
ἴσθι τοι καλῶς μὲν ἄν τοι
τὸν χαλινὸν ἐμβάλοιμι·
ἡνίας δ' ἔχων, ὄφρα μὲ
ἀμφὶ τέρματα δρόμου·
νῦν δὲ λειμῶνας τε βόσκεαι
κῆφα τὲ σκιρτοῖσα παίζεις·
δεξιὸν γὰρ ἱππαπείρην
οὐχ' ἕξεις ἐπεμβάτην·

Καθόλε μακρὸς ἂν, εἴην ἐπεξιὼν ἕκαστα τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν ἠλληγορημένων· ἀπόχρη ὀλίγαις εἰκόσι τὴν ὅλην τοῦ πράγματος τεκμηρώσασθαι φύσιν· ἀλλ' οὐδ' αὐτὸς Ὅμηρος ἀμφιβόλοις ἔασ' ὅτε καὶ ζητουμέναις ἔτι ταῖς ἀλληγορίαις εὑρίσκεται χρώμενος, ἐν ἀρχῇ τὸν τρόπον ἡμῖν τῆς ἑρμηνείας παραδίδωσι τοῦτον· ἐν οἷς Ὀδυσσεὺς τὰ πολέμου καὶ μάχης κακὰ διεξιὼν φησίν·

a) Ἤ ὅτε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν·
ἀμητὸς δ' ὀλίγιστος ἐπὴν κλίνῃσι τάλαντα
Ζεύς·

τὸ μὲν γὰρ λεγόμενον ἐστὶ γεωργία· τὸ δὲ νοούμενον μάχη· πλὴν ὅμως δὲ ἐναντίων ἀλλήλοις πραγμάτων τὸ δηλούμενον ἐπείπομεν·

Cap. 6. Ὁπότ' οὖν συνήθης μὲν ἅπασι τοῖς ἄλλοις ὁ τῆς ἀλληγορίας τρόπος· ἠγνόηται δὲ οὐδὲ παρ' Ὁμήρῳ, τί παθόντες ἅπερ φαύλως ἔχειν δοκεῖ περὶ θεῶν, οὐ διὰ τοιαύτης ἀπολογίας θεραπεύσομεν· τάξις δέ μοι γενήσεται τῶν λόγων ἡ τῶν Ὁμηρικῶν ἐπῶν τάξις· ἐν ἑκάστῃ ῥαψῳδίᾳ διὰ λεπτῆς ἐπισκήμης ἐπιδεικνύντι τὰ περὶ θεῶν

a) Il. τ. 222.

Digitized by Google

ἠλληγορημένα· ὁ τοίνυν μαρὸς αἰεὶ καὶ βάσκανος φθόνος, οὐδὲ τῆς πρώτης ἐν ἀρχῇ, πέφευγε· πολύς δ' αὐτῷ θρυλεῖται περὶ τῆς Ἀπόλλωνος ὀργῆς λόγος· ὅτι τοὺς οὐδὲ αἰτίους Ἕλληνας, οἱ μάτην ἀφεθέντες οἷς οἱ παρανάλωσαν· καὶ οὕτως ἄδικός ἐστιν ἡ τούτου μῆνις· ὥςθ' ὁ μὲν ὑβρίσας Χρύσην Ἀγαμέμνων, οὐδὲν ἐξαίρετον ἔπαθεν· ὀφείλων εἰ περ ἠδίκει κολασθῆναι· οἱ δ' ἐπιβοήσαντες a) Αἰδεῖσθαί θ' ἱερῆα καὶ ἁγλαὰ δέχθαι ἄποινα, τῆς ἀγνωμοσύνης τῷ μὴ πεπεισμένῳ γεγόνασι παρανάλωμα· πλὴν ἔγωγε τὴν ὑπολελειμμένην ἐν τοῖς ἔπεσιν ἀλήθειαν ἀκριβῶς διαθρήσας, οὐκ Ἀπόλλωνος ὀργὴν οἶμαι ταῦτα· λοιμικῆς δὲ νόσου κακόν· οὐ θεόπεμπτον ἀλλ' αὐτόματον φθορὰν συστάντος τότε καὶ πολλαχῇ· ὥστε καὶ μέχρι τῶν δεῦρο χρόνων ἐκνέμεσθαι τὸν ἀνθρώπινον βίον· ὅτι μὲν τοίνυν ὁ αὐτὸς Ἀπόλλων ἡλίῳ· καὶ θεὸς εἷς δυσὶν ὀνόμασι κοσμεῖται, σαφὲς ὑμῖν εἴ τε τῶν μυστικῶν λόγων σὺς αἱ ἀπόρρητοι τελεταὶ θεολογοῦσι· καὶ τὸ δημῶδες ἄνω καὶ κάτω θρυλούμενον· ἥλιος Ἀπόλλων· ὁ δέ γε Ἀπόλλων ἥλιος·

Cap. 7. Ἠκρίβωται δ' ἡ περὶ τούτων ἀπόδειξις καὶ Ἀπολλοδώρῳ περὶ πᾶσαν ἱστορίαν ἀνδρὶ δεινῷ· τῦτ' ἔγωγε τὴν ἐπὶ πλέον ἐξεργασίαν καὶ ἀκαίρου λόγου περιττὸν ὑπερθήσομαι μῆκος· ἐκεῖνο δ' ὃ ἐκ τῆς ἡμετέρας εἰκασίας ἀναγκαῖον εἰπεῖν οὐ παρήσω· δεικνὺς ὅτι καὶ καθ' Ὅμηρον αὐτός ἐστιν Ἀπόλλων καὶ ἥλιος· τοῦτο δ' εἰ λεπτῶς ἐθέλει σκοπεῖν τις ἐξ ἁπάντων εὑρήσει τῶν ἐπιθέτων γνώριμον· ἀμέλει Φοῖβον αὐτὸν εἴωθε συνεχῶς ἀναμάζειν· οὐ μὰ Δία οὐκ ἀπὸ Φοίβης ἣν Λητοῦς φασιν εἶναι μητέρα· σύνηθες γὰρ Ὁμήρῳ τοῖς πατρόθεν ἐπιθέτοις χρῆσθαι·

a) Il. ι. 23.

τὰ δ' ἐκ μητέρων, οὐκ ἂν εὕροι τις ὅλως παρ' αὐτῷ. Φοῖβον οὖν, ἀπὸ τῶν ἀκτίνων λαμπρὸν αὐτὸν ὀνομάζει· τὸ μόνον ἡλίῳ προσὸν ἐξ ἴσου Ἀπόλλωνι· a) καὶ μὴν οὐδ' ἐκάεργον εἰκὸς ἐστιν ἐκαέργης ὀμώνυμον εἶναι τῆς ἐξ Ὑπερβορέων ἀπαρχὰς ἐπέβηλεν ἐνεγκούσης· ἀλλ' ἐστιν ἐτίμως ἑκάεργος, ὁ τὰ ἕκαθεν ἐργαζόμενος· τυτέστιν ὁ ἥλιος πάρρωθεν ὁ ἀφεστὼς τῆς ἡμετέρας γῆς· ὡρῶν εἶων γεωργὸς εὐκαίρως ἐφίσταται τῇ γῇ χειμῶσιν ἀντιμετρῶν καὶ πρωτοῦ τε καὶ σπορᾶς ἀμητοῦ τε καὶ τῶν κατὰ γεωμορίαν ἔργων αἴτιος ἀνθρώποις γενόμενος· b) λυκηγενέτην δὲ προσηγόρευσεν αὐτὸν, οὐχ ὡς ἐν Λυκίᾳ γεγεννημένον· ἔξω γὰρ οὖν τῆς ὁμηρικῆς ἀναγνώσεως οὗτος ὁ νεώτερος μῦθος· ἀλλ' ὡς περ οἶμαι c) τὴν ἡμέραν ἠργένναν ὀνομάζει τὴν τὸ ἦρ γεννῶσαν ὅπερ ἐστὶν ὄρθρον, οὕτω λυκηγενῆ προσηγόρευσε τὸν ἥλιον· ἐπειδὴ τοῦ κατὰ τὴν αἰθρίαν ὥρᾳ λυκαυγοῦς, αὐτός ἐστιν αἴτιος· ἢ ὅτι τὸν λυκάβαντα γεννᾷ ταυτέστι τὸν ἐνιαυτόν· ὅρος γὰρ ἐτησίου χρόνου δωδεκαμοίρων ἡλίου ἐν μέρει τὰ δώδεκα ζῴδια· καὶ μὴν χρυσάορον αὐτὸν ὠνόμασεν. οὐχ ὡς ὑπεζωσμένον χρυσοῦν ξίφος· ἀνοίκειον γὰρ Ἀπόλλωνι τὸ ὅπλον· τοξότης γὰρ ὁ θεὸς· ἀλλ' ἐπειδήπερ ἐξ ἀνατολῶν χρυσῷ μάλιστα τὸ φέγγος ὁρᾶθεν ἔσπεν, εὐρέθη πρέπον ἐπίθετον ἡλίῳ διὰ τὰς ἀκτῖνας ὁ χρυσάορ· d) ὅθεν εἶμαι κὸν τῇ θεομαχείᾳ Ποσειδάωνι ἴστασθαι διαμιλλώμενος· αἰεὶ γὰρ ἄπιστος ἔχθρα πυρὶ καὶ ὕδατι τῶν δύο στοιχείων ἐναντίαν προσάλληλα φύσιν ἀποπεπληρωμένων· διατοῦθ' ὁ Ποσειδῶν ὑγρά τις ὕλη καὶ περὶ τὴν πόσιν οὕτως ὠνομασμένος, ἐξ ἀντιπάλου μάχεται ταῖς διαπύροις ἀκτῖσι τοῦ ἡλίου· πρὸς γὰρ Ἀπόλλωνα ποίαν ἔχει πρόφασιν ἐξαίρετον ἀπεχθείας·

a) Il. α. 47. b) Il. δ. 101. 119. c) Il. κ. 477. d) Il. υ. 67.

Digitized by Google

Cap. 8. Ταῦτα τοίνυν εἰρήσεται, ἀνθ' ὅτυ ποτὲ τὸν αὐτὸν ἀπεφηνάμην ἥλιον Ἀπόλλωνι· καί τι πειρώμενος κατασκευάζειν· αἱ λοιμικαὶ νόσοι τὴν μεγίστην ἔχουσι τῆς φθορᾶς πρόφασιν τὸν ἥλιον· ὅταν μὲν γὰρ ἡ θέρειος αὐτὸν μαλακὴ καὶ πραεία δι' εὐκράτυ τῆς ἀλέας ἡσυχῇ διαθάλπεται σωτήριον ἀνθρώποις ἐπιμειδιᾷ φέγγος, αὐχμηρὰ δὲ καὶ διάδυρος ἐκκαεῖσα, νοσηροὺς ἀπὸ γῆς ἀτμοὺς ἀφέλκεται· κάμνοντα δὲ τὰ σώματα καὶ διὰ τὴν ἀήθη τῦ περιέχοντος τροπὴν νοσῦντα, λοιμικοῖς πάθεσιν ἀναλῦται· τῶν δ' ὀξέων συμφορῶν αἴτιον Ὅμηρος ὑπεστήσατο τὸν Ἀπόλλωνα· διαῤῥήδην τοῖς αἰφνιδίοις θανάτοις ἐπιγράφων τὸν θεόν· φησὶ γὰρ·

a) Ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξύν·
οἷς ἀγανοῖσι βέλεσσιν ἐπιχόμενος κατέπεφνεν·

ἐπειδήπερ οὖν ἕνα μὲν καὶ τὸν αὐτὸν ὑπίσταται τῷ Ἀπόλλωνι τὸν ἥλιον· ἐκ δὲ τῦ ἡλίου τὰ τοιαῦτα τῶν παθημάτων συνίσταται, φυσικῶς ἐπέστησε τῷ λοιμῷ τὸν Ἀπόλλωνα· καὶ ὅτι καθ' ὃν καιρὸν συνέβαινε τοὺς Ἕλληνας ἐν τῷ λοιμῷ νοσεῖν θέρειος ἦν ὁ καιρὸς, ἤδη πειράσομαι δικάσειν· ὥς τε οὐκ ὀργὴν Ἀπόλλωνος· ἀλλ' αὐτομάτου φθορὰν ἀέρος εἶναι τὸ συμβεβηκός· αὐτίκα τῶν ἡμερῶν τὸ μῆκος εἰς πλείστην ἀμετρίαν ἐκτεινόμενον, ἐλέγχει τὴν ἀκμὴν τῦ θέρους·

b) ὅτε τ' ἤματα μακρὰ πέλονται·

μία γὰρ ἀπὸ τῆς Ἀγαμέμνονος ἀριστείας ἐπὶ τὴν Ἀχιλλέως ἄνοπλον ἔξοδον ἡμέρα παρατείνεται· καὶ τὸ μεῖζον οὐ δ' ὁλόκληρος·

c) Ἠέλιον γὰρ ἀκάμαντα βοῶπις πότνια Ἥρη
πέμψεν ἐπ' ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι·

a) Od. ο. 409. b) Od. σ. 366. c) Il. σ. 239.

Digitized by Google

χρεσκοπήσασα τῶν ὑπολειπομένων ὡρῶν σὺκ ὀλίγον οἶμαι μέρος·

Cap. 9. Αἱ δὲ μεταξὺ πράξεις εἰς ὀκτὼ ῥαψῳδίας μερίζονται· καὶ πρώτη μὲν a) ἡ ἐπὶ διάδι μάχη· πολλὰς ἀνδραγαθίας ἑκατέρων ἐμπεριέχουσα· μετ' αὐτὴν δὲ, b) ἡ παρὰ τοῖς ἑλληνικοῖς τείχεσι· c) καὶ τρίτην προστίθημι τὴν ἐπὶ ναυσὶ μάχην· ἄχρι τῆς ἀναιρέσεως Πατρόκλε· καὶ τῆς δι' ἐκεῖνον Ἀχιλλέως ἐξόδε· πλὴν ὅμως τὸν ἀριθμὸν οὕτω πολὺν ὄντα τῶν ἔργων, οὐκ ἄπιστον ἡ θέρεος ὥρα πεποίηκεν· αἵ τε νύκτες ἡμίσεα χειμέριαι· πῶς ἄν, κρύος ἐτόλμησεν Ἕκτωρ ταῖς ἀχαϊκαῖς ἐπινυκτερεῦσαι ναυσὶν· d) οὐ δ' ἄν, αὐλῶν συρίγγων τ' ἐνοπὴ διὰ τῆ βαρβαρικῆ στρατεύματος ἐπανηγυρίζετο· στιβὰς γὰρ ἐλείνη καὶ στρατόπεδα τοῖς πολεμίοις χειμῶνες εὐτρεπίζεται. τῶν δ' ὑπαίθρων ἀγώνων ἐκτός εἰσιν· ὡς τ' ἐκ ἄν, Ἕκτωρ τὴν πόλιν ἐκλιπὼν ἐν ᾗ μετ' ἀσφαλείας διέτριβεν· ἐλθὼν ἄν, ἐπὶ τῇ θαλάττῃ γυμνὰ τὰ στρατεύματα κατέδρυσε· πῶς δὲ τῶν κατὰ συμμαχίαν ἐληλυθότων ἕκαστος οὕτω ῥιψοκίνδυνος ἦν, ὡς παρ' ὥραν ἐφεδρεύειν τοῖς πολεμίοις· καὶ μάλιστα τῆς Ἴδης ὑπερκειμένης· ὄρους δυσχειμέρου· καὶ ῥεῖθρα ποταμῶν ἄπειρα πηγαζούσης· ἐκρήγνυται γὰρ ἀπὸ τῶν κατὰ μέρη λαγόνων·

e) Ῥῆσός θ' Ἑπτάπορός τε Κάρηός τε Ῥοδιός τε·
Γρήνικός τε καὶ Αἴσηπος δῖος τε Σκόμανδρος
καὶ Σιμόεις·

οἳ δίχα τῶν ἀπ' ὠρανοῦ φερομένων ὑετῶν ἱκανοὶ τὸ πεδίον ἦσαν ἐκλιμνάσαι· φέρε δ' οὖν ὑπ' ἀναισθησίας τοὺς βαρβάρους τὸ ἀσύμφορον ἐλέσθαι· τί ποιεῖν ἀντί τινος·

a) Il. λ. 166. b) Il. μ. ν. ξ. c) Il. ο. π. ρ σ. o) Il. κ. 12. e) Il. μ. 20.

Digitized by Google

οἱ πάντα φρονήσει διαφέροντες Ἕλληνες ἐπιλεξάμενοι τοὺς ἀρίστους, ἐπὶ τὴν κατασκοπὴν νύκτωρ ἀποπέμπουσιν. ἵν' ἐκ τοῦ κατορθῶσαί τι τηλικοῦτον ὠφεληθῶσιν, ὁπόση βλάβη διαμαρτόντων ἀπήντα. νιφετὸς γὰρ εἷς καὶ χειμερίων ὑδάτων ἐπομβρία, ῥᾳδίως ἂν ἀμφοτέρους κατέκλυσεν· ἐγὼ μὲν γὰρ αὐτὴν νομίζω τὴν ἀπὸ τῆς πόλεως ἔξοδον ἐπὶ τὴν μάχην, ἐκ ἄλλού τινος εἶναι καιροῦ σημεῖον ἢ θέρους. ἅπας γὰρ ἀναπαύεται πόλεμος ἐν χειμῶνι· καὶ τὴν χρὸς ἀλλήλους ἐκεχειρίαν ἄγουσιν· οὐθ' ὅπλα δυνάμενοι βαστάζειν, οὔτε τὰς πολεμικὰς ὑπηρεσίας φέρειν· πῶς γὰρ ἢ διῶξαι ῥᾴδιον ἢ φυγεῖν· πῶς δ' ἄν, αἱ χεῖρες εὐσχοίᾳ βάλλοιεν ὑπὸ τοῦ κρύους δεδεμέναι· θέρει δὲ τῷ μεσαιτάτῳ τὰ πλήθη τέτραπται πρὸς τὴν μάχην· καὶ τοῦθ' ὅτι τοιοῦτόν ἐστιν, ἀπ' οὐδεμιᾶς εἰκασίας ἀλλ' ἐναργῶς σκεπτέον·

Cap. 10. Μετὰ γὰρ τὴν στρατηγικὴν Ἀγαμέμνονος διάπειραν, ἐξαναστάντες οἱ Ἕλληνες ἐπὶ τὰς ναῦς κατατρέχουσιν·

a) ὑπὸ δ' ἤρσεν ἔρματα νηῶν·

οὐ δήπου ἢ κατὰ πρώραν ἐναντίων ἑστηκότων ἀνέμων· οὐ δ' ἀπειλούσης τῆς θαλάττης· τίς γὰρ ἂν, ἦν κυβερνήτης ἐπὶ πρόδηλον οὕτω κίνδυνον ἐξιῶσιν· ἄλλως τε μηδ' ὀλίγην περαιοῦσθαι μέλλουσιν αὐτοῖς θάλασσαν· οὐ γὰρ εἰς Τένεδον ἀπῆρον· οὐδ' ἐπὶ Λέσβου καὶ Χίου παρευτρεπίζοντο τὸν πλοῦν· ἡ δ' Ἑλλὰς ἀπώκιστο πόρρω καὶ τὸ πέλαγος ἦν χαλεπόν· ὃ καὶ θέρους ποτὲ πλέοντες ἐσφάλησαν· ἔτι τοίνυν φερομένων ἀπὸ τῆς ἐκκλησίας αὐτῶν, ἐγείρεται δαιμονία νόησις·

b) οἱ δ' ἀλαλητῷ

a) Il. β. 134. b) Il. β. 149.



Digitized by Google

νῆας ἐπεσσεύοντο· ποδῶν δ' ὑπένερθε κονίη
ἵστατ' ἀειρομένη·
τίνι τρόπῳ τῆς γῆς ἔτι διάβροχον ἐχούσης τοὔδαφος· ἔν
τε ταῖς ἐφεξῆς παρατάξεσιν εἴωθε συνεχῶς λέγειν,
a) λευκοὶ ὕπερθε γένοντο κονισσάλῳ· ὃν ῥα δι' αὐτῶν,
ὠρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων·
τί δ' ἐπὶ τοῦ τετρωμένου Σαρπηδόνος οὐ ῥιπὴ βόρειος
b) ζώργει ἐπιπνείουσα, κακῶς κεκαφηότα θυμὸν
ἀναψύξεως δεομένου τοῦ σώματος ἐν ἀέρι διαπύρῳ· καὶ πά-
λιν ἑτέρωθί που·
c) δίψῃ καὶ καρχαλέοι κεκονιζομένοι ἐκ πεδίοιο·
καὶ d) ἱδρῶ ἀπεψύχοντο πίον τ' ἀκέοντό τε δίψαν·
ἅπερ ἐν χειμῶνι μὲν ἀμήχανα συμβῆναί τινι· θέρους δὲ
μαχομένοις ἦν ἀλεξήματα· τί δεῖ τὰ πολλὰ μηκύνειν·
σχεδὸν γὰρ ἀπόχρη κἂν εἴ τι τῶν εἰρημένων ἐναπεδείξα-
μεν ἐκφῆναι τοῦ ἔτους τὸν καιρόν·
e) καίοντο πτελέαι τε καὶ ἰτέαι ἡ δὲ μυρῖκαι·
καίετο δὲ λωτός τε ἰδὲ θρύον ἡ δὲ κύπειρον·

Cap. 11 Εἰ δὲ θέρος μὲν, ὁμολογεῖται κατ' ἐκεῖνον
εἶναι τὸν χρόνον· αἱ δὲ νόσοι περὶ τὴν θέρειον ὥραν συ-
νίστανται· τῶν δὲ λοιμικῶν παθημάτων προστάτης Ἀπόλ-
λων, τί λοιπὸν ἢ δοκεῖν τὸ συμβεβηκὸς οὐ θεοῦ μῆνιν·
ἀλλὰ συντυχίαν ἀέρος γενέσθαι· σφόδρα γοῦν πιθανῶς
Ἡρόδικος ἀποφαίνεται· μηδ' ὅλην τὴν δεκαετίαν ἐν Ἰλίῳ
μεμενηκέναι τοὺς Ἕλληνας· ἀλλ' ἐπὶ τέλει τοῦ καθειμαρ-
μένου χρόνου τῆς ἁλώσεως ἐληλυθέναι· καὶ γὰρ ἦν ἄλο-
γον εἰδότας ἐξ ὧν προεῖπεν ὁ Κάλχας· ὅτι τῷ δεκάτῳ
πόλιν αἱρήσουσιν εὐρυάγυιαν· ἐπ' οὐδενὶ χρησίμῳ τοσού-

a) Il. ε. 503. b) Il. ε. 698. c) Il. φ. 541. d) Il. χ. 2.
e) Il. φ. 350.

Digitized by Google

των ἐτῶν ἀφγίαν ἀναλίσκειν· ἀλλ' εἰκὸς ἐν τοῖς μεταξὺ καιροῖς περιπλέοντας ἄνω καὶ κάτω τὴν Ἀσίαν, ἅμα τάς τε πολεμιςηρίους ἀσκήσεις ὑπογυμνάζειν· καὶ λαφύρων τὸ ςρατόπεδον ἐμπιπλάναι· τῷ δεκάτῳ δ' ἐνςάντας ἔτους ἐν ᾧ πεπρωμένον ἦν τὰ τῆς ἁλώσεως τέλας, ἀθρόως καταχθῆναι· κοῖλα δ' αὐταὺς τενάγη καὶ τόπος ἐλώδης ἐξεδέχετο· καὶ διὰ τοῦτο ἥρους ἐνςάντος, ἡ λοιμικὴ νόσος ἐγκατέσκηψε·

Cap. 12. Νῦν τοίνυν καὶ τὰ κατὰ μέρος εἰρημένα περὶ τῆς νόσου διασκεψώμεθα· σχεδὸν γὰρ ἅπαντα συνάψει τοῖς ὑφ' ἡμῶν λεγομένοις· καὶ πρώτην γε φυσικὴν ὑπεςήσατο τὴν φερομένην ἀπὸ τῶν οἰςῶν φωνήν· οὔ μὰ Δί', οὐ μυθικῶς βέλη φθεγγόμενα τερατευόμενος· ἀλλ' ἔςιν ἐν τῷ ςίχῳ θεωρία φιλόσοφος·

a) ἔκλαγξαν δ' ἄρ οἰςοὶ ἐπ' ὤμων χωομένοιο
αὐτοῦ κινηθέντος·

εἰσὶ γὰρ εἰσί τινες ἐφάνιοι μεθ' ἁρμονίας ἐμμελεῖς ἦχοι κατὰ τὴν ἀΐδιον φορὰν ἀπαφαλλόμενοι· μάλιςα δὲ τῆς ἡλιακῆς περιόδου συντόνως φερομένης· οὐ γὰρ δή πω ῥάβδῳ μὲν ὑγρᾷ πλήξας τίς εἰκῇ τὸν ἀέρα· καὶ λίθον ἀπὸ σφενδόνης ἀφεὶς ῥοίζως ἀποτελεῖ, καὶ συριγμὸς οὕτω βαρύφθογγον· τηλικούτων δὲ σωμάτων ἡ κυκλοπόρος βία δρόμοις ἀπ' ἀνατολῶν εἰς δύσιν ἁρματηλατουμένη μεθ' ἡσυχίας τὸν σφοδρὸν ὁδοιπορεῖ νόμον· τούτους δὲ διηνεκῶς ἀραιῷ τελουμένους φθέγγεσθαι, ἀγνοοῦμεν ἢ διὰ τὴν ἀπὸ πρώτης γονῆς συνήθειαν ἐνδεχῶς ἐνοικοῦσαν ἡμῖν, ἢ διὰ τὴν ἄμετρον ὑπερβολὴν ταῦ θιας ήματος· ἐκλυομένου τοῦ ψόφου τῷ διείργοντι μέτρῳ· καὶ τοῦθ' ὅτι τοιοῦτόν ἐςιν, ὁ φυγαδεύων Ὅμηρον ἐκ τῆς ἰδίας πολιτείας συ-

a) Il. α. 46.

Digitized by Google

γκαταινεῖ Πλάτων οὕτω λέγων· ἔτι δὲ τῶν κύκλων αὐτῷ ἄνωθεν ἐφ' ἑκάστῳ βεβηκέναι σειρῆνα συμπεριφερομένην, φωνὴν μίαν ἱεῖσαν ἔνατον· ἁπασῶν δ' ὀκτὼ οὐσῶν, μίαν ἁρμονίαν συμφωνεῖν· ὁμοίως δὲ καὶ ὁ Ἐφέσιος Ἀλέξανδρος ἐπεξελθὼν ὅπως κατὰ τάξιν οἱ πλάνητες ἀστέρες ὁδεύουσιν, ἐπάγει περὶ τῶν ἑκάστῳ φθόγγων·

πάντες δ' ἑπτὰ τόνοιο λύρης φθόγγοισι συνωδεῖν
ἁρμονίην προσέχουσι· διαστὰς ἄλλος ἐπ' ἄλλου

δι' ὧν ἂν εἴη γνώριμον ὡς οὐ κωφὸς οὐ δ' ἄφθογγος ἐστὶν ὁ κόσμος·

Cap. 13. Ἀρχὴ δὲ ταύτης τῆς δόξης Ὅμηρος εἰπὼν τὰς ἡλιακὰς ἀκτῖνας ἀλληγορικῶς βέλη· προσθεὶς δ' ὅτι φερόμεναι διὰ τοῦ ἀέρος ἔγκλαξαν ἰδίαν ἔνθεόν τινα φωνήν· τὰ κοινὰ δὲ τῶν φθόγγων παρασήσας, ἐπὶ τὸ ἴδιον εὐθὺς τοῦ λόγου μετέβη· προσθείς,

a) ὁ δ' ἤϊε νυκτὶ ἐοικώς·

οὐ γὰρ ἀκήρατον φῶς· ἀδ' ἀμιγὲς ἀχλύος μελαίνης ὑφίσταται τὸ τοῦ ἡλίου· νυκτί δ' αὐτὸν ἐθόλωσεν ὁποία σχεδὸν εἴωθεν ἐν τοῖς λοιμικοῖς πάθεσιν ἐπιπροσθεῖν τῷ δι' ἡμέρας φέγγει. πῶς γε μὴν τοξάζειν ἐσπουδακὼς Ἀπόλλων·

b) ἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν μετὰ δ' ἰὸν ἕηκεν·
δεινὴ δ' κλαγγὴ γένετ' ἀργυρέοιο βιοῖο·

εἰ γὰρ οὖν δι' ὀργὴν ἐτόξευεν, ἐγγὺς ἔδει τιτρωσκομένους ἑστάναι τὸν βάλλοντα· νῦν δ' ἀλληγορῶν τὸν ἥλιον, εἰκότως ἄπωθεν αὐτοῦ τὴν φορὰν τῆς λοιμικῆς ἀκτῖνος ὑπεστήσατο·

Cap. 14. Καὶ μὴν ἐναργέστατον ἐπιφέρει μετὰ τοῦτο σημεῖον εἰπών·

c) οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς·

a) Il. α. 47. b) Il. α. 48. c) Il. α. 50.

Digitized by Google

οὐ γὰρ οὕτως ἄκριτον ἦν παρανάλωμα τῆς Ἀπόλλωνος ὀργῆς τὰ ἄλσγα τῶν ζώων· οὐ δ' ἂν, ὁ θυμὸς ἀφρόνως ἡμιόνοις ἐνήκμαζε καὶ κυσίν· ὡς τὸ θρᾳκικὸν ἀνδράποδον Ὁμήρου κατεξανίσταται· λέγω δὲ τὸν ἀμφιπολίτην Ζωΐλον ἄνω καὶ κάτω τοιούτους τινὰς λήρους φληναφῶντα· Ὅμηρος δὲ καὶ σφέδρα φυσικῶς τὴν περὶ τὰ λοιμικὰ τῶν παθημάτων συντυχίαν διὰ τούτου παρίστησιν· αἱ γὰρ ἐμπειρίαι ἰατρικῆς τε καὶ φιλοσοφίας ἔχουσαι δι' ἀκριβοῦς παπαρατηρήσεως, ἔγνωσαν ἐν ταῖς λοιμικαῖς νόσοις τὸ δεινὸν ἀπὸ τῶν τετραπόδων ζώων ἀρχόμενον· κατ' ἄμφω δ' ἡ πρόφασις ἔστιν εὔλογος ὡς τ' εὐάλωτα πρὸς τὸ δεινὸν εἶναι· τῆς τε γὰρ διαίτης τὶ ἀκρυβὲς θηρᾶται· δι' ἣν ἀταμιεύτως σιτίων τὲ καὶ ποτῶν πιμπλάμενα διαφθείρεται· μηδενὸς λογισμοῦ τὴν ἐπὶ τὸ πλεῖον ὁρμὴν χαλινοῦντος· ἔπειθ' ὁ καὶ μᾶλλον ἀληθές ἐστιν, οἱ μὲν ἄνθρωποι μεταρσίοις ταῖς ἀναπνοαῖς τὸν καθαρώτατον ἕλκοντες ἀέρα, βραδύτερον ἁλίσκονται τῷ πάθει· τὰ δ' ἐπὶ γῆς ἑρπύμενα ζῶα, τοὺς νοσώδεις ἐκεῖθεν ἀτμοὺς εὐμαρέστερον ἕλκει· πάνυ γε μὴν ἀληθῶς οὐκ ἐν ἀρτίοις ἡμέραις τὴν ἀπαλλαγὴν τῆς νόσου δεδήλωκεν, ἀλλ' ἐν περιτταῖς·

a) ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ὤχετο κῆλα θεοῖο·

μάλιστα γὰρ ἐν τῇ παρ' ἕκαστα πείρᾳ γνώριμόν ἐστι τοῦθ' ὅτι κρίσιμοι τῶν σωματικῶν παθημάτων αἱ περιτταὶ γίγνονται τῶν ἡμερῶν·

Cap. 15. Αὐτὴρ δ' Ἀχιλεὺς τῆς νόσου·

b) Χείρων γὰρ αὐτὸν ἐδίδαξε
δικαιότατος Κενταύρων·

ὃς πάσῃ μὲν ἐκέκαστο σοφίᾳ· περιττὸς δὲ ἦν τὴν ἰατρικήν· ὅπερ γνώριμον αὐτῷ φασιν εἶναι καὶ Ἀσκληπιόν. προσέ-

a) Il. α. 53. b) Il. λ. 831.

Digitized by Google

Θῆκε δ' Ἀχιλλεῖ θεραπεύοντι φησικῶς ἀλληγορήσας θεὰν Ἥραν·

a) τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη·

δύο γάρ ὄντων κατὰ τοὺς φυσικοὺς τῶν πνευμάτων στοιχείων αἰθέρος τε καὶ ἀέρος, τὸν μὲν Δία, τὴν πυρώδη φαμὲν οὐσίαν· ἡ δὲ Ἥρα, μετ' αὐτόν ἐστιν ἀὴρ μελανώτερον στοιχεῖον διὰ τοῦτο καὶ θῆλυ· τὰ δ' ἀκριβῆ περὶ τούτου διαλεξόμεθα μικρὸν ὕστερον· νῦν δ' ἀπόχρη τοσοῦτον εἰπεῖν ὅτι τῶ πάλαι θολερῶ διαχυθέντος ἀέρος, αἰφνιδίως διεφθείη τὸ συμβάν· οὐδὲ γὰρ εὐλόγως λευκώλενον εἶπε τὴν Ἥραν, ἀλλ' ἀπὸ τῶ συμβεβηκότος· ὅτι τῇ νυκτὶ προσεοικυῖαν ἀχλὺν ὁ λευκὸς ἀὴρ ἐπὶ καθαρώτερον ἐλάμπρυνεν. εἶτ' ἀνεθέη τῆς νόσε τὸ ἑλληνικὸν πλῆθος ἐπὶ τὸν συνήθη τοῖς ἀπηλλαγμένοις ὀδὸν ἑτράπη· λέγω δὲ τοὺς ὀνομαζομένους ἀποτροπιασμούς τε καὶ καθαρμούς·

b) οἱ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματ' ἔβαλλον·

Cap. 16. Δοκεῖ δέ μοι καὶ Ὀδυσσεὺς οὐδένα ἄλλον ἢ τὸν ἥλιον ἱλάσκεσθαι δι' ἧς προσηνέγκατο θυσίας· ἀμέλει

c) πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο·
ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός·

πέρας γάρ ἐστι τῆς εὐσεβείας ἡ θύσις· ἕως ἀκούοντα καὶ βλέποντα τὸν θεὸν ἐτίμων· μηκέτι δ' αὐτοῦ τοῖς τελουμένοις παρεῖναι τολοιπὸν δυναμένου· τὸ τῆς ἑορτῆς πέπαυται· πρός γε μὴν βαθὺν τὸν ὄρθρον ἀναχθέντων, φησὶν ὁ ποιητής·

d) τοῖσι δ' ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων·

τὸ περὶ τὸν ἥλιον ἐσπουδασκὼς ἰδίωμα δηλοῦν· ἄχρι γὰρ

a) Il. α. 53. b) Il. α. 314. c) Il. α. 472. seqq. d) Il. α. 479.

Digitized by Google

οὐδέπω φλογώδης οὐδ' ἔμπειρος ἐπὶ μεσημβρίαν ὁ δρόμος αὐτοῦ νένευκεν, ἡ δροσώδης ἱκμὰς ὑγρὸν τὸ περιέχον ἀφεῖσα, ἀμυδρὰ καὶ νωθῆ παραπέμπεται τὰ πρὸς ἕω πνεύματα· διατοῦτο τὸ ὄρθριον ὁ ἥλιος αὐτοὺς ἐναυστόλησεν. ἱκανὸν ἀποστείλας ἄνεμον τὸν ἐκ τῆς ἰκμάδος πνέοντα· τὴν μὲν οὖν πρώτην ἀλληγορίαν ἐπεδείξαμεν, οὐ θυμὸν Ἀπόλλωνος ὀργισαμένου μάτην· ἀλλὰ φυσικῆς θεωρίας φιλοσοφοῦσαν ἔννοιαν·

Cap. 17. Ἐφεξῆς δ' ἡμῖν σκεπτέον ὑπὲρ τῆς ἐφισταμένης Ἀθηνᾶς Ἀχιλλεῖ·

a) ἕλκετο γὰρ ἐκ κολεοῖο μέγα ξίφος ἦλθε δ' Ἀθήνη
οὐρανόθεν· πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη·
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε·
στῆ δ' ὄπιθεν· ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα·
οἴῳ φαινομένη τῶν δ' ἄλλων οὔ τις ὁρᾶτο·
θάμβησε δ' Ἀχιλεὺς μετὰ δ' ἐτράπετ' αὐτίκα δ' ἔγνω·
Παλλάδ' Ἀθηναίην· δεινῶ δέ οἱ ὄσσε φάανθεν·

τὸ μὲν γὰρ πρόχειρον ἐκ τῶν λεγομένων ἔστιν εἰπεῖν· ὅτι μεταξὺ τοῦ σπωμένου σιδήρου· θεὰ παντὸς ὀξυτέρα τάχους τὴν οὐράνιον ἐκλυποῦσα διατριβὴν, ἐμποδὼν ἔστη τῇ μιαιφονίᾳ· πάνυ γραφικῷ σχήματι τῆς κόμης ἀπρὶξ ὄπισθεν Ἀχιλλέως λαβομένη· λαμπρά γε μὴν καὶ λίαν φιλόσοφον ὑφιδρεύει τοῖς νοουμένοις κατ' ἀλληγορίαν ἐπισήμη· πάλιν οὖν ὁ πρὸς Ὅμηρον ἀχάριστος ἐν τῇ πολιτείᾳ Πλάτων ἐλέγχεται διὰ τούτων τῶν ἐπῶν τὸ περὶ τῆς ψυχῆς δόγμα νοσφισάμενος ἀπ' αὐτοῦ· τὴν γὰρ ὅλην ψυχὴν διῄρηκεν εἰς γένη δύο· τό, τε λογιστικὸν· καὶ τὸ ἄλογον ὑπ' αὐτοῦ προσαγορευόμενον· τοῦ δὲ ἀλόγου μέρους, ἰδικωτέραν ὑφίσταται διαίρεσιν εἰς δύο μερίζων· καὶ τὸ μὲν, ἐπιθυμητικὸν

a) Il. α. 194.

Digitized by Google

ὀνομάζει· τὸ δ' ἕτερον θυμοειδές· καὶ καθάπερ δὲ οἰκουντινὰς ἑκάστῳ μερίζει καὶ διατριβὰς ἐν τῷ σώματι διένειμεν· τὸ μὲν οὖν λογικὸν τῆς ψυχῆς, ἀκρόπολίν τινα τὴν ἀνωτάτω τῆς κεφαλῆς μοῖραν εἰληχέναι νομίζει· πᾶσι τοῖς αἰσθητηρίοις ἐν κύκλῳ δωρυφορούμενον· τῷ δ' ἀλόγου μέρους, ὁ μὲν θυμὸς οἰκεῖ περὶ τὴν καρδίαν· αἱ δὲ τῶν ἐπιθυμιῶν ὀρέξεις, ἐν ἥπατι· ταῦτα δὲ ἀλληγορικῶς ἐν τῷ Φαίδρῳ προσωμοίωσεν ἵπποις τε καὶ ἡνιόχῳ· διαῤῥήδην λέγων· ὁ μὲν τοίνυν αὐτῶν ἐν τῇ καλλίονι στάσει ὤν, τό τ' εἶδος ὀρθὸς καὶ διηρθρωμένος· ὑψαύχην· ἐπίγρυπος· λευκὸς ἰδεῖν· μελανόμματος· τιμῆς ἐραστής· μετὰ σωφροσύνης τε καὶ αἰδοῦς· δόξης ἑταῖρος· ἄπληκτος· κελεύσματι καὶ λόγῳ μόνῳ ἡνιοχεῖται· ταῦτα μὲν περὶ θατέρου μέρους τῆς ψυχῆς. περὶ δὲ τοῦ λοιποῦ φησίν· ὁ δ' αὖ σκολιὸς· πολὺς· εἰκῇ συμπεφορημένος· κρατεραύχην· πολυτράχηλος· σιμοπρόσωπος· μελανόχρως· γλαυκόμματος· ὕφαιμος· ὕβρεως καὶ ἀλαζονείας ἑταῖρος· περιωτάλσιος· ὑπόκωφος· μάστιγι μετὰ κέντρου μόλις ὑπείκων. τὸ μέν τοι λογικὸν μέρος τῆς ψυχῆς ὃ ἐν τῇ κεφαλῇ, καθίδρυτο, τῶν ὅλων πεποίηκεν ἡνίοχον· οὐτωσὶ λέγων· περὶ δὲ τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους, διανοεῖσθαι δεῖ τῇδε· ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ δέδωκε τοῦτο· ὃ δὴ φαμὲν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι. πρὸς δὲ τὴν, ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν· ὡς ὄντας φυτὸν οὐκ ἐπίγειον ἀλλ' οὐράνιον

Cap. 18. Ταῦτα τοίνυν ὡς περ ἐκ πηγῆς τῶν ὁμηρικῶν ἐπῶν, εἰς τοὺς ἰδίους διαλόγους ὁ Πλάτων μετήρδευσεν· καὶ πρῶτον γε περὶ τῶν ἀλόγων μερῶν τῆς ψυχῆς σκεπτέον· ὅτι μὲν γὰρ ὁ θυμὸς εἴληχε τὸν ὑποκάρδιον χῶρον, Ὀδυσσεὺς τοῦτο ποιήσει σαφὲς ἐν τῇ κατὰ μνηστή-

Digitized by Google

ρων ὀργῆ· καθάπερ οἰκόν τινα τῆς μισοπονηρίας θυρσκρυστῶν τὴν καρδίαν·

a) στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλό ποτ' ἔτλης·

ἀφ' ἧς γὰρ αἱ μυθικαὶ ῥέουσι πηγαὶ πρὸς ταύτην ὁ λόγος ἀποκλίνων· τόν γε μὴν Τιτυὸν ἐρασθέντα τῶν Διὸς γάμων ἀφ' ἧς μέρους ἤρξατο νοεῖν, εἰς τοῦτο ὑφίσταται κολαζόμενον·

b) γῦπε δέ μιν ἑκάτερθε παρημένω ἦπαρ ἔκειρον·
ἀντὶ τίνος Ὅμηρε·

c) Λητὼ γὰρ εἴλκυσε Διὸς κυδρὴν παρακοίτην·

ὡς περ δὲ οἱ νομοθέται τοὺς πατροτύπτας χειροκοπῶσιν· τὸ δυσσεβῆσαν αὐτῶν μέρος ἐξαιρέτως ἀποτέμνοντες, οὕτως Ὅμηρος ἐν ἥπατι κολάζει τὸν δι' ἧπαρ ἀσεβήσαντα· περὶ μὲν δὴ τῶν ἀλόγων τῆς ψυχῆς μερῶν, οὕτωσὶ πεφιλοσόφηκεν·

Cap. 19. Λοιπὸν οὖν καταλείπεται ζητεῖν ἐν ᾧ τόπῳ τὸ λογικὸν ἵδρυται μέρος· ἔστι τοίνυν ἡ περαλὴ καθ' Ὅμηρον ἐν τῷ σώματι τὴν κυριωτάτην εἰληχυῖα τάξιν· ὅλον οὖν εἰώθειν ὀνομάζειν τὸν ἄνθρωπον ἐξαιρέτως ἀφ' ἑνὸς τῶν κρατίστου τὰ λοιπὰ δηλῶν·

d) τοίην γὰρ περαλὴν ἕνεκ' αὐτῶν γαῖα κατέσχε
τὸν Αἴαντα·

καὶ σαφέστερον ἐπὶ τῶ Νέστορος ἵππω, κυριώτατον ἀποφαίνεται τοῦτο μέρος·

e) ὄθι ταὶ πρῶται τρίχες ἵππων
κρανίῳ ἐμπεφύασι· μάλιστα δὲ καίριόν ἐστι·

ταύτην δὲ τὴν δόξαν ἀλληγορικῶς βεβαιῶν, τὰ κατὰ τὴν

a) Od. υ. 17. b) Od. λ. 577. c) Ibid. 579. d) Od. λ. 548. e) Il. Ψ. 83.

Digitized by Google

Ἀθηνᾶν ἡμῖν παραδέδωκεν· ἐπειδὴ γὰρ ὁ Ἀχιλλεὺς ὑπόπλεως ὀργῆς γενόμενος ὥρμησεν ἐπὶ τὸν σίδηρον, ἐπισκοτουμένου τοῦ κατὰ τὴν κεφαλὴν λογισμοῦ τοῖς περὶ ϛέρνα θυμοῖς, κατ' ὀλίγον ἐκ τῆς ἀγαναικτήσης μέθης ὁ νοῦς ἐπὶ τὸ βέλτιον ἀνένηψεν· ἡ δὲ σὺν φρονήσει μετάνοια, δικαίως ἐν τοῖς ποιήμασιν Ἀθηνᾶ νομίζεται· σχεδὸν γὰρ ἡ θεὸς, ἐκ ἄλλού τινος ἢ συνέσεως ἐπώνυμός ἐϛιν Ἀθηνᾶ τις οὖσα καὶ πάντα τοῖς λεπτοτάτοις ὄμμασι τῶν λογισμῶν διαθρῶσα· δεὸ δὴ καὶ παρθένον αὐτὴν ἐτήρησαν. ἄφθορον γὰρ ἀεὶ τὸ φρόνημα οὐδεμιᾷ κηλῖδι μιανθῆναι δυνάμενον· ἔκ τε τῆς τῦ Διὸς κεφαλῆς γεγενῆσθαι δοκεῖ· τῖτον γὰρ ἀπεφηνάμεθα τὸν χῶρον ἰδέως λογισμῶν εἶναι μητέρα.

Cap. 20· Καὶ τί δεῖ τὰ πολλὰ παρύνειν· οὐδὲν ἢ τελέως φρόνησις αὕτη· τοιγαροῦν ἀπὸ τῶν διαφλεξάντων Ἀχιλλέα θυμῶν, ὡς πέρ τι σβεϛήριον κακοῦ φάρμακον ἐπέϛη·

a) ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα

παρ' ὃν μὲν γὰρ ὀργίζεται καιρὸν, ἐν τοῖς ϛέρνοις ὁ θυμὸς ἔϛηκεν· ἔλκων γὰρ τὸ ξίφος·

b) ϛήθεσσι λασίοισι διάνδιχα μερμήριξεν·

νήνεικα δ' ἡ ὀργὴ πέπειρα γίνεται· μετειλήχασι δ' αὐτὸν οἷα μετανοοῦντα ἤδη λογισμοί, τῆς κεφαλῆς ἀπρὶξ ἡ φρόνησις εἴληπται· c) θάμβησε δ' Ἀχιλεὺς· τὸ πρὸς πάντα κύνδυνον ἀτρεμὲς αὐτῆ καὶ ἀκατάπληκτον ὁρῶν, ἐροβήθη τὴν ἐκ λογισμῶν μετάνοιαν· ἐπιγνούς δ' εἰς οἷον ἄκον προκυλισθῆναι παρὰ μικρὸν ἔμελλεν, ὡς ἡνίοχον εὐλαβήθη τὸν ἐφεϛῶτα νοῦν· ὅθεν οὐδὲ παντελῶς ἀπήλλακται τῆς ὀργῆς· ἐπιφέρει γοῦν·

d) αλλ' ἤτοι ἔπεσι μὲν ὀνείδισον· ὡς ἔσεταί περ·

a) Il. α. 197. b) Il. α. 189. c) Il. α. 199. d) Il. α. 211.

Digitized by Google

θεὰ μὲν οὖν βοηθοῦσα, πάντως ἂν, ὀλόκληρον εἰρήνην τῷ πάθους κατεσκέυασεν· ἐπειδὴ δὲ λογισμὸς ἀνθρώπινος ἦν, τὸ ξίφος ἀνεῖρξεν, ἀναγκαίως· καὶ τὸ μὲν ἄχρι τῶν ἔργων τολμηρὸν ἐκκέκοπται· ὑπομένει δὲ ἔτι λείψανα τῆς ὀργῆς· οὐ γὰρ ἀθρόως ὑφ' ἕνα καιρὸν οἱ μεγάλοι θυμοὶ τῶν παθῶν ἀποκόπτονται· καὶ τὰ μὲν περὶ Ἀθηνᾶς ἦν μεσῖτιν ὑπεσήσατο τοῦ πρὸς Ἀγαμέμνονα θυμοῦ, αὐτῆς ἀλληγορίας ἀξισούσθω·

Cap. 21. Βαρύτατον δ' ἔγκλημα κατὰ Ὁμήρου καὶ πάσης καταδίκης ἄξιον εἴπερ ἄρα μεμύθευκεν· ὡς ἐν τοῖς ἑφεξῆς ἔνεστιν εὑρεῖν· a) ὅτε τῶν ἁπάντων ἡγεμόνα

ξυνδῆσαι ὀλύμπιοι ἤθελον ἄλλοι
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη·
ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα θεὰ ὑπελύσαο δεσμῶν·
ὦχ' ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν Ὄλυμπον·
ὃν Βριάρεων καλέουσι θεοὶ ἄνδρες δέ τε πάντες
Αἰγαίων· ὁ γὰρ αὖτε βίη οὗ πατρὸς ἀμείνων·

ἐν τέ τοις τοῖς στίχοις ἀξιός ἐστιν Ὅμηρος οὐκ ἐκ μιᾶς τῆς Πλάτωνος ἐλαύνεσθαι πολιτείας, ἀλλ' ὑπὲρ Ἡρακλέους φασὶν ἐσχάτας στήλας· καὶ τὴν ἄβατον ὠκεανοῦ θάλασσαν· Ζεὺς γὰρ ὀλίγου δεσμῶν πεπείραται· καὶ τὴν ἐπιβουλὴν αὐτῷ συνίσασιν οὐχ οἱ Τιτᾶνες οὐ δὲ τὸ κατὰ Παλλήνην θράσος γιγάντων· ἀλλ' Ἥρα διπλῆν ἔνοπα φύσεως καὶ συμβεώσεως· ὅτ' ἀδελφὸς Ποσειδῶν ἐξ ἴσου νεμηθεὶς ἅπαντα· καὶ οὐχὶ τῷ διαμαρτεῖν ἧς ὤφειλε τιμῆς ἠξιῶσθαι, κατὰ τοῦ πλεονεκτήσαντος ἠγανακτηκώς· τρίτη δ' Ἀθηνᾶ· διὰ μιᾶς ἐπιβουλῆς εἰς πατέρα καὶ μητέρα δυσσεβοῦσα· νομίζω δ' ἔγωγε τῆς ἐπιβουλῆς Διὶ τὴν σωτηρίαν ἀπρεπεστέραν· Θέτις γὰρ αὐτὸν ἀπήλλαξε τῶν δεσμῶν καὶ Βριά-

a) Il. α. 399.

Digitized by Google

ρεως· ἀπρεπεῖς δ' αἱ τοιαῦται ἐλπίδες ὡς τοιούτων δεηθῆναι συμμάχων.

Cap. 22. Ταύτης τοίνυν τῆς ἀσεβείας, ἣν ἔστιν ἀντιφάρμακον ἐὰν ἐπιδείξωμεν ἠλληγορημένον μῦθον· ἡ γὰρ ἀρχέγονος ἁπάντων καὶ πρεσβυτέρα φύσις, ἐν τέτοις τοῖς ἔπεσι θεολογεῖται· καὶ τῶν φυσικῶν κατὰ τὰ στοιχεῖα δογμάτων εἷς ἀρχηγὸς Ὅμηρος· ἑκάστῳ τινὶ τῶν μετ' αὐτὸν ἧς ἔδοξεν εὑρεῖν ἐπινοίας γεγονὼς διδάσκαλος· Θάλητα μέν γε τὸν μιλήσιον ὁμολογοῦσι πρῶτον ὑποστήσασθαι· τῶν ὅλων, κοσμογόνον στοιχεῖον τὸ ὕδωρ· ἡ γὰρ ὑγρὰ φύσις εὐμαρῶς εἰς ἕκαστα μεταπλαττομένη, πρὸς τὸ ποικίλον εἴωθε μορφοῦσθαι· τό, τε γὰρ ἐξατμιζόμενον αὐτῆς, ἀεροῦται· καὶ τὸ λεπτότατον ἀπὸ ἀέρος αἰθὴρ ἀνάπτεται· συνιζάνον τε τὸ ὕδωρ καὶ μεταβαλλόμενον εἰς ἰλὺν ἀποναιᾶται· διὸ δὴ τῆς τετράδος τῶν στοιχείων ὡς περ αἰτιώτατον ὁ Θαλῆς ἀπεφήνατο στοιχεῖον εἶναι τὸ ὕδωρ· τίς ἂν ἐγένησε ταύτην τὴν δόξαν· ἢ χ Ὅμηρος; εἰπών·

a) ὠκεανὸς ὅς περ γένεσις πάντεσσι τέτυκται·

φερωνύμως μὲν ὠκεανὸν εἰπὼν τὴν ὑγρὰν φύσιν· παρὰ τὸ ὠκέως νάειν· τῦτον δ' ὑποστησάμενος ἁπάντων γενέαρχην· ἀλλ' ὁ κλαζομένιος Ἀναξαγόρας κατὰ διαδοχὴν γνώριμος ὢν Θάλητος, συνέζευσε τῷ ὕδατι δεύτερον στοιχεῖον τὴν γῆν· ἵνα ξηρῷ μυχθὲν ὑγρὸν, ἐξ ἀντιπάλου φύσεως εἰς μίαν ὁμόνοιαν ἀνακραθῇ· καὶ ταύτην δὲ τὴν ἀπόφασιν πρῶτος Ὅμηρος ἐγεώργησεν· Ἀναξαγόρα σπέρματα τῆς ἐπινοίας χαρισάμενος· ἐν οἷς φησίν·

b) ἀλλ' ἡμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γενοισθε·

πᾶν γὰρ τὸ φυόμενον ἔκ τινων, εἰς ταῦτα ἀναλύεται διαφθειρόμενον· ὥσπερεὶ τῆς φύσεως ἃ δεδάνεικεν ἐν ἀρχῇ

a) Il. ξ. 246. b) Il. π. 99.

Digitized by Google

χρέα κομιζομένης ἐπὶ τέλει· διὸ δὴ τοῖς κλαζομενίοις δόγμασιν ἑπόμενος Εὐριπίδης φησί.

a) χωρεῖ δ' ὀπίσω. τὰ μὲν ἐκ γαίας
φύντα, εἰς γαῖαν· τὰ δ' ἀπ' αἰθρίου
βλαστόντα γονῆς εἰς αἰθέρα·

καταρώμενος οὖν ὁ ποιητὴς τοῖς Ἕλλησι, μίαν εὗρεν ἀρχὴν φιλόσοφον· εἰ πάλιν ὕδωρ καὶ γῆ γένοιντο διαλυθέντες εἰς ταῦτα ἀφ' ὧν ἐπήχθησαν ὅτε ἐγεννῶντο· ἐσχάτη τοίνυν ὑπὸ τῶν μεγίστων φιλοσόφων ἡ τελεία τετρὰς ἐν τοῖς στοιχείοις συνεπληρώθη· δύο μὲν γὰρ ὑλικὰ φασὶν εἶναι γῆν τε καὶ ὕδωρ· δύω δὲ πνευματικά· αἰθέρα τε καὶ ἀέρα· τούτων δὲ τὰς φύσεις ἀλλήλαις ἐναντία φρονοῦσας, ὅταν εἰς τὸ αὐτὸ κερασθῶσιν, ὁμονοεῖν·

Cap. 23. Ἆρ' οὖν εἴ τις θέλοι τἀληθὲς ἐξετάζειν οὐχὶ καὶ ταῦτα τὰ στοιχεῖα παρ' Ὁμήρῳ φιλοσοφεῖται; καὶ περὶ μὲν τῶν Ἥρας δεσμῶν, ἐν οἷς ἡ τάξις ἠλληγόρηται τῶν τεσσάρων στοιχείων εὐκαιρότερον αὖθις ἐροῦμεν· νῦν δ' ἀποχρῶσιν οἱ κατὰ τὴν τρίτην ῥαψῳδίαν ὅρκοι τὸ λεγόμενον ὑφ' ἡμῶν βεβαιῶσαι·

b) Ζεῦ κύδιστε μέγιστε κελαινεφὲς αἰθέρι ναίων·
ἠέλιος θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις·
καὶ ποταμοὶ καὶ γαῖα καὶ οἳ ὑπένερθε καμόντας
ἀνθρώπους τίνυσθον ὅς τις κ' ἐπίορκον ὀμόσσῃ·

πρῶτον ἐπικαλεῖται τὸν ὀξύτατον αἰθέρα τὴν ἀνωτάτω τάξιν εἰληχότα· πυρὸς γὰρ εἰλικρινὴς φύσις ἅ τ' οἶμαι κουφοτάτη τὸν ὑψηλότατον, ἀποκεκλήρωται χῶρον· εἴη δ' ἂν οἶμαι τοῦτο Ζεὺς ἐπώνυμος· ἤτοι τὸ ζῆν παρεχόμενος ἀνθρώποις· ἢ παρὰ τὴν ἔμπυρον ζέσιν οὕτως ὠνομασ-

a) Eurip. fragm. ed. Matthiae, et Valkenar. b) Il. β. 412. et γ. 277. seqq.

Digitized by Google

μένος· ἀμέλει δὲ καὶ ὁ Εὐριπίδης τὸν ὑπερτεταμένον αἰθέρα φησίν·

a) ὁρᾷς τόν δ' ὑψοῦ· τόν δ' ἄπειρον αἰθέρα
καὶ γῆν πέριξ ἔχοντα ὑγραῖς ἐν ἀγκάλαις;
τοῦτον νόμιζε Ζῆνα· τὸν δ' ἡγοῦ θεόν·

ὁ μὲν οὖν πρῶτος αἰθὴρ καλεῖται μεσίτης τῶν ὀρκίων· ποταμοὶ δὲ καὶ γῆ, τὰ ὑλικὰ στοιχεῖα μετὰ τὴν πρώτην φύσιν αἰθέρος· τὸν δ' ὑπένερθεν ἀΐδην, ἀλληγορικῶς ἀέρα προσαγορεύει· μέλαν γὰρ τοῦτο τὸ στοιχεῖον, ὡς ἂν, οἶμαι παχυτέρας καὶ δυσγρου λαχὸν μοίρας· δίχα γοῦν τῶν καταφωτίζειν δυναμένων, ἀλαμπὸς ἐστιν· ὅθεν εὐλόγως αὐτὸν ἀΐδην προσηγόρευσεν· τί οὖν τὸ πέμπτον, ἥλιος· ἵνά τι καὶ περιπατητικοῖς φιλοσόφοις χαρίσηται Ὅμηρος ἐπεκαλέσατο· καὶ τοῦτο γὰρ ἀξιοῦσιν ἑτέραν τῶ τυρὸς εἶναι ταύτην τὴν φύσιν ἣν κυκλοφορητικὴν ὀνομάζουσι· πέμπτον εἶναι ταῦτο τὸ στοιχεῖον ὁμολογοῦντες· ὁ μὲν γὰρ αἰθὴρ διὰ τὴν καυφότητα πρὸς τοὺς ἀνωτάτω χωρεῖ τόπους· ἥλιος δὲ καὶ σελήνη καὶ τῶν ὁμοδρόμων αὐτοῖς ἕκαστον ἄστρων τὴν ἐν κύκλῳ φορὰν δυνάμενα διατελεῖ τῆς πυρώδους οὐσίας ἄλλην τινὰ δύναμιν ἔχοντα· διὰ τούτων ἁπάντων ὑπεσήμηνεν ἡμῖν τὰ πρωταπαχῆ στοιχεῖα τῆς φύσεως·

Cap. 24. Καὶ περὶ αὐτοῦ μηδεὶς λεγέτω πῶς μὲν ὁ αἰθὴρ προσαγορεύται Ζεὺς· ἀΐδην δ' ὀνομάζει τὸν ἀέρα· καὶ συμβολικοῖς ὀνόμασι τὴν φιλοσοφίαν ἀμαυρῶι· παράδεξον γὰρ ἰδεῖν εἴ ποιητός τε ὢν ἀλληγορεῖ· καὶ τῶν πρεσγυμένων φιλοσοφούντων τάτῳ τῷ τρόπῳ χρωμένων· ὁ γῆν σκοτεινὸς Ἡράκλητος, ἀσαφῆ καὶ διὰ συμβόλων εἰκάζεσθαι δυνάμενα θεολογεῖται φυσικά· δι' ὧν φησί· θεοὶ θνητή τ' ἄνθρωποι· ἀθάνατοι ζῶντες τὸν ἐκείνων θάνατον·

a) Cf. Eurip. fragm. ed. Matthiae et Valkenar.

Digitized by Google

θνήσκοντες τὴν ἐκείνων ζωήν· καὶ πάλιν ποταμοῖς τοῖς αὐτοῖς ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν· εἶμεν τε καὶ οὐκ εἶμεν· ὅλον τε τὸ περὶ φύσεως αἰνιγματῶδες ἀλληγορεῖ· τί δ' ὁ ἀκραγαντῖνος Ἐμπεδοκλῆς· οὐχὶ τὰ τέτταρα στοιχεῖα βουλόμενος ἡμῖν ὑποσημῆναι τὴν ὁμηρικὴν ἀλληγορίαν μεμίμηται;

a) Ζεὺς ἀρχὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀΐδωνεὺς
νῆστις θ' ἣ δακρύοις τέγγει κρούνωμα βρότειον·

Ζῆνα μὲν εἶπε τὸν αἰθέρα· γῆν δὲ τὴν Ἥραν· Ἀΐδωνέα δὲ τὸν ἀέρα· τὸ δὲ δακρύοις τεγγόμενον κρούνωμα βρότειον, τὸ ὕδωρ· οὐ θὴ παράδοξον εἰ τῶν προηγουμένως ὁμολογούντων φιλοσοφεῖν ἀλληγορικοῖς ὀνόμασι χρησαμένων, ὁ ποιητικὴν ἐπαγγελόμενος ἐξ ἴσου τοῖς φιλοσόφοις ἠλληγόρησε·

Cap. 25. Λοιπὸν ἓν σκοπῶμεν, εἰ ἡ κατὰ Διὸς ἐπιβουλὴ τῶν στοιχείων ἐστὶν ἀπαρίθμησις· καὶ φυσικωτέρας ἅπτεται θεωρίας· φασὶ τοίνυν οἱ δοκιμώτατοι φιλόσοφοι ταῦτα περὶ τῆς διαμονῆς τῶν ὅλων· ἕως μὲν ἀφιλόνεικος ἡ ἁρμονία τὰ τέτταρα στοιχεῖα διακρατῇ μηδενὸς ἐξαιρέτως ὑπερδυναστεύοντος· ἀλλ' ἑκάστῳ κατ' ἐμμέλειαν ἣν εἴληχε τάξιν οἰκονομοῦντος, ἀκινήτως ἕκαστα μένειν· εἰ δ' ἐπικρατήσαί τι τῶν ἐν αὐτοῖς· καὶ τυραννῆσαν εἰς πλείω φορὰν παρέλθοι, τὰ λοιπὰ συγχυθέντα τῇ τῶ κρατοῦντος ἰσχύι μετ' ἀνάγκης ὑπείξειν· πυρὸς μὲν αἰφνιδίως ἐκζέσαντος, ἁπάντων ἔσεσθαι κοινὴν ἐκπύρωσιν· εἰ δ' ἄθρουν ὕδωρ ἐκραγείη, κατακλεισμῷ τὸν κόσμον ἀπολεῖσθαι· διὰ τόωτν τοίνυν τῶν ἐπῶν μέλλοισάν τινα ταραχὴν ἐν τοῖς ὅλοις Ὅμηρος ὑποσημαίνει· Ζεὺς γὰρ ἡ δυνατωτάτη φύσις ὑπὲ τῶν ἄλλων ἐπιβουλεύεται στοιχείων· Ἥρας μὲν τὸ ἀέρος· Ποσειδῶνος

a) Henr. Steph. reliq. poes. philosoph. p. 21.

Digitized by Google

δὲ τῆς ὑγρᾶς φύσεως· Ἀθηνᾶς δὲ τῆς γῆς· ἐπεὶ δημιουργός ἐστιν ἁπάντων καὶ θεὸς ἐργάνη· ταῦτα δὴ τὰ στοιχεῖα, πρῶτον μὲν συγγενῆ διὰ τὴν ἐν ἀλλήλοις ἀνάκρασιν· εἶτα συγχύσεως παρὰ μικρὸν αὐτῆς γενομένης, εὑρέθη βοηθὸς ἡ πρόνοια· Θέτιν δ' αὐτὴν εὐλόγως ὠνόμασεν· αὕτη γὰρ ὑπέστη τῶν ὅλων εὔκαιρον ἀπόθεσιν· ἐν τοῖς ἰδίαις νάμοις ἱδρύσασα τὰ στοιχεῖα· σύμμαχος δ' αὐτῇ γέγονεν ἡ βριαρὰ καὶ πολύχειρ δύναμις· τὰ γὰρ τηλικαῦτα τῶν πραγμάτων νεσήσαντα, πῶς ἄλλως δύναιτο πλὴν μετὰ μεγάλης βίας ἀναῤῥωσθῆναι· καὶ τὸ μὲν ἄρρητον ἔγκλημα περὶ τῶν Διὸς ἀσεβῶν δεσμῶν, οὕτω φυσικὴν ἀλληγορίας ἔχει θεωρίαν·

Cap. 26· Ἐγκαλῶσι δ' Ὁμήρῳ περὶ τῆς Ἡφαίστου ῥίψεως· τὸ μὲν πρῶτον, ὅτι χωλὸν αὐτὸν ὑφίσταται τὴν θείαν ἀπρωτηριάζων φύσιν· εἶθ' ὅτι καὶ παρὰ μικρὸν ἦκεν κινδύνου· a) πᾶν γὰρ φησί

δ' ἦμαρ φερόμην· ἅμα δ' ἠελίῳ καταδύντι·
κάππεσον ἐν Λήμνῳ· ὀλίγος δ' ἔτι θυμος ἐνῆεν·

καὶ τέτοις δ' ὑποκρύπτεταί τις Ὁμήρῳ φιλόσοφος νοῦς· ὁ πλάσμασι ποιητικοῖς τοὺς ἀκέντας τέρπων· αὐτίκα χωλὸς ἡμῖν παραδέδωκεν Ἥφαιστον· οὐ τὸν ἐξ Ἥρας καὶ Διὸς μυθούμενον παῖδα· τοῦτο γὰρ ἀπρεπὲς ὄντως ἱστορεῖν περὶ θεῶν· ἀλλ' ἐπεὶ ἡ πυρὸς ὑσία διπλῆ· καὶ τὸ μὲν αἰθέριον ὡς ἔναγχος εἰρήκαμεν ἐπὶ τῆς ἀνοτάτω τοῦ παντὸς αἰώρας οὐδὲν ὑστεροῦν ἔχει πρὸς τελειότητα· τοῦ δὲ παρ' ἡμῖν πυρὸς ἡ ὕλη πρόσγειος οὖσα φθαρτὴ καὶ διὰ τῆς ὑποστρεφούσης παρ' ἕκαστα ζωπυρουμένη, διατῦτο τὴν ὀξυτάτην φλόγα συνεχῶς ἡλιόν τε καὶ Δία προσαγορεύει· τὸ δ' ἐπὶ γῆς πῦρ Ἥφαιστον ἑταίμως ἁπτόμενον καὶ σβεννύμενον·

a) Il. α. 592.

Digitized by Google

ὅθεν εἰκότως κατὰ σύγκρισιν ἐκείνου τῷ ὁλοκλήρου, τοῦτο νενόμισται χωλὸν εἶναι τὸ πῦρ ἄλλως τε καὶ πᾶσα ποδῶν πήρωσις, ἀεὶ τῷ διαστηρίζοντος ἐπιδεῖται βάκτρου· τὸ δὲ παρ' ἡμῖν πῦρ ἄνευ τῆς τῶν ξύλων παραθέσεως οὐ δυνηθὲν ἂν ἐπὶ πλεῖον παραμεῖναι, συμβολικῶς χωλὸν εἴρηται· τὸν γοῦν Ἥφαιστον ἐκ ἀλληγορικῶς ἐν ἑτέροις· ἀλλὰ διαῤῥήδην φησὶν Ὅμηρος εἶναι·

a) σπλάγχνα δ' ἄρ' ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο·

μεταληπτικῶς ὑπὸ τῶ Ἡφαίστου τὰ σπλάγχνα φησὶν ὀπτᾶσθαι καὶ μὴν ἀπ' οὐρανοῦ ῥιπτούμενον αὐτὸν ὑφίσταται· φυσικῶς γὰρ κατ' ἀρχὰς ἀδέπω τῆς τοῦ πυρὸς χρήσεως ἐπιπολαζούσης, ἄνθρωποι χρονικῶς χαλκοῖς τισιν ὀργάνοις κατεσκευασμένοις, ἐφειλκύσατο τοὺς ἀπὸ τῶν μετεώρων φερομένους σπινθῆρας· κατὰ τὰς μεσημβρίας ἐναντία τῷ ἡλίῳ τὰ ὄργανα τιθέντες· ὅθεν οἶμαι δοκεῖ καὶ Προμηθεὺς ἀπ' οὐρανοῦ διακλέψαι τὸ πῦρ· ἐπειδή περ τέχνης προμήθεια τῶν ἀνθρώπων ἐπενόησε τὴν ἐκεῖθεν ἀπόῤῥοιαν αὐτῷ· Λήμνου δὲ πρώτων οὐκ ἀλόγως ἐμύθευσε τὴν ὑποδεξαμένην τὸ θεόβλητον πῦρ· ἐνταῦθα γὰρ ἀνίενται ἐγγυγηγενοῦς πυρὸς αὐτόμαται φλόγες· δηλοῖ δὲ σαφῶς ὅτι τοῦτο θεωρητόν ἐστι τὸ πῦρ, ἐξ ὧν ἐπήνεγκεν·

ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν·

ἀπόλλυται γὰρ εὐθέως μαρανθὲν εἰ μὴ λάβοιτο τῆς διαφυλάττειν αὐτὸ δυναμένης προνοίας·

Cap. 27. Καὶ ταῦτα μὲν περὶ Ἡφαίστου φιλοσοφητέον· ἐῶ γὰρ ἐπὶ τοῦ παρόντος ὡς τερατείάν τινα τὴν Κράτητος φιλοσοφίαν· ὅτι Ζεὺς ἀναμέτρησιν τοῦ παντὸς ἐσπευδακὼς γενέσθαι, δύο πυρσοῖς ἰσοδρομοῦσιν Ἡφαίστῳ τε καὶ ἡλίῳ διετεκμήρατο τῷ κόσμῳ τὰ διαστήματα· τὸ μὲν ἄνωθεν ἀπὸ

a) Il. β. 426.



Digitized by Google

τῦ βηλοῦ καλουμένου ῥίψας· τὸν δ' ἀπ' ἀνατολῆς εἰς δύσιν ἀφεὶς φέρεσθαι· διὰ τῦτ' ἀμφότεροι καὶ συνεχρόνισαν· ἅμα γὰρ ἠελίῳ καταδύντι, κάππεσεν Ἥφαιστος ἐν Λήμνῳ· τῦτο τοίνυν εἴτε κοσμική τις ἀναμέτρησις· εἴθ' ὁ μᾶλλον ἀληθές ἐστιν ἀλληγορικὴ τῦ καθ' ἡμᾶς πυρὸς ἀνθρώποις παράδοσις, ὐδὲν ἀσεβὲς ὑπὲρ Ἡφαίστυ παρ' Ὁμήρῳ λέλεκται·

Cap. 28. Καὶ μὴν ἐπὶ τῆς δευτέρας ῥαψῳδίας ἀνακομιζομένων τῶν Ἑλλήνων Ὀδυσσεῖ διαπορῦντι, παρέστηκεν οὐκ ἄλλη τίς ἀλλ' ἡ θεία φρόνησις· ἣν Ἀθηνᾶν ὀνομάζει· καὶ τὴν ἀποστελλομένην Ἶριν· ἄγγελον τῦ Διὸς, τὸν εἴροντα λόγον ὑφίσταται· ὥς περ Ἑρμῆν τὸν ἑρμηνεύοντα· δύο γὰρ ἄγγελοι θεῶν· οὐδενὸς ἄλλου, πλὴν ἐπώνυμοι τῆς κατὰ τὸν λόγον ἑρμηνείας: ἀλλ' ἀπρεπῶς Ἀφροδίτη μαστροπεύει πρὸς Ἀλέξανδρον Ἑλένην· ἀγνοοῦσι γὰρ ὅτι νῦν λέγει τὴν ἐν τοῖς ἐρωτικοῖς πάθεσιν ἀφροσύνην· ἡ μεσῖτις ἐστὶ καὶ διάκονος ἀεὶ μειρακιώδους ἐπιθυμίας· αὕτη καὶ τόπον εὗρεν ἐπιτήδειον ὅπυ τὸν Ἑλένης δίφρον ἀφιδρύσει, καὶ ποικίλοις μαγγάνοις ἑκατέρων κινεῖ τὸν πόθον· Ἀλεξάνδρου μὲν ἐρωτικῶς ἔτι διακειμένου, τῆς δὲ Ἑλένης μετανοεῖν ἀρχομένης· διὸ δὴ κατ' ἀρχὰς ἀντειπῦσα, τοὔσχατον ὑπείκει μεταξὺ δυοῖν φερομένη παθῶν· ἔρωτός τε τῦ πρὸς Ἀλέξανδρον· καὶ αἰδοῦς τῆς πρὸς Μενέλαον·

Cap. 29. Ἥ γε μὴν εὐωχουμένοις ὑποδιακονουμένη κατ' ἀρχὰς Ἥβη, τίς ἂν, εἴη πλὴν ἡ διηνεκῶς ἐν ταῖς εὐφροσύναις νεότης· ὐδὲν γὰρ ἐν ὐρανῷ γῆρας· ὐδ' ὕπεστί τι τῆς θείας φύσεως ἔσχατον βίου νόσημα· πάσης δ' ἐξαιρέτως θυμηδίας ὡσπερεὶ συνεκτικοῦ ὄργανόν ἐστιν ἡ τῶν συνεληλυθότων ἐπὶ τὴν εὐφροσύνην ἀκμή: περὶ μέν γε τῆς ἔριδος οὐ δ' ὑπεσταλμένως ἠλληγόρησεν· οὐ δ' ὥς τε δεῖ-

Digitized by Google

σθαι λιπτῆς τινος εἰκασίας· ἀλλ' ἐκ τοῦ φανεροῦ τὰ κατ' αὐτὸν πεπόμπευκεν·

a) ἦτ' ὀλίγα μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει·

διὰ γὰρ τούτων τῶν ἐπῶν οὐ θεά τις οὕτω παντάτασι τερατώδης ὑφ' Ὁρήρου μεμόρφωται τὰς πρὸς ἑκατέρου μεταβολὰς τοῦ σώματος ἀπίστους ἔχουσα· καὶ ποτὲ μὲν ἐπὶ γῆς ἐρριμένη τεπεινή· ποτέ δ' εἰς ἄπειρον αἰθέρος ἐκτεινομένη μέγεθος· ἀλλ' ὃ συμβέβηκεν ἀεὶ τοῖς φιλονεικοῦσι πάθος, ἐκ ταύτης τῆς ἀλληγορίας διετύπωσεν· ἀρξαμένη γὰρ ἀπὸ λιτῆς αἰτίας ἡ ἔρις ἐπειδὰν ὑποκινηθῇ, πρὸς μέγα δή τι κακοῦ διαγκοῦται· καὶ ταυτὶ μὲν ἴσως μετριώτερα·

Cap. 30. Πολλὴ δὲ καθ' Ὁμήρου τραγῳδία σκηνοβατεῖται παρὰ τοῖς ἀγνωμόνως αὐτὸν ἐθέλουσι συκοφαντεῖν, ὅτι παρεισάγει κατὰ τὴν πέμπτην ῥαψῳδίαν τιτρωσκομένους τοὺς θεούς· Ἀφροδίτην τὸ πρῶτον ὑπὸ Διομήδους· εἶτ' Ἄρην· προστιθέασι δὲ τούτοις ὅσα κατὰ παρηγορίαν ἡ Διώνη περὶ τῶν ἔτι πρότερον ἠτυχηκότων ἀπαγγέλλει θεῶν· ἐν μέρει δ' ὑπὲρ ἑκάστου τὸν λόγον ἀποδώσομεν ἡμεῖς οὐδεμιᾶς ἐκτὸς ὄντος φιλοσοφίας· Διομήδης γὰρ Ἀθηνᾶν ἔχων σύμμαχον τυτέστι τὴν φρόνησιν, ἔτρωσεν Ἀφροδίτην τὴν ἀφροσύνην· οὐ μὰ Δία οὐ θεάν τινα· τὴν δὲ τῶν μαχομένων βαρβάρων ἀλογιστίαν· αὐτὸς μὲν γὰρ ἅτε διὰ πάσης ἐληλυθὼς πολεμικῆς μαθήσεως, καὶ τοῦτο μὲν ἐν Θήβαις· τοῦτο δ' ἐν Ἰλίῳ δεκαέτη χρόνον ἐμφρόνως τοῦ μάχεσθαι προϊστάμενος ἐξ εὐμαροῦς διώκει τοὺς βαρβάρους· οἱ δ' ἀνέσθητοι καὶ λογισμῶν ὀλίγα κοινωνοῦντες, ὑπ' αὐτοῦ διώκονται καθάπερ

a) ὄϊες πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ·

a) Il. δ. 442. b) Il. δ. 433.

πολλῶν ἓν φονευομένων, ἀλληγορικῶς Ὅμηρος τὴν βαρβαρικὴν ἀφροσύνην ὑπὸ Διομήδους τετρῶσθαι παρεισήγαγεν·

Cap. 31. Ὁμοίως δὲ ὁ Ἄρης οὐδέν ἐστιν ἄλλο, πλὴν ὁ πόλεμος παρὰ τὴν ἀρὴν ὠνομασμένος ἢ πέρ ἐστι βλάβη· γένοιτο δ' ἄν, ἡμῖν τοῦτο σαφὲς ἐκ τοῦ λέγειν αὐτὸν μαινόμενον τυκτὸν κακὸν ἀλλοπρόσαλλον· ἐπιθέτοις γὰρ ἁρμόζουσι πολέμῳ κέχρηται μᾶλλον ἢ θεῷ· μανίας γάρ εἰσι πλήρεις ἅπαντες οἱ μαχόμενοι· πρὸς τὸν κατ' ἀλλήλων φόνον ἐνθουσιαστικῶς ζέσαντες· καὶ τὸ ἀλλοπρόσαλλον, ἑτέρωθί πῃ διὰ πλειόνων ἐξηγεῖται λέγων·

a) ξυνὸς Ἐνυάλιος καί τε νέοντα κατέκτα·

νεμεσητὰ γὰρ αἱ πολέμων ἐπ' ἀμφότερα ῥοπαί· καὶ τὸ νικηθὲν οὐδὲ προσαντῆσαν, αἰφνιδίως πολλάκις ἐκράτησαν· ὥς τε τῆς ἐν ταῖς μάχαις ἀμφιβολίας ἄλλοτε πρὸς ἄλλους μεταφοιτώσης, ἐτύμως κακὸν ἀλλοπρόσαλλον εἴρηκε πρὸς τὸν πόλεμον· ἐτρώθη δὲ ὑπὸ Διομήδους Ἄρης, οὐ κατ' ἄλλό τι μέρος ἀλλὰ

b) νείατον ἐς κενεῶνα·

σφόδρα πιθανῶς· ἐπὶ γὰρ τὰ κενὰ τῆς μὴ πάνυ φρουρεμένης τῶν ἀντιπάλων τάξεως παρεισελθών, εὐμαρῶς ἐτρέψατο τὺς βαρβάρους· καὶ μὴν χάλκεον λέγει τὸν Ἄρην· τὰς τῶν μαχομένων πανοπλίας ὑπασημαίνων· σπάνιος γὰρ ἦν ὁ σίδηρος ἐν τῷ τότε πάλαι χρόνῳ· τὸ δὲ σύμπαν ἐσκέπτοντο χαλκῷ· διατοῦτο φησιν·

c) ὅσσαι δ' ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἀπολαμπομενάων·
θωρήκων τε νεοσμήκτων·
ἀναβοᾷ δὲ τρωθείς·

d) ὅσον τ' ἐννεάχιλοι ἐπίαχον ἠὲ δὲ κάχιλοι·

a) Il. σ. 309. b) Il. ε. 857. c) Il. ν. 340. d) Il. ε. 860.

Digitized by Google

καὶ τοῦτο δὲ τεκμήριον πολλῶν διωκομένων πολεμίων· οὐ γὰρ ἄν, εἷς θεὸς ἀνεβόησε τοσοῦτον· ἀλλ' ἡ φεύγουσα μυρίανδρος οἶμαι τῶν βαρβάρων φάλαγξ. ὥς τ' ἐναργέσι τεκμηρίοις καὶ διὰ τῶν κατὰ μέρος ἐδείξαμεν οὐκ Ἄρην τὸν τετρωμένον ὑπὸ Διομήδους ἀλλὰ τὸν πόλεμον·

Cap. 32. Αὗται δ' ἐν παρεκβάσει τῶν προτέρων ἀλληγοριῶν· δι' ὧν καὶ τεχνικωτέρον ἔχουσιν ἐμπειρίαν· ἐν οἷς φησί·

a) τλῆ μὲν Ἄρης ὅτε μιν Ὦτος κρατερός τ' Ἐπιάλτης
παῖδες Ἁλωῆος δῆσαν κρατερῷ ἐνὶ δεσμῷ·

γεννικοὶ γὰρ οὗτοι οἳ κατ' ἀλκὴν νεανίαι ταραχῆς καὶ πολέμου μεστὸν ᾔδεσαν τὸν βίον· οὐδεμιᾶς δ' εἰρηνικῆς ἀναπαύσεως μέσης τοὺς παρ' ἕκαστα κάμνοντας ἀνείης ἰδίοις ὅπλοις ἐκστρατευσάμενοι, τὴν ἐπιπολάζουσαν ἀηδίαν ἀνέστειλαν· ἄχρι μὲν οὖν τρεισκαίδεκα μηνῶν, ἀκλινὴς καὶ ἀστασίαστος αὐτῶν ὁ οἶκος· ἐν ὁμονοίᾳ τε τὴν εἰρήνην διεστρατήγει· μητρυιὰ δὲ παρεισπεσοῦσα καὶ φιλόνεικος οἰκίας νόσος, ἀνέτρεψε τὴν προτέραν εὐστάθειαν· ἐν δευτέρου δὲ πάλιν ὁμοίας ταραχῆς ἀναφθείσης, ἔδοξεν ὁ Ἄρης ἀπὸ τοῦ δεδεσμωτηρίου λελῦσθαι· τουτέστιν ὁ πόλεμος·

Cap. 33. Ἡρακλέα δὲ νομιστέον, οὐκ ἀπὸ σωματικῆς δυνάμεως ἀναχθέντα τοσοῦτον ἰσχύσαι τοῖς τότε χρόνοις· ἀλλ' ἀνὴρ ἔμφρων καὶ σοφίας οὐρανίου μύστης ὡσπερεὶ κατὰ βαθείας ἀχλύος ἐπιδεδυκυῖαν ἐφώτισε τὴν φιλοσοφίαν· καθάπερ ὁμολογοῦσι καὶ στωϊκῶν οἱ δοκιμώτατοι· περὶ μὲν οὖν τῶν ἄλλων ἄθλων ὁπόσοι τῆς παρ' Ὁμήρῳ μνήμης ὑστεροῦσι, τί δεῖ παρὰ καιρὸν ἐκμηκύειν φιλοτεχνοῦντας· ὅτι κόπρον μὲν εἷλε τὴν ἐπιπολάζουσαν ἀνθρώποις ἀκολασίαν· λέοντα δὲ τὴν ἀκρίτως ὁρμῶσαν ἐφ' ἃ μὴ

a) Il. ε. 385.

Digitized by Google

δεῖ φορὰν· κατ' αὐτὸ δὲ θυμοὺς ἀλογίστους πεδήσας, τὸν ὑβριστὴν ταῦρον ἐνομίσθη δεδικέναι· δειλίον γε μὴν ἐφυγάδευσεν ἐκ τοῦ βίου τὴν κεραυνίαν ἔλαφον· καί τις ἀπρεπῶς ὀνομαζόμενος ἆθλος ἐκμεμόχθηται· διακαθήραντος αὐτοῦ τὴν ἐπιτρέχουσαν ἀνθρώποις ἀηδίαν· ὄρνεις δὲ τὰς συνηνέμους ἐλπίδας αἱ βόσκουσι τὸν βίον ἡμῶν· ἀπεσκέδασε δὲ καὶ τὴν πολύχουν κόπρον· καὶ πολυκέφαλον ὕδραν· ἥ τις ὅταν ἐκκοπῇ, πάλιν ἄρχεται βλαστάνειν· ὥς περ ὕδραν τινὰ διὰ πυρὸς τῆς παραινέσεως ἐξέκοψεν· αὐτός γε μὴν ὁ τρικέφαλος δειχθεὶς ἡλίῳ κέρβερος, εἰκότως ἂν τὴν τριμερῆ φιλοσοφίαν ὑπαινίττεται· τὸ μὲν γὰρ αὐτῆς λογικόν· τὸ δὲ, φυσικὸν· τὸ δὲ, ἠθικὸν ὀνομάζεται· ταῦτα δ' ὥς περ ἀφ' ἑνὸς αὐχένος ἐκπεφυκότα τριχῆ κατὰ κεφαλὴν μερίζεται·

Cap. 34. Περὶ μὲν δὴ τῶν ἄλλων ὥς περ εἶπον ἄθλων, ἐν συντόμῳ δεδήλωται· τετρωμένην δ' Ὅμηρος ὑπεστήσατο τὴν Ἥραν· τοῦτο ἀκριβῶς παραστῆσαι βουλόμενος ὅτι τὸν θολερὸν ἀέρα καὶ πρὸ τῆς ἑκάστου διανοίας ἐπαχλύοντα· πρῶτος Ἡρακλῆς θείῳ χρησάμενος λόγῳ, διήρθρωσε τὴν ἑκάστου τῶν ἀνθρώπων ἀμαθίαν· πυλλαῖς νουθεσίαις κατατρώσας· ὅθεν ἀπὸ γῆς εἰς οὐρανὸν ἀφίησι τὰ τόξα· πᾶς γὰρ ἀνὴρ φιλόσοφος ἐν θνητῷ καὶ ἐπιγείῳ τῷ σώματι πτηνὸν ὥς πέρ τι βέλος τὸν νοῦν εἰς τὰ μετάρσια διαπέμπεται· τεχνικῶς δὲ προσέθηκεν· εἰπὼν· ἰῷ τριγλώχινι βαλών· ἵνα διὰ συντόμου τὴν τριμερῆ φιλοσοφίαν ὑπὸ τοῦ τριγλώχινος ὑποσημήνη βέλους· μεθημέραν δὲ τετόξευκε καὶ τὸν Ἅδην· οὐδεὶς γὰρ ἄβατος φιλοσοφία χῶρος· ἀλλὰ μετ' οὐρανὸν, ἐζήτησε τὴν κατωτάτω φύσιν· ἵνα μὴ δὲ τῶν νέρθεν ἀμύητος ᾖ· τὸν οὖν ἀλαμπῆ καὶ πᾶσιν ἀνθρώποις ἄβατον Ἅδην ὁ τῆς σοφίας οἶστὸς εὔστοχα βληθεὶς διευκρίνησεν· ὥς θ' αἱ Ἡρακλέους χεῖρες ἁγνεύουσι παντὸς

Digitized by Google

ὀλυμπίου μύσους· ἀρχηγὸς δὲ πάσης σοφίας γενόμενος, ἀλληγορικῶς παρέδωκε τοῖς μετ' αὐτὸν ἀρύσασθαι κατὰ μέρη πάνθ' ὅσα πρῶτος πεφιλοσόφηκε·

Cap. 35. Νομίζουσι τοίνυν ἔνιοι μὴ δὲ Διόνυσον εἶναι παρ' Ὁμήρῳ θεὸν· ἐπειδήπερ ὑπὸ Λυκούργου διώκεται καὶ μόλις δοκεῖ σωτηρίας τυχεῖν· Θέτιδος αὐτῷ παραστάσης· τόδ' ἐστὶν οἴνου συγκομιδῆς γεωργοῖς ἀλληγορία· δι' ὧν φησὶν·

a) ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθῆνας,
σεῦε κατ' ἠγάθεον νυσήϊον· αἳ δ' ἅμα πᾶσαι
θύσθλα χαμαὶ κατέχευον ὑπ' ἀνδραφόνοιο Λυκούργου·
θεινόμεναι βουπλῆγι· Διώνυσος δὲ φοβηθεὶς
δῦσε θ' ἁλὸς κατὰ κῦμα· Θέτις δ' ὑπεδέξατο κόλπῳ·
δειδιότα·

μενόμενον μὲν εἴρηκεν ἀντὶ Διονύσου τὸν οἶνον· ἐπειδήπερ οἱ πλείονι τῷ ποτῷ χρώμενοι τοῦ λογισμοῦ διασφάλλονται· ὥς περ τὸ δέος εἰ τύχοι χλωρὸν λέγει· καὶ πευκεδανὸν τὸν πόλεμον· ἃ γὰρ ἀπ' αὐτῶν συμβαίνει ταῦτα ἐπείνοις περιῆψεν ὅθεν ἄρχεται τὰ πάθη· Λυκοῦργος δὲ ἀνὴρ εὐαμπέλου λήξεως δεσπότης μετὰ τὴν ὀπωρινὴν ὥραν ὅτε συγκομιδὴ τῶν διονυσιακῶν καρπῶν ἐστὶν, ἐπὶ τὴν εὐφορωτάτην ἐξεληλύθει Νύσαν· τιθῆνας δὲ νομίζειν δεῖ τὰς ἀμπέλους· καὶ μετὰ τοῦτο ἔτι δρεπομένων τῶν βοτρύων, φησὶ· Διόνυσος δὲ φοβηθεὶς· ἐπειδήπερ ὁ μὲν φόβος εἴωθε τρέπειν τὴν διάνοιαν· ὁ δὲ τῆς σταφυλῆς καρπὸς τρέπεται θλιβόμενος εἰς οἶνον· ἔθος γε μὴν τοῖς πολλοῖς ἐπὶ φυλακῇ τοῦ διαμένειν ἀκλινῆ τὸν καρπὸν ἐπικιρνάναι θαλαττίῳ ὕδατι· παρὰ τοῦτο ὁ Διονύσιος

b) δῦσε θ' ἁλὸς κατὰ κῦμα· Θέτις δ' ὑπεδέξατο κόλπῳ·

a) Il. ζ. 132. b) Il. ζ. 136.

Digitized by Google

ἡ τελευταία μετὰ τὴν ἀποβλιψιν τοῦ κάρπου θέσις· αὕτη γὰρ ἰσχάτη δέχεται τὸν οἶνον· δευτέρα τὸν ἐν ἀρχῇ τῆ νεοθλιβεῖ γλεύκους παλμόν· καὶ τὴν μεθαρμόζουσαν ὁρμὴν, δέος εἶπε γὰρ τρόμον· οὕτως Ὅμηρος οὐ φιλοσοφεῖν μόνην ἀλληγορικῶς, ἀλλὰ καὶ γεωργεῖν θεωρεῖν ἐπίστατο.

Cap. 36. Φυσικῆς δὲ ἅπτεται θεωρίας καὶ ὅταν ὁ Ζεὺς εἰς τὸ αὐτὸ συναθροίσας τοὺς θεοὺς ἅπαντας, ἄρχεται τῶν μεγάλων ἀπειλῶν

a) ἀκροτάτῃ κορυφῇ πολυδειράδος οὐλύμποιο,

πρῶτας ἔσχεν αὐτός· ἐπειδὴ τὴν ἀνωτάτω τάξιν ὡς περ ἐδηλοῦμεν ἡ αἰθριώδης ἐπέχει φύσις. σειρὰν δ' ἀπήρτησεν ἀπὸ τοῦ αἰθέρος ἐπὶ πάντα χρυσῆν· οἱ γὰρ δεινοὶ τῶν φιλοσόφων περὶ ταῦτα ἀνάμματα πυρὸς εἶναι τὰς τῶν ἀστέρων περιόδους νομίζουσι· τὸ δὲ σφαιρικὸν ἡμῖν τοῦ κόσμου σχῆμα δι' ἑνὸς ἐμέτρησε στίχου·

b) τόσσον ἔνερθ' ἀΐδεω, ὅσον οὐρανὸς ἔστ' ἀπὸ γαίης·

μεσαιτάτη γὰρ ἁπάντων ἑστία τις οὖσα καὶ δύναμιν κέντρου ἐπέχουσα καθίδρυται βεβαίως ἡ γῆ πᾶσα· κύκλῳ δ' ὑπὲρ αὐτὴν ὁ οὐρανὸς ἀπαύστοις περιφοραῖς εἱλούμενος ἀπ' ἀνατολῆς εἰς δύσιν τὸν ἀεὶ δρόμον ἐλαύνει· συγκαθέλκεται δ' ἡ τῶν ἀπλανῶν σφαῖρα· πᾶσαι γε μὴν αἱ ἀπὸ τοῦ περιέχοντος ἀνωτάτω κυκλοφορούμεναι πρὸς τὸ κέντρον εὐθεῖαι καὶ κατ' ἀναγωγὰς εἰσιν ἀλλήλαις ἴσαι· διατοῦτο γεωμετρικῇ θεωρίᾳ τὸ σφαιρικὸν σχῆμα διεμέτρησεν εἰπών· τόσσον ἔνερθ' ἀΐδεω ὅσσον οὐρανὸς ἐστ' ἀπὸ γαίης:

Cap. 37· Ἔνιοι δ' εἰσὶν οὕτως ἀμαθεῖς, ὡς αἰτιάσασθαι τὸν Ὅμηρον καὶ περὶ τῶν λιτῶν· εἰ τὰς Λιὸς γονὰς οὕτως ὕβρισε διάφορον αὐταῖς, περιθεὶς ἀμορφίας χαρακτῆρα·

a) Il. ϑ. 3. b) Il. ϑ. 16.

Digitized by Google

a) καὶ γάρ τε λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο
χωλαί τε ῥυσαί τε παραβλῶπες τ' ὀφθαλμὼ

ἐν δὲ τούτοις τοῖς ἔπεσι τὸ τῶν ἱκετευόντων σχῆμα διαπέπλασται· πᾶσα γὰρ οὖν συνείδησις ἁμαρτόντος ἀνθρώπου, βραδεῖα καὶ μόλις οἱ δεόμενοι τοῖς ἱκετευομένοις προσέρχονται· τὴν αἰδῶ κατὰ ῥῆμα μετροῦντες· οὔτε μὴν ἀτρεμὲς δεδόρκασιν· ἀλλ' ὀπίσω τὰς τῶν ὀμμάτων βολὰς ἀποστρέφουσι· καὶ μὴν ἔν γε τοῖς πρώτοις, οὐδὲν γεγηθὸς τῶν ἱκετευόντων ἡ διάνοια περιτίθησιν ἐρευθος· ἀλλ' ὠχρὰ κατηφὴς διὰ τῆς πρώτης ὄψεως καλουμένη τὸν ἕλεον· ὅθεν εὐλόγως οὐ τὰς Διὸς θυγατέρας ἀλλὰ ταὺς ἱκετεύοντας ἀπεφήνατο·

χωλούς τε ῥυσούς τε παραβλῶπας τ' ὀφθαλμώ·

τὴμπαλιν δὲ τὴν ἄτην σθεναράν τε καὶ ἀρτίπουν· κρατερὸν γὰρ αὐτῆς τὸ ἄφρον· ἀλσγίστη γὰρ ὁρμὴς ὑπόπλεως, θρομὰς ὡς ἐπὶ πᾶσαν ἀδικίαν ὥστο· παθῶν οὖν ἀνθρωπίνων ὡσπερεὶ ζωγράφος Ὁμηρός ἐστιν· ἀλληγορικῶς τὸ συμβαῖνον ἡμῖν θεῶν περιθεὶς ὀνόμασιν.

Cap. 38. Οἶμαι δ' ἔγωγε καὶ τὸ ἑλληνικὸν τεῖχος ὁ πρὸς καιρὸν ἔρυμα τῆς ἰδίας ἀσφαλείας ἐπύργωσαν, ἐχ ὑπὸ τοῦ συμμάχου καθηρῆσθαι Ποσειδῶνος ἀλλ' ὡς ὑετοῦ δαψιλοῦς γενομένου· καὶ τῶν ἀπ' Ἴδης ποταμῶν πλημμυράντων, συνέβη καταῤῥιφῆναι· ὅθεν ἐπώνυμος τῷ πάθει γέγονεν ὁ τῆς ὑγρᾶς φύσεως προστάτης Ποσειδῶν· εἰκὸς δὲ καὶ σεισμοῖς διατεταχθὲν ὑπονοστῆσαι τὸ κατασκεύασμα· δοκεῖ δὲ ὁ Ποσειδῶν ἐνοσίγαιος καὶ σεισίχθων εἶναι τοῖς τοιούτοις τῶν παθημάτων ἐπιγραφόμενος· ἀμέλει φησὶν

b) αὐτὸς δ' ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν,
ἦγεῖτ'· ἐκ δ' ἄρα πάντα θεμείλια κύμασι πέμπε·

a) Il. ε. 498. b) Il. μ. 27.

Digitized by Google

φιτρῶν καὶ λάων τὰ θεσαν μογέοντες Ἀχαιοί:
σεισμοῦ τινος φορᾷ διαδονήσας ἐκ βάτρων τὰ τοῦ τείχους θεμέλια· δοκεῖ δέ μοι λεπτῶς ἐξετάζοντι τὰ τοιαῦτα, μὴ δὲ τὸ κατὰ τρίαιναν ἀφιλοσόφητον εἶναι δι' ἧς ὑφίσταται τοὺς λίθους ἀναμεμοχλεῦσθαι τοῦ τείχους· τὰ γάρ τοι σεισμῶν διαφέροντα τοῖς παθήμασιν οἱ φυσικοὶ λέγουσιν εἶναι ἴσα· καί τινας ἰδίους χαρακτῆρας ὀνομάτων ἐπιγράφουσιν αὐτοῖς· βρασματίαν τινὰ καὶ χασματίαν· καὶ κλιματίαν προσαγορεύοντες· τριπλαῖς οὖν καθώπλησεν ἀκμαῖς τὸν τῶν σεισμῶν αἴτιον θεόν· ἀμέλει πρὸς βραχὺ κινηθέντος αὐτοῦ

a) τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη·

τὸ τῶν σεισμῶν ἰδίωμα τοῦ ποιητοῦ διασημήναντος ἡμῖν·

Cap. 39. Ἔτι τοίνυν πολλήν τινα χλεύην καὶ μακρὸν ἡγοῦνται καταγέλωτα τοὺς ἀκαίρους Διὸς ὕπνους ἐν Ἴδῃ καὶ τὴν ὄρειον ὥς περ ἀλόγοις ζώοις ὑπεστρωμένην εὐνήν· ἐν ᾗ δυσὶ τοῖς ἀφρονεστάποις πάθεσι δεδούλωται Ζεύς· ἔρωτι καὶ ὕπνῳ· νομίζω τοίνυν ἔγωγε αὐτὰ ταῦτα δι' ἀλληγορίας ἐαρινὴν ὥραν ἔτους εἶναι· καθ' ἣν ἅπαντα φυτὰ καὶ πᾶσα ἐκ γῆς ἀνίεται χλόη· τοῦ παγεώδους ἡσυχεῖ δυομένου κρύους· ὑφίσταται δὲ τὴν Ἥραν τουτέστι τὸν ἀέρα στυγνὸν ἀπὸ τοῦ χειμῶνος ἔτι καὶ κατηφῆ· διατοῦτο οἶμαι πιθανῶς αὐτῆς στυγερὸς ἔπλετο θυμός· μετὰ μικρὸν δὲ ἀποκρουσομένη τὸ συννεφὲς τῆς ἀηδίας,

b) λύματα πάντα κάθηρεν· ἀλείψατο δὲ λίπ' ἐλαίῳ·
ἀμβροσίῳ ἐδανῷ, τό ῥα οἱ τεθυώμενον ἦεν·

ἡ λιπαρὰ καὶ γόνιμος ὥρα μετὰ τῆς τῶν ἀνθέων εὐωδίας ὑποσημαίνεται· τοιούτῳ χρίσματι τῆς Ἥρας ἀλειψαμένης· τούς τε πλοκάμους φησὶν αὐτὴν ἀναπλέξασθαι·

a) Il. ν. 18. b) Il. ξ. 171.

Digitized by Google

a) καλοὺς ἀβροσίους ἐκ πράτης ἀθανάτοιο·
τὴν τῶν φυτῶν ἀέναον τρόμησιν αὔξησιν· ἐπειδὴ δένδρον ἅπαν πάμφυτον καὶ ζῆν ὁμοίως ἀπὸ τῶν κλάδων ἀπαρτᾶται τὰ φύλλα· δίδωσι δὲ ἐγκάλπιον τῷ ἔαρι καὶ τὸν κιττὸν
5 ἐρέντας

b) ἕως δ' ἔνι μὲν φιλότης· ἐν δ' ἔμπαις ἐν δ' ἀοιδή· ἐπειδήπερ αὕτη μάλιστα τοῦ ἔτους ἡ ὥρα τὸ τερπνότατον ἐπλήρωσε τῶν ἡδονῶν μέρος· οὔτε γὰρ λίαν ὑπὸ τῶν κρύους πεπήγαμεν, οὔτε ἄγαν θαλπόμεθα· μετακίχμιον δέ τι
10 τῆς ἑκατέρωθεν εὐκρασίας ἐν τοῖς σώμασιν ἀνεῖται· τοῦτο τοίνυν τὸν ἀέρα συνέμιξεν Ὅμηρος μετὰ μικρὸν τῷ αἰθέρι· διατῦπτο ἐπὶ τῆς ὑψηλοτάτης ἀκροφορείας καταλαμβάνεται Ζεύς, ἐν ᾗ

c) δὲ' ἠέρος αἰθέρ' ἵκανεν·
15 ἐνθάδε κορυφᾶται· καθ' ἣν ἀναμιχθεὶς ὁ ἀὴρ τῷ αἰθέρι ἐμφατικῶς οὖν τοῖς ὀνόμασιν εἶπεν·

d) Ἥρα κατ' ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παρακοίτην· ἀγκαλίζεται γὰρ ἐν κύκλῳ περιέχων ὁ αἰθὴρ ὑφηπλωμένον αὐτῷ τὸν ἀέρα· τῆς δὲ συνόδου καὶ κράσεως αὐτῶν
20 τὸ πέρας, ἐδήλωσε τὴν ἐαρινὴν ὥραν·

e) τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην·
λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον
πυκνὸν καὶ μαλακὸν ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργεν·
ἔνθα ἔφη, ταῦτα τῆς ἀρτιθαλεῦς ὥρας· ἐπειδὰν ἐκ τῶν
25 χειμερίων παγετῶν ἡ ζεφύρη καὶ μεμυκυῖα, πηγὰς κυοφορουμένας ἔνδον ὠδῖνας ἐρρήνη προσεπισφραγιζόμενος δὲ τοῦτο, τὸν λωτὸν εἶπεν ἑρσήεντα τὸν δροσερὸν, τῆς ἐαρινῆς καταστάσεως ἐμφανέστερον ποιῶν τῷ καιρῷ

a) Il. ξ. 177. b) Ibid. 216. c) Ibid. 288. d) Ibid. 346. e) Il. ξ. 347.

Digitized by Google

a) εἰσὶ δὲ νεφέλαι ἕοσαντο
πολλὴν χρυσείην· σιλοσαί δ' ἀείραντον ἔριδας·
τίς ἀγνοεῖ τοῦθ' ὅτι χαμαίπους μὲν ἐπέλλυθλα πετεύματα
τῶν νεφῶν ἐπιμελαίνεται καὶ μετὰ βαλαρὰς ἀχλύος πατυρὰς
ἅπας ὁ οὐρανὸς ἀμαυροῦται· τῇ δὲ ἀέρος ὑποσχίζοντος,
ἀργὰ τὰ νέφη μαλακῶς ὑποπείρεται ταῖς ἡλιακαῖς ἀκτῖσιν ἐναγκαλιζόμενα· καὶ παραπλήσιόν τι χιονέαις μαρμαρυγαῖς ἀπεσ-ίλβει· ταῦτα δὴ τὰ περὶ τὴν Ἥβην παραφαῖνον ἡμῖν νέφος ὁ τῆς ἐαρινῆς ὥρας δημιουργὸς Ὅμηρος ἐφήλασεν·

Cap. 40. Ἀλλ' ἐρέξῃς ἡ τῶν ἐπιφυομένων αὐτῷ τόλμα, τοὺς Ἥρας δεσμοὺς αἰτιᾶται καὶ νομίζουσιν ὕλην τινὰ δαιμονίαν τῆς ἀθέου πρὸς Ὅμηρον ἔχειν μανίας·

b) ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν ἐκ δὲ ποδοῖϊν·
ἄκμονας ἦκα δύω· περὶ χερσὶ δὲ δεσμὸν ἔηλα
χρύσειον ἀρρήκτην· σύ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν
ἐκρέμαο·

λέληθε δ' αὐτοὺς ὅτι τούτοις τοῖς ἔπεσιν ἡ τοῦ παντὸς ἐπιθεολόγηται γένεσις· καὶ τὰ συνεχῶς ἀδόμενα τέτταρα στοιχεῖα τούτων τῶν στίχων ἐστὶ τάξις· καθάπερ ἤδη μοι λέλεκται· πρῶτος αἰθὴρ· καὶ μετὰ τοῦτον ἀὴρ· εἶθ' ὕδωρ τε καὶ γῆ· τελευταῖα πάντων δημιουργὰ στοιχεῖα· ταῦτα δ' ἀλλήλοις ἐπαρηρόμενα, ζωογονεῖται καὶ τῶν ἀψύχων ἀρχέγονα καθίσταται· Ζεὺς τοίνυν ὁ πρῶτος τὸν ἑαυτοῦ ἀέρα κατήρτισεν· στερεοὶ δ' ἄκμονες ὑπὸ ταῖς ἐσχάταις ἀέρος βάσεσιν ὕδωρ τε καὶ γῆ· καὶ τοῦτο ὅτι τοιοῦτόν ἐστιν, ἐφ' ἑκάστης λέξεως εἴ τις ἀκριβῶς ἐθέλοι σκοπεῖν, τάληθὲς εὑρήσει· ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν· ἀπὸ γὰρ τῶν ἀνωτάτων καὶ μετεώρων τόπων φασὶν αὐτὴν

a) Il. ξ. 340. b) Il. ε. 18.

Digitized by Google

ἀπηρτῆσθαι· περὶ χερσὶ δὲ δεσμὸν ἵηλα· χρύσεον ἄῤῥηκτον· τί τοῦτο τὸ καινὸν αἴνιγμα τῆς κολακευούσης τιμωρίας· πῶς ὀργιζόμενος Ζεὺς πολυτελεῖ δεσμῷ τὴν κολαζομένην ἠμύνατο· χρυσοῦν ἀντὶ τοῦ κραταιοτέρου σιδήρου τὸν δεσμὸν ἐπινοήσας· ἀλλ' ἔοικε τὸ μεταίχμιον αἰθέρος τὲ καὶ ἀέρος, χρυσῷ μάλιστα τὴν χρόαν ἐμφερὲς εἶναι· πάνυ δὴ πιθανῶς καθ' ὁ μέρος ἀλλήλοις ἐπισυνάπτουσι· λήγων μὲν γὰρ ὁ αἰθὴρ· ἀρχόμενος δὲ μετ' ἐκεῖνον ὁ ἀὴρ, χρυσοῦν ὑπεστήσατο δεσμὸν· ἐπιφέρει γοῦν· σὺ δ' ἐν αἰθέρι καὶ νεφέλησιν ἐκρέμω· τὸν ἄχρι νεφῶν τόπον ὁρίσας μέτρον ἀέρος· ἐκ δὲ τῶν τελευταίων μερῶν τοῦ ἀέρος ἃ καλεῖται πόδας, ἀπήρτησε στιβαρὰ βρίθη γῆν τε καὶ ὕδωρ· ἐκ δὲ ποδοῖιν ἄκμονας ἧκα δύω· πῶς ἂν εἶπε δεσμὸν ἄῤῥηκτον αὐτίκα τῆς Ἥρας λυθείσης· εἴγε τῷ μύθῳ προσεκτέον· ἀλλ' ἐπειδήπερ ἡ τῶν ὅλων ἁρμονία δεσμοῖς ἀῤῥαγέσι συνωχύρωται· καὶ δυσχερὴς ἡ τοῦ παντὸς εἰς τἀναντία μεταβολὴ, τὸ μὴ δυνηθὲν ἂν, διαζευχθῆναί ποτε, κυρίως ὠνόμασεν ἄῤῥηκτον·

Cap. 41. Ταύτην δὲ τὴν τετράδα τῶν στοιχείων, καὶ μετὰ μικρὸν ἐν τοῖς ὅρκοις διεσάφησεν Ἥρα·

a) ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν·
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ·

τρισὶ γὰρ ὅρκοις τὴν ὁμόφυλον αὐτῆς καὶ συγγενῆ φύσιν ὠνόμασεν· ὕδωρ δὲ καὶ γῆν καὶ τὸν ὕπερθεν οὐρανὸν· τουτέστι τὸν αἰθέρα· τέταρτον στοιχεῖον ἦν ἡ ὀμνύουσα· διευπορῶν γέ τοι καὶ ἐπὶ καλοῖς ἀλληγορικῶς παριστάναι βουλόμενος ταυτὶ τὰ στοιχεῖα, καὶ μετ' ὀλίγον ἐν τοῖς Ποσειδῶνος πρὸς Ἶριν λόγοις αὐτὰ ταῦθ' ὑφίσταται λέγων·

b) ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ

a) Il. o. 36. b) Il. o. 190. seqq.

παλλομένων Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα·
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλησιν·
γαῖα δέτι ξυνὴ πάντων καὶ μακρὸς ὄλυμπος·

οὔ μὰ Δί' οὐ κλῆρος ὁ μυθευόμενος ἐν Σικυῶνι ταῦτα καὶ διαίρεσις ἀδελφῶν οὕτως ἀνώμαλος ὡς οὐρανὸν ἀντιθεῖναι θαλάττῃ καὶ ταρτάρῳ· πᾶς γὰρ ὁ μῦθος ἠλληγόρηται περὶ τῶν ἐπ' ἀρχαῖς τεττάρων στοιχείων· χρόνον μὲν γὰρ ὀνομάζει τὸν Κρόνον κατὰ μετάληψιν ἑνὸς στοιχείου· πατὴρ δὲ τῶν ὅλων ὁ χρόνος· καὶ τελέως ἀμήχανόν τι γενέσθαι τῶν ὄντων δίχα χρόνου· διὸ δὴ ῥίζα τῶν τεττάρων στοιχείων οὗτός ἐστι· μητέρα δ' αὐτοῖς ἔνειμεν εἶναι Ῥέαν· ἐπειδὴ ῥύσει τινὶ καὶ ἀνάῳ κινήσει τὸ πᾶν οἰκονομεῖται· χρόνου δὲ καὶ ῥύσεως τέκνα γῆν τε καὶ ὕδωρ αἰθέρα τε καὶ ἀέρα σὺν αὐτῷ ὑπεστήσατο· καὶ τῇ μὲν πυρώδει φύσει τόπον ἔνειμεν οὐρανόν· τὴν δ' ὑγρὰν οὐσίαν Ποσειδῶνι προσέθηκε· τρίτον δὲ Ἀΐδην τὸν ἀφώτιστον ἀέρα δηλοῖ· κοινὸν δὲ πάντων καὶ ἑδραιότατον ἀπεφήνατο στοιχεῖον εἶναι τὴν γῆν· ὥς περ ἑστίαν τινὰ τῆς τῶν ὅλων δημιουργόν·

γαῖα δ' ἐστὶ ξυνὴ πάντων καὶ μακρὸς ὄλυμπος·

καὶ διατοῦτο δέ μοι δοκεῖ συνεχῶς ἀλληγορεῖν ὑπὲρ αὐτῶν· ἵν' ἡ δοκοῦσα τοῖς ἔπεσιν ἐφιδρεύειν ἀπάφεια τῷ διηνεκεῖ τῆς παραδόσεως ἦ γνωριμώτερα:

Cap. 42. Τά γε μὴν ἐπὶ Σαρπηδόνι δάκρυα, λύπην μὲν οὐ καταψεύδεται θεοῦ· ὃ καὶ παρ' ἀνθρώποις νόσημα· αὐτῷ δὲ βουλομένῳ τἀκριβὲς ἐρευνᾶν, ἐπινοεῖται τρόπος ἀλληγορουμένης ἀληθείας· πολλάκις γὰρ ἐν ταῖς μεταβολαῖς τῶν μεγάλων πραγμάτων ἱστοροῦσι τεράστια τῷ βίῳ, συμφέρεσθαι· σημεῖα ποταμῶν τε καὶ πηγῶν· ναμάτων αἱμοφορύκτοις ῥεύμασιν ἐκμιαινομένων· ὡς ἐπ' Ἀσωπῦ τε καὶ Δίρκης παραδιδόασιν οἱ πολαιοὶ μῦθοι· λόγος δ' ἔχει καὶ

Digitized by Google

κατὰ νεφῶν ψεκάδας ὕεσθαι φόνου τισὶ κηλῖσιν ἐπικεχρωσμένας· ἐπεὶ τοίνυν ἡ μεταβολὴ τῆς μάχης ἀθρόαν φυγὴν ἐμποιήσειν ἔμελλεν τοῖς βαρβάροις· ἐγγὺς δ' ἦν ὁ τοῦ κατ' ἀλκὴν ἀρίστου Σαρπηδόνος ὄλεθρος, ὡς περεὶ τεράστια προυφάνη ταύτης τῆς συμφορᾶς ἀγγελτικά· αἱματοέσσας δὲ ψεκάδας κατέχευεν ἔραζε· τοῦτον δὴ τὸν φονέα ὄμβρον, ἀλληγορικῶς εἴρηκεν αἰθέρος δάκρυα· Διὸς μὲν οὔ· ἄκλαυστος γάρ· ἐκ δὲ τῶν ὑπεράνω τόπων ὡς περεὶ θρήνοις μεμιγμένου καταῤῥαγέντος ὑετοῦ·

Cap. 43. Ταυτὶ μὲν ἴσως ἐλάττω τεκμήρια περὶ τῶν ἠλληγοριμένων· ἐπεὶ μέν τοι τῆς ὁπλοποιΐας, μεγάλῃ καὶ κοσμοτόκῳ διανοίᾳ τὴν τῶν ὅλων περιήθροισε γένεσιν· ὅθεν γὰρ αἱ πρῶται τοῦ παντὸς ἔφυσαν ἀρχαί· καὶ τίς ὁ τούτων δημιουργὸς· καὶ πῶς ἕκαστα πληρωθέντα διεκρίθη, σαφέσι τεκμηρίοις παρέστησε· τὴν Ἀχιλλέως ἀσπίδα τῆς κοσμικῆς περιόδου χαλκευσάμενος εἰκόνα· καὶ τὸ πρῶτον ὑπεστήσατο τῆς παντελοῦς δημιουργίας, νύκτα καιρὸν· ἐπειδήπερ αὕτη χρόνου πτερὰ πάτρια πρεσβεῖα κεκλήρωται· καὶ πρινὴ διακριθῆναι τὰ νῦν βλεπόμενα νὺξ ἦν τὸ σύμπαν· ὃ δὴ χάος ποιητῶν ὀνομάζουσι παῖδες· οὐ γὰρ οὕτως ἄθλιόν τινα καὶ κακοδαίμονα παρεισάγει τὸν Ἥφαιστον, ὡς μὴ δὲ νυκτὸς ἀνάπαυσιν ἔχειν τῆς χειρωνακτικῆς ἐργασίας· ὅπου γε καὶ παρ' ἀνθρώποις ἀθλίοις ἄτοπον εἶναι δοκεῖ τὸ μὴ δὲ νύκτα τῶν πόνων ἐκεχειρίαν ἄγειν· ἀλλ' οὐκ ἔστι ταῦτα χαλκεύων Ἀχιλλεῖ πανοπλίαν Ἥφαιστος· οὐδ' ἐν οὐρανῷ βουνοὶ χαλκοῦ καὶ κασσιτέρου ἀργύρου τὲ καὶ χρυσοῦ εἰσίν· ἀμήχανον γὰρ τὰς ἀηδεῖς καὶ φιλαργύρους γῆς νόσους, ἐπ' οὐρανὸν ἀναβῆναι· φυσικῶς δὲ τῆς ἀμόρφου ποτὲ καὶ μὴ διακεκριμένης ὕλης τὸν καιρὸν ἀποφηνάμενος εἶναι νύκτα, δημιουργὸν ἡνίκα ἔμελλε πάντα μορφοῦσθαι τὸν Ἥφαιστον ἐπέστησε· τουτέστι τὴν θερ-

Digitized by Google

μὴν οὐσίαν· πυρὸς γὰρ δὴ κατὰ τὸν φυσικὸν Ἡράκλειτον ἀμοιβῇ τὰ πάντα γίγνεται· ὅθεν συνοικοῦσαν ἐκ ἀπιθάνως τῷ τῶν ὅλων ἀρχιτέκτονι πεποίηκε τὴν χάριν· ἔμελλε γὰρ ἤδη τῷ κόσμῳ χαριεῖσθαι τὸν ἴδιον κόσμον· ὕλαι δὲ τίνες αὐτῷ τῆς κατασκευῆς·

a) χαλκὸν δ' ἐν πυρὶ βάλεν ἀτειρέα κασσίτερον τε
εἰ μὲν Ἀχιλλεῖ κατεσκεύασε πανοπλίαν, πάντα ἔδει χρυσὸν εἶναι· καὶ γὰρ οἶμαι σχέτλιον Ἀχιλλέα μὴ δὲ Γλαύκῳ κατὰ τὴν πολυτέλειαν ἴσον εἶναι· νῦν δὲ τὰ τέτταρα στοιχεῖα κατανᾶται· καὶ χρυσὸν μὲν ὠνόμασε τὴν αἰθερώδη φύσιν· ἄργυρον δὲ, τὸν αὐτῷ τῇ χρόᾳ συνομοιούμενον ἀέρα· χαλκὸς δὲ καὶ κασσίτερος, ὕδωρ τε καὶ γῆ προσαγορεύεται διὰ τὴν ἐν ἀμφοτέροις βαρύτητα· πρώτη δὲ ἀπὸ τούτων τῶν στοιχείων ἀσπὶς ὑπ' αὐτοῦ χαλκεύεται· σφαιροειδὴς ἔχουσα τὸ σχῆμα· δι' οὗ τὸν κόσμον ἡμῖν ἐμφανῶς ἐσήμηνεν· ὃν οὐκ ἀπὸ τῆς ὁπλοποιΐας μόνον ἀλλὰ καὶ δι' ἄλλων τεκμηρίων ἐπίσταται κυκλοειδῆ·

Cap. 44. Συντόμως δὲ ἐν παρεκβάσει τὰς ὑπὲρ τέτων φιλοτεχνῆντες ἀποδείξεις δηλώσομεν· συνεχῶς τοίνυν τὸν ἥλιον ἀκάμαντα καὶ ἠλέκτορα καὶ ὑπερίονα προσαγορεύει διὰ τῶν ἐπιθέτων· οὐκ ἄλλό τι πλὴν τῦτο τὸ σχῆμα σημαίνων· ὅτε γὰρ ἀκάμας ὁ μὴ κάμνων ἔοικεν ὅρυς ἔχειν οὐκ ἀνατολὴν καὶ δύσιν ἀλλὰ τὴν ἀειπερίδρομον ἀνάγκην· ἠλέκτρῳ δὲ, δυσῖν θάτερον· ἢ ἤλεκτρος ὁ θεὸς ὀνομάζεται μηδέποτε καίτης ἐπιφαύων, ἢ τάχα πιθανώτερον ἐπιελίκτωρ τίς ὤν· καὶ κυκλοτερεῖ φορᾷ δι' ἡμέρας καὶ νυκτὸς ἀναμετρούμενος τὸν κόσμον· ὑπερίονα δὲ νομιστέον, αὐτὸν τὸν ὑπεριέμενον ἀεὶ τῆς γῆς ὥς περ οἶμαι καὶ Ξενοφάνης ὁ κολοφώνιος φησὶν·

a) Il. ε. 474.

Digitized by Google

ἠέλιος θ' ὑπερέμενος γαῖαν τ' ἐπιθάλπων·

εἰ γὰρ πατρωνυμικῶς αὐτὸν ἠθέλησεν ὀνομάζειν, εἶπεν ἄν, ὑπεριονίδην· ὡς Ἀτρειδην εἰ τύχοι τὸν Ἀγαμέμνονα καὶ Πηλείδην τὸν Ἀχιλλέα.

Cap. 45. Ἥτε θοὴ νὺξ ἐκ ἄλλό τι σημαίνειν πλὴν τὸ σφαιροειδὲς ὅλου τῆ πόλε σχῆμα· τὸν γὰρ αὐτὸν ἡλίῳ δρόμον ἡ νὺξ ἀνύει. καὶ πᾶς ὁ καταλειφθεὶς ὑπ' ἐκείνου τόπος, εὐθὺς ὑπὸ ταύτης ἐκμελαίνεται· σαφῶς γοῦν ἑτέρωθί πε τῆτο μηνύων, φησίν·

a) ἐν δ' ἕπεσ' ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο·

ἕλκων νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν·

ὡς περ γὰρ ἀπηρτημένην ἑαυτῆ τὴν νύκτα κατόπιν ἐφέλκεται συγχρονῆσαν τοῖς ἡλίε τάχεσιν· εἰκότως ἓν αὐτὴν Ὅμηρος εἴρηκε θοήν· δύναταί γε μὴν πιθανώτερόν τις ἐπιχειρῶν, θοὴν ὀνομάζειν μεταληπτικῶς· οὐ τὴν κατὰ κίνησιν ὀξεῖαν· ἀλλὰ τὴν κατὰ σχῆμα· καὶ γὰρ ἑτέρωθί πε φησίν·

b) ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκα θοῆσιν·

οὐ τὸ τάχος τῶν ἐρριζωμένων νήσων· ἠλιθίως γὰρ δηλώσειν ἐσπουδακώς· ἀλλὰ τὰ σχῆμα πρὸς ὀξεῖαν ἀπολήγουσιν ἀποτελεῖν γραμμήν· εἰκότως ἓν νύκτα θοὴν λέγεσθαι, τὴν ἐπ' ὀξὺ τέλος τῆς ἐσχάτης σκιᾶς ἀποτερματίζουσαν·

Cap. 46. Φυσικῶς δὲ περὶ τούτου ὁ λόγος ἀποδείκνυσιν· ὅτι σφαιροειδής ἐστιν ὁ κόσμος· τριχῆ γὰρ οἱ μαθηματικοὶ τὰ σχήματα τῶν σκιῶν φασιν ἀποπίπτειν· ἐπειδὰν γὰρ ἔλαττον ᾖ τὸ περιλάμπον τῆ καταλαμπομένε, τὴν σκιὰν συμβέβηκε καλαθοειδῶς ἐπὶ τὴν ὑστάτην πλατύνεσθαι· ἀπὸ λεπτῆς ἀνισαμένην τῆς κατὰ κορυφὴν ἀρχῆς· ὅταν

a) Il. ϑ. 485. b) Od. ε. 298.



Digitized by Google

δὲ μεῖζον ἢ τὸ καταλειπόμενον φῶς τῷ καταλαμπομένῳ τόπῳ, κωνοειδὴ συμβέβηκε τὴν σκιὰν ἀπὸ πλατείας τῆς ἀρχῆς εἰς λεπτὸν ἀποτενοῦσθαι πέρας· ἐπειδάν γε μὴν ἴσον ᾖ τῷ καταλαμπομένῳ τὸ καταλειπόμενον, κυλίνδρου δίκην ἡ σκιὰ πρὸς ἴσον ἐν ταῖς ἑκατέρωθεν ἔχει γραμμαῖς· βουλόμενος οὖν Ὅμηρος τὸν ἥλιον ἄλλως μείζονα τῆς γῆς κατὰ τὴν τῶν πλείστων φιλοσόφων ἔννοιαν ἀποδεῖξαι, εὐλόγως θοὴν τὴν νύκτα προσηγόρευσεν· εἰς ὀξὺ τὸ πρὸς τῷ πέρατι σχῆμα λήγουσαν· ἅτε οἶμαι μήτε κυλινδροειδῶς μήτε καθοειδῶς τῆς σκιᾶς πίπτειν δυναμένης· ἀλλὰ τὸν λεγόμενον κῶνον ἀποτελούσης· ὁ δὴ πρῶτος Ὅμηρος ἐκ μιᾶς λέξεως ὑπανεξάμενος, τὰς μυρίας τῶν φιλοσόφων ἀμίλλας ἐπιτέτμηται.

Cap. 47. Καὶ μὴν αἱ φοραὶ τῶν ἐναντίων ἀνέμων δηλοῦσι τὸ τῶ κόσμῳ σφαιροειδές· βορέας μὲν γὰρ ἀπὸ τῆς ἄρκτου πνέων μετέωρος, a) μέγα κῦμα κυλίνδει· τὴν γὰρ ἀπὸ τῆ μεταρσίᾳ φορὰν ἐπὶ τὸ ταπεινότερον, ἐκ μιᾶς λέξεως κατεκύλισεν ὁ στίχος· τοὔμπαλιν δὲ ἐπὶ τῆ νότου πνέοντος ἀπὸ τῶν κάτω τόπων ἐστράφησαν·

b) ἔνθα νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥέον ἀθεῖ· τὴν ἀπὸ τῆ ταπεινοτέρου κίνησιν εἰς τὸ μετέωρον ἀνακαλεῖ· ἔτι γε μὴν μετὰ τῶν ἄλλων, ἀπείρονα γαῖαν ὀνομαζει· καὶ πάλιν ἐπὶ τῆς Ἥρας·

c) εἶμι γὰρ ὀφομένη πωλοφόρβου πείρατα γαίης·

ἐ δή πε μαχομέναις δόξαις πρὸς αὐτὸν στασιάζων· ἀλλ' ἐπειδὴ πᾶν σφαιροειδὲς σχῆμα καὶ ἄπειρόν ἐστι καὶ πεπερασμένον· τῷ μὲν γὰρ ὅρον τινὰ καὶ περιγραφὴν ἔχειν, εὐλόγως αὐτὸ πεπεράσθαι νομιστέον· ἄπειρον δ' ἄν, ὃ κύκλος ὀνομάζοιτο δικαίως ἐπειδήπερ ἀμήχανόν ἐστι δεῖξαι

a) Od. ε. 296. b) Od. γ. 295. c) Il. ξ. 200,

Digitized by Google

πέρας ἐν αὐτῷ τι· τὸ γὰρ νομισθὲν εἶναι τέλος, ἐξ ἴσου γένοιτ' ἂν, ἀρχή·

Cap. 48. Ταυτὶ μὲν οὖν ἀθρόα τεκμήρια τῷ σφαιροειδῆ τὸν κόσμον εἶναι παρ' Ὁμήρῳ· τὸ δ' ἐναργέστατον ἐστὶ σύμβολον τῆς Ἀχιλλέως ἀσπίδος κατασκευῆς· κυκλοτερὲς γὰρ τῷ σχήματι κεχάλκευκεν ὅπλον Ἥφαιστος· ὡς περ εἰκόνα τῆς κοσμικῆς περιόδου· μυθικῶς μὲν οὖν ἀσπίδα χαλκευομένην ὑποδησάμενος ἁρμόζουσαν Ἀχιλλεῖ, τὴν διὰ πάντων ἐνεχάραξε πορείαν· τίς δὲ ἦν αὕτη

a) ὑσμῖνι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας
βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν·
ἐν δ' ἔρις ἐν δὲ κυδοιμὸς ὁμίλεον ἐν δ' ὀλοὴ κὴρ·
ἄλλον ζωὸν ἔχουσα νεοδμῆτον ἄλλον ἄουτον·
ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν·

ταῦτα γὰρ ἦν ὁ διηνεκὴς Ἀχιλλέως βίος· νῦν δὲ Ὅμηρος ἰδίᾳ τινὶ φιλοσοφίᾳ δημιουργῶν τὸν κόσμον, εὐθὺς τὰ μέγιστα τῆς προνοίας ἔργα μετὰ τὴν ἀδιευκρίνητον καὶ κεχυμένην ὕλην ἐχάλκευσεν·

ἐν μὲν γαῖαν ἔτευξ' ἐν δ' οὐρανὸν ἐν δὲ θάλασσαν·
ἠέλιόν τ' ἀκάμαντα σελήνην τὲ πλήθουσαν·

ἡ τῆς κοσμικῆς γενέσεως εἱμαρμένη· πρῶτον ἐμελιῴχον ἐκρότησε τὴν γῆν· εἶτα ἐπὶ ταύτῃ καθάπερ τινὰ θεῖαν σφαῖραν τὸν οὐρανὸν ἐπωρόφωσε· καὶ κατὰ τῶν ἀναπεπταμένων αὐτῆς κόλπων ἀθρόαν ἔχει τὴν θάλασσαν. εὐθύς τε ἡλίῳ τὲ καὶ σελήνῃ τὰ διακριθέντα τῶν στοιχείων ἀπὸ τοῦ πάλαι χάους ἐφώτισεν·

b) ἐν δὲ τὰ τείρεα πάντα τά τ' οὐρανὸς ἐστεφάνωται·

δι' οὗ μάλιστα σφαιροειδῆ παραδέδωκεν ἡμῖν τὸν κόσμον· ὡς περ γὰρ ὁ στέφανος κυκλοτερὴς τῆς κεφαλῆς κόσμος

a) Il. σ. 533. b) Il. σ. 485.

Digitized by Google

ἐστὶν, οὕτω τὰ διεζωκότα τὴν οὐράνιον ἀψίδα κατὰ σφαιροειδοῦς ἐσπαρμένα σχήματος, εἰκότως οὐρανοῦ στέφανος ὠνόμασται.

Cap. 49. Διακριβολογησάμενος δ' ὑπὲρ τῶν ὁλοσχερῶν ἀστέρων καὶ κατὰ μέρος ἐπιπανέστατα δεδήλωκεν· οὐ γὰρ ἠδύνατο πάντα θεολογεῖν ὡς περ Εὔδοξος ἢ Ἄρατος ἰλιάδα γράφων· ἀντὶ τῶν φαινομένων ὑποστησάμενος ἑαυτῷ μεταβέβηκεν οὖν ἀλληγορικῶς ἐπὶ τὰς δύο πόλεις τὴν μὲν, εἰρήνης· τὴν δὲ, πολέμου παρεισάγων, ἵνα μὴ δ' Ἐμπεδοκλῆς ὁ ἀκραγαντῖνος ἀπ' ἄλλέ τινος ἢ παρ' Ὁμήρου τὴν στικελὴν ὀρύσηται δόξαν· ἅμα γὰρ τοῖς τεσσάροις στοιχείοις κατὰ τὴν φυσικὴν θεωρίαν παραδέδωκε τὸ νεῖκος καὶ τὴν φιλίαν· τούτων δ' ἑκάτερον Ὅμηρος ὑποσημαίνων, πόλεις ἐνεχάλκευσε τῇ ἀσπίδι τὴν μὲν, εἰρήνης· τουτέστι τῆς φιλίας· τὴν δὲ, πολέμου· τουτέστι νείκους·

Cap. 50. Πτύχας δὲ ὑπεστήσατο τῆς ἀσπίδος πέντε σχεδὸν οὐκ ἄλλό τι, πλὴν οὐκ ἐμπεποικιλμένους τῷ κόσμῳ ζώνας ὑπαινιξάμενος· ἡ μὲν γὰρ ἀνωτάτω περὶ τὸν βόρειον εἴληται πόλον· ἀρκτικὴν δὲ αὐτὴν ὀνομάζουσιν· ἡ δ' ἑφεξῆς, εὔκρατός ἐστιν· εἶτα τὴν τρίτην διακεκαυμένην καλοῦσιν· ἡ τετάρτη δ' ὁμονύμως τῇ δευτέρᾳ πρότερον εὔκρατος ὀνομάζεται· πέμπτη δ' ἐπονύμως τοῦ νοτίου μέρους ἡ νότιός τε καὶ ἀντάρκτιος καλουμένη· τέτων αἱ μὲν δύο τελέως ἀοίκητοι διὰ τὸ κρύος· ἥ τε τὸν βόρειον εἰληχεῖα πόλον· καὶ ἡ τὸν ἀπάντικρυ νότιον· ὁμοίως δ' ἐν αὐταῖς ἡ διακεκαυμένη καθ' ὑπερβολὴν τῆς πυρώδους οὐσίας, ἀδενὶ βατὴ ζώῳ· δύο δὲ τὰς εὐκράτους φασὶν οἰκεῖσθαι τὴν μέσην ἀφ' ἑκατέρας ζώνης κρᾶσιν ἐπιδεχομένας. ὁ γοῦν Ἐρατοσθένης καὶ σφοδρότερον ἐν τῷ Ἑρμῇ ταύτῃ διηκρίβωσεν εἰπών·

Digitized by Google

a) πέντε δέ οἱ ζῶναι περηγέες ἐσπείρηνται·
σοὶ δύο μὲν γλαυκοῖο κελαινότεραι κυάνοιο·
ἡ δὲ μία ψαφαρή τε καὶ ἐκ πυρὸς οἷον ἐρυθρὴ·
τυπτομένη φλογμοῖσιν ἐπεὶ ῥὰ ἑ μαίραν ἐπ' αὐτὴν
κεκλιμένην ἀκτῖνες ἀειθερέες πυρόωσαν·
αἱ δὲ δύο ἑκάτερθε πόλοιο περιπεπτηυῖαι·
αἰεὶ κρυμαλέαι· ἀεὶ δ' ὕδατι μιγέουσαι·

Cap. 51. Ταύτας οὖν Ὅμηρος πτύχας ὠνόμασεν ἐξ ὧν φησὶν·

b) ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων·
τὰς δύο χαλκείας δύο δ' ἔνδοθι κασσιτέροιο.
τὴν δὲ μίαν χρυσῆν·

τὰς μὲν ἀνωτάτω κατὰ τοὺς ἀλαμπεῖς μυχοὺς τῷ κόσμῳ κειμένας δύο ζώνας χαλκῷ προσεικάσας· ψυχρὰ γὰρ ἡ ὕλη καὶ κρύους μεστή· λέγει γοῦν ἑτέρωθί που· c) ψυχρὸν δ' ἕλε χαλκὸν ὀδόντι· τὴν δὲ μίαν χρυσῆν· τὴν διακεκαυμένην· ἐπειδήπερ ἡ πυρώδης οὐσία κατὰ τὴν χρόαν ἐμφερεστάτη χρυσῷ· δύο δ' ἔνδοθι κασσιτέροιο· τὰς εὐκράτους ὑποσημαίνων· ὑγρὰ γὰρ ἡ ὕλη καὶ τελέως εὔθικτος ἡ τοῦ κασσιτέρου· δι' ἧς τὸ περὶ τὰς ζώνας εὐαφὲς ἡμῖν καὶ μαλθακὸν δεδήλωκεν· τὸ μὲν οὖν ἐν οὐρανῷ σεμνὸν ἐργαστήριον Ἡφαίστου, τὴν ἱερὰν φύσιν οὕτως ἐδημιούργησεν:

Cap. 52. Ἀνίσταται δ' εὐθὺς ὁ φρικώδης καὶ χαλεπὸς ἐφ' Ὁμήρῳ τῶν συκοφαντούντων φθόνος ὑπὲρ τῆς θεομαχίας· d) οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνὴ παρ' αὐτῷ συνέῤῥωγεν· ἀλλ' ἐράνιαι ταραχαὶ καὶ στάσεις τὸ θεῖον ἐπιγέμονται·

a) Cf. Arati op. in fine ab *Halma* edit. Parisiis 1823.
b) Il. υ. 270. seqq. c) Il. ε. 75. d) Il. ξ. pr.

Digitized by Google

a) ἦτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
ἵστατ' Ἀπόλλων φοῖβος ἔχων ἰὰ πτερόεντα·
ἄντα δ' ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ·
Ἄρτεμις ἰοχέαιρα κασιγνήτη ἑκάτοιο·
Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς·
ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης·
οὐκέτι ταῦθ' Ἕκτωρ πρὸς Αἴαντα μάχόμενος· οὐδ' Ἀχιλ-
λεὺς πρὸς Ἕκτορα καὶ μετὰ Πατρόκλου Σαρπηδών· ἀλλὰ
τὸν μέγαν ἀρανοῦ πόλεμον ἀγωνοθετήσας Ὅμηρος, οὐδ'
ἄχρι μελλήσεως τὸ κακὸν ὤπλισεν· ἀλλ' ὁμόσε τοὺς θεοὺς
συνέρραξεν ἀλλήλοις· b) ἑπτὰ μὲν γὰρ Ἄρης
ἔπεσχε πέλεθρα πεσὼν ἑκάνισε δὲ χαίτας·
μετὰ ταῦτα δὲ Ἀφροδίτης
ἑῇ λύτο γούνατα καὶ φίλον ἦτορ·
Ἄρτεμις δὲ καὶ προσεξύβρισται τοῖς ἰδίοις τόξοις ἀνηπία
τῶρη σωφρονισθεῖσα· Ξάνθος δὲ παρ' ὀλίγον οὐδὲ ποταμὸς
ἐρρύη διὰ Ἥφαιστον·

Cap. 53. Ὅμως δ' οὖν πάντα ταῦτα κατ' ἀρχὰς μὲν ἐ-
δόλως σφόδρα πεῖθειν δύναται τοὺς πολλούς· εἰ δ' ἐθελή-
σαι τις ἐνδοτέρω, καταβὰς τῶν ὁμήρειων ἐποπτεῦσαι τὴν μυ-
στικὴν αὐτῷ σοφίαν, ἐπιγνώσεται τὸ δοκεῖν
αὐτῷ ἀσέβημα πηλίκης μεμόν ἐστι φιλοσοφίας· ἐνίοις μὲν
οὖν ἀρέσκει τὴν τῶν ἑπτὰ πλανήτων ἀέρων ἐν ἑνὶ ζωδίῳ
σύνοδον ὑφ' Ὁμήρου διὰ τεττων δὴ λεχθεῖσαν· φθορὰ δὲ
παντελὴς ὅταν τοῦτο γένηται· συγχυσιν οὖν τοῦ παντὸς
ὑπαινίττεται· συνάγων εἰς ἓν Ἀπόλλωνα τουτέστιν ἥλιον·
καὶ Ἄρτεμιν ἣν φαμὲν εἶναι σελήνην· τόν τε τῆς Ἀφρο-
δίτης καὶ Ἄρεος· ἔτι δὲ καὶ Ἑρμοῦ καὶ Διὸς ἀέρα· τού-

a) Il. υ. 67. seqq. b) Il. φ. 407. (c Ibid. 426.

Digitized by Google

τὴν μὲν οὖν πιθανότατος μᾶλλον ἢ ἀληθείας ἐχομένην τὴν ἀλληγορίαν, ἄχοι τοῦ μὴ θεοπεῖν ἀγνοεῖν παρειλήφαμεν· ἃ δ' ἐστὶν ἐναργέστερα καὶ τῆς Ὁμήρου σοφίας ἐχόμενα, ταύτη δὴ σκοπεῖν ἀναγκαῖον·

Cap. 54. Ἀντέταξε γοῦν κακίαις μὲν ἀρετὰς ταῖς δὲ μαχομένας φύσαι τὰς ἀντιπάλους· αὐτίκα τῶν θεῶν ἡ ζεῦξις οὕτω περιλοσόφηται τῆς μάχης· Ἀθηνᾶ καὶ Ἄρης τουτέστιν ἀφροσύνη καὶ φρόνησις· ὁ μὲν γάρ, ὥς περ ἔφην a) μαινόμενός ἐστι τυκτὸν κακὸν ἀλλεπτράσαλλον

b) ἡ δ' ἐν πᾶσι θεοῖς
μῆτίς τε κλέεται καὶ κέρδεσιν·

ἀδιάλλακτός γε μὲν ἔχθρα τοῖς τὰ βέλτιστα διακρινοῦσι λογισμοῖς πρὸς τὴν οὐδὲν ἀρῶσαν ἀφροσύνην· ὡς καὶ μάλιστα τὸν βίον ὀνήσειν ἔμελλεν, οὕτω τὰ τῆς μάχης διεκρίνεται· οὐ γὰρ ἡ μεμηνυῖα καὶ παραπλὴξ ἀναισθησία τῆς συνέσεως γέγονε κρείσσων· ἐνίκησε δὲ καὶ Ἀθηνᾶ τὸν Ἄρην καὶ κατὰ γῆς ἐξέτεινεν· ἐπειδή περ ἅπασα κακία χαμαιπετὴς ἐν τοῖς ταπεινοτάτοις ἔρριπται βαράθροις· πατούμενον νόσημα· καὶ πρὸς πᾶσαν ὕβριν ὑποκαίμενον· ἀμέλει συνεξέτεινεν αὐτῷ τὴν Ἀφροδίτην· τουτέστι τὴν ἀκολασίαν·

c) τὼ μὲν ἄρ' ἄμφω κεῖντο ἐπὶ χθονὶ πουλυβοτείρῃ
συγγενῇ καὶ τοῖς πάθεσι γειτνιῶντα τὰ σοφίσματα·

Cap. 55. Λητοῖ δ' ἀνθίστησιν Ἑρμῆς ἐπειδή περ ὁ μὲν οὐδὲν ἄλλο πλὴν λόγος ἐστὶ τῶν ἔνδον ἐν ἡμῖν παθῶν· λόγῳ δὲ παντὶ μάχεται Λητώ· οἱονεί λῆθώ τις οὖσα καθ' ἑνὸς στοιχείου μετάθεσιν· τὸ γὰρ ἀμνημονούμενον οὐκέτι ἀγγελιοφῆναι δύναται· διὸ δὴ καὶ μητέρα μουσῶν μνημοσύνην ἱστοροῦσι τὰς προστατίδας λόγου θεὰς ὑπὸ

a) Il. ε. 831. b) Od. ν. 298. c) Il. φ. 426.

Digitized by Google

μνήμην γεγενῆσθαι λέγοντες εἰκὸς οὖν τὴν λήθην πρὸς ἀντίπαλον ἄμιλλαν ἐξωρμηκέναι· δικαίως δ' ὑπεῖξεν αὐτῇ· λόγου γὰρ ἧττα λήθη καὶ τὸ φανερὸν ὑπ' ἀμνηστίας ἐν κωφῇ νενίκηται σιωπῇ· τῶν γε μὴν ὑπολειπομένων θεῶν ἡ μάχη φυσικωτέρα·

Cap. 56. a) Ἦτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος ἵζ-ατ' Ἀπόλλων φοῖβος·

ὕδατι πῦρ ἀντέθηκε· τὸν μὲν ἥλιον Ἀπόλλωνα προσαγορεύσας· τὴν δ' ὑγρὰν φύσιν Ποσειδῶνα· τούτων δ' ἑκάτερον ὡς ἐναντίαν ἔχειν δύναμιν, τί δεῖ καὶ λέγειν· φθαρτικὸν κατ' ἐπικράτειαν ἀεὶ θατέρου θάτερον· καὶ μὴν ὑπὸ λεπτῆς τῆς περὶ τὴν ἀλήθειαν θεωρίας διαλύειν ἀμφοῖν τὴν μάχην· ἐπειδή περ ἡλίου τροφὴν ἀπεφηνάμεθα τὴν ἔνυγρον οὐσίαν· καὶ μάλιστα τὴν ἁλμυρὰν· λελυθότως γὰρ ἀπὸ γῆς τὸ δίϋγρον ἀναspῶν τῆς ἀτμίδος, τούτων μάλιζ-α τὴν πυρώδη φύσιν αὐξεῖ· χαλεπὸν δ' ἦν τῷ τρέφοντι τὸ τρεφόμενον ἀνθεζ-άναι· διατουθ' ὑπεῖξαν ἀλλήλοις·

Cap. 57. b) Ἥρη δ' ἀντέζ-η χρυσηλάκατος κελαδεινὴ Ἄρτεμις ἰοχέαιρα·

οὐδὲ τοῦτ' ἀλόγως εἰσήγαγεν Ὅμηρος· ἄλλ' ὥς περ ἔφην Ἥρα μέν ἐστιν ἀὴρ· τὴν δὲ σελήνην Ἄρτεμιν ὀνομάζει· πᾶν δὲ τὸ τεμνόμενον ἀεὶ πολέμιόν ἐζ-ι τῷ τέμνοντι· διατοῦτο ἐχθρὰν ἀέρι τὴν σελήνην ὑπεζ-ήσατο· τὴν ἐν ἀέρι αὐτῆς φορὰν καὶ τοὺς δρόμους ὑποσημαίνων· εἰκὸς δὲ ταχέως νενικῆσθαι τὴν σελήνην· ἐπειδή περ ὁ μὲν ἀὴρ πολὺς καὶ πάντη κεχυμένος· ἡ δ' ἐλάττων καὶ συνεχῶς ὑπὸ τῶν ἀερίων παθημάτων ἀμαυρουμένη· τοῦτο μὲν ἐκλείψεσι· τῦτο δ' ἀχλύϊ καὶ ταῖς ὑποτρεχούσαις νεφέλαις·

a) Il. υ. 67. b) Il. υ. 70.

Digitized by Google

διατοῦτο τῆς νίκης τὰ βραβεῖα τῷ μείζονι καὶ συνεχῶς βλάπτοντι προσέθηκεν·

Cap. 58. a) Ἄντα δ' ἄρ Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης·

ἐν τοῖς ὑπὲρ Ἀπόλλωνος καὶ Ποσειδῶνος λόγοις τὸν οὐράνιον ἡμῖν αἰθέρα καὶ τὴν ἀκήρατον ἡλίου φλόγα δηλώσας, νῦν μεταβέβηκεν ἐπὶ τὸ θνητὸν πῦρ· καὶ τοῦτο ἀνθώπλισε ποταμῷ· τὴν διάφορον ἑκατέρου φύσιν εἰς μάχην παροξύνας· πρότερον μὲν εἴκοντα τὸν ἥλιον Ποσειδῶνι παρεισάγει· νῦν δὲ τὴν ὑγρὰν οὐσίαν ὑπὸ τῆς πυρώδους ἡττωμένην· δυνατώτερον γὰρ τόδε τὸ στοιχεῖον θατέρου· τίς οὖν οὕτω μέμηνεν ὡς θεοὺς μαχομένους ἀλλήλοις παρεισάγειν Ὁμήρῳ φυσικῶς ταῦτα δι' ἀλληγορίας θεολογήσαντος:

Cap. 59. b) Ἐπὶ τέλει οὖν τῆς ἰλιάδος, σφόδρα τὸν Ἑρμῆν ἐναργῶς ἀκολουθοῦντα Πριάμῳ δεδήλωκεν ἀλληγορήσας· οὐδὲν γὰρ ἔοικεν οὕτω πηδήνιον ἀνδράσιν ὀργιζομένοις· οὐκ ἄργυρος· οὐ χρυσὸς· οὐδὲ ἡ διὰ δώρων πολυτέλεια· μειλίχιον δὲ καὶ προσηνὲς ἱκεσίας ὅπλον ἐστὶν ἡ διὰ τοῦ λόγου πειθώ· πάνυ γοῦν ἀληθῶς Εὐριπίδης,

οὐκ ἔστι πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος·

τούτῳ τὲ Πρίαμος ὥς περ ὀχυρᾷ παντευχίᾳ καθώπλισται· ᾧ καὶ μάλιστα τὴν Ἀχιλλέως ἐπέκλασεν ὀργήν· οὐκ ἐν ἀρχῇ δείξας δώδεκα πέπλους· δώδεκα δ πλοΐδας χλαίνας· τά τε λοιπὰ τῶν κομισθέντων δώρων· ἀλλ' αἱ πρῶται τῆς ἱκεσίας φωναὶ τοὺς ἄρσενας αὐτοῦ θυμοὺς ἐξέθηλυναν·

c) μνῆσαι πατρὸς σοῖο θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ·
τηλίκου οἷος ἐγὼν ὀλοῷ ἐπὶ γήραος οὐδῷ·

a) Il. υ. 73. b) Il. ω. 360. seq. c) Il. ω. 486.

Digitized by Google

δι' ὀλίγα προσιμίου τῶν λόγων συνήρπασεν Ἀχιλλέα καὶ σχεδὸν ἀντὶ Πριάμου γέγονε Πηλεύς· διαταῦτα ἥλκετο μὲν ἄχρι τραπέζης λουτροῖς δὲ κοσμηθὲν ἀποδίδοται τὸ Ἕκτορος σῶμα· τοσοῦτον ἴσχυσεν ὁ τῶν παθῶν ἑρμηνεὺς λόγος ὃν ἀπέστειλεν Ὅμηρος ἑαυτῷ τῆς ἐπεσίας παράκλητον·

Cap. 60. Ἆρ' οὐκ ἀπόχρη δι' ὅλης τῆς Ἰλιάδας συνάδουσα καὶ διηνεκὴς ἡ Ὁμήρου φιλοσοφία ἐν ᾗ τὰ περὶ θεῶν ἠλληγόρηται ζητοῦμεν δὲ τούτων τί περιττότερον· καὶ μετὰ τοσαύτας ἀποδείξεις ἐνδεῖν ἔτι τὰ κατὰ τὴν Ὀδύσσειαν ἡγούμεθα πλὴν ἅμως ἀκόρεστον ἅπασι τὸ καλόν· ἀπὸ τῆς ἐναγωνίου καὶ παλεμικῆς Ἰλιάδος ἐπὶ τὴν ἠθικὴν μεταβῶμεν Ὀδύσσειαν· οὐ δὲ γὰρ αὕτη τελείως ἀφιλοσόφητος· ἀλλ' ἐν ἑκατέροις τοῖς σωματείοις, ἅμοιαν εὑρίσκομεν Ὅμηρον μηδὲν περὶ θεῶν ἀπρεπὲς ἱστοροῦντα· δίχα δὲ τῆς τοιαύτης ἐμπειρίας αἰσχύνομαι·

Cap. 61. Αὐτίκα τοίνυν ἐν ἀρχῇ τὴν Ἀθηνᾶν ὑπὸ Διὸς ἀποστελλομένην πρὸς Τηλέμαχον εὑρίσκομεν· εὐλόγως ἐπειδὴ ἐκ τῆς ἄγαν νεότητος ἤδη τὴν εἰκοσαετῆ ἡλικίαν ὑπερκύπτων μετέβαινεν εἰς τὸν ἄνδρα· καὶ τῆς αὐτὸν ὑπέδραμε τῶν γιγνομένων λογισμὸς ὡς οὐκέτι χρὴ διασαρτερεῖν ἐπὶ τῇ τετραετεῖ τῶν μνηστήρων ἀσωτίᾳ· τοῦτον ἓν τὸν ἀθροιζόμενον ἐν Τηλεμάχῳ λογισμὸν, Ἀθηνᾶς ἐπιφάνειαν ἠλληγόρησεν· ὁμοιωθεῖσα γὰρ γέροντι ἦκεν παλαιὸς γοῦν ὁμολογεῖται ξένος Ὀδυσσέως ὁ Μέντης εἶναι πολιὰ δὲ καὶ γῆρας ἱεροὶ τῶν τελευταίων χρόνων λιμένες· ἀσφαλὲς ἀνθρώποις ὅρμισμα καὶ ὅσον ἡ τοῦ σώματος ἰσχὺς ὑποφθίνει, τοσοῦτον ἡ τῆς διανοίας αὔξεται ῥώσις.

Cap. 62. Τίνα τοίνυν παρεισελθὼν ὁ νοῦς ἐξεπαίδευσε τὸν Τηλέμαχον· οὐ θεᾶς παρακαθημένης· καὶ ταῦθ' ἃ

Digitized by Google

λέγει παραινούσης διαπεττεύοντος· ἄγε δὴ φησὶν ὦ Τηλέμαχε· μειρακίου γὰρ ἤδη τι φρονεῖς πλέον·

a) νῆ' ἄρσας ἐρέτησιν ἐείκοσιν ἥ τις ἀρίστη,
ἔρχεο πευσόμενος πατρὸς δὴν οἰχομένοιο·

πρῶτος εὐσεβὴς καὶ δίκαιος ἐκ βαθείας τῆς διὰ τὴν ἡλικίαν ἀφροσύνης ὑπεισῆλθε λογισμὸς ὡς οὐκ ἄξιόν ἐστιν ἀργοὺς ἐν Ἰθάκῃ κατατρίβειν χρόνους ἀμνηστίαν ἔχοντας τοῦ γεγεννηκότος· ἀλλ' ἀναγκαῖον ἤδη ποτὲ τὸν φιλοπάτορα ναῦν εὐτρεπισάμενον, ἐπὶ τὰς διαποντίους ἐκδραμεῖν κληδόνας· ἵνα τὴν Ὀδυσσέως ἀπόδημον ἄγνοιαν ἀνιχνεύσῃ· δεύτερον δ' ἐπὶ τούτοις διεσκέψατο· ὅπου μάλιστα δεῖ τὴν πατρώαν ἐρευνῆσαι τύχην· ὑπηγόρευσε δ' ἡ φρόνησις ἐγγὺς αὐτοῦ καθεζομένη·

b) πρῶτα μὲν ἐς Πύλον ἐλθὲ καὶ εἴρεο Νέστορα δῖον·
κεῖθεν δὲ Σπάρτην τε παρὰ ξανθὸν Μενέλαον·

ὁ μὲν γὰρ εἶχε τὴν ἀπὸ γήρως ἐμπειρίαν· ὁ δ' ἀπὸ τῆς ὀκταέτους πλάνης ἐπανεληλύθει νεωστί·

c) δεύτατος γὰρ ἦλθεν Ἀχαῶν χαλκοχιτώνων·

ἔμελλεν οὖν ὠφέλιμος αὐτῷ παραινῶν γενήσεσθαι Νέστωρ· τἀληθῆ δὲ περὶ τῆς Ὀδυσσέως πλάνης ἐρεῖν Μενέλαος·

Cap. 63. Ἅμα δὲ ταῦτ' ἐννούμενος ὡσπερεὶ παρακροτῶν ἑαυτὸν εἶπεν·

d) οὐδέ τί σε χρὴ
νηπιάσας ὀχέειν· ἐπεὶ οὐκ ἔτι τηλίκος ἐσσί·

ὡσπερεὶ παιδαγωγὸς καὶ πατὴρ ὁ λογισμὸς αὐτοῦ τὸ μεθετικὸν τῶν φροντίδων ἀνήγειρεν· εἶτα καθ' ὁμοίωσιν ἡλικιώτιδος ἀρετῆς, εἰς τὴν ἴσην φρόνησιν αὐτὸν καρακέκληκεν·

e) ἢ οὐκ ἀΐεις οἷον κλέος ἔλαβε δῖος Ὀρέστης

a) Od. α. 280. b) Od. α, 284. c) Od. α. 286. d) Ibid. 296. e) Ibid. 298.

Digitized by Google

πάντας ἐνθρώπους ἐπεὶ ἔκτανε πατροφονῆα;
τοιούτοις ἐπαρθεὶς λογισμοῖς, εὐλόγως μετέωρον αὐτοῦ τὴν διάνοιαν ἐλαφρίζει· προσείκασεν αὐτὴν Ὅμηρος ὄρνιθι λέγων·

a) ὄρνις δ' ὡς ἀνόπαια διέπτατο·

μεταρσία γὰρ ἡ φρόνησις ὡς ἂν οἶμαι τηλικοῦτον ὄγκον ἐν αὐτῇ πραγμάτων κυοφοροῦσα διανέστηκεν· ἀμέλει ταχέως ἐκκλησία συναθροίζεται· καὶ πατρώοις λόγοις ἐνρητορεύει· τὸν δ' ἀπόπλουν εὐτρέπιζεν ὁ τῆς ἀλληγορίας ἐπώνυμος· Φρονίου μὲν υἱὸς· Νοήμων δὲ τοὔνομα· δι' ὧν ἀμφοτέρων οὐδὲν ἄλλο πλὴν τοὺς ὑπογύους αὐτοῦ λογισμοὺς ὑπεσήμαινεν· ἐπιβαίνοντι δ' αὐτῷ τῆς νεὼς, συνεμβέβηκεν Ἀθηνᾶ Μέντορι τὴν μορφὴν εἰκασμένη· πάλιν ἀνδρὶ πρὸς φροντίδας τὴν διάνοιαν ἔχοντι φρονήσεως μητέρα· δι' ὧν ἁπάντων ἡ κατ' ὀλίγον ἐν τῷ Τηλεμάχῳ τρεφομένη σύνεσις ἐν τοῖς ἔπεσιν ἱστόρηται:

Cap. 64. Καὶ μὴν ὁ περὶ Πρωτέως λόγος οὕτω, πολὺς ἐκταθεὶς ὑπὸ Μενελάου τὴν ἐξαπατῶσαν εὐθὺς ἔχει φαντασίαν πάνυ μυθώδης· γεγονέναι τῆς ἐν Αἰγύπτῳ νησίδος ἄθλιον ἔποικον. εἰς ἀθανάτου μητέρα τιμωρίας παρελκόμενον· ᾧ βίος ἠπείρου καὶ θαλάττης κοινὸς ἀτυχεῖς ὕπνους μετὰ φωκῶν κοιμώμενος ἵν' αὐτοῦ κολάζηται· καὶ τὸ τερπνὸν, θυγάτηρ δ' Εἰδοθέα διὰ πατρὸς ἀδικίας ξένον εὐποιοῦσα· καὶ γινομένη προδότις αὐτοῦ· δεσμοὶ μετὰ τοῦτο καὶ Μενέλαος ἐνεδρεύων· εἶθ' ἡ πολυπρόσωπος εἰς ἅπαντα ἃ βούλεται Πρωτέως μεταμόρφωσις ποιητικοὶ καὶ τεράστιοι μῦθοι δοκοῦσιν· εἰ μή τις οὐρανίῳ ψυχῇ τὰς ὀλυμπίους Ὁμήρου τελετὰς ἱεροφαντήσειε·

Cap. 65. Τὴν γοῦν προμήτορα τῶν ὅλων ὑφίσταται γένεσιν· ἀφ' ἧς τὸ πᾶν ῥιζωθὲν, εἰς ὃ νῦν βλέπομεν ἥκει

a) Ibid. 320.

Digitized by Google

κατάστημα· παλαιοὶ γὰρ ἦσαν ποτὲ χρόνοι καθ' οὓς ἀτύπωτον ἦ ὑπόλημμον ἦν· οὐδέπω κεκριμένοις χαρακτῆρσιν εἰς τέλεσον ἥκουσα μορφῆς· οὔτε γὰρ γῆ τῇ τῶν ὅλων ἑστία κέντρον ἐπεπήγει βέβαιον, οὔτ' οὐρανὸς περὶ τὴν ἀΐδιον φορὰν ἱδρυμένος ἐκυκλεῖτο· πάντα δ' ἦν ἀνήλιος ἠρεμία καὶ κατηφοῦσα σιγὴ· καὶ πλέον οὐδὲν ἦν ἢ κεχυμένης ὕλης· ἄμορφος φὰρ ἀργία· πρὶν ἡ δημιουργὸς ἁπάντων καὶ κοσμοτόκος ἀρχὴ σωτήριον ἑλκύσασα τῷ βίῳ τύπον, τὸν κόσμον ἀπέδωκε τῷ κόσμῳ· διεζεύγνυτο μὲν οὐρανὸς γῆς· ἐχώριζε δὲ τὴν ἤπειρον θαλάσσης· τέτταρα δὲ στοιχεῖα τῶν ὅλων ῥίζα καὶ γέννα, ἐν τάξει τὴν ἰδίαν μορφὴν ἐκομίζετο· τούτων δὲ προμηθῶς κιρναμένων, ὁ θεὸς μηδεμιᾶς οὔσης διακρίσεως περὶ τὴν ἄμορφον ὕλην·

Cap. 66. Πρωτέως δὲ θυγατέρα Εἰδοθέα δικαίως εἴδους ἑκάστου γενομένη θέα· διατοῦτο μία τοπρὶν ὢν φύσις ὁ Πρωτεὺς, εἰς πολλὰς ἐμερίζετο μορφὰς ὑπὸ τῆς προνοίας διαπλαττόμενος·

ἤτοι μὲν πρώτιστα λέων γένετ' ἠϋγένειος·
αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις ἠδὲ μέγας σῦς·
γείνετο δ' ὑγρὸν δένδρον καὶ δένδρεον ὑψιπέτηλον·

διὰ μὲν οὖν τοῦ λέοντος ἐμπύρου ζώου τὸν αἰθέρα δηλοῖ· δράκων δ' ἐστὶν ἡ γῆ· τὸ γὰρ αὐτόχθον αὐτοῦ καὶ γηγενὲς οὐδὲν ἄλλο πλὴν τοῦτο σημαίνει· δένδρον γε μὴν ἅπαν αὐξανόμενον καὶ τὴν ἀπὸ γῆς ὁρμὴν μεταρσίαν ἀεὶ λαμβάνον, συμβολικῶς εἶπεν ἀέρα· τὸ μὲν γὰρ ὕδωρ εἰς ἀσφηλεστέραν ὧν προηνίξατο θήλωσιν ἐκ τῆ φανερωτέρου παρίστησεν· εἰπὼν· γείνετο δ' ὑγρὸν ὕδωρ· ὥστε εὔλογον τὴν μὲν ἄμορφον ὕλην Πρωτέα καλεῖσθαι· τὴν δ' εἰδωλοπλαστήσασαν ἕκαστα πρόνοιαν, Εἰδοθέαν· ἐξ ἀμφοῖν δὲ πᾶν διακριθὲν, εἰς τὰ συνεχῆ καὶ προστακτικὰ τῶν ὅλων σχισθῆναι· πιθανῶς δὲ καὶ τὴν νῆσον· ἐν ᾗ ταῦτα

Digitized by Google

διέπλασε φάρον ὠνόμασεν· ἐπειδήπερ ἐστὶ τὰ φέρσαι γεννῆσαι· καὶ τὴν γῆν ἀφάρωτον ὁ Καλλίμαχος εἶπε τὴν ἄγονον· ἀφάρωτος οἷον γυνή· φυσικῶς οὖν τῶν ἁπάντων πατέρα χῶρον ὠνόμασε φάρον· ἐκ τῆς γονίμου προσηγορίας ὃ μάλιστα ἐβούλετο σημῆναι·

Cap. 67. Τίσι γε μὴν ἐπιθέτοις καὶ τὸν Πρωτέα κεκόσμηκεν, ἤδη σκοπῶμεν·

a) πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτὴς

τὸ μὲν γὰρ οἶμαι τῆς ἀρχεγόνου καὶ πρώτης οὐσίας γεραίτερον· ὥστε ἀποσεμνῦναι τῇ πολιτείᾳ τῷ χρόνῳ τὴν ἄμορφον ὕλην· ἅλιον δὲ ὠνόμασεν, οὐ μὰ Δί' οὐ θαλάττιόν τινα δαίμονα καὶ κατὰ κυμάτων ζῶντα· τὸ δὲ ἐκ πολλῶν καὶ παντοδαπῶν συνηλισμένον ἅπερ ἐστὶ συνηθροισμένον· νημερτὴς δὲ εὐλόγως εἴρηται· τί γὰρ ταύτης τῆς οὐσίας ἀληθουργέστερον· ἐξ ἧς ἅπαντα γεγενῆσθαι νομιστέον· καὶ μὴν καὶ ἡ Καλυψὼ, τὴν πειθὼ τῶν ποικίλων παρ' Ὀδυσσέως λόγων Ἑρμῆν προσηγόρευσε μόγις μέν· ἀλλ' ὅμως καταθέλξαντος αὐτοῦ τὸν ἔρωτα τῆς νύμφης ἵν' εἰς Ἰθάκην προπεμφθείη· διατοῦτ' ὄρνιθι προσωμοιωμένος Ἑρμῆς ἐλήλυθεν ἀπ' ὀλύμπου· πτερόεντα γὰρ τὰ ἔπη κατὰ τὸν Ὅμηρον· καὶ τάχιον οὐδὲν ἐν ἀνθρώπου λόγου·

Cap. 68. Δεῖ δὲ ἡμᾶς οὐδὲ τὰ μικρὰ παροδεύειν· ἀλλὰ καὶ δι' ἐκείνων τὴν λεπτὴν ἐξετάζειν Ὁμήρου φροντίδα· τὸν γὰρ ἡμέρας καὶ Ὠρίωνος ἔρωτα πάθος οὐδ' ἀνθρώπειος εὔσχημον, ἠλληγόρησεν·

b) ὡς μὲν ὄθ' Ὠρίων' εἵλετο ῥοδοδάκτυλος ἠώς·

παρεισάγει γὰρ αὐτὸν ἔτι νεανίαν ἐν ἀκμῇ τοῦ σώματος ὑπὸ τοῦ χρεὼν πρὸ μοίρας συνηρπασμένον· ἦν δὲ παλαιὸν ἔθος τὰ σώματα τῶν καμνόντων ἐπειδὰν ἀναπαύ-

a) Od. δ. 384. b) Od. ε. 121.

Digitized by Google

σηται τοῦ βίου, μή τε νύκτωρ ἐκκομίζειν μὴ δ' ὅταν ὑπὲρ γῆς τὸ μεσημβρινὸν ἐπιτείνηται θάλπος· ἀλλὰ πρὸς βαθὺν ὄρθρον ἀπύροις ἡλίου ἀκτῖσιν ἀνιόντος· ἐπειδὰν οὖν εὐγενὴς νεανίας ἅμα καὶ κάλλει προέχων τελευτήσῃ τὴν ὄρθριον ἐκκομιδὴν ἐπευφήμουν ἡμέρας ἁρπαγήν· ὡς οὐκ ἀποθανόντος ἀλλὰ δι' ἐρωτικὴν ἐπιθυμίαν ἀνηρπασμένου. καθ' Ὅμηρον δὲ τοῦτο φασὶν· Ἰασίων ἀνὴρ γεωργίας ἐπιμελούμενος καὶ δαψιλῶς τοὺς ἀπὸ τῶν ἰδίων ἀγρῶν καρποὺς λαμβάνων, εἰκότως ὑπὸ τῆς Δήμητρος ἔδοξεν ἠγαπῆσθαι· δι' ὧν Ὅμηρος οὐκ ἀσελγεῖς ἔρωτας ἱστορεῖ θεῶν οὐδ' ἀκολασίας· σημαίνει δὲ τὰς εὐαγεστάτας· ἡμέραν τε καὶ Δήμητραν τοῖς εὐσεβῶς ἐρευνᾶν ἐθέλουσι φυσικῆς ἀκριβῆ θεωρίας ἀφορμὴν χαρίζεται·

Cap. 69. Νῦν τοίνυν ἅπαντα τἆλλα ἀφέντες, ἐπὶ τὴν διηνεκῆ, καὶ χαλεπῶς θριλλουμένην ὑπὸ τῶν συποφαντῶν κατηγορίαν τραπῶμεν: ἄνω γὰρ οὖν καὶ κάτω τραγῳδοῦσι τὰ περὶ Ἄρεος καὶ Ἀφροδίτης ἀσεβῶς διαπεπλάσθαι λέγοντες ἀπολασίαν γὰρ ἐμπεπολίτευκεν ἐν οὐρανῷ· καὶ τὸ παρ' ἀνθρώποις ὅταν γένηται θανάτου τιμωρούμενον, οὐκ ἐδυσωπήθη παρὰ θεοῖς ἱστορῆσαι, λέγω δὲ μοιχείαν·

a) ἀμφ' Ἄρεος φιλότητος ἐϋστεφάνου τ' Ἀφροδίτης·
ὡς τὰ τρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισιν·

εἶτα μετὰ τοῦτο δεσμοὶ καὶ θεῶν γέλωτες· ἱκεσία τε πρὸς Ἥφαιστον Ποσειδῶνος· ἅπερ οἱ θεοὶ νοσοῦσιν, οὐκέτι τοὺς παρ' ἀνθρώποις ἀδικοῦντας ἔδει κολάζεσθαι· νομίζω δ' ἔγωγε καίπερ ἐν Φαίαξιν ἀνθρώποις ἡδονῇ δεδουλωμένοις, ἀδόμενα ταῦτα φιλοσόφου τινὸς ἐπιστήμης ἔχεσθαι· τὰ γὰρ σικελικὰ δόγματα καὶ τὴν ἐμπεδόκλειον γνώμην ἔοικεν ἀπὸ τούτων βεβαιοῦν Ἄρην μὲν ὀνομάσας τὸ νεῖκος τὴν

a) Od. θ. 267.

Digitized by Google

δ' Ἀφροδίτην φιλίαν· τούτους οὖν, διεστηκότας ἐν ἀρχῇ, παρεισήγαγεν Ὅμηρος ἐκ τῆς πάλαι φιλονεικίας εἰς μίαν ὁμόνοιαν κιρναμένους· ὅθεν εὔλογος ἐξ ἀμφοῖν Ἁρμονία γεγένηται, τοῦ παντὸς ἀσαλεύτως καὶ κατ' ἐμμέλειαν ἁρμοσθέντος· γελᾶν δ' ἐπὶ τούταις εἰκὸς ἦν καὶ συνήδεσθαι τοὺς θεούς, ἅτε δὴ τῶν ἰδίων Χαρίτων οὐκ ἐπὶ φθοραῖς διϊσταμένων· ἀλλ' ὁμονοοῦσαν εἰρήνην ἀγόντων: δύναταί γε μὴν καὶ περὶ τῆς χαλκευτικῆς τέχνης ἀλληγορεῖν· ὁ μὲν γὰρ Ἄρης, εἰκότως ἄν, ὀνομάζοιτο σίδηρος· τοῦτον δὲ ῥᾳδίως Ἥφαιστος ἐχειρώσατο· τὸ γὰρ πῦρ ἅτ' οἶμαι συδήρου κραταιοτέρας δυνάμεως μετειληχὸς, εὐκόλως ἐν αὐτῷ τὴν ἐκείνου στερρότητα θηλύνει· δεῖ δὲ τῷ τεχνίτῃ πρὸς τὸ κατασκευαζόμενον, καὶ Ἀφροδίτης· ὅθεν οἶμαι διὰ πυρὸς μαλάξας τὸν σίδηρον, ἐπαφροδίτῳ τινὶ τέχνῃ τὴν ἐργασίαν κατώρθωσε· Ποσειδῶν δ' ἐς-ὶν ὁ ῥυόμενος παρ' Ἡφαίστου τὸν Ἄρη πιθανῶς· ἐπειδήπερ ἐκ τῶν βαναύσων διάπυρος ὁ τῆ σιδήρου μύδρος ἑλκυσθεὶς, ὕδατι βαπτίζεται· καὶ τὸ φλογώδες, ὑπὸ τῆς ἰδίας φύσεως, ὕδατι κατασβεσθὲν ἀναπαύεται:

Cap. 70. Καθόλου δὲ τὴν Ὀδυσσέως πλάνην εἴτις ἀκριβῶς ἐθέλει σκοπεῖν, ἠλληγορημένην εὑρήσει· πάσης γὰρ ἀρετῆς καθάπερ ὄργανόν τι τὸν Ὀδυσσέα παραστησάμενος ἑαυτῷ· διατοῦτο περιλοσόφηκεν, ἐπειδὴ τὰς ἐκνεμομένας τὸν ἀνθρώπινον βίον ἤχθηρε κακίας: ἡδονὴν μέν γε τὸ λωτοφάγον χωρίον ξένης γεωργὸν ἀπολαύσεως· ἣν Ὀδυσσεὺς ἐγκρατῶς παρέπλευσεν· τὸν δ' ἄγριον ἑκάστου θυμὸν, ὡσπερεὶ καυτηρίῳ τῇ παραινέσει τῶν λόγων ἐπήρωσε· Κύκλωψ δὲ οὗτος ἀνόμασται, ὁ ταὺς λογισμοὺς ὑπολωπῶν: τί δ' οὐχὶ πρῶτος εὕδιον πλοῦν δι' ἐπιστήμης ἀστρονόμιε τεκμηράμενος ἔδοξεν ἀνέμους δεδωκέναι, φαρμάκων τε τῶν παρὰ Κίρκης γέγονε κρείττων ὑπὸ πολλῆς

Digitized by Google

σοφίας πεμμάτων ἐπεισάκτων κακῶν λύσιν εὑρόμενος· ἡ δὲ φρόνησις ἕως ἄδυ καταβέβηκεν ἵνα μὴ δὲ τῶν νέρθεν ἀδιερεύνητον ᾖ· τίς δὲ Σειρήνων ἀκούει τὰς πολυπείρους ἱστορίας ποντὸς αἰῶνος ἐκμαθών· καὶ Χάρυβδις μὲν ἡ δάπανος ἱστορία καὶ περὶ πότους ἁπλῶς εὐλόγως ὠνόμασται· Σκύλλαν δὲ τὴν πολύμορφον ἀναίδειαν ἠλληγόρησεν· διὸ δὴ κύνας οὐκ ἀλόγως ὑπέζωται· προτομαῖς ἁρπαγῇ, τόλμῃ καὶ πλεονεξίᾳ πεφραγμέναις· αἱ δ' ἠλίβατοι βόες, ἐγκράτειαι γαστρός εἰσιν· εἰμὴ δὲ λιμὸν ἔσχεν ἀδικίας ἀνάγκην· ἃ δὴ μυθικῶς μέν ἐστιν εἰρημένα περὶ τοὺς ἀκούοντας· εἰ δ' ἐπὶ τὴν ἠλληγορημένην σοφίαν καταβέβηκεν, ὠφελιμώτατα τοῖς μιμουμένοις γενήσεται·

Cap. 71. Τὸν μὲν γὰρ Αἴολον, ἐξαρέτως ἔγωγε νομίζω τὸν ἐνιαυτὸν εἶναι ταῖς δωδεκαμήνοις τοῦ χρόνου περιόδοις ἐνδεδεμένον· ὠνόμασται γοῦν Αἴολος τετέχνι ποικίλος· ἐπειδήπερ οὐκ ἰσοχρόνως καὶ μονοειδῶς κατὰ πᾶσαν ὥραν τῇ φύσει συνήνωται· διάφορα δ' αὐτὸν αἱ παρ' ἕκαστα μεταβολαὶ ποικίλλουσιν· ἔκ τε γὰρ ἀργαλέου κρύους εἰς πραεῖαν ἡδονὴν ἔαρος γαλήνουται· καὶ τὸ νοτερὸν τῆς ἐριζούσης κατασάσεως, ἐμπύρου ἡ τοῦ θέρους βία πυκνοῖ· μετόπωρον δὲ φθινὰς ὥρα καρπῶν ἐτησίων τὸ θέρειον ἐλκύσασα θάλπος ὥραις χειμερίαις προσειμάζεται· ταύτης δὲ τῆς ποικιλίας ὁ ἐνιαυτὸς ὢν πατήρ, εἰκότως αἴολος ὠνόμασται· παῖδα δὲ αὐτὸν ὠνόμασεν Ἱππότου· τί γὰρ ἑξῆς χρόνου· τί δ' οὕτω ποδώκες ἀεὶ φερομένῳ καὶ ῥέοντι τῷ τάχει τοὺς ὅλους αἰῶνας ἐκμετρουμένου· δώδεκα δ' αὐτοῦ παῖδες εἰσὶν οἱ μῆνες·

a) ἓξ μὲν ζυγκτέρες· ἓξ δὲ υἱεῖς ἠβώωντες·
τὸ μὲν εὔκαρπον καὶ γόνιμον τῶν τὸ θέρος ἐκπιμπλάντων

a) Od. κ. 6.



Digitized by Google

μηνῶν, θηλεία γονῇ προσήκασε. τὸ δὲ ςερρὸν καὶ πεπηγὸς τῶν χειμερίων ἠρρένωσεν· οὐκ ἀσεβὴς δ' οὐδ' ὁ περὶ τῶν γάμων μῦθος· ἀλλὰ τοὺς ἀδελφοὺς ἀνέμιξε ταῖς ἀδελφαῖς ἐπειδήπερ ὑπ' ἀλλήλων συμβέβεκε τὰς ὥρας ὀχεῖσθαι· ταμίας δ' ἐςὶν ἀνέμων·

a) ἢ μὲν παυέμεν· ἠδ' ὀρνύμεν ὅν κ' ἐθέλησιν·
ἔμμηνοι γὰρ αἱ τούτων φοραὶ καὶ κατὰ προθεσμίαν πνέουσαι b).

δεσπότης δ' ἁπάντων ὁ ἐνιαυτὸς· καὶ τὰ μὲν ὑπὲρ Αἰόλου, τοιαύτης ἠξίωται φυσιολογίας·

Cap. 72. Ὁ δὲ Κίρκης κυκεὼν, ἡδονῆς ἐςιν ἀγγεῖον· ὃ πίνοντες οἱ ἀκόλαστοι διὰ τῆς ἐφημέρου πλησμονῆς, συῶν ἀθλιώτερον βίον ζῶσι· διατοῦτο οἱ μὲν Ὀδυσσέως ἑταῖροι χορὸς ὄντες ἠλίθιος, ἥττηνται τῆς γαςρομαργίας· ἡ δ' Ὀδυσσέως φρόνησις, ἐνίκησε τὴν παρὰ Κίρκη τρυφὴν· ἀμέλει τοπρῶτον ἐκ τῆς νεὼς ἀνιόντι καὶ πλησίον ὄντι τοῖς προθήροις, Ἑρμῆς ἐφίσταται τουτέστιν ὁ ἔμφρων λόγος· ὑφιςάμεθα γοῦν ἐτίμως αὐτὸν Ἑρμῆν λέγεσθαι· παντὸς τοῦ νοουμένου κατὰ ψυχὴν ἑρμηνέα τινὰ ὄντα· τετράγωνόν τε ζωγράφων καὶ λιθοξόων χεῖρες αὐτὸν ἐλείαναν· ὅτι πᾶς ὀρθὸς λόγος ἑδραίαν ἔχει τὴν βάσιν· οὐκ ὀλισθηρῶς ἐφ' ἑκάτερα κυλινδούμενος· καὶ μὴν πτεροῖς ἀνέςεψαν αὐτὸν αἰνιττόμενοι τὸ παντὸς λόγου τάχος· εἰρήνη τὲ χαίρει· πόλεμοι γὰρ οὐχήκιςα λόγων ἐνδεεῖς· τὸ γὰρ πλεῖςον ἐν αὐτοῖς κράτος εἰλήχασι χεῖρες: Ὅμηρος δὲ καὶ διὰ τῶν ἐπιθέτων τοῦτ' ἔοικεν ἡμῖν σαφέςερον ποιεῖν· ἀργειφόντην τὲ καὶ αὐτὸν ὀνομάζει τὸν θεὸν· οὐ μὰ Δί' οὐχὶ τοῦς ἡσιοδείους μύθους ἐπιςάμενος· ὅτι τὸν βου-

a) Ibid. 22. b) Hucusque editiones; at codex vaticanus addit quae sequuntur.

Digitized by Google

κόλον Ἰοῦς ἐφόνευσεν· ἀλλ' ἐπειδὴ μία παντὸς λόγου φύσις ἐκφαίνει ἐναργῶς τὸ νοούμενον, διατοῦτο εἶπεν αὐτὸν ἀργειφόντην· ἐριούνιον καὶ σῶκον· ἔτι δ' ἀκάκητα λόγων ἐμφρόνων τὸ τελειότατόν ἐστι μαρτύριον· ἐκ τὸ τὲ γὰρ κακίας ὁ λογισμὸς ᾤκισται· σώζει δὲ πάντα τὸν χρώμενον αὐτῷ καὶ μέγα ὠφέλησεν· τί οὖν δὴ διπλὰς καὶ διχρόνους διένειμεν τῷ θεῷ τιμάς· τὴν μὲν ὑπὸ γῆν χθονίαν· τὴν δ' ὑπὲρ ἡμᾶς οὐράνιον· ἐπειδὴ διπλοῦς ὁ λόγος· τούτων δὲ φιλόσοφοι τὸν μὲν, ἐνδιάθετον καλοῦσι· τὸν δὲ, προφορικόν· ὁ μὲν, οὖν τῶν ἔνδον λογισμῶν ἐστὶ διάγγελος· ὁ δὲ, ὑπὸ τοῖς στέρνοις καθεῖρκται· φασὶ δὲ τούτῳ χρῆσθαι καὶ τὸ θεῖον· μηδενὸς γὰρ ὄντες ἐνδεεῖς, τὴν φωνὴν τῆς χρείας ἐν αὐτοῖς στέργουσι· διατοῦτ' ἦν Ὅμηρος τὸν μὲν ἐνδιάθετον εἶπε χθόνιον· ἀφανὴς γὰρ ἐν τοῖς τῆς διανοίας βυθοῖς ἀπεσκότωται· τὸν δὲ προφορικὸν ἐπειδὴ πόρρωθέν ἐστι, δῆλος ἐν οὐρανῷ κατῴκησε· γλῶττα δ' αὐτῷ οὐσία· τὸ μόνον λόγου μέρος· καὶ τελευταίω κατὰ κοίτην ἰόντες Ἑρμῇ σπένδουσιν· ἐπειδὴ πάσης φωνῆς ἐστὶν ὅρος ὕπνος·

Cap. 73. Οὗτος οὖν Ὀδυσσεῖ παρέστηκε σύμβολος ἐπὶ Κίρκην βαδίζοντι· καὶ κατ' ἀρχὰς μὲν ὑπὸ ὀργῆς τε καὶ λύπης ὧν ἐπύθετο φερόμενος ἀκρίτως ἐνθουσιᾷ· κατὰ μικρὸν δ' ἐκείνων τῶν παθῶν παραινομένων, ὑπαναλύεται τὸ μετὰ τοῦ συμφέροντος εὐλόγιστον· a) ὅθεν Ἑρμείας χρυσόῤῥαπις ἀντεβόλησεν αὐτῷ· τὸ μέν γε χρυσοῦν ἀντὶ τοῦ καλοῦ παρείληπται· τὸ δὲ ῥάπτειν μεταφορικῶς ἀντὶ τοῦ συντιθέναι τε καὶ διανοεῖσθαι· λέγει γοῦν ἐν ἑτέροις b) κακὰ ῥάπτομεν ἀμφιέποντες· διατοῦτο καὶ μύθους πλοκίους εἶπεν· ἐπειδὴ λόγος ἐκ λόγου γινόμενος καὶ συῤῥα-

a) Od. κ. 277. b) Od. γ. 118.

φῆσαι αὐτῷ γινόμενος, εὑρίσκει τὸ συμφέρον· οὐκοῦν χρυσόῤῥαπιν εἶπε τὸν λόγον, ἐκ τοῦ δύνασθαι καλοῖς βουλεύσθαί τε καὶ ῥάπτειν πράγματα· παρας ἀς οὖν ἔτος ὁ λογισμὸς ἀπὸ τῆς ἀκρατοῦς ὀργῆς ἐπέπληξεν αὐτῷ, μάτην κατασπεύδοντι·

a) τίφθ' αὔτως δύς ηνε δι' ἄκρας ἔρχεαι οἶος
χώρου ἀΐδρις ἐών·

ταῦτα πρὸς αὐτὸν ἐλάλησεν Ὀδυσσεὺς μετανοοῦντι λογισμῷ τὴν πρότερον ὁρμὴν ἀναχαλινώσας· τὴν δὲ φρόνησιν οὐκ ἀπιθάνως μῶλυ· μόνους ἀνθρώπους· ἢ μόλις εἰς ὀλίγους ἐρχομένην· φύσις δὲ αὐτῆς ῥίζα μέλαινα·

b) γάλακτι δὲ εἴκελον ἄνθος·

πάντα γὰρ οὖν συλλήβδην τὰ τηλικαῦτα τῶν ἀγαθῶν, τὰς μὲν ἀρχὰς προσάντεις καὶ χαλεπὰς ἔχει· γενικῶς δ' ὅταν ὑποστῇ τις ἐναθλήσας τῷ κατ' ἀρχὴν πόνῳ, τηνικαῦτα γλυκὺς ἐν φωτὶ τῶν ὠφελειῶν ὁ καρπός· ὑπὸ τοιούτου φρουρούμενον Ὀδυσσεὺς λογισμοῦ, τὰ Κίρκης νενίκηκε φάρμακα·

Cap. 74. Μεταβὰς δὲ ὑπὲρ γῆς θεωρημάτων Ὅμηρος, οὐ δὲ τὴν ἀφανῆ καὶ νεκρὰν φύσιν εἴασεν ἀναλληγόρητον· ἀλλὰ καὶ τὰ ἐν Ἅδου συμβολικῶς ἐφιλοσόφησε· c) Κωκυτὸς γοῦν ὁ πρῶτος ὀνομάζεται ποταμὸς· ἐπώνυμος ἀνθρωπίνου πάθους κακόν· θρῆνοι γὰρ ἐπὶ τοῖς τεθνεῶσιν οἱ παρὰ τῶν ζώντων· Πυριφλεγέθοντα δὲ ἐφεξῆς ὀνομάζει· μετὰ γὰρ τὰ δάκρυα, ταφαὶ καὶ πῦρ ἀφανίζον ὅ ἐστι θνητῆς σαρκὸς ἐν ἡμῖν· ἀμφοτέρους δὲ τοὺς ποταμοὺς, εἰς ἕνα τὸν Ἀχέροντα συῤῥέοντας οἶδεν· ἐπειδήπερ ἐκδέχεται μετὰ τοὺς πρώτους κωκυτοὺς καὶ τὴν ὀφειλομένην ταφὴν, ἄχη τινὰ καὶ λῦπαι χρόνιοι πρὸς ὀλίγας ὑπομνή-

a) Od. κ. 281. b) Od. κ. 304. c) Od. κ. 504. seqq.

σεις ἐρεθίζουσαι τὰ πάθη· Στυγὸς δ' ἀπορρῶγες οἱ ποταμοὶ διὰ τὴν συγγένειαν καὶ τὴν ἐπὶ τῷ θανάτῳ κατήφειαν· Ἀΐδης μὲν οὖν ὁ ἀφανὴς τόπος ἐπωνύμως ὠνόμασται· Φερσεφόνη δ' ἄλλως, ἡ τὰ πάντα περιφυτεύουσα διαφθείρειν· ἐν οἷς οὐκ ὄχνη ἐπ' ὄχνῃ γηράσκει· μῆλον δ' ἐπὶ μήλῳ· τὰ δ' ἐνερρίζωμένα πρέμνα τοῖς ἄρσεσιν· αἴγειροι καὶ ἰτέαι ἀλεσίκαρποι· τὰς δὲ θυσίας συνοικίωσε τῷ τόπῳ, τῆς σελήνης ἀμαυρούμενος ὁ τοῦ ἡλίου κύκλος ἀμβλύνεται· καὶ πολλάκις ἄστρων διαφεγγεῖς μαρμαρυγὰς ὁρῶμεν· εὐλόγως οὖν τοῦτο a) Θεοκλύμενον εἶπεν ὁ τὰ θεῖα κλύων· εὗρε γὰρ ἄξιον τῆς φυσικῆς θεωρίας τεῦνομα·

b) νυκτὶ μὲν ὑμέων

εἰλύαται κεφαλαί τε πρόσωπά νέρθε τε γοῦνα·

καὶ μὴν ἐν ταῖς ἐκλείψεσιν αἵματι προσφερὴς χρόα τὸ βλεπόμενον· ἐφοινίσσεται γὰρ· διατοῦτ' ἐπῆνεγκεν

c) αἵματι δ' ἐρρέδαται τοῖχοι καλαί τε μεσόδμαι·

προθεσμία δὲ τῆς ἐκλείψεως d) ἣν Ἵππαρχος ἠκρίβωσε, κατὰ τὴν ὀνομαζομένην τριακάδα καὶ νουμηνίαν· ἣν Ἀττικῶν παῖδες ἔνην τὲ καὶ νέαν ὀνομάζουσιν· οὐ δ' ἂν ἄλλῃ τις εὕροι τῆς ἐκλείψεως ἡμέραν· ὅτε οὖν Θεοκλύμενος ἱστορεῖ ταῦτα, τίς ἦν ὁ χρόνος ἔξεστι παρ' αὐτοῦ μαθεῖν Ὁμήρου·

e) τῷ μὲν φθίνοντος μηνὸς τοῦ δ' ἱσταμένοιο.

ταραχὴν καὶ περὶ τῶν παρακολουθούντων καὶ τῆς προθεσμίας ἡ κατὰ τὴν ἔκλειψιν ἀκρίβειαν· τί δεῖ τούτοις ἅπασι προστιθέναι· τὴν ἐπὶ τέλος τῆς μνηστηροφονίας παρεστῶσαν Ἀθηνᾶν Ὀδυσσεῖ· τουτέστι τὴν φρόνησιν· εἰ μὲν γὰρ ἐκ τοῦ φανεροῦ καὶ βιαζόμενος ἡμύνατο τοὺς

a) Od. ρ. 151. b) Od. ω. 351. c) Ibid. 354. d) Cf. Ed. Iuntae Florent. 1567. e) Od. ξ. 162.

Digitized by Google

λελυπημότας, ἅρις ἂν ὁ πόλεμος συνηγωνίζετο· νῦν δὲ δόλῳ καὶ τέχνῃ περιελθὼν ἵν' ἀγνοούμενος ἕλῃ, διὰ συνέσεως κατώρθωσε· διὸ δὴ πάντα καθ' ἓν ἐξαίσαντες ἀλληγορίας πλήρη τὴν ὅλην ποίησιν εὑρίσκομεν.

Cap. 76. Ἀρ' ἓν ἐπὶ τούτοις ὁ μέγας οὐρανοῦ καὶ θεῶν ἱεροφάντης Ὅμηρος ὁ τὰς ἀβάτους καὶ κεκλεισμένας ἀνθρωπίναις ψυχαῖς ἀτραπους ἐπ' οὐρανὸν ἀνοίξας ἐπιτήδειός ἐστι κατακριθῆναι δυσσεβεῖν, ἵνα ταύτης τῆς ἀνοσίου καὶ μιαρᾶς ψήφου διενεχθείσης, ἀναιρεθέντων τε τῶν ποιημάτων ἄφωνος ἀμαθὴς τοῦ κόσμου κατασκευασθῇ καὶ μή τε νηπίων παίδων χορὸς ὠφελεῖται τὰς σοφίας παρ' Ὁμήρου πρῶτον ὡς ἀπὸ τιθήνης γάλα· μή τε ἀντίπαιδες ἢ νεᾶνίαι καὶ τὸ παρηβηκὼς ἤδη τῷ χρόνῳ γῆρας ἀπολαύῃ τινὸς ἡδονῆς· πᾶς δ' ὁ βίος ἀναιρεθεὶς τὴν γλῶτταν ἐν κωφότητι διάγῃ; φυγαδευέτω τοίνυν ἀπὸ τῆς ἰδίας πολιτείας Πλάτων Ὅμηρον· ὡς αὐτὸν ἐξ Ἀθηνῶν ἐφυγάδευσεν εἰς Σικελίαν· ἔδει δὲ ταύτης τῆς πολιτείας Κρετίαν ἄπαις ὄν εἶναι τύραννος γάρ· ἢ Ἀλκιβιάδην τὸν ἐν παισὶ μὲν ἀπρεπῶς θῆλυν· ἐν δὲ μειρακίοις ἄνδρα τὸν ἐν συμποσίοις Ἐλευσίνεια παίζοντα· καὶ Σικελίας μὲν ἀποστάτην· Δεκελίας δὲ κτίστην· ἄλλά τοι Πλάτων μὲν Ὁμήρου ἐκβέβληκε τῆς ἰδίας πόλεως· ὁ δὲ σύμπας κόσμος Ὁμήρου μία φησὶν εἶναι πατρίς· ποίας γοῦν ἄρα ὄν Ὅμηρον ἀναγραφώμεθα πάτρης κεῖνον ὃν φῶτα καὶ χείρας ἔχουσι πόλεις· ἐξόχως δ' Ἀθῆναι αἳ Σωκράτην μὲν ἀρνησάμεναι πολίτην μέχρι φαρμάκου· μίαν δ' εὐχὴν ἔχουσαι δοκεῖν Ὁμήρου πατρὶς εἶναι· πῶς γε μὴν αὐτὸς Ὅμηρος ἐμπολιτεύεσθαι τοῖς Πλάτωνος ἂν ἐκαρτέρησε νόμοις ἔτους ἐναντία καὶ μαχομένη ᾄσει διωρισμάτων αὐτῶν· ὁ μέν γε συμβουλεύει κοινοὺς γάμους καὶ τέκνα τῶν δ' ἄμφω τὰ σωμάτια γάμοις σώφροσι καθωσίωται· διὰ μὲν γὰρ Ἑλέ-

Digitized by Google

νην ἐστρατεύκασιν Ἕλληνες· διὰ Πηνελόπην δ' Ὀδυσσεὺς πλανᾶται· καὶ θεσμοὶ μὲν δικαιότατοι παντὸς ἀνθρωπίνου βίου δι' ἀμφοῖν τῶν Ὁμήρου σωμάτοιν ἐμπολιτεύονται· τὰς δὲ Πλάτωνος διαλόγους ἄνω καὶ κάτω παιδικοὶ καθυβρίζουσιν ἔρωτες· οὐθαμοῦ δ' οὐχὶ τῆς ἄρσενος ἐπιθυμίας μεστός ἐστιν ἀνήρ· μαύσει μὲν Ὁμήρου ἐπικαλεῖ θεὰς παρθένους ἐπὶ τοῖς λαμπροτάτοις τῶν κατορθωμάτων ὅπου τι καὶ γενναῖόν ἐστιν ἐπίταγμα καὶ τῆς Ὁμηρικῆς θειότητος ἄξιον ἔλασσον ἢ κατὰ πόλεις διατεττομένη καὶ μεγάλων ἡρώων ἀριστείαν·

Cap. 77. Συνεχῶς ἓν καθάπερ εἰς χῶρον αὐτῷ συνήθη τὸν ἐλικώνιον ἐφίσταται λέγων.

a) ἔσπετε νῦν μοι μοῦσαι ὀλύμπια δώματ' ἔχουσαι·
οἵ τινες ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν·

ἢ πάλιν ἠνίκα τῆς Ἀγαμέμνονος ἀνδραγαθίας ἀνέρχεται· τοῖς τρισὶ θείοις ἥρωα σύμμορφον ὑμνῶν·

b) ἔσπετε νῦν μοι μοῦσαι
ὅς τις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίος ἦλθεν·

ἀλλ' ὅγε θαυμαστὸς Πλάτων ἐν τῷ περικαλλεῖ Φαίδρῳ τῆς σώφρονος ὑπὲρ ἐρώτων διακρίσεως ἀσχόμενος, ἐτόλμησεν ὡς ὁ Λοκρὸς Αἴας ἐν τῷ παρθενῶνι τῆς ἁγνωτάτης θεᾶς ἄγος τί μουσῶν κατασπείσας, τὰς σώφρονας ἔργων ἀσελγῶν καλέσαι βοηθούς· c) ἄγετε δὴ μοῦσαι εἴτε δι' ὠδῆς εἶδος λίγη εἴτε διὰ γένος τί μουσικὸν τὸ λεγόμενον ταύτην ἔσχετε τὴν ἐπωνυμίαν· σύμμαχοι λαβέσθαι τοῦδε τοῦ μύθου· περί τινος εἶπον ἄν, ὦ θαυμασιώτατε Πλάτων· ὑπὲρ οὐρανοῦ καὶ τῆς τῶν ὅλων φύσεως, ἢ περὶ γῆς καὶ θαλάττης· ἀλλ' οὐδὲ περὶ ἡλίου καὶ σελήνης οὐδ' ὑπὲρ ἀπλανῶν τε καὶ πλανήτων κινήσεως· ἀλλὰ τί τῆς εὐχῆς

a) Il. β. 448. et alibi. b) Il. λ. 218. c) Plat. Phaed. 237.

Digitized by Google

πέρας ἐστὶν αἰσχύνομαι καὶ λέγειν· ἦν δὲ παῖς οὕτω καλὸς· μᾶλλον δὲ μειρακίσκος· οὗ πολλοὶ μὲν ἦσαν ἐρασταί· εἷς δέ τις αἱμύλος· a) ὃς ἐπεπείκει αὐτὸν ἐρῶν· ὅτι οὐκ ἐρῴη· καί ποτε αὐτὸν αἰτῶν ἔλεγεν ὧδε· γυμνοῖς τοῖς ὄμμασι τὴν ἀσέλγειαν ὡς ἐπὶ τέγους ἀνέῳξεν· οὐδ' εὐπρεπεῖ σχήματι τὸ τοῦ πράγματος αἰσχρὸν ὑποκλέψας·

Cap. 78. Γοιγαροῦν εἰκότως ὁ μὲν Ὁμήρου λόγος ἡρώων ἐστὶ βίος· οἱ δὲ Πλάτωνος διάλογοι μειρακίων ἔρωτες· καὶ πάντα τὰ παρ' Ὁμήρου γεννικῆς ἀρετῆς γέμει· φρόνιμος Ὀδυσσεὺς· ἀνδρεῖος Αἴας· σώφρων Πηνελόπη· δίκαιος ἐν ἅπασι Νέστωρ· εὐσεβὴς εἰς πατέρα Τηλέμαχος· ἐν φιλίαις πιστότατος Ἀχιλλεὺς· ὧν παρὰ Πλάτωνι τῷ φιλοσόφῳ πλὴν εἰμὴ νὴ Δία τιμὴν

ὠφελήσομεν εἶναι τὰ σεμνὰ τῶν ἰδεῶν τερεττίσματα καὶ παρ' Ἀρις· στέλει τῷ μαθητῇ γελώμενα· διατοῦτ' ἀξίας οἶμαι τῶν καθ' Ὁμήρου λόγων δίκας ὑπέσχεν· ἀκόλαστον ἔχων γλῶσσαν αἰσχίστην νόσον· ὡς Τάνταλος· ὡς Καπανεύς· ὡς οἱ διὰ γλωσσαλγίαν μυρίαις κεχειημένοις συμφοραῖς· πολλάκις ἐπὶ τὰς τυραννικὰς ἐφθείρετο θύρας· ἐν ἐλευθέρῳ δὲ σώματι δουλικὴν τύχην ἠνέσχετο καὶ μέχρι πράσεως· οὐδεεὶς γὰρ ἀγνοεῖ τὸν Σπαρτιάτην Πόλλιν· ᾧ οὐδ' ὡς Λιβυκοῦ χάρις ἐλέου σέσωσται· καὶ μνῶν εἴκοσι καθάπερ ἀνδράποδον εὐτελὲς ἐτιμήθη· καὶ ταῦτα τῶν εἰς Ὅμηρον ἀσεβημάτων ὀφειλουμένων τιμωρίαν τῆς ἀχαλίνου καὶ ἀπυλώτου γλώττης·

Cap. 79. Πρὸς μὲν οὖν Πλάτωνα καὶ πλείω λέγειν δυνάμενος, ἐῶ· τοὔνομα τῆς Σωκρατικῆς σοφίας αἰδούμενος· ὁ δὲ Φαίαξ φιλόσοφος Ἐπίκουρος· ὁ τῆς ἡδονῆς ἐν τοῖς ἰδίοις κήποις θωργὸς· ὁ πᾶσαν ποιητικὴν ἄστροις σημη-

a) Plat. Phaed. 237.

νάμενος, οὐκ ἐξαιρέτως μόνον Ὁμηρον· ἆρ' οὐχὶ καὶ ταῦθ' ἃ μόνα τῷ βίῳ παρέδωκεν αἰσχρῶς ἀγνοήσας παρ' Ὁμήρου κέκλοφεν; ἃ γὰρ Ὀδυσσεὺς ὑποκρίσει παρ' Ἀλκίνῳ μὴ φρονῶν ἐψεύσατο, ταῦθ' ὡς ἀληθεύων ἀπεφήνατο τέλη βίου·

a) ἀλλ' ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα· δαιτυμόνες δ' ἀνὰ δῶματ' ἀκουαίζωνται ἀοιδοῦ,

b) τοῦτο τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἰδεται· λέγει δ' Ὀδυσσεὺς οὐχ ὁ παρὰ Τρωσὶν ἀριστεύων· οὐκ ὁ Θρᾴκην κατασκάπτων· οὐδ' ὁ παρὰ τοὺς Λωτοφάγους ἡδονὰς παραπλέων· οὐδ' ὁ τοῦ μεγίστου Κύκλωπος ἔτι μείζων· ὃς ἐπέζευσε τὴν ἅπασαν γῆν· ὃς ἔπλευσε τὴν ὠκεάνιον θάλατταν· ὃς ἔτι ζῶν εἶδεν ἀΐδην· οὐχ οὗτος Ὀδυσσεύς ἐστιν ὁ ταῦτα λέγων· ἀλλὰ τὸ βραχὺ τῆς Ποσειδῶνος ὀργῆς λείψανον· ὃν οἱ βαρεῖς χειμῶνες ἐπὶ τὸν Φαιάκων ἔλεον ἐξεκύμηναν· ἃ δὴ παρὰ τοῖς ὑποδεξαμένοις ἐνομίζετο τίμια, τούτοις ἐξ ἀνάγκης συγκαταινεῖ.

a) Od. ι. 6. seq. b) Ibid. 11.

FINIS PRIMAE PARTIS.

Digitized by Google

*IMPRIMATUR*

*Fr. Dominicus Buttaoni Ord. Praed. S. P. A. Magister.*

---

*IMPRIMATUR*

*Joseph Canali Patriarch. Constantinop. Vicesgerens.*

Digitized by Google

# ANECDOTA GRAECA

Digitized by Google

Digitized by Google

# ANECDOTA GRAECA

E MSS. BIBLIOTHECIS

## VATICANA, ANGELICA, BARBERINIANA VALLICELLIANA, MEDICEA, VINDOBONENSI

DEPROMPTA

EDIDIT ET INDICES ADDIDIT

**P. MATRANGA**

BIBLIOTHECAE VATICANAE SCRIPTOR GRAECVS SVBSTITVTVS.

## PARS SECVNDA

CVI INSVNT

SCHOLIA VETERA IN HOM.
CHRISTOPHORVS CONTOLEON
NICEPHORVS GREGORAS
LEO ALLATIVS
REGVLAE GRAMM. IN HOM.
THEODORVS PRODROMVS
CONSTANTINVS SICVLVS
LEO PHILOSOPHVS
LEO MAGISTER
ACOLVTHVS GRAMMATICVS
GEORGIVS GRAMMATICVS
IOHANNES TZETZES
CONSTANTINVS RHODIVS
THEODORVS PAPHLAGON
IOHANNES GAZAEVS
HELIAS SYNCELLVS
IGNATIVS GRAMMATICVS
CHRISTOPH. I. A SECRETIS
ARSENIVS ARCHIEPISCOPVS
MANVEL PALAEOLOGVS
IOHANNES CATRARES.

ROMAE,
Typis C. A. Bertinelli.
M.DCCC.L.

Digitized by Google

Digitized by Google

## ἹΣΤΟΡΙΑΙ ΚΑΙ ἈΠΟΡΙΑΙ ΤΗΣ Α΄ ῬΑΨΩΔΙΑΣ ΤΗΣ ἸΛΙΑΔΟΣ a)

## ΥἾΠΟΘΕΣΙΣ ΤΗΣ ὍΛΗΣ ἸΛΙΑΔΟΣ b).

Ἡ Ἑκάβη ἐγκυμονοῦσα τὸν Ἀλέξανδρον, εἶδε κατ' ὄναρ τεκεῖν δαλὸν ἁπτόμενον, ὃς κατέκαυσε πᾶσαν τὴν Τροίην· τοῦτο γοῦν οἱ μάντεις ἀκούσαντες, ἔκρινον τὸ τεχθὲν παιδίον θανατωθῆναι· τεχθέντα δὲ τὸν Ἀλέξανδρον ὁ πατὴρ Πρίαμος Πάριν ἐκάλεσε· κἂν ὕστερον ἐν τοῖς ἀγροῖς ὢν διὰ

a) E cod. I. Card. Passionei bibliothecae Angelicae urbis. Post hunc titulum binae Homeri vitae anonymae describuntur, quas primum edidit Allatius *de patria Homeri*, et dein Barnesius etc.

b) Barnesius a Iohanne Mori editam hanc ὑπόθεσιν praemisit suae Homeri editioni; at noster codex ampliorem et integriorem exhibet, quamvis in seq. pag. 364. lin. 15. sqq., et 368. lin. 18-30. scholia inter Tzetzae allegorias librarius confuserit, quae intacta reliqui, ut ipsius codicis mendositas servaretur.

Digitized by Google

τὸ ἀλεξῆσαι ἀνδράσι τισὶν ὑπὸ λῃστῶν βιαζομένοις, ἐκλήθη Ἀλέξανδρος· ὁ γοῦν Πρίαμος, ἀπελθὼν εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον, ἔμαθε παρὰ τοῦ ἐκεῖσε ὄντος τῷ τότε μάντεως Ἀπόλλωνος τὴν κλῆσιν, ὅτι ἐὰν ὁ παῖς διέλθῃ τὰς Χ χρόνους, μέλλει δι' αὐτὸν συγκροτηθῆναι πόλεμος, ὃς κατεδαφίσει τὴν Τροίην· τοῦτο μαθὼν ὁ πατὴρ Πρίαμος, ἔστειλεν αὐτὸν ἐν τοῖς ἐκείνου ἀγροῖς· κἀκεῖνος ὁ Ἀλέξανδρος παιδευόμενος, ἐμάνθανε τὰ ἀνήκοντα τοῖς τῶν βασιλέων παισί· ῥήτωρ δὲ γενόμενος, ἔγραψε δὲ καὶ περὶ τῆς τῶ κόσμω γενέσεως, ὅπως τὰ πρώην τὰ στοιχεῖα ἦσαν συνημμένα, καὶ ὅπως τῇ κοσμοποιίᾳ ἀλλήλων διεχωρίσθησαν, καὶ ἔστη τὸ καθὲν τέτων εἰς τὸν ἴδιον τόπον· ἔκρινε δὲ κρατῆσαν τὴν φιλίαν, διὸ καὶ ἐμυθεύσαντο γάμον Πηλέως καὶ Θέτιδος ἐν Πηλείῳ τῆς Θεσσαλίας ὄρει· ἡ δὲ Ἔρις ἄκλητος κατελήφθη, ὡς μὴ ταράττῃ τέτως παρῶσα· μηχανᾶται οὖν τοιοῦτόν τι· λαβῶσα χρυσῆν μῆλον, ἐπιγράφει αὐτῷ « τῇ καλῇ τὸ μῆλον » καὶ κομίσασα εἰς μέσον ῥίπτει τὸ συμπόσιον· φιλονεικῦσι δὲ ὑπὲρ αὐτῆ ἥ τε Ἥρα, ἡ Ἀθηνᾶ, καὶ ἡ Ἀφροδίτη, καὶ δέονται τοῦ Διὸς κρίναι αὐτάς· ὁ δὲ ἀρνησάμενος, Ἑρμῇ προστάττει πρὸς Ἀλέξανδρον, τὸν καὶ Πάριν, αὐτὰς ἀγαγεῖν, Πριάμω δὲ παῖδα τοῦ Τρώων βασιλέως, ἐπὶ τῆς Ἴδης βεκολῆντα· ἔνθα ἑκάστη δῶρον τῷ νεανίσκῳ προέτεινεν· Ἥρα μὲν βασιλείαν τὴν μεγίστην, Ἀθηνὰ δὲ τὸ ἐν πολέμοις κράτος, Ἀφροδίτη δὲ τὴν καλλίστην γυναικῶν Ἑλένην· ᾗ καὶ συνθέμενος τὸ καλλιστεῖον νέμει· ὡς γοῦν τρεφόμενος ὁ Ἀλέξανδρος ἐν τοῖς ἀγροῖς διεβίβασε τὰς Λ χρόνους, ἔδοξε τῷ Πριάμῳ εἰσαγαγεῖν αὐτὸν εἰς τὴν πόλιν· ἐν δὲ τῇ ι' τῆ Ἰουνίᾳ μηνὸς ἔστειλεν αὐτὸν ὁ πατὴρ Πρίαμος εἰς Ἑλλάδα, ἵνα θύσῃ Ἀπόλλωνι χαριστήρια, δοὺς αὐτῷ ρ' στρατιώτας, δῶρά τε καὶ γράμματα πρὸς τὰς βα-

Digitized by Google

σιλεύοντας τῆς Ἑλλάδος, φοβέμενος μήπως καὶ αὐτὸς ὡς κατάσκοπος κρατηθείς, ὅμοια τῷ Γανυμήδῃ καὶ τοῖς ἐκείνου φίλοις πάθῃ· ἀπελθὼν οὖν εἰς Σπάρτην ξενίζεται παρὰ Μενελάῳ· ὁ γοῦν Μενέλαος τῷ τότε μέλλον ἀποπλεῦσαι πρὸς Κρήτην ὅπως θύσῃ τῷ προπάππῳ Ἀστειρίῳ τῷ βασιλεῖ Κρητῶν, κατέλειψε τὸν Ἀλέξανδρον ἐν Σπάρτῃ· ὃς ἰδὼν τὴν Ἑλένην κατερχομένην ἐπὶ τὸν κῆπον ἐπὶ δείλης, ἠράσθη αὐτῆς· ἐρασθήσης δὲ ἐκείνης αὐτοῦ, καὶ ἁρπάξας αὐτὴν, διὰ Σιδῶνος καὶ Τύρου φυγών, ἐν ὀλίγῳ χρόνῳ ἀπῆλθε πρὸς Τροίαν· μαθόντες γοῦν τοῦτο πάντες οἱ Ἕλληνες, ἔστειλαν πρὸς Τροίαν πρέσβεις τόν τε Μενέλαον καὶ Ὀδυσσέα καὶ τὸν τοῦ Θησέως Ἀκάμαντα· οὓς καὶ παρὰ μικρὸν ἀνεῖλον οἱ Τρῶες, εἰ μὴ ὁ Ἀντήνωρ τοῦ Πριάμου ὁ ἀδελφὸς ξενίσας αὐτοὺς τῆς Τροίας ἀπέπεμψεν· ὡς δ' ὑποστρέψαντες οἱ πρέσβεις ἀνήγγειλαν ἅπερ ἔμελλον παρὰ τῶν Τρώων παθεῖν, συναγαγὼν ὁ Ἀγαμέμνων ἅπαν τὸ τῶν Ἑλλήνων γένος, ὑπεστράτευσε τῇ Τροίᾳ· καὶ τὰ μὲν θ' ἔτη ἐπολιόρκουν τὰ τῆς Ἰλίου περίχωρα· τῷ δὲ δεκάτῳ ἔτει συνέβη τοῦ Ἀχιλέως ὀργὴν, καὶ οὕτως ἐξῆρχοντο οἱ Τρῶες πρὸς τὸν πόλεμον.

Digitized by Google

# ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΖΕΤΖΟΥ.

Λέγουσιν γεννᾶσθαι τὴν Ἀθηνᾶν, ἤτοι τὴν φρόνησιν, ἀπὸ τῆς τῦ Διὸς κεφαλῆς· ἔνοπλος δὲ καὶ παλλομένη καὶ παρθένος γεννᾶται διά τε τὰ ϛερρὸν καὶ μεταβατικὸν, καὶ τὸ καθαρόν· Παλλὰς δὲ λέγεται ἐκ τῦ τὰς παλλαντιαίως καὶ γιγαντώδως λόγως καταβάλλειν, ἢ ἐκ τῦ τὴν καρδίαν τῦ Διονύσε, τῦ οἴνε, ἀνενεγκεῖν τῷ Διΐ· ἤγεν εὑρεῖν θυσιάζεσθαι, αὐτοῦ σπαραχθέντος ἀπὸ τῶν Τιτάνων, τὴν ϛυφελὴν δηλονότι παταύνταν· οὕτως ἡ Ἀθηνὰ Παλλὰς λέγεται· γλαυκῶπις δὲ διὰ τὸ καθαρὸν τῆς φρονήσεως ἀπεναντίη τῷ Ἄρει, ἤγουν θυμῷ, ὅϛις κελαινῶπις λέγεται·

Ἀρχὴ τῶν κατὰ μέρος ἀλληγοριῶν τῦ πρώτε τῆς Ἰλιάδος βιβλίε.

Λητοῦς καὶ Διὸς υἱὸς, νυκτὸς καὶ οὐρανοῦ, ὁ ἥλιος· οὗτος τὰ ἐν τῷ ϛρατῷ συμπτώματα ἀνεμώμενος καὶ τὸν ἀέρα μολύνων, δι' αὐτὸν δὲ θερμότερον προσβάλλων τῷ ϛρατῷ, λοιμὸν αὐτῷ ἐνεποίησεν· ὁ δὲ Χρύσης ἱερεὺς ἑκατηβόλε Ἀπόλλωνος, τῦ ἡλίε δηλονότι, τῦ μακρόθεν βάλλοντος, μάγος τίς ἦν· ὅϛις λαχὼν τὸ χρύσεον σκῆπτρον, ξυλίνην ῥάβδον κυρτὴν μαγικὴν, χρυσέαν δὲ διὰ τὰς δι' ἑαυτῆς ἐνεργουμένας δυνάμεις, καὶ τὸ ϛέμμα τῦ Ἀπόλλωνος, δάφνινον δέ ἐϛι τοῦτο· ἡ δὲ δάφνη λέγεται εἶναι τῦ Ἀπόλλωνος ϛέμμα, ἀειθαλὴς καὶ αὐτῷ ὁρωμένη ἀεὶ περιερχομένῳ τὸν ζωδιακὸν κύκλον· ἦλθε λυτρωσάμενος τὴν Χρυσηΐδα· ἐπεὶ οὖν ἀπεπέμφθη παρὰ τοῦ Ἀγαμέμνονος, ὠργίσθη κατὰ τῶν Ἑλλήνων· ἰδὼν δὲ τὸν ἥλιον θερμό-

Digitized by Google

τερον προσβάλλοντα ταῖς ἀκτῖσι, καὶ πρὸς τὸ ἐμποιῆσαι λοιμὸν ἐπιτήδιον, ἤρξατο ἐπὶ πλεῖον τὸ τοιοῦτον κρατῆσαι κατάστημα· ἀλλὰ ταῖς παρ' ἑαυτοῦ τέχναις χρησάμενος· ἰσχυρότερον τὸν λοιμὸν ἐνεποίησε τῷ στρατῷ, μιάνας διὰ φαρμάκων τὰς προῤῥέοντας ποταμούς, καὶ ἄλλα τινὰ μηχανευσάμενος. καὶ τοῦτό ἐστι τὸ εὔξασθαι μὲν τὸν Χρύσην.

Περὶ τῆς Λητοῦς καὶ τοῦ ταύτης υἱοῦ.

Ἡ Λητώ, ἡ λήθησις, ἣ τινι οὐδὲ ὁ Ἑρμῆς, ὁ προφορικὸς μάχεται· ἤ τις καὶ παράκοιτις τοῦ Διὸς λέγεται· παρέπεται γὰρ ἡ λήθησις τῷ νοΐ· ἐξ ὧν ὁ Ἀπόλλων, ἔντεχνος λόγος γεννᾶται· ὁ γὰρ νοῦς ληθαργῶν, ἔπειτα γρηγορῶν, ἀπογεννᾷ τὸν προφορικὸν λόγον· αὕτη μὲν ἡ ψυχικὴ τῶν Θεῶν ἀλληγορία· ὅθεν καὶ Ὄλυμπος ἡ κεφαλὴ λέγεται, διὰ τὸ τοὺς Θεοὺς περιέχειν· οὗτος ἄλλας δὲ ἀρτηρίας κύκλωθεν ἔχει, κατὰ μίμησιν τῶν ζ' ζώνων.

Περὶ τῆς στοιχιακῆς τῶν Θεῶν ἀλληγορίας.

Στοιχιακῶς δὲ ἀλληγοροῦνται οἱ Θεοὶ οὕτως· Κρόνος, τὸ ἀρχέγονον σκότος· Ῥέα ἡ ἀκόσμητος γῆ ἡ πρώην· ἡ οἱονεὶ ὕλη· ἡ δὲ νῦν κεκοσμημένη γῆ.

Περὶ τῶν σημείων τῆς γῆς.

Δήμητρα, Θέμις, Πανδώρα, Ἶσις, Τροφὸς, Τηθὺς, Ἑστία· Ἥρα ὁ ἐκ τοῦ οὐρανοῦ μέχρι σελήνης· Ἀθηνᾶ, ὁ ἀπὸ τῆς σελήνης ὑγροδέστερος καὶ σκοτεινότερος ἀήρ·

Περὶ τῆς ἀλληγορουμένης κρίσεως τῶν Ἀλεξάνδρου τριῶν Θεῶν καὶ τῆς προκρίσεως τῆς Ἀφροδίτης.

Ἀφροδίτη, ἡ εὐκρασία καὶ τάξις ἡ τῶν στοιχείων· ἤ τινι καὶ ὁ Ἀλέξανδρος τὸ χρυσοῦν μῆλον, τὸν σφαιροειδῆ καὶ χρυσοῦν κόσμον, ἆθλον τοῦ κάλλους ἐβράβευσεν· οὐ τοσοῦτον δοὺς τῇ Ἥρᾳ, ἥγουν τῷ πυροδεστέρῳ αἰθέρι, ἐπεὶ κατεφλέχθη ἄν, ἀλλ' οὐδὲ τῇ Ἀθηνᾷ, τῷ κατωτέρῳ καὶ σκοτεινοτέρῳ ἀέρι, ἵνα μὴ τὸ πᾶν σκοτισθείη Ἑρμῆς,

Digitized by Google

Ἄρης· τὰ διατάττοντα σέλα, οἷον κομῆται, καὶ πυρώδεις οὐσίαι. Ἥφαιστος τὰ καθαρώτερον πῦρ τῶν νεφῶν, τὸ ἐν τῷ ἀέρι φαινόμενον, ὅπερ πρὸ τοῦ ὄμβρου δηλωτικὸν ἐστὶν ὄμβρου· μετὰ δὲ ὄμβρον φαινόμενον, σημαντικὸν εὐδίας· ὃ καὶ δέπας ἀμφιπώπελλον λέγεται, διὰ τὸ τῶν ἀμφοτέρων σημαντικόν· καὶ αἰνοχοΐα δὲ Ἥφαίστου ἡ τῶν νεφῶν κάθαρσις, καὶ πρὸς τὸ χαριέστερον μεταμιμβή· υἱὸς δὲ λέγεται Ἥρας διὰ τὸ ἐκ τοῦ αἰθέρος διὰ τὸ πυραυγοῦς οὐσίας γεννηθῆναι.

Περὶ τῶν σημείων ἡλίου καὶ θαλάσσης.

Ἀπόλλων ἡ ἥλιος, ὁ αὐτὸς καὶ Ζεύς, Τιτάν, Ἡρακλῆς, καὶ Αἰγαίων ὁ καὶ Ἐκατόγχειρ.

Περὶ Λητοῦς καὶ ταύτης τόμως στοιχειακῶς.

Ποσειδῶν, ἡ θαλασσῶν οὐσία· ὁμοίως καὶ Φόρκυν, καὶ Νηρεύς· ἀμφὶ ταύτου Θέτις καὶ Τρίτων· κατά τινας δὲ Τηθύς, εἰ καὶ γῆν πάλιν λέγουσι κατὰ τὸ ἑρμηνεύειν τροφὴν ξηράν· Λητὼ ἡ τὸ ἀρχέγονον σκότος, ἡ τῆς νυκτός·

Περὶ τῆς γενέσεως τῶν ἀλληγορεμένων θεῶν στοιχειακῶς καὶ τῶν ἱστοριῶν τοῦ τεκνοτρώκτου Κρόνου, καὶ τῆς Διὸς ὑπὸ τῆς Ῥέας σώσεως.

Ἐν ἀρχῇ ἦν Ἔρεβος· ἐν δὲ τῷ Ἐρέβει ἐγένετό τις διάκρισις Ῥέας· ἐκ γοῦν τοῦ Ἐρέβους καὶ τῆς διακρίσεως τοῦ Κρόνου τε καὶ τῆς Ῥέας ἀνεφύοντο τὰ τέκνα, στοιχεῖα τινά· πῦρ (Ζεύς), αἰθήρ, ὕδωρ (Ποσειδών), ἀήρ· μικρὸν δὲ ἀναφαινόμενα πάλιν κατεβιβρώσκοντο ὑπὸ τοῦ Ἐρέβους, ὡς ἐπικρατέστερα ὄντος· ἡ διάκρισις, τὸ εἰδοποιὸν πνεῦμα, τὸν Δία ἐκφύσασα ἰσχυρότερον, εἴτε τὸν πυρώδη αἰθέρα, καὶ ταῖς καύμασιν ἐπιθεῖσα τῇ αὐξήσει καὶ καυμάσει, καὶ εἰς Κρήτην ἐκπέμψασα εἰς εὐκραφίαν καὶ ἐπικράτειαν, αὐτὸν μὲν ἐξέωσεν· τῷ δὲ Ἐρέβει, τῷ Κρόνῳ, δέδωκε λίθον καταπιεῖναι τὴν γονήν· τοῦ γὰρ αἰθέρος ἐπικρατέστερα δια-

Digitized by Google

γωνομένω, καὶ πάντων δι' αὐτῆ εἰδοποιηθέντων τῶν στοιχείων ὕδατος (Ποσειδῶνος), ἀέρος (Ἥρας), γῆς, διεσκεδάσθη τὸ Ἔρεβος ὑπὸ τὴν γῆν, ἣν καὶ ὡς λίθον κατέπιεν· ἄλλως Ζεὺς πνεῦμα τὸ εἰδοποιῶν ἐν τῇ διακρίσει ἐκφυέν, ὅπερ ἐποίησεν μὲν ἀναφανῆναι· εἰρήσεται καὶ περὶ τούτω καὶ ἐφεξῆς.

Περὶ τῶν σημείων τῶν ὅλων θεῶν.

Ἄρτεμις, ἡ σελήνη· ὅθεν καὶ Ἀπόλλων ὁ ἥλιος· καὶ ἡ Ἄρτεμις, ἡ σελήνη, ἐκ τῆς νυκτὸς καὶ τῷ Διὸς γεννᾶται· οὕτω πάντες οἱ θεοὶ ἐνικὰς σημασίας ἔχωφιν, ἀλλὰ καὶ τοῖς ἐν τοῖς οὐρανοῖς ἄστροις, ὡς Κρόνος ἐν τῷ οὐρανῷ τῆς πρώτης ζώνης ἄστρον· Ἀπόλλων, ὁ ἥλιος· Ἄρης, Ἀφροδίτη, Ἑρμῆς, καὶ Ἥρα· Ἄρτεμις, σελήνη καὶ ἡ Ἀθηνᾶ, ἡ τῶν θεῶν κατὰ τοῦ Διὸς ἐπιβουλή, καὶ ἡ βοήθεια τῆς Θέτιδος, καὶ ἡ ἄνοδος τοῦ Αἰγαίωνος· Ζεὺς, πνεῦμα τὸ εἰδοποιὸν, ἐν τῇ διακρίσει ἐκφυὲν, ὅπερ ἐποίησε μὲν ἀναφανῆναι τὸ ὕδωρ, ὃ διεσκέδασεν ὑπὸ γῆν· ἔπειτα αὐτὸ τὸ εἰδοποιὸν πνεῦμα καυθὲν ὑπὸ τοῦ Ἡφαίστου, ἦγεν προστριβὲν τῷ πυρὶ τῷ ἐκ τῆς αἰθέρος φυέντι, ἀπεγένησε τὸν ἀέρα κατώτερον καὶ σκοτεινὸν, ἤγουν τὴν Ἀθηνᾶν· οὕτως οὖν διακρίσεως γινομένης, καὶ τῆς γῆς καὶ τῆς θαλάσσης ἐπιφανείσης, ὃ καὶ γάμον φησὶ Πηλέως καὶ Θέτιδος, καὶ θεῶν παρουσίαν, τὴν τότε τῶν στοιχείων ἐπιφάνειαν, οὐκ ἔτι καὶ τὸ ἀτάραχον ἦν αὐτοῖς· ἀλλ' Ἥρα, ὁ ἀήρ· ἡ Ἀθηνᾶ, ὁ πρόσγειος καὶ σκοτεινὸς ἀήρ· ὁ Ποσειδῶν, τὸ ὕδωρ, καθ' ἑαυτὰ καὶ κατεξίσταντο τῷ Διός· εἴτε τῷ εἰδοποιῷ ἐκείνου πνεύματος, εἴτε τοῦ οὐρανῷ οὕπω ἀνσιρωθέντος ἐν εὐταξίᾳ τῇ τῶν λοιπῶν στοιχείων· ἡ δὲ Θέτις, ἡ ἐν τοῖς ὕδασιν εὐθεσία καὶ κίνησις, ἥτε ἐνέργεια, ἀνήγαγεν ἄνω τὸν ἥλιον, ἤτοι τὸν Ἀπόλλωνα, ὃν Βριάρεων καλῶσι καὶ Ἑκατόγχειρα, διὰ τὸ ποικίλον τῶν ἐνεργειῶν

Digitized by Google

καὶ δυνατόν· οὕτινος ἐκ τῆς θαλάσσης ἀνελθόντος καὶ παρὰ τῷ Διΐ, ἤτοι τῷ οὐρανῷ, καθεσθέντος, ὑπέδδεισαν οἱ θεοί· ἤτοι ἐν εὐταξίᾳ τὰ σταχεῖα ἔστησεν· πυρώδης γὰρ ὢν ὁ ἥλιος, συγκρινόμενος δὲ τῶν ὑδάτων ἐν τῷ ἀνιέναι ἐκ τῆς θαλάσσης, εὔκρατον τὸν πάντα κόσμον περιπολεῖ· ὅθεν καὶ εὐκρασίαν καὶ τάξιν νέμει πᾶσι τοῖς στοιχείοις· καὶ αὕτη ἐστὶν ἡ ἐπιβουλὴ τῶν θεῶν κατὰ τοῦ Διὸς, ἡ τοῦ Αἰγαίωνος ἄνοδος, τοῦ ἡλίου, διὰ τὸ ἐκ τοῦ Αἰγαίωνος πελάγους ἀνίσχειν.

Περὶ τῆς Ἥρας δεσμῶν τῶν περὶ τοῦ Διός.

Ὅτε καὶ στερωθεὶς ὁ Ζεὺς, ὁ οὐρανὸς, ἢ τὸ εἰδοποιὸν πνεῦμα, τὴν Ἥραν ἐκ τῶ οὐρανῶ ἐκρέμασε, δεσμὸς αὐτῇ περιθεὶς, περὶ μὲν τὰς χεῖρας χρυσείους, περὶ τοὺς πόδας δὲ ἄκμωνας δύο· τοῦτο δέ ἐστι τοιοῦτον· τὸ εἰδοποιὸν πνεῦμα, ὁ Ζεὺς, διὰ τὸ τῆς τῶ ἡλίου εὐκρασίας στερωθὲν, ἔτυξε τὸν ἀέρα ἵστασθαι ἀπὸ ἄνω ἕως κάτω· ὅτι διὰ τὸ σκῆπτρον ὄμνυσιν αὐτῷ, τὸν ἔφορον τῆς βασιλείας θεόν. Διατὶ τὸν Ἕκτορα ἀνδροφόνον προσηγόρευσε, καὶ οὐ χαλκοκορυστὴν ἢ ἱππόδαμον; ῥητέον ὅτι ἀνδροφόνον αὐτὸν εἴρηκε πρὸς κατάπληξιν τῶν ἀκουόντων· εἰώθασι δὲ τηρεῖν τὰ ἐπίθετα εὐστόχως· πῶς οὖν τὸ ἀνόμασεν ὁ ποιητὴς τῷ ἔξώρῳ ἤδη ἐχρήσατο; ἐπὶ νέῳ γὰρ εἰκὼς ἦν τοῦτο λέγεσθαι· καὶ ῥητέον ὅτι τὸ προνοητικὸν τῶν ὁμοφύλων νοητικὴν αὐτῷ περιτίθησι κίνησιν· οὐδὲ γὰρ γέροντα κυβερνήτην πέμψοιτο ἄν τις κινδυνεύοντος σκάφους ὑπὲρ τὸ δέον νενέμενον· ἢ ἄλλως ῥητέον, ὅτι ἀεὶ εἴωθεν ἡ τῆς τιμῆς προσθήκη μὴ μόνον τοὺς νέους, ἀλλὰ καὶ τοὺς γέροντας μεταπείθειν πρὸς τὸ καὶ παρὰ δύναμιν ἐγχειρεῖν πεπεῖν· μᾶλλον δὲ τὸν Νέστορα ἐν τῷ δημηγορεῖν διαφέροντα λῶν λοιπῶν, καὶ εἰδότα μὴ ἀπαρνησομένους τοὺς Ἕλληνας τὰ λεγόμενα·

Digitized by Google

Περὶ τοῦ Ἥραν εἶναι καὶ αἰθέρα καὶ ἀέρα.

Ἐκ τῆς κεφαλῆς τοῦ Διὸς, ὅπερ τὸ περικάρδιον αἷμα ἀνερχόμενον εἰς τὴν κεφαλὴν διὰ τῶν καρωτίδων ἀρτηριῶν, καὶ θερμαῖνον τὸ λογιστικὸν, ποιεῖ ἀπογεννᾶν τὰ νοήματα· ἄλλως γὰρ οὐ δύνατα ψυχρὸν ὂν· ἐπειδὴ γοῦν τὸ λογιστικὸν ἐκεῖθεν ἐκ τῆς καρδίας ἔχει τὴν ἀφορμὴν, τοῦ λογίζεσθαι τὲ λέγεται κεῖσθαι περὶ τὴν καρδίαν, ἥτις ἐστὶν οἱονεὶ ἀρχὴ λογιστικῆς· ταὐτὸν δέ ἐστιν εἰπεῖν σῖτον καὶ ἄρτον· τὸ μὲν γὰρ, ἀρχὴ, τὸ δὲ, τέλος· συγγενῆ δὲ τὰ ἀμφότερα· οὕτω καὶ περὶ τοῦ λογιστικοῦ φαμέν.

Περὶ τῆ Ἥρας ὅτι ἔρριψεν αὐτὸν ὁ Ζεὺς ἀπὸ τοῦ οὐρανοῦ, θέλοντος βοηθῆναι τῇ Ἥρᾳ.

Ὅτε καὶ ὁ Ἥφαιστος, ἡ τοῦ πυρὸς δύναμις, ὁρμῶν βοηθῆσαι τῇ διαθέσει Ἥρᾳ, τῷ ἀέρι, λέγεται ῥιφῆναι ἀπὸ βηλοῦ θεσπεσίοιο, ἀπὸ τοῦ οὐρανοῦ, παρὰ τοῦ Διὸς, τοῦ ἐνθέου πνεύματος, καὶ τῇ ἡμέρᾳ μὲν ὡς θερμοτέρᾳ βοηθεῖσθαι· οἷονεὶ ἀναβαστάζεσθαι καὶ φέρεσθαι ἐν τῷ ἀέρι· τῇ δὲ νυκτὶ, ὡς ψυχροτέρᾳ, ἀσθενῆσαι καὶ καταπεσεῖν ἐν κρημνῷ, τῷ κόσμῳ, παρὰ τὸ τοὺς λαοὺς μετέχειν ἐν αὐτῇ, ἐξ οὗ καὶ ἀμφιγυὴς ἐκλέθη, ἱστορικῶς ἀλληγορικῶς δὲ, παρὰ τὸ ἀμφοτέρωθεν γύειν καὶ βλάπτειν.

Περὶ τοῦ καλεῖσθαι χωλὸν, καὶ οὐ μόνον χωλὸν, ἀλλὰ καὶ κλυτοτέχνην.

Κλυτοτέχνης δὲ λέγεται οὕτως· ἐν ἀρχῇ τοῦ Ἥφαιστος ἐπικρατοῦντος, καὶ διαρθρώσεως κοσμικῆς γενομένης, ἡ τοῦ πυρὸς δύναμις ὡς ἰσχυρὰ ἀξίνη, οἱονεὶ τῇ ἐνεργείᾳ χρωμένη, διεσκέδασε μὲν τὴν πρώτην ἀκοσμίαν, κατ' εὐγγυσιν τῶν στοιχείων ἔνειμεν· ἅπερ ἐστὶ τοῖς θεοῖς στηρίξις κατασκευάσας· ὡς ἐν πρώτῳ τῆς Ἰλιάδος ἐν τῷ τέλει διέξεισιν Ὅμηρος οὕτωσί — ἦχι ἑκάστῳ περικλυτὸς ἀμφιγυήεις — Ἥφαιστος ποίησ' ἰδυίῃσι πραπίδεσσιν — ἄλλως τε καὶ



Digitized by Google

Vers. 1. Μῆνις σημαίνει ε' μῆνιν· ὀργήν· θυμόν· χόλον· καὶ κότον· καὶ μῆνις μέν ἐστιν ἡ ἐπιμένουσα ἀεὶ καὶ μὴ μειουμένη ὀργή· ἡ ὄρεξις τῶν χειρῶν, ἤγουν παρὰ τὸ ἀρέγω τὴν χεῖρα· χόλος, ὁ χεόμενος ὅλος· ἢ παρὰ τὸ χέειν τὸν θυμόν· κότος ὁ ἐγκείμενος πάντοτε ἐν τῇ ψυχῇ· a) θυμὸς σημαίνει ε' θυμὸς, ἡ ψυχὴ ὡς τὸ — μεγάθυμοι Ἀχαιοί· — θυμὸς ἡ ὁρμὴ ὡς τὸ — θυμὸς δὲ μέγας ἐστὶ διατρεφέων βασιλήων· — θυμὸς, ἡ ἀμόνασις ὡς τὸ — ἕνα θυμὸν ἔχοντες, μία καὶ ἐπίφρων βουλή· — θυμός, ὁ ἐπιλογισμὸς ὡς τὸ — ἕτερός μοι ἀνῆπτο θυμός· — θυμὸς, ἡ ἐπιθυμία ὡς τὸ — ᾧ θυμῷ εἴξας, μέγη φιλάτητι καὶ εὐηθείᾳ.

Μῆνις πῶς κλίνεται, τῆς μήνιδος, καὶ ὄφελε κλίνεσθαι μήνιθος, ὡς ὄρνις ὄρνιθος, ἀλλὰ τὰ εἰς ις πρὸ μὲν κλίνεται διὰ τοῦ δος, καὶ ποτὲ διὰ καθαροῦ τὸ ος ὅταν μὲν ἔχῃ πρὸ τῆς ε δύο ἀμετάβολα, διὰ τοῦ δος κλίνεται μέρμις μέρμιδος, τὸ λεπτὸν σχοινίον, ὄρνις ὄρνιδος· ὅταν δὲ πρὸ τοῦ ε ἓν σύμφωνον ἔχῃ, διὰ τοῦ δος, κράθις κράθιδος· εἰ δὲ εἰσὶ προσηγορικά, διὰ καθαροῦ τοῦ ος, ὄφις ὄφιος· μάντις μάντιος.

Διατί οὐκ εἶπε θεὴ, ἀλλὰ θεά; καὶ φαμὲν ὅταν μὲν ἡ εὐθεῖα τῶν ἐνικῶν τῇ ἀρσενικῇ εἰς ος καθαρὸν λήγῃ, καὶ κλίνηται εἰς ε, τότε τὸ θηλυκὸν εἰς α λήγει· ὅταν δὲ ἡ εὐθεῖα εἰς ος λήγῃ μετὰ συμφώνου, τότε τὸ θηλυκὸν εἰς η λήγει· οἷον σοφὸς, σοφῇ, σοφή· τὸ, α μακρὸν, διότι τὰ ἀπὸ τῶν εἰς ος ἀρσενικῶν εἰς ει γινόμενα θηλυκὰ, τὴν ὁμοίαν θέλουσιν ἔχειν κατάληξιν τῆς γενικῆς τῇ ἀρσενικῇ.

a) Quaedam apud Eustathium p. 8., qui citat γραμματικούς.

Digitized by Google

Ἐζήτηται εὐθὺς διατί ἀπὸ τῶν τελευταίων τῆ πολέμῳ ἤρξατο ὁ ποιητὴς γράφειν· καὶ φαμέν ὅτι ἅπας μὲν ὁ χρόνος ὁ πρὸ τοῦ δεκάτους οὐκ ἔσχεν οὕτως συνεχεῖς τὰς μάχας· διὰ τὸ καὶ τοὺς Τρῶας αὐτοὺς φόβῳ τῆ Ἀχιλέως ἐντὸς κατακεκλεῖσθαι τῆ τείχεϊ· τὸ δὲ δέκατον ἔτος, πλείονας τὰς πράξεις, καὶ τοὺς πολέμους ἰσοπάλους, τῆ Ἀχιλέως ὀργιζομένῃ· ὁ δὲ ποιητὴς οἰκονομικῶς καὶ ἐν τούτῳ ἤρξατο μὲν ἀπὸ τῶν τελευταίων· διὰ δὲ τῶν σποράδην αὐτῷ λεχθέντων περιέλαβε καὶ τὰ πρὸ τούτων λεχθέντα· αὐτὴ γὰρ ἀρετὴ ποιήσεως, τὸ ἀπὸ μέσων ἄρξασθαι· προϊόντα δὲ καὶ τὴν ἀρχὴν διηγεῖσθαι κατὰ μέρος.

Ζητῆσι δὲ καὶ τοῦτο· a) διατὶ ἀπὸ τῆς μήνιδος ἤρξατο οὕτω δυσφήμου ὀνόματος; Διὰ δύο ταῦτα· πρῶτον μὲν ἵν' ἐκ τῶ πάθους ἀποκαθαιρεύσῃ τὸ τοιοῦτον μόριον τῆς ψυχῆς, καὶ προσεκτικωτέρους τοὺς ἀκροατὰς ἐκ τῶ μεγέθους ποιήσῃ, καὶ προσυνεθίσῃ φέρειν γενναίως ἡμᾶς τὰ πάθη, μέλλων πολέμους ἀπαγγέλλειν. δεύτερον δὲ ὡς ἂν τὰ ἐγκώμια τῶν Ἑλλήνων πιθανώτερα ποιήσῃ· ἐπειδὴ ἔμελλε νικῶντας ἀποφαίνειν τοὺς Ἕλληνας, εἰκότως οὐ κατατρέχει, ἀξιόπιστος ὢν ἐκ τῶ μὴ πάντα χαρίζεσθαι τῷ ἐκείνων ἐπαίνῳ· ἤρξατο δὲ ἀπὸ μήνιδος, ἐπειδήπερ αὐτὴ τοῖς πρακτικοῖς ὑπόθεσις γέγονεν·

Ἄλλως· Καὶ τραγῳδίαις τραγῳδικὸν ἐξαίρε προοίμιον. καὶ γὰρ προσεκτικοὺς ἡμᾶς ἡ τῶν ἀτυχημάτων διήγησις ἐργάζεται· καὶ ὡς ἄριστος ἰατρὸς πρῶτον μὲν ἀνάστελλων τὰ νοσήματα τῆς ψυχῆς, ὕστερον τὴν ἴασιν λέγει· Ἑλληνικὸν δὲ τὸ πρὸς τέλει τὰς ἡδονὰς ἐπάγειν· ὡς περ δὲ ἐπὶ

a) Eustath. p. 8. diversimode, nam difficultatem proponit, at aliter solvit. Eadem, sed cum lect. variantibus, sunt apud Villoisonum.

Digitized by Google

συκῆς, πρῶτον μὲν ὄλυνθος, εἶτα φῆλιξ, σῦκον, εἶτα ἰσχάς· ὕτω πρῶτον ὀργὴ θυμός. χόλος· κότος· μῆνις· ὅμως ὁ ποιητὰς σινωνύμοις ὀνόμασιν ἐπ' Ἀχιλέως χρῆται — ἠὲ χόλον παύσειεν, ἐρητύσειέ τε θυμόν — οὐδ' ἄθομαι κοτέοντος — αὐτὰρ ὁ μήνιε νηυσίν· a) — ἀρετὴ δὲ προοιμιαζ-ῇ περιλαμβάνει τὴν τῆς πραγματείας ἐπαγγελίαν.

ἄειδε — ᾄδε· λέγε· διατί ὡς προσάσσων ἐρεῖ τῇ μούσῃ, καὶ οὐχὶ φησὶν ὡς εὐχόμενος αὐτῇ; δύναιτο ἂν τις λέγειν ὡς καὶ πολλαὶ θεαὶ καὶ Ἥρα, καὶ Ἀφροδίτη, καὶ Ἀθηνά· ἐροῦμεν οὖν ὅτι προσάσσει διὰ τὸ λέγειν ἐκ καταρχῆς, καὶ μήδ' ὅτι λέγει ποτὲ νοεῖν· θεὰν δὲ εἴρηκε « b) κοινῷ μὲν ὀνόματι προσαγορεύων τὴν μοῦσαν· τῇ δὲ ἰδιότητι τῆς πράξεως προδηλώσας ὡς ἐχ ἑτέραν λέγει· μόναι γὰρ ᾄδουσι μοῦσαι· οὐ προσέθηκε δὲ ᾠδὴν ὄνομα μούσης· πάσας διὰ τῆς μιᾶς καλῶν ». ἄλλοι δέ φασιν ὅτως· c) ὅτι κατὰ ποιητικὴν ἄδειαν ἤτοι συνήθειαν λαμβάνει τὰ προστακτικὰ ἀντὶ εὐκτικῶν· καὶ γὰρ Ἡσίοδος φησί — δεῦτε δὴ ἐννέπετε — καὶ Πίνδαρος — μαντεύεο μοῦσα — καὶ Ἀντίμαχος ὁ Κολοφώνιος — ἐννέπετε δ) Διὸς μεγάλοιο θύγατρες — δεύτερον δὲ, ὅτι οὐ κατὰ ἀλήθειαν ταῖς μούσαις ἐπιτάσσουσιν, ἀλλ' ἑαυτοῖς.

Πηλῑάδεο — ὁ κανών· οἱ Ἴωνες καὶ οἱ ποιηταὶ τὰς εἰς ε λῆγούσας γενικὰς, τὰς ἀπὸ τῶν εἰς σης εὐθειῶν γινομένας, διὰ τῦ εω προφέρουσιν, οἷον Ξέρξου, Ξέρξεω· Ἀτρίδου, Ἀτρείδεω· ἐναντίως τοῖς Βοιωτοῖς καὶ τοῖς Αἰολεῦσιν· ἐκεῖνοι γὰρ διὰ τοῦ αο ποιοῦσι, τοῦ α ἐκτεινομένου· πάσα γὰρ γενικὴ ὀνόματος εἰς φωνῆεν λήγουσα καὶ περιττοσυλλαβῦ-

a) Hucusque Villoisonius. b) Uncis contenta extant in Schol. sed cum variantibus. c) Habet et Villois. ad finem usque, sed cum var. d) Eustath. pag. 9. qui haec citat, apte addit Κρονίδαο.

Digitized by Google

σα τῆς ἰδίας εὐθείας, ἢ ἐκτίνει τὴν παραλήγουσαν καὶ συ-έλλει τὴν λήγουσαν, οἷον καλῶ, καλοῖο, ἢ ἐκτείνει τὴν λήγουσαν καὶ συ-έλλει τὴν παραλήγουσαν, οἷον Ἀτρίδεω, Πριαμίδεω, Πηληϊάδεω· Γίνεται δὲ Πηλιάδης ἐκ τῆ Πηλείδου πατρωνυμικοῦ, κατὰ τὴν διάλυσιν καὶ ἔκτασιν τῆ ε εἰς η, καὶ πλεοναςμῷ τοῦ α γίνεται Πηληϊάδης· ἐν ἡρωϊκῷ μέτρῳ τὰς ἀπὸ τῶν εἰς ης εὐθειῶν γινομένας γενικὰς οἱ ποιηταὶ οὐ προφέρουσι διὰ τῆ ε, ἀλλὰ διὰ τῆ εω Ἰωνικῶς, ὡς Πηλείδεω· ἢ διὰ τῆ αο Δωρικῶς, ὡς Ὀρέ-αο. Ἀχιλῆος — ἀναγνω-έον δι' ἑνὸς λ καὶ διὰ τὸ μέτρον καὶ διὰ τὸ ἄχος, ὅ ἐ-τι λύπην ἐπενεγκεῖν τοῖς Ἰλιεῦσιν· οἱ δὲ παρὰ τὸ μὴ θίγειν χείλεσι θηλῆς· ὅλως γὰρ οὐ μετέσχεν γάλακτος· a) ὅτι ὑπὸ Μυρμιδόνων b) ἐκλήθη Ἀχιλεὺς καθὼς Εὐφορίων λέγει· — ἐς Φθίην χειλεῖο κατήϊε πάμπαν ἀπάστος — τοὔνεκα Μυρμιδόνες μὲν Ἀχιλέα φημίξαντο·

Ξοῦθος c) ὁ Αἰόλω παῖς, ἀγόμενος Κρέουσαν τὴν Ἐρεχθέως θυγατέρα, ἔσχεν ἐξ αὐτῆς δύο παῖδας, Ἴωνα καὶ Ἀχαιόν· ὧν ὁ μὲν Ἴων ὤκησεν τὰς Ἀθήνας· ὁ δὲ Ἀχαιὸς, φόνον ἐμφύλιον δράσας, παρεγένετο εἰς Θεσσαλίαν, καὶ κυριεύσας τῆς χώρας, τοὺς ὑποτεταγμένους ὑφ' ἑαυτῆ προσηγόρευσεν Ἀχαιούς· Ἕλληνες δὲ κοινῶς πάντες οἱ τῆς Ἑλλάδος ἐκλήθησαν ἀπὸ Ἕλληνος τοῦ Διός· πρῶτον ἦν ἔτως ἐλέγοντο οἱ ἐν Θεσσαλίᾳ ἄνθρωποι· καὶ οὗτοι οὐ πάντες· ἀλλὰ μόνοι οἱ ἐν Ἑλλάδι τῇ πόλει· ἔπειτα τοίνυν μεγάλα

a) Hucusque schol. et Vill., qui variantes habet. b) Eust. p. 15. Ὅτι ἐκ τοῦ χιλὸς παρονομάζεται Ἀχιλεὺς, προφέρεται καὶ εἰς μαρτυρίαν καὶ Εὐφορίων λέγων — ἐς Φθίην χιλῆ κατήϊε πάμπαν ἄγευ-ος — τοὔνεκα Μυρμιδόνες μὲν Ἀχιλέα φημίξαντο — Cod. tamen habet Μυρμιδόνεσσιν, et ἄπτα-ος. c) Sunt apud Schol. et Villois., non sine variantibus.

Digitized by Google

δυνηθέντος τοῦ Ἕλληνος, καὶ τῶν τούτου παίδων, ἀπ' αὐτοῦ ἅπαντες ἐκλήθησαν Ἕλληνες.

V. 3. πολλὰς b) δ' ἰφθίμους ψυχάς — ἴφθιμον, μέλαν ἵππον· τινὲς δὲ σύνθετον εἶναι φασὶ τὴν λέξιν· ἰφίθυμος, καὶ κατὰ συγκοπὴν καὶ μετάθεσιν τῶ θ ἴφθιμος, τοῦ αὐτοῦ τῶν χρόνων ὑπερβιβασμοῦ γενομένου· ὥς περ καὶ ἐπὶ τοῦ ὄρω βαρύτονον τοῦ ὁρμῶ· οὗ ὁ μέσος παρακείμενος ὦρα, καὶ Ἀττικῶς ὄρωρα, καὶ μεταθέσει ὥρορα· οὕτως δὲ καὶ ϛιχείου δύναται εἶναι μετάθεσις· ἀλλ' ἡ τῶ μέτρω χρεία τὸν χρόνον μᾶλλον ὑπερβιβασθῆναι δίδωσι c) καλῶς δέ τινες μεταγράφουσι — πολλὰς δ' ἰφθίμους κεφαλάς — ἵνα περιφραστικῶς τοὺς ἀγαθοὺς καὶ τοὺς γενναίους ἄνδρας λέγῃ κεφαλὰς, ὡς — ἵππων d) ξανθὰ κάρηνα, — ἀντὶ τοῦ αὐτοὺς τοὺς ἵππους· οὐ γὰρ τὰ σώματα τῷ Ἅιδῃ καταπέμπονται, ἀλλ' αἱ ψυχαί· τοὺς γεννικωτάτους ἐμφαίνει τῶν τόπων τὸ προοίμιον· πόσον· πολλὰς· ποῖον· ἰφθίμους· ὑσίαν· ψυχὰς· τόπον· Ἅιδι· χρόνον· προΐαψεν ἰφθίμους — a) γίνεται δὲ ἴφθιμος παρὰ τὸ ἴφι, μόνου ὄντος τῶ πρώτου ι — ἴφι ἀνάσσει — παράγωγον γέγονεν ἴφιμος, ὡς πρώϊμος, ἀπὸ τοῦ πρωΐ, τοῦ μέσου ι βραχέος ὄντος, καὶ πλεονασμῷ τῶ θ ἴφθιμος· καὶ μετὰ τὸν πλεονασμὸν ὑπερτέθεινται οἱ χρόνοι, τοῦ μὲν πρώτου ι συναλέντος φύσει, τοῦ δὲ ἑφεξῆς ἐκταθέντος.

ἰφθίμους — ἰσχυρὰς, γενναίας· ἴφθιμος οἱονεὶ ἰφίθυμος, καὶ κατ' ἐκβολὴν τοῦ ι ἴφθυμος, καὶ τροπῇ τοῦ υ εἰς ι ἴφθιμος, ὡς Ἀφροδύτη, Ἀφροδίτη·

a) Ex Eustath. verbis p. 16. dignoscitur hanc etymologiam ab antiquis manasse grammaticis, ex eo quod infra adfert in πολλὰς etc. οὐκ ἀρέσκει τοῖς παλαιοῖς. b) Cf. Eust. p. 15. c) Vill. usque ad λέγῃ κεφαλὰς solum et multum variat. d) Cod. mendose Ἰππώνας.

Digitized by Google

Ἄϊδι — τῷ Ἀδῃ, ἀπὸ τῆς εὐθείας Ἄϊς· Ἀδης δὲ ὁ θάνατος, παρὰ τὸ σκοτεινὸν, καὶ ἀειδεὺς τῆς τῶν ἀνθρώπων ἀπολείας·

V. 4. ἡρώων a) — τῶν ἡμιθέων ἀνδρῶν· ἥρωας δὲ φασὶν ἀπὸ τῆς ἀρετῆς κληθῆναι· ἢ ἀπὸ τοῦ ἀέρος, ὡς φησὶν Ἡσίοδος ἐν τοῖς ἔργοις καὶ ταῖς ἡμέραις — Ἥρα ἐσσάμενοι πάντη φοιτῶσιν ἀπ' αἶαν — ἢ ἀπὸ τῆς ἐράσεως· τουτέστι τῆς μίξεως τῶν θεῶν· οἱ γὰρ θεοὶ θνηταῖς γυναιξὶ μιγνύμεναι ἐποίουν τὸ τῶν ἡρώων γένος· ἢ ἀπὸ τῆς ἔρας· ἔρα δὲ ἡ γῆ κατὰ διάλεκτον· ἐκ δὲ τῆς γῆς ἐπλάσθη τὸ τὸ τῶν ἡρώων γένος.

αὐτοὺς — b) ἀντὶ τὰ σώματα αὐτῶν· σημαίνει δὲ ἡ λέξις ε΄· τὴν μόνοτητα, ὡς τὸ — Τυδείδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη — τὸ σῶμα, ὡς τὸ νῦν· τὴν ὑπεροχὴν, ὡς τὸ — αὐτὸς παρεγένετο ὁ βασιλεύς· — τὸν τόπον, ὡς τὸ — ἀλλ' ἄγε μίμνετε πάντες ἐϋκνήμιδες Ἀχαιοὶ — αὐτῷ· — ἀντὶ τῷ αὐτόθι, ἐπὶ τὸν τοπον· καὶ αὐτὸς, ἀντωνυμία·

ἑλλώρια — ἑλκύσματα, σπαράγματα· κτητικῷ τύπῳ ἀντὶ τῷ ἕλωρα ἐχρήσατο· c) χρειῶδες δὲ καὶ ἡ τῆς ἔτευχε παράτασις γέγονεν· ἕλωρ παρὰ τὸ ἕλω·

τεῦχε — ἐποίει, Ἰωνικῶς καὶ ποιητικῶς.

V. 5. οἰωνοῖσι — τοῖς σαρκοφάγοις ὀρνέοις· λέγει δὲ γυψὶ καὶ κόραξιν· d) οἱ γὰρ γύπες ἀντιρείδοντες τοῖς ποσὶ, τῇ βίᾳ τὸ πᾶν ἕλκουσι σῶμα· οἱ καὶ τίκτουσι δίχα ἄρρενος· εἰ δὲ καὶ μὴ πάντες ἤσθιον, ἀλλ' ὡς ἀναιδῆ πᾶσι πρόκειτο· ἢ ὅτι καὶ τὰ μὴ ἐσθίοντα προετρέπετο·

a) Similia apud Schol. et Vill., sed varie. b) Parum diversa in Eust. p. 19. c) Pauca apud Villois., usque ad παράτασις. d) Haec Schol. sed C. sequitur ut et Vill. sed varie.

Digitized by Google

Διὸς δ' ἐτελείετο βουλή· — a) Διὸς βουλὴν, οἱ μὲν, τὴν εἱμαρμένην ἀπέδοσαν· ἄλλοι δὲ ἐξεδέξαντο δρῦν ἱερὰν μαντικὴν τοῦ Διός, ἐν Δωδωναίῳ ὄρει τῆς Θεσπρωτείας· ὡς αὐτὸς Ὅμηρος λέγει ἐν Ὀδυσσείᾳ — τόν δ' ἐς Δωδώνην φάτο βήμεναι ὄφρα θεοῖο — ἐκ δρυὸς ὑλικόμοιο Διὸς βουλὴν ἐσακούσῃ — ἄλλοι δὲ ἀπὸ ἱστορίας τινὸς εἶπον εἰρηκέναι τὸν Ὅμηρον· φασὶ γὰρ τὴν γῆν βαρυμένην ὑπὸ ἀνθρώπων πολυπληθίας, μηδὲ μιᾶς ἀνθρώπων οὔσης εὐσεβείας, αἰτῆσαι τὸν Δία κουφισθῆναι τοῦ ἄχθους· τὸν δὲ Δία, πρῶτον μὲν εὐθὺς ποιῆσαι τὸν θηβαϊκὸν πόλεμον· δι' οὗ πολλοὺς πάνυ ἀπώλεσεν· ὕστερον δὲ πάλιν συμβούλῳ τῷ Μώμῳ χρησάμενος, ἣν Διὸς βουλὴν Ὅμηρος φησίν· ἐπειδὴ οἷός τε ἦν κεραυνοῖς ἢ κατακλυσμοῖς πάντας διαφθείρειν· ὅπερ τοῦ Μώμου κολύσαντος, ὑποθεμένου δὲ αὐτῷ γνώμας δύο, τὴν Θέτιδος θνητογαμίαν, καὶ θυγατρὸς καλὴν γένναν, ἐξ ὧν ἀμφοτέρων πόλεμος Ἕλλησί τε καὶ βαρβάροις ἐγένετο, ἀφ' οὗ συνέβη κουφισθῆναι τὴν γῆν πολλῶν ἀναιρεθέντων· ἡ δὲ ἱστορία παρὰ b) Τερασίνῳ τῷ τὰ Κύπρια πεποιηκότι· εἰπόντι οὕτως·

ἦν ὅτε μύρια φῦλα κατὰ χθόνα πλαζόμενα
βαρυστέρνου πλάτος αἴης·
Ζεὺς δὲ ἰδῶν ἐλέησε, καὶ ἐν πυκναῖς πραπίδεσσι
σύνθετο κουφίσαι ἀνθρώπων παμβώτορα γαῖαν
ῥιπίσας πολέμου μεγάλην ἔριν Ἰλιακοῖο,
ὄφρα κενώσειε θανάτου βάρος· οἵ δ' ἐνὶ Τροίῃ
ἡρῶες κτείνοντο· Διὸς δ' ἐτελείετο βουλή·

καὶ τὰ μὲν παρὰ νεωτέροις ἱστορούμενα περὶ τῆς τοῦ Διὸς βουλῆς, ἔστι τάδε· ἡμεῖς δὲ φαμὲν κατὰ τὴν Ἀριστάρχου

a) Haec, sed varie apud Schol. et Vill. b) Sic Cod., ut et infra in vers.

Digitized by Google

καὶ Ἀριστοφάνους δόξαν, τῆς Θέτιδος εἶναι βουλὴν, ἣν ἐν τοῖς ἑξῆς φησὶ λιτανεύουσαν τὸν Δία ἐκδικῆσαι τὴν τῆ παιδὸς ἀτιμίαν· καθάπερ καὶ τὰ κεφάλαια ἐν τῷ προοιμίῳ κεῖται τῆς ποιήσεως.

V. 6. ἐξ οὗ δὴ τὰ πρῶτα. — Ἀρίσταρχος συνάπτει προῦσα τίς βουλὴ φαίνεσθαι καθ' Ἑλλήνων, ἀφ' οὗ χρόνῳ ἐγένετο μῆνις, ἵνα τὰ παρὰ τοῖς νεωτέροις πλάσματα δεξώμεθα.

διαστήτην — διέστησαν καὶ διεχώρησαν· ἡ τῶν δυῶν κατάχρησις μάλιστα πάντων τοῖς Ἀττικοῖς συναρμόζει.

V. 7. Ἀτρείδης — ὁ Ἀτρέως παῖς Ἀγαμέμνων· κατὰ μὲν Ὅμηρον Ἀτρέως παῖς τοῦ Πέλοπος· μητρὸς δέ οἱ Ἀερόπης· κατὰ δὲ Ἡσίοδον, Πλεισθένους· τὸ γένος Μυκηναῖος. ὃς ἦγε ἄρασν· ἄλλοι δὲ λέγουσιν ἀγαγεῖν ἀρξγ· ναῦς εἰς Ἴλιον· ἐκπορθήσας δὲ τὴν Ἴλιον, καὶ ὑποστρέψας οἴκαδε, ἀκαρεῖται ὑπὸ Αἰγίσθου δόλῳ ἐπὶ εὐωχίας· οὗτος γὰρ κατὰ τὸν καιρὸν τῆς ἀποδημίας ἐμοίχευε τὴν Ἀγαμέμνονος γυναῖκα Κλυτεμνήστραν· κατὰ δὲ τοὺς τραγικοὺς αὐτὴν τὴν Κλυτεμνήστραν ἀνελεῖν αὐτὸν χιτῶνα μακρὸν ἔχοντα διέκδυσιν τραχήλου δοῦσαν αὐτῷ· ἔσχε δὲ ἐξ αὐτῆς υἱὸν μὲν τὸν Ὀρέστην, καὶ θυγατέρας δ'· Λαοδίκην· Χρυσόθεμιν· Ἰφιγένειαν, καὶ Ἠλέκτραν. — Ἀτρίδης τε, μία ἡ ὀξεῖα· σπονδαϊκὸν γάρ· χωρὶς εἰ μὴ ἐπιφέροιτο ἡ διὰ τοῦ σφῶν ἀντωνυμία· ὡς ἐπὶ τοῦ τόξου σφεων· ἀλλ' ἤτοι σφεας· κεῖθεν τότε λοέσσεταί τε· χρῖσαί τε· καὶ γενέσθαί τε· γράψεμέν τε· καὶ τὸ μὲν λοέσσεται ἵνα ἀποφύγωμεν τὸ πληθυντικὸν ῥῆμα· τὸ δὲ γενέσθαί τε, ἵνα τὸν διπλασιασμόν· πατρωνυμικὴ ἀντωνομασία ὁ τρόπος ἀντὶ τῆς Ἀγαμέμνονος· ὡς Ἀγελείη καὶ Τριτογένεια ἀντὶ τῆς Ἀθηνᾶ.

δῖος — θεῖος· εὐγενής· ἢ ἀπὸ Διὸς ἔχων τὸ γένος· ἔντιμος· ἀπὸ γὰρ Αἰγίνης τῆς Ἀσωποῦ ποταμοῦ Θηβῶν Αἰακός· Αἰακῷ δὲ Τελαμὼν καὶ Πηλεύς· Πηλέως δὲ Ἀχιλ-

Digitized by Google

λεύς. — δῖος· τὸ δι μακρὸν, ἀπὸ τοῦ Ζεύς, ὃ κλίνεται Διός· καὶ ἐξ αὐτοῦ δῖος· ὁ ἀπὸ τοῦ Διὸς κατάγόμενος· καὶ κράσει τῶν δύο ει εἰς ι μακρὸν, δῖος.

V. 8. τίς τ' ἄρ σφωε — τίς δὴ αὐτοὺς τοὺς δύο Ἀγαμέμνονας, καὶ Ἀχιλλέα· πάλιν δὲ τοῦτο ὁ ποιητὴς ἐρωτᾷ τὴν μῆσαν, a) ἐπὶ τὸ διηγηματικὸν μετειών· οὐχ ὑποβάλλει τὰς διηγήσεις αὐτομάτως, ὡς μὴ τοῖς ἀκούσι προσκεκρεῖς εἶσα δοκεῖν· ἀλλὰ διὰ πεύσεως καὶ ἀποκρίσεως ἀντιπεποίηται τὴν ἀνόρθωσιν τῆς προθυμίας, καὶ δεῖξαι αὐτοῖς ἐπάγει τὴν ἀπόκρισιν, φιλέλλην ὤν· ὡς γὰρ τὴν ςάσιν τῶν ἀριστέων ἐπικλᾷ θεοῖς· ὡς οὐκ ἀθεεὶ τῶν τοιούτων ἀνδρῶν ἡκόντων εἰς ἄμιλλαν· δύο δὲ εἴδη θεῶν παρὰ τῷ ποιητῇ· τὸ μὲν εἰς τὴν ποίησιν συντελοῦν, καὶ πάθεσιν ὑποκείμενον παντοδαπῶς· τὸ δὲ ἀκήρατον·

V. 9. Λητοῦς καὶ Διὸς υἱός· — ὁ τῆς Λητοῦς καὶ Διὸς υἱὸς Ἀπόλλων· πάλιν δὲ ὡς ἀπὸ τῆς μέσης· Ζεὺς δὲ ἐρασθεὶς Λητοῦς τῆς Κοίου θυγατρὸς ἑνὸς τῶν Τιτάνων καὶ Φοίβης, ἔγκυον αὐτὴν ἐποίησεν· ἥτις δεκαμηνιαίου χρόνου διαγενομένου, παρεγένετο διὰ θαλάσσης εἰς Ἀστερίαν τὴν νῆσον μίαν οὖσαν τῶν Κυκλάδων· ἐκεῖ τε ἐλθοῦσα καὶ ἁψαμένη δύο φυτῶν, ἐλαίας καὶ φοίνικος, διδύμους ἀπεκύησε παῖδας, Ἄρτεμιν καὶ Ἀπόλλωνα· καὶ τὴν νῆσον ἐκάλεσε Δῆλον· ὅτι ἐξ ἀδήλου βάσεως ἐρριζώθη.

V. 10. ἀνὰ ςρατόν — κατὰ τὸ στρατόπεδον· παρὰ τὸ στερρῶς ἵςασθαι· ἢ παρὰ τὸ ἵςημι.

ὦρσεν — διήγειρεν· ἐνέβαλεν· Αἰολικῶς· παρὰ τὸ ὄρρω

a) Haec tantum Schol., sed Cod. sequitur. Ceterum non vacat ad trutinam vocare omnes Scholiorum editiones; hoc tantum sciat lector, quae edimus aut varias lectiones. aut omnino res novas historicas et grammaticas continere.

Digitized by Google

τὸ διεγείρω· καὶ παρὰ τοῦ ὄρω βαριτόνου τοῦ ὁρμῶ· ὃ ὁ μέσων παρακείμενος ὦρα·

κακήν — κακωτικήν· παρὰ τὸ χάζω τὸ ὑποχορῶ· χάζος καὶ κακός·

λαοί — ὄχλοι· λᾶες κατὰ διάλεκτον οἱ λίθοι λέγονται· Προμηθέως παῖς Λευκαλίων γίνεται· οὗτος βασιλεύων τῶν περὶ τὴν Φθίην τόπων, γαμεῖ Πύῤῥαν τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν οἱ θεοὶ πρώτην γυναῖκα· καὶ ἐπειδὴ Ζεὺς ᾐθέλησε τὸ χαλκοῦν γένος ἀπολέσαι, ὑποθεμένου Προμηθέως, Δευκαλίων τεκτηνάμενος λάρνακα, καὶ τὰ ἐπιτήδεα ἐνθέμενος, εἰς ταύτην μετὰ Πύῤῥας ἀνέβη· Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας, τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν· ὥς τε διαφθαρῆναι πάντας ἀνθρώπους· χωρὶς ὀλίγων· οἵ τινες συνέφυγον εἰς τὰ πλησιῶν ὑψηλὰ ὄρει· τότε δὲ καὶ τὰ κατὰ Θεσσαλίαν στενώματα διέστη καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοπονήσου συνεχύθη πάντα· Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας ἴσας, τῷ Παρνασῷ ὄρει περιΐσχει· κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων, ἐκβὰς εὐθὺς ἔθυσε Διὶ Φυξίῳ· Ζεὺς δὲ πέμψας Ἑρμὴν πρὸς αὐτὸν, ἐπέτρεψεν αἰτῆσαι ὅ τι βούλεται· ὁ δὲ αἰτεῖται ἀνθρώπους αὐτῷ γενέσθαι· καὶ Διὸς εἰπόντος ὑπὲρ κεφαλῆς λίθον βάλλειν, αὐτὸς ἔβαλλεν αἴρων τοὺς λίθους· καὶ οὓς μὲν ἔβαλλεν ὁ Δευκαλίων, ἄνδρες ἐγένοντο· οὓς δὲ ἡ Πύῤῥα, γυναῖκες· ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ.

V. 11. ἀρητῆρα — τὸν ἱερέα· παρὰ τὸ ἀρᾶσθαι· ὅ ἐστιν εὔχεσθαι· τὰ δύο ὀνόματα καθ' ἑνὸς προσώπου λέγονται· ὧν τὸ μὲν ἐστι κύριον· τὸ δὲ ἐπίθετον καὶ προσηγορικόν· τὰ ἄρθρα οὖν ἐν τοῖς κυρίοις ἐν τῷ πολιτικῷ λόγῳ ἐντάττειν προσῆκεν· οἱ μέν τοι ποιηταὶ καὶ ἐν τούτῳ ἐντάττουσιν· ὡς καὶ ὁ ποιητὴς ἐνταῦθα· ἢ κατὰ τὸν Χρύσιν ἠτίμησεν

Digitized by Google

ἀρητῆρας ἀντὶ τοῦ εἰπεῖν Χρύσην τὸν ἀρητῆρας. — Καὶ ἄλλως. — Χρύσην ἀρητῆρα· ὑπερβατὸν ἀρητῆρα Χρύσην· τὰ γὰρ ἐπιθετικώτερα συνταττόμενα κυρίως ἢ προσηγορικῶς τὰ ἄρθρα δέχονται εἰ μὴ ἐπαγόμενα ῥήματα πρωτότυπα κατηγορεῖ· τότε γὰρ ἀδιάφορεῖ τὸ ἄρθρον· τὸν Χρύσην ἀρητῆρα ὠνόμασε τὸν ἀρητῆρα Χρύσην· ἔστι οὖν ὡς τῆ παιδὸς ἀγχοῦ ὁ μοχλὸς ἐλάτινος· ἀρητὴρ δὲ, παρὰ τὸ αἴρειν τὰς χεῖρας εἰς προσευχήν· ἢ παρὰ τὸ ἀρέσκειν τῷ θεῷ· καὶ πάλιν παρὰ τάξιν ἐχρήσατο τῷ ἄρθρῳ· ἐχρῆν γὰρ εἰρηκέναι τὸν ἀρητῆρα Χρύσην· ὁπόταν γὰρ δύο ὀνομάτων συντασσομένων τὸ μὲν, κύριον ᾖ, τὸ δὲ, προσηγορικὸν, τὸ ἄρθρον οὐ τῷ κυρίῳ, ἀλλὰ τῷ προσηγορικῷ συντάττομεν· ὁπόταν δὲ δύο ὀνόματα, ὧν τὸ μὲν, προσηγορικόν ἐστι, τὸ δὲ ἐπιθετικὸν, τὸ ἄρθρον οὐ τῷ προσηγορικῷ, ἀλλὰ τῷ ἐπιθετικῷ συντάξομεν· οὐδεὶς γὰρ ἐρεῖ τὸν γραμματικὸν καλὸν ἀλλὰ τὸν καλὸν γραμματικόν· τὸ ἄρθρον τῷ ἐπιθετικῷ προστάξας, οὐ τῷ προσηγορικῷ.

V. 12. θοὰς — ταχείας, παρὰ τὸ θέω τὸ τρέχω· σημαίνει δὲ καὶ ὀξείας· ὡς ἐν ἐκείνοις — ἔνθ' αὖ νήσοισιν ἐπιπροέηκα θοῇσιν.

ἐπὶ νῆας — ἐπὶ τὰς ναῦς· ὅ ἐστι τὰ πλοῖα· παρὰ τὸ νέω, τὸ κολυμβῶ.

V. 14. στέμματα — Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμῷ Δάφνη ὑπῆρχε θυγάτηρ εὐπρεπεστάτη· ἐρασθεὶς δὲ αὐτῆς ὁ Ἀπόλλων, καὶ βουλόμενος αὐτῇ συγγενέσθαι, ἐδίωκε· καταλαμβανομένης δὲ αὐτῆς ὑπὸ τοῦ θεοῦ, φασὶν εὔξασθαι τῇ μητρὶ τῇ γῇ χάσματι αὐτὴν δεχθῆναι· γενομένης δὲ τότε, καὶ τῆς γῆς ἀναδύσης ὁμώνυμον φυτὸν, Ἀπόλλων θεασάμενος ἐξεπλάγη· καὶ τὸ μὲν δένδρον ἀπὸ τῆς παρθένου δάφνην προσηγόρευσεν ὁμωνύμως· λαβὼν δὲ τὸν κλάδον αὐτὸς ἐστέψατο.

Digitized by Google

V. 15. χρυσίῳ ἀνὰ σκήπτρῳ — περὶ τῷ κεχρυσωμένῳ σκήπτρῳ· ὃ ἐστι τῇ χρυσῇ ῥαύδῳ τῇ βασιλικῇ· ἵνα εἰ μὲν εἴην Θεοσεβεῖς, τὸ στέμμα· εἰ δὲ φιλοχρήματοι, τὰ ἄποινα· εἰ δὲ οἰκτίρμονες, τὸ γῆρας αἰδεσθῶσιν· ὁ δὲ ῥίζος ἔχει τὴν καλυμένην περὶ τὸ μέτρον συνίζησιν.

V. 18. Ὀλύμπια — Ὄλυμπος κατὰ μὲν Ὅμηρον ὄρος τῆς Μακεδονίας· μέγιστον ἱερὸν τῶν Θεῶν· κατὰ δὲ ἀλληγορίαν, Ὀλυμπὸς ἐστιν ὁ οὐρανός, οἱονεὶ ὁλολαμπὴς τίς ὤν. Διατί ὁ Χρύσης κατὰ τῶν οἰκείων ηὔχετο; λέγομεν δὲ ὅτι πρῶτον ἔδει κολακεύειν τὸν τύραννον· καὶ ταῦτα λέγειν, ἅπαρ ἐπεθύμει θράσειν· δεύτερον δὲ, ὅτι διὰ τοὺς Τρῶας ἀπωλώλειπε τὴν θυγατέρα· ὅθεν εὐλόγως κέχρηται ταῖς ἀραῖς κατ' αὐτῶν· ἡ γὰρ ἀνάγκη καὶ τοῖς οἰκοίοις αὐτοῦ ἐπαρᾶσθαι ποιεῖ καὶ εἰκότως· οὐκ ἀνασχόμενοι γὰρ λέγειν Ἀλέξανδρον, αὐτῷ καὶ τοῖς ἀγχιστεύουσιν κακῶν πρόξενοι γεγένηνται.

V. 24. Θυμῷ — τῇ ψυχῇ· κυρίως δὲ λέγεται Θυμὸς μέρος τῆς ψυχῆς τρία αὐτῇ εἶναι μέρη ὁ Πλάτων φησί· τὸ μὲν λογικὸν, τὸ τῇ κεφαλῇ καθιδρυμένον· τὸ δὲ Θυμικὸν, τὸ ἐν τῇ καρδίᾳ· τὸ δὲ ἐπιθυμητικὸν, τὸ ἐν τῷ ἥπατι· τὸ περὶ γαστέρα καὶ τὰ λοιπά· καὶ τοῦ μὲν λογικοῦ, ἀρετὴ φρόνησις· κακία κακία· τοῦ δὲ Θυμικοῦ, ἀρετὴ ἀνδρεία· κακία κακία· τοῦ δὲ ἐπιθυμητικοῦ, ἀρετὴ ἐγκράτεια· κακία κακία δέ, ἀκαισία· ποτὲ μὲν οὖν ὁ Θυμὸς παρὰ τῷ ποιητῇ σύμπασαν τὴν ψυχὴν σημαίνει· ὡς ἐν τούτῳ — ἔνθ' ὅγε τοὺς ἐξενάριζε· φίλον δ' ἐξαίνυτο Θυμόν — ἐνίοτε δὲ τὰ μέρη αὐτῆς· τὸν μὲν λογισμὸν οὕτως — ἕτερος δέ με Θυμὸς ἔρυκε — τὸ δὲ Θυμικὸν οὕτως — σὺ δὲ μεγαλήτορα Θυμὸν — ἴσχε ἐνὶ στήθεσσι φιλοφροσύνη γὰρ ἀμείνων — τὸ δὲ ἐπιθυμητικὸν οὕτως — ὦ Θυμῷ εἴξας μίγη φιλότητι καὶ εὐνῇ.

Digitized by Google

V. 26. κιχείω — καταλάβω· μετὰ σπουδῆς ὁ Ἀγαμέμνων ἀπελαύνει τὸν Χρύσην· εἰδὼς ὅτι παρὼν δυσωπεῖ τοὺς Ἕλληνας· καὶ οὐ τοῦτο δὲ λέγει ὅτι γηράσας αὐτὴν ἀποδώσει, ἀλλ' ὅτι πρότερον γηράσει, ἢ ἐκείνῳ ἀποδοθήσεται· ἀποτρέπει δὲ αὐτόν· ἀρκετὸν γὰρ τὸ μὴ ἐπιτρέπειν τοῖς ἀρχομένοις τὰς κρίσεις· ἄλλως οὐκ ἐπεκυρηκεύσατο· ἀλλὰ τὸ τοῦ βασιλέως γέρας ᾔτει παρὰ πρύμνῃ Ἀγαμέμνονος· ὥς που καὶ ἀλλαχοῦ φησί· τῷ δὲ Ἀγαμέμνονι, ἀντὶ γενικῆς.

V. 27. ἢ νῦν — ἢ ἐν τῷ παρόντι καιρῷ· τὸ νῦν τὸν ἐνεστῶτα μέλλον ἐσήμανε.

δηθύνοντα — ἐνχρονίζοντα, ἀπὸ τοῦ δῆθα.

ἢ ὕστερον — ἢ ἐκ δευτέρου· ἐκ τῆς ὑποπροθέσεως ὑπότερον· καὶ κατὰ συσκοπὸν ὕστερον·

V. 28. μὴ νύ τοι — μὴ οὐκ ἄν σοι ἀναιρεῖ τὴν ἐλπίδα· μή ποτε καὶ αὐτὸς ὁ θεὸς τῆς σῆς ἀναιδείας οὐκ ἀνασχόμενος περιόψεταί σε· ἢ ὡς πορθούμενον παρίδῃ (ἐρείδῃ) πάντως καὶ φονευόμενον.

σκῆπτρον — ἡ βασιλικὴ ῥαῦδος· παρὰ τὸ σκήπτεσθαι τὸ ἐπερείδεσθαι.

V. 30. ἐν Ἄργεϊ — ἐν τῷ Ἄργει· ὅ ἐστι τῇ Πελοπονήσῳ νῦν καλουμένῃ· ὁ δὲ Ἀγαμέμνων ἦν τῆς Μυκήνης πόλεως αἰγιαλικῆς· ἡ γὰρ Πελοπόνησος τὸ ἀρχαῖον Αἰγιάλεια ἐκαλεῖτο, ἀπὸ Αἰγιαλέως τοῦ υἱοῦ Ἰνάχου, τοῦ ἐν Ἀργεῖ ποταμοῦ, καὶ Μιλίας τῆς ὠκεανοῦ· ὕστερον δὲ πάλιν, Ἀπία ἐκλήθη· ἀπὸ Ἄπιδος Φορωνέως παιδός· εἶθ' οὕτως Ἄργος, ἀπὸ Ἄργου τοῦ πανόπτου· τελευταῖον δὲ πάντων, Πελοπόνησος ἀπὸ τοῦ κρατῆσαι τῆς χώρας τὸν Ταντάλου υἱὸν Πέλοπα. Ἰστέον δὲ ὅτι τὸ παλαιὸν ἡ Πελοπόνησος εἰς πέντε διῃρεῖτο μοίρας· Ἀργολικήν· Πυλικήν· Λακωνικήν· Μεσηνικήν· Καδικήν· Ἰστέον ὅτι αἱ τοιαῦται δοτικαὶ, ἐὰν μὴ ἐπιφέρηται σύμφωνον, διαιροῦνται — Διομήδεϊ Παλλὰς

Digitized by Google

Ἀθήνη — εἰ δὲ φωνῆεν, οὐχί — σῷ θάρσει ὅτ' ἐμόν — ἐὰν μὴ κωλύῃ μέτρον· οἷον — ἐν δὲ φάει κάλεσον χαριζομένη πόσεϊ ᾧ — τινὰ δὲ καὶ χωρὶς μέτρου παρήλλακται — πλήθει πρόσθ' ἔβαλον, μετέπειτα δὲ ἡδέϊ οἴνῳ.

V. 31. ἱστὸν ἐποιχομένην — ἱστουργοῦσαν, καὶ ὑφαίνουσαν· διατί ἐπάγει τοῖς τέκνοις καὶ τῇ γαμετῇ τὴν αἰχμάλωτον; ὅτι οὐ δι' ἐπιθυμίαν αὐτὴν τοσοῦτον ἀσπάζει, ἀλλὰ διὰ στρατιωτικὴν ὕβριν· ἵν' ἅπερ Μενέλαος ἐπεπόνθει, τὰ αὐτὰ καὶ αὐτὸς ἀντιδράσῃ· ὡς καὶ ὁ Νέστωρ φησί — τῷ μήτις πρὶν ἐπειγέσθω οἶκον δὲ νέεσθαι — πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι· — καὶ τὰ ἑξῆς.

καὶ ἐμὸν λέχος ἀντιόωσαν — καὶ τῆς ἐμῆς κοίτης ἀντιλαμβανομένην καὶ μετέχουσαν· λέχος δὲ ἡ κοίτη· τοῦ ἐμοῦ λέχος μεταλαμβάνουσαν· ἀντιοῶν ταύτης τὲ ἐστὶ σχῆμα ἀντὶ τοῦ ἐμοῦ λέχους· ἐφύβριστος δὲ ἡ παρὰ πολεμίοις μίξις· καὶ τοῦτο παρθένῳ· φησὶ γεῦν — ἄλοχοι δ' ἄλλοισι δαμεῖεν — ὅτι δὲ ἐφ' ὕβρει φησὶν αὐτῆς χρήσασθαι·

Ὅρα πῶς τῇ ὑπηρεσίᾳ τοῦ ἱστοῦ συμπεριέλαβε τὸ λέχος· a) αἱ πάλαι γυναῖκες ἱστῶσαι ὕφαινον, καὶ ἐπιπορευόμεναι τὸν ἱστόν· πρώτην δὲ γυναῖκα Αἰγυπτίαν Ὑρ τὸ ὄνομα καθεζομένην ὑφάναι φασίν· ἀφ' ἧς Αἰγύπτιοι τῆς Ἀθηνᾶς ἄγαλμα ἱδρύσαντο, ὥς φησιν Ἔφορος ἐν τοῖς εὑρήμασι.

V. 32. μὴ μ' ἐρέθιζε — μὴ μὲ παρόξυνε· τὰ γὰρ ἀποθύμια ἐρεθιστικὰ ἡγούμεθα εἶναι παρὰ τὸ ἐρέθω, ἐρεθίζω.

V. 33. ἔδδεισεν — ἐφοβήθη· εὐλαβήθη· λίαν ἀνέλπιδος

a) Similia ab Eust. p. 31. memorantur, qui tamen Ephorum non citat, neque nomen mulieris aegyptiae tradit; en eius verba: Ἑστῶσαι γὰρ καὶ ἐπιπορευόμεναι ὕφαινον αἱ ποιούμεναι τὴν ἱστουργίαν, διὰ τὴν τῶν ὑφαινομένων ὡς εἰκὸς πλατύτητα· πρώτη δέ τις Αἰγυπτία γυνὴ, καθεζομένη ὕφανεν· ἀφ' ἧς καὶ Αἰγύπτιοι Ἀθηνᾶς ἄγαλμα καθημένης ἱδρύσαντο.



Digitized by Google

γενομένου, ἄπεισι· διδάσκει δὲ ὁ ποιητὸς εἴκων ταῖς ὑπερβολαῖς.

καὶ ἐπείθετο — ἀντὶ τοῦ οὐ κατέπρασσεν· οἰκείως δὲ τὸν ἠτιμασμένον καὶ φοβούμενον γέροντα καλεῖ πλεονεκτιζόμενον.

V. 34. βῆ — ἔβη, ἐπορεύθη· τὸ σχῆμα ἀφαίρεσις Ἰωνικὴ καὶ ποιητική.

ἀέκων — ἡσυχάζων. σιωπῶν· παρὰ τὴν ἀκοήν· τοῦτο παρὰ τὸ χέω· ἀκέω καὶ ἀκήν.

παρὰ θῖνα — παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης, ὃς οὕτω καλεῖται ἀπὸ τοῦ θίνεσθαι, ὅ ἐστι τύπτεσθαι τῇ προῤῥήξει τῶν κυμάτων· ἔστι καὶ ἀρσενικόν· — ἐκβάντες ἐπὶ θῖνα βαθὺν καὶ ὑπήνεμον.

πολοφλοίσβοιο θαλάσσης — πολυήχου, πολυταράχου· ὀνοματοποιΐα ὁ τρόπος.

V. 36. ἄνακτι — τῷ βασιλεῖ· νῦν δὲ θεῷ, τῷ Ἀπόλλωνι· ἢ ὅτι αὐτός ἐστι, τῷ ἡλίῳ, μείζων δὲ τῶν φαινομένων, ἢ ὡς μουσικὸν αὐτὸν ἄνακτα ὁ ποιητής φησι τῷ ἰδίῳ ἄνακτι.

ἠΰκομος — εὔκομος· ἀπὸ μέρους καλή· ὁ τρόπος παραβολή· ἔγνωμεν γὰρ ὅτι Λητοῦς καὶ Διὸς υἱός· ἐκτέταται δὲ διὰ τὸ μέτρον.

Ὅρα δὲ κατὰ ἀλληγορίας τάδε· ὁ κατὰ φυσικὸν λόγον Ἀπόλλων ἥλιος ὤν, ἀνατείνει τὰ ὑγρὰ στοιχεῖα· Ἀθηνὰ δὲ, ἡ φρόνησις· Ἄρης δὲ, ἀφροσύνη· Ἀφροδίτη, πορνεία· ἐναντία δὲ καὶ πολέμια ταῦτα ἐστὶν ἀλλήλων· Ἥρα δέ ἐστιν ἀήρ· Ἄρτεμις δὲ, σελήνη· ἀερότομος τίς οὖσα, ἡ τὸν ἀέρα τέμνουσα· Ἑρμῆς δέ ἐστιν ὁ λόγος· Λητὼ δὲ, ἀμνημοσύνη, οἷον ληθότης τῶν λόγων· Ἥφαιστος δὲ, τὸ πῦρ· Ξάνθος δὲ, τὸ ὑγρόν· ἀλλότριον δὲ τὸ πῦρ τοῦ ὑγροῦ·

Ἡ οὖν τῶν θεῶν μάχη περιέχει φυσικῶν στοιχείων πρὸς στοιχεῖα ἀντίταξιν, κακιῶν δὲ πρὸς ἀρετάς· Ἀπόλλων μὲν

Digitized by Google

γὰρ ἐναντιοῦται τῷ Ποσειδῶνι· τὸ μερικὸν πῦρ τῷ πάντη ὑγρῷ· Ἀθηνᾶ δὲ, ἀρετὴ, ἡ φρόνησις, τῷ Ἄρει τῇ ἀφροσύνῃ· Ἥρα δὲ, τῇ Ἀρτέμιδι· ὁ περίγειος ἀὴρ, τῇ σελήνῃ· Ἑρμῆς Λητοῖ· ὁ λόγος τῇ λήθῃ· Ἥφαιστος δὲ Ξάνθῳ· τὸ ὅλον πῦρ μένει τῷ ὕδατι. Τὸ μὲν γὰρ τῆς Σκελίας ὕδωρ κεκιρασμένον ἔχει πῦρ· καὶ φλόγα μὲν ὄψει κάτωθεν ἀπ' αὐτῆς ἀλλομένην ἄνωθεν. γῆθεν δὲ τὸ ὕδωρ ψυχρόν ἐστι, οἷόν περ χιών. οὕτω πυρὸς a) (τῆς μητροπόλεως τῶν Σάρδεων.)

V. 38. Κίλλαν τε ζαθέην. — Πέλοψ ὁ Ταντάλου κατὰ μισθὸν παιδικῆς ὥρας, λαβὼν παρὰ Ποσειδῶνος ἵππους ἀδαμαντοσυνῷ τῷ ὀχήματι, ἔσπευσεν εἰς Πίσσαν τῆς Λέσβου ἐπὶ τὸν τῆς Ἱπποδαμείας γάμον τὸν μνηστηροκτόνον αὐτῆς πατέρα Οἰνόμαον καταγωνίσασθαι ἐπιθυμῶν· γενομένῳ δὲ αὐτῷ περὶ Λέσβον, Κίλλος ὁ ἡνίοχος τελευτᾷ τὸν βίον· ὃς καὶ καθ' ὕπνον ἐπιφανεὶς τῷ Πέλοπι σφόδρα ὀδυνηρῶς ἐπ' αὐτῷ ἔχοντι, ἀπωδύρετό τε τὴν ἑαυτοῦ ἀπώλειαν, καὶ περὶ κηδείας ἠξίου· διόπερ ἀναστὰς, ἐξερυπάρει τὸ εἴδωλον διὰ πυρός· εἶθ' οὕτως ἔθαψε τὴν τέφραν ἐπιφανοῦς τῇ Κίλλῃ ἠρῖον ἐπ' αὐτῷ ἐγείρας· καὶ πρὸς τῷ ἠρίῳ καὶτῆ ἐδείματο ἱερὸν Κιλλαίῃ Ἀπόλλωνος προσαγορεύσας· διὰ τὸ αἰφνιδίως τὸν Κίλλον ἀποθανεῖν οὐ μὴν ἀλλὰ, πόλιν κτίσας, Κίλλαν ὠνόμασεν· ὁ μέν τοι Κίλλος, καὶ μετὰ θάνατον, τῷ Πέλοπι δοκεῖ συλλαβέσθαι, ὅπως περιγένηται τοῦ Οἰνομάου περὶ τὸν δρόμον· ἡ δὲ ἱστορία παρὰ Θεοπόμπῳ.

Τενέδιόν τε. — ἡ Τένεδος νῆσος ἐστὶ πρὸ τῆς Τροίας κειμένη· σῦπω δὲ πρότερον τοῦτο εἶχε τὸ ὄνομα· καὶ γὰρ οὐδὲ Κύκνῳ τοῦ Ποσειδῶνος Τέννης ἦν καὶ Λευκοθέα· Λευκόφρυν δὲ αὐτὴν οἱ πρότερον ὠνόμαζον· ἐπειδὴ δὲ ἄρα τῷ Κύκνῳ ἐγενήθησαν ὁ Τέννης καὶ ἡ Λευκοθέα, ἡ μὲν

a) Haec manu recentioni notantur. et scholiis extranea.

Digitized by Google

μήτηρ αὐτῶν οὐκ ἔτι ἦν. ἐπέγημε δὲ ὁ Κύπνος Φυλονόμην ἢ ὡς ἔνιοι, Πολύβοιαν· ἡ Φυλονόμη δὲ, καὶ γὰρ εἰς ἄνδρας ἐτέλη ἤδη ὁ Τέννης, ἐρασθεῖσα αὐτοῦ, λόγους περὶ συνουσίας ἠνέγκατο πρὸς αὐτόν. τοῦ δὲ τοῦ πατρὸς τὴν κοίτην δικαίως τηρήσαντος, κατηγορήσατο πρὸς τὸν πατέρα αὐτοῦ ὅτι ἐτεθελήκει αὐτὴν βιάσασθαι· ὁ δὲ πιστεύσας τῇ κατηγορίᾳ, σύλλαβὼν τὸν παῖδα, ἐνέβαλεν εἰς λάρνακα· καὶ ἐρρίψεν εἰς τὴν ὑποκειμένην θάλασσαν· ὃν διὰ σωφροσύνην καὶ διὰ τὸ εἶναι αὐτῷ υἱωνὸν, ἔσωσεν ὁ Ποσειδῶν· τὴν γὰρ λάρνακα προσενεχθῆναι τῇ Λευκόφρυϊ νήσῳ ἐποίησεν· ἣν καὶ θεασάμενοι καὶ ἀφελόντες ἐπιχώριοι τὰ ἐπίθεμα, μαθόντες τὰ τὸ γεγονὸς, οὐ μόνον ἑαυτὸν τοῦτον βασιλέα κατεστήσαντο, ἀλλὰ καὶ ἀπ' αὐτοῦ Τένεδον τὴν νῆσον προσηγόρευσαν.

V. 39. Σμινθεῦ — ὦ Σμίνθιε Ἀπόλλον· ἔστι δὲ ἐπίθετον Ἀπόλλωνος· Σμίνθος γὰρ τόπος τῆς Τρῳάδος· ἐν ᾧ ἱερὸν Ἀπόλλωνος Σμινθέως· ἀπὸ αἰτίας τῆσδε· ἐν Χρύσῃ πόλει τῆς Μυσίας Κρίνις τις ἦν ἱερεὺς Ἀπόλλωνος τοῦ ἐκεῖσε· τούτῳ ὀργισθεὶς ὁ θεὸς, ἔπεμψεν τοῖς ἀγροῖς αὐτοῦ μύας· οἵτινες τὰς καρπὰς ἐλυμαίνοντο· βουληθεὶς δέ ποτε ὁ θεὸς αὐτῷ καταλλαγῆναι, πρὸς Ὄρσιν τὸν ὀφιβουκόλον αὐτοῦ παρεγένετο· παρ' ᾧ ξενισθεὶς ὁ θεὸς, ὑπέσχετο κακῶν ἀπαλλάξαι· καὶ δὴ παραχρῆμα τεξεύσας τοὺς μῦς, διέφθειρεν· ἀπαλλαξάμενος οὖν, ἐνετείλατο τὴν ἐπιφάνειαν αὐτοῦ δηλῶσαι τῷ Κρίνιδι· οὗ γενομένου, ὁ Κρίνις ἱερὸν ἱδρύσατο τῷ θεῷ· Σμινθέα αὐτὸν προσαγορεύσας· ἐπεκράτησε κατὰ τὴν ἐγχώριον αὐτῶν διάλεκτον, οἱ μῦες σμίνθοι καλοῦνται· ἡ δὲ ἱστορία παρὰ Πολέμωνι· ἄλλοι δὲ οὕτως εἶπον· ὅτι Κρῆτες ἀποικίαν στελλόμενοι, χρησμὸν ἔλαβον παρὰ τοῦ Ἀπόλλωνος, ὅπου αὐτοῖς ἐναντιωθῶσι γηγενεῖς, ἔλεγον δὲ περὶ μυῶν, ἐκεῖ κτίσαι πόλιν· οἱ δὲ ἀπέλυσαν τὰς ἀποί-

Digitized by Google

κους· ἐλθόντες δὲ εἰς τὸν Ἑλλήσποντον, καὶ τῆς νυκτὸς ἐπιγενομένης, μῦες ἔκαψαν αὐτῶν τοὺς τελαμῶνας τῶν ὅπλων· πρωὶ δὲ ἀναστάντες καὶ θεασάμενοι τοῦτο, σφισάμενοί τε καθ' ἑαυτούς, ἔκτισαν ἐκεῖ πόλιν· ἣν τινα ἐκάλεσαν Σμινθίαν· οἱ γὰρ Κρῆτες τοὺς μῦας, σμίνθους καλοῦσιν· ἐκ τούτου καὶ Ἀπόλλων Σμίνθιος ἐκλήθη, διὰ τὸ ὑπερασπίζειν αὐτῆς, ὁ κατὰ φυσικὸν λόγον Ἀπόλλων ἥλιος ὤν.

ἔρεψα — ὠρόφωσα, παρὰ τὸ ἐρέφω, ὅθεν καὶ εἰραφιώτης ὁ Διόνυσος λέγεται· ἐρράφετο γὰρ κισσῷ· ἢ ἀπὸ τῆ ἐρράφθαι αὐτὸν τῷ μηρῷ τοῦ Διός· ἢ παρὰ τὴν ἔριφον τροφὸν αὐτῆ γενομένην· ἢ παρὰ τῷ ἐρίφῳ αὐτὸν συναναστραφῆναι· ἢ παρὰ τὸ ἐρίφῳ αὐτὸν πλάκεσθαι· ἐξ ὅλων οὖν τῶν ἐτυμολογιῶν ἡ εἰ δίφθογγος αἰτῆται· μηδεὶς δὲ ἡμᾶς νεμεσητὸν ἀποφήνειν ὡς εἰπὴ τὸ εἰραφιώτης ἐνταῦθα γράψαντας· οὐ γάρ ἐστι ποιητῆ, ἀλλ' Ἀλκαῖε (sic) ἐρράφθω γὰρ ἄναξ.

V. 41. τόδέ μοι — τοῦτο δέ μοι· ἀξύνεται τὸ το δεικτικῶς· ὡς ἐπὶ τοῦ Κύκλωπος — τόδέ τοι ξεινήϊον ἔσω — τὸ τόδε Ἀρίσταρχος δύο μέρη λόγου. Ἡρωδιανὸς, ἓν· Ἀρίσταρχος ἀξύνει τὸ δέ· ὁμοίως τὸ — τό δέ τοι ξεινήϊον ἔσω — ἵν' ᾖ δύο μέρη λόγου· Πτολεμαῖος δὲ ἐν ποιῶν, ἐπὶ τὸ το τίθησι τὴν ὀξείαν· ἐπίσῃ δὲ ἡ παράδοσις Ἀριστάρχου·

κρήηνον — ἐπιτέλεσον· κρανῶ, ἐπιτελέσαι οἷον· περικεραλὴν ἐπιθεῖναι τῷ πράγματι· γίνεται δὲ ἐκ τοῦ κρανῶ, ἔκρηνα, κρήνον, καὶ πλεονασμῷ κρήτηνον.

V. 42. τίσειαν — τιμωρίαν δοῦναι, ὅ ἐστι παράσχοιεν· ἤτοι τιμήσειαν τὰ ἐμὰ δάκρυα τοῖς σοῖς βέλεσιν· ἀναγκασθέντες ἢ ἀντὶ τῶν ἐμῶν δακρύων τιμωρίαν δοῦναι τοῖς σοῖς βέλεσιν, ὥστε εἶναι αἰτιατικὴν ἀντὶ γενικῆς.

Διατί δὲ ὁ Ἀπόλλων ὑπὲρ τοῦ Χρύσου οὐ τὸν Ἀγαμέμνονα, ἀλλὰ τοὺς Ἕλληνας ἐτιμωρήσατο, καίτοι οἱ μὲν

Digitized by Google

ἐκέλευον — αἰδεῖσθαι δ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα — ἀλλ' σὺκ Ἀτρείδῃ Ἀγαμέμνονι ἤνδανε θυμῷ; — ἢ ὅτι ἅτως ἠύξατο ὁ ἱερεὺς — τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσι — διατί ὁ ἱερεὺς οὕτως ηὔξατο ἀδίκως, τίσειαν Δαναοί; ἢ ὅτι εἰ μὲν ὁ Ἀγαμέμνων ἀπώλετο, ᾤχοντο ἂν ἀποπλέοντες, καὶ οὐδ' ἀπεδόθη ἡ Χρυσηΐς· σωζομένου δὲ τοῦ βασιλέως, ὁρῶντες τὰ γενόμενα, μένειν τε ἔμελλον καὶ ἀποδώσειν ἐκβιάσασθαι τῷ αἰτίῳ τῆς μήνιδος τὴν Χρυσηΐδα·

Δαναοί — οἱ Ἕλληνες, οὕτως. Βῆλος ὁ Ἀγήνορος μὲν ἀδελφός, υἱὸς δὲ Ποσειδῶνος καὶ Λιβύης· ἀφ' ἧς ἡ χώρα ὠνόμασται Λιβύη· βασιλεύων Αἰγυπτίων, γαμεῖ Ἀγχιόνην τὴν Νείλου θυγατέρα· καὶ αὐτῷ γίνονται παῖδες δίδυμοι, Αἴγυπτος καὶ Δαναός· Δαναὸν μὲν οὖν Βῆλος ἐν Λιβύῃ κατοικίζει· Αἴγυπτον δὲ ἐν Ἀραβίᾳ· ὃς κατασχεθέμενος τὴν τῶν Μελαμπόδων χώραν, ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον· γίγνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν πεντήκοντα παῖδες· Δαναῷ δὲ θυγατέρες πεντήκοντα· στασιασάντων δὲ αὐτῶν περὶ τῆς ἀρχῆς, ὕστερον Δαναὸς τοὺς τοῦ Αἰγύπτου παῖδας δεδοικὼς, καθότι καὶ ἐκ χρησμοῦ ἠκηκόει, ὅτι φονευθήσεται ὑπὸ ἑνὸς αὐτῶν, Ἀθηνᾶς ὑποθεμένης αὐτῷ, ναῦν πρῶτος κατεσκεύασε τὴν κληθεῖσαν, ὡς ἀπὸ τοῦ ἀριθμοῦ τῶν θυγατέρων αὐτοῦ, Πεντηκόντορον· ἐν ᾗ τὰς κόρας ἐνθέμενος ἔφυγε· προσχὼν δὲ τῇ Ῥόδῳ τὸ τῆς Ἰνδίας Ἀθηνᾶς ἄγαλμα ἱδρύσατο· ἐντεῦθεν δὲ ἦκεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ παραδίδωσιν Ἑλλάνωρ ὁ τότε βασιλεύων· αὐτὸς δὲ κρατήσας τῆς χώρας, ἀφ' ἑαυτοῦ τοὺς ἐνοικοῦντας, Δαναοὺς ὠνόμασεν, ὡς ἱστορεῖ Ἀπολλόδωρος.

Διατί δὲ ὁ Χρύσης οὐ κατὰ Ἀγαμέμνονος ηὔχετο τοῦ ὑβρίσαντος αὐτὸν, ἀλλὰ κατὰ πάντων τῶν Ἑλλήνων; φαμὲν,

Digitized by Google

ὅτι Ἀγαμέμνονος ἀποθανόντος ὁ στρατὸς ἐλύετο· καὶ Χρυσηὶς εἰς Ἑλλάδα ἀπήγετο· ἀναιρουμένων δὲ τῶν ὄχλων, ζήτησις ἦν τοῦ πάθους· ἀπόδοσις δὲ τῆς κόρης· καὶ ἀποθανὼν μὲν Ἀγαμέμνων, ἄλυπος ἦν· ζῶν δὲ, βασανίζεται, βλέπων ἅτε βασιλεὺς ἀπαλλυμένους τοὺς ὄχλους· ἤ, ὅτι πᾶσιν ἠράσατο, ἀνθ' ὧν πάντες ὁμῶ γενόμενοι, οὐκ ὑπέσχον τὴν τοῦ βασιλέως ὕβριν· δικαίως οὖν αὐτοὶ ἔπαθον· καὶ γὰρ Ἡσίοδος φησί — πολλάκι καὶ ξύμπασα πόλις κακῆ ἑνὸς ἀνδρὸς ἀπηύρα..

V. 43. τοῦ δ' ἔκλυε — τούτῳ δὲ ἐπήκουσε· συνητίμασο γὰρ τῷ ἱερεῖ· καὶ ὅτι Τρωϊκός ἐστιν ὁ Θεὸς· ἀπολίτευτον δὲ τὸ πρὸ τῆς εὐχῆς ἐπικουρῆσαι· διδάσκει οὖν ὅσον ὀνίνησι θυσία καθαρά· ὅσον δὲ ἀνωφελὴς ἡ μυσαρά· a) « οἷα Αἰγίσθῳ· πολλὰ δ' ἀγάλματα ἀνῆψεν ».

Φοῖβος — καθαρὸς, ἀμίαντος, ἢ μαντευτικός· φοῖβον δὲ τὸν καθαρόν· Ἡσίοδος δέ, b) μαμμωνυμικῶς, Φοῖβον αὐτὸν καλεῖ ἐκ Φοίβης.

V. 44. κήρ — ἀξυτόνως μὲν τὴν ψυχήν· περισπωμένως δὲ τὴν θανατηφόρον μοῖραν· εἴρηται δὲ κὴρ παρὰ τὴν καύσην· τὸ γὰρ ἔμφυτον, θερμὸν τῇ ψυχῇ· ἔνιοι δέ φασι περισπωμένως τὴν λέξιν δηλοῦν τὴν ψυχήν.

V. 48. ἔπειτα — μετὰ ταῦτα· τῷ ἔπειτα προσετέθη ἡ ἐπὶ πρόθεσις· λοιπὸν γέγονεν ἐπίειτα, καὶ κατὰ κράσιν ἔπειτα, καὶ ἀπετελέσθη σύνδεσμος.

ἰὸν — τὸ βέλος· διὰ τὸ βλαπτικὸν ἤδη ἰὸς ὀνομάζει.

V. 49. βιοῖο — τῆς τοῦ τόξου νευρᾶς· ἀριστάρχειος ὁ τῆς βιὸς ἐξυτόνου, διὰ τὴν πρὸς τὸν βίον· c) ἀντεπιβουλήν· ἔοικε

a) Uncis contenta excerpsi e Cod. Palatino Vaticano, qui scholia nonnulla, et Pselli continet παράφρασιν. b) Vide Bongiovanni notationem in hunc locum Homeri, et Wassenb c) Sic

Digitized by Google

δὲ ἀπὸ τῶν παλαιῶν λέγεσθαι βιὸς τὸ τόξον καὶ ἡ ζωή· Ἡράκλειτος οὖν ὁ σκοτεινὸς τῷ οὖν τόξῳ ὄνομα βιὸν, ἔργον δὲ θάνατος, ἤτοι οὖν παρὰ τὴν ὕλην τοῦ ὅπλου οὕτω κεκλῆσθαι, ὅτι δι' αὐτὰ τὰ πρὸς τὸν βίον οἱ ἀρχαῖοι εἶχον ἐν ταῖς θύραις αὐτῶν χρώμενοι.

V. 50. οὐρῆας — ὀρεῖς, ἡ αἰτιατικὴ· ἀπὸ τοῦ ὀρεὺς ὀρέως· καὶ Ἰωνικῶς οὐρῆας·

Διατί δὲ ἀπὸ τῶν κυνῶν καὶ ἡμιόνων ὁ λοιμὸς ἤρξατο, καὶ οὐκ ἀπὸ τῶν Ἑλλήνων, οὐδὲ ἀπὸ ἄλλου τινὸς ζώου; καὶ οἱ μὲν ῥητορικῶς λύοντες, φασίν· ὅτι φιλάνθρωπον ὂν τὸ θεῖον, ἐβέλετο παιδεῦσαι τοὺς Ἕλληνας, καὶ μὴ παντάπασιν ἀπολέσθαι· καὶ διὰ τοῦτο πρότερον ἀπὸ τοιούτων τῶν ζώων ἤρξατο· μετάνοιαν τοῖς ἁμαρτάνουσι δεδούς· οἱ δὲ ἀληθέστερον καὶ φιλοσοφώτερον λύοντες, φασίν· ὅτι ἅπας μὲν λοιμὸς ἀπὸ ἐκφλογώσεως γίνεται, γῆθεν ἀναφερόμενος ἐξ ἀναθυμιάσεως. διὸ καὶ τὸν Ἀπόλλωνα φασὶν αἴτιον· ἐπεὶ ὁ αὐτὸς εἶναι λέγεται τῷ ἡλίῳ τῷ καταφλέγοντι τὴν γῆν· ἐκ γῆς δὲ γινομένης τῆς νόσου, ἀναγκαῖον τοὺς κύνας πρώτους ἁλῶναι τῆς βλάβης, ὅτι τε καὶ αἰσθητικώτερα εἰσὶ τὰ ἄλογα ζῶα φύσει τῶν ἀνθρώπων, καὶ ὅτι κάτω νεύουσι πρὸς τὴν γῆν, καὶ ἀνηχνεύουσι· τοὺς δὲ ἡμιόνους, οὐ διὰ τὸ κάτω νεύειν μόνον, ἀλλὰ καὶ διὰ τὸ ἐκ διαφόρων σωμάτων εἰληχέναι τὴν γένεσιν· πᾶν γὰρ τοιοῦτον εὐδιέφθαρτον· δεκάτῃ δὲ ἡμέρᾳ φανερὸν γεγενῆσθαι εὐλόγως· κατ' αὐτὸν δὲ τὸν ποιητὴν τὸ θεώρημα δοῦσαν, τῇ δὲ δεκάτῃ διαφαίνεται τὸ νοσῶδες, τοῦ ἀέρος ἐνταῦθα πάντως καθιζάνοντος· ὡς περ καὶ αὐτὸς ὁ ποιητὴς δεδήλωκεν Ἀχιλεῖ· Ἀχιλεὺς γὰρ Χείρωνος ὢν μαθητὴς, καὶ τὴν ἰατρικὴν τέχνην σα-

videtur in codice ex apicibus litterarum, quae supersunt in charta omnino *deperditarum*.

Digitized by Google

φῶς ἐπισάμενος, ἐκ τῆς τοῦ ἀέρος κατασάσεως ἐστὶ μαθών· τὸ γὰρ τῆς Ἥρας ὄνομα παρὰ τὸν ἀέρα πεποίηται· ἐπεί, τίνος ἕνεκεν Νέστωρ, ἢ Ὀδυσσεὺς, ἢ Μενέλαος, οὐδὲν ἧττον τῶν Ἑλλήνων φροντίζοντες, οὐ ζητοῦσιν αἴτιον τοῦ λοιμοῦ;

Κύων γίνεται παρὰ τὸ κύω ῥῆμα, ὁ σημαίνει τὸ φιλῶ· τοιοῦτον γὰρ τὸ ζῶον· ἱλαρὸν ἀεὶ περὶ τοὺς οἰκείους· καὶ οἱονεὶ ἀσπαζόμενον αὐτούς· φιλάνθρωπος ὢν ὁ Θεὸς, πρῶτον τοὺς ἡμίονους καὶ τοὺς κύνας, καὶ τὰ ἄλλα ζῶα ἀναρεῖ, ἵνα διὰ τούτων εἰς δέος ἀγαγὼν τοὺς Ἕλληνας ἐπὶ τὸ εὐσεβεῖν παρακαλέσῃ· ἢ ὅτι αἱ ἡμίονοι καὶ αἱ κύνες τὴν αἴσθησιν τῆς ὀσφρύσεως ἐνεργέστεραν ἔχουσιν· οἱ μὲν γὰρ κύνες ἀπὸ τῆς ὀσφρύσεως τῶν ἰχνῶν ἐν αἰσθήσει τῶν θηρίων γίνονται· αἱ δὲ ἡμίονοι πολλάκις ἀπολειφθῆσαι τινῶν ἀπὸ τῆς ὀσφρύσεως καὶ τὰς ὁδοὺς ἀνευρίσκουσιν.

V. 51. (αὐτὰρ) διαφέρει δὲ ὁ αὐτὰρ τοῦ δέ· ὅτι ὁ μὲν αὐτὰρ προτάσσεται· τὸ δὲ ὑποτάσσεται.

ἐχεπευκές — ἔχον πικρίαν· ἀπὸ τῆς πεύκης ἡ μεταφορά· καὶ γὰρ ἡ πεύκη κοπεῖσα, οὐκ ἀνίησι βλαστόν· καὶ τὸ δάκρυον αὐτῆς πικρὸν, ἢ πίσσα δηλονότι·

V. 52. νεκύων — τῶν νεκρῶν. τὸ γὰρ παλαιὸν τὰ σώματα τῶν θνησκόντων πρότερον ἐκαίετο, διὰ τὸ ἀπόρθητα γίνεσθαι· εἶθ' οὕτως ἐθάπτετο ὑπὸ γῆν· ἡ δὲ αἰτία τοῦ καίεσθαι τὰ σώματα παρὰ τοῖς Ἕλλησι· πρῶτος φασὶν οὗτος ἐτάφη Ἀργεῖος ὁ Λικυμνίου δι' ἀνάγκην ὑπὸ Ἡρακλέους· συναγαγόντος γὰρ φασὶν στρατιὰν ἐπὶ τὴν Ἴλιον Ἡρακλέους, διὰ τὸ τὸν Λαομέδοντα παρὰ σύνταξιν ποιῆσαι Ἡρακλεῖ σώσαντι τοῦ κήτους τὴν θυγατέρα αὐτοῦ Ἡσιόνην, καὶ μὴ δοῦναι τοὺς ἵππους, οὓς ὑποσχόμενος ἦν αὐτῷ ὑπὲρ τῆς τοσαύτης εὐεργεσίας, ἐπιζήτει καὶ τὸν Ἀργεῖον ὡσανεὶ οἰκεῖον, Λικυμνίου δὲ φασὶ τὸν πατέρα Ἀργείου

Digitized by Google

παλιμπλαχθέντας — εἰς τοὐπίσω πλανηθέντας· ἀπελθεῖν νῦν ὑμᾶς εἰς τοὐπίσω πλανηθέντας· ὑπολαμβάνω μάτην ἐπανακάμψειν εἰς τὰ οἰκεῖα, ἐάν περ δὴ ὅλως τὸν θάνατον ὑπεκφύγωμεν· ὅτι οὐκ ἐκ ῥήματος ἡ σύνθεσις τῆς μετοχῆς, ἀλλὰ συντέθειται δὴ τῷ ἄψ ἀπονοσ-ήσειν·

V. 60. ἀπονοσ-ήσειν — ἐπανελθεῖν· ὑποσ-ρέφειν· νόσ-ος γὰρ ἡ εἰς οἶκον ὑποσ-ροφή· παρὰ τὸ τῆς πατρίδος ἠδύ·

V. 62. μάντιν ἐρείομεν — γένος τί ἡ μαντικὴ διαιρούμενον εἰς τρία εἴδη· εἰς οἰωνοσκοπίαν· ἀροσκοπίαν· καὶ εἰς τὴν διὰ τῶν ὀνειράτων· ταῦτα αὐτῆς τὰ κύρια καὶ κεφαλαῖα· ἔχει καὶ ἄλλας ὑποδιαιρέσεις, διὰ ξυμμιαμάτων· καὶ διὰ τῆς τομῆς τῶν ζώων, καὶ ἡπάτων καὶ τῶν λοιπῶν. Ἡροδιανὸς τελείαν δίδωσι· καὶ κενὸν τὸ μαντεῖον· ὁ δὲ Πορφύριος μάντιν τὸν δι' οἰωνῶν σημείων ἢ τεράτων μαντευόμενον· ὀνειροπόλον δὲ, τὸν ὀνειροκρίτην· τὸν δι' ὀνείρων μαντευόμενον· — καὶ γὰρ τ' ὄναρ ἐκ Διός ἐσ-ι — τετέσ-ι σύναλοιφὴ ὄναρ, ὄνειρος·

V. 65. ἑκατόμβης — τελείας θυσίας· ἤτοι τῆς ἀπὸ ῥ βοῶν, ἢ τῆς ἀπὸ ῥ βημάτων· ὅ ἐσ-ιν, ἐξ εἴκοσι πέντε ζώων.

V. 76. τοὶ γὰρ ἐγὼν ἐρέω — ἐγὼ μὲν οὖν εἶπω· οὐκ ἔστιν ἀντωνυμία· οὐδέποτε γὰρ ἀρκτικὴ ἡ τοι, ἀλλὰ δὴ σημαίνει·

V. 78. χολωσέμεν — εἰς ὀργὴν ἐμβάλλειν· παρὰ τὸ χόλος· τοῦτο δὲ παρὰ τὸ χέω·

V. 80. χέρηϊ — ἔστι χρείων· χρείονος· χρείονι· καὶ κατὰ συγκοπὴν τῆς ον χέρειϊ, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δύο ιι, τροπῇ τῆς ει διφθόγγου εἰς η, χέρηϊ· καί ἐστι συγκριτικόν.

V. 81. κατασπέψῃ — κατίσχῃ· καταδαπανήσει· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν τῇ γαστρὶ πλείῳ χρόνῳ κατεχομένων σιτίων· διὰ τὴν πέψιν τὴν ἐν αὐτῇ γινομένην· παρὰ τὸ πέ-

Digitized by Google

πτων καὶ ἐν συνθέσει τῷ α ἀστεπτὼ Αἰολικῶς τροπῇ τοῦ πτ εἰς ψ πέψω.

V. 82. κότον — ὀργήν· ἔδειξε διαφορὰν τοῦ χόλου πρὸς τὸν κότον· διὰ πάντων δὲ ὑποφαίνει τὸ ὑπουλον Ἀγαμέμνονος, καὶ τὸ ἁπλῶν τοῦ Ἀχιλέως.

V. 86. οὐ μὰ γάρ — ὄμνυμι γάρ σοι ἢ οὔ· ἀσαμοτικῶς πεπλεόνασε δὲ ἡ οὔ, κατὰ Ἀττικὴν συνήθειαν.

V. 89. βαρείας χεῖρας — τὰς ὑβριστικὰς, ὅπλῳ βεβαρημένας πανοπλαγμένας καὶ δεισιδαίμων ὁ λόγος· συνέβαινε γὰρ ἀποδημοῦντος αἰκισθῆναι τὸν μάντιν·

V. 98. ἐλικώπιδα — μελανόφθαλμον· ἀφ' οὗ, εὐπρεπῆ· ἕλι γὰρ κατὰ διάλεκτον καλεῖται τὸ μέλαν· ἢ τὴν οὐ κτεννητὴν θέαν, ἢ τὴν ἀξιοθέατον· πρὸς ἣν πως ἐλίσσει τὴν θέαν.

V. 103. φρένες ἀμφιμέλαιναι — αἱ ἐν βάθει κείμεναι συνεταὶ διάνοιαι αὐτοῦ· ἢ αἱ τεταραγμέναι διὰ τὴν ὀργήν· Ἢ ἀμφὶ πρὸς τὸ ἐπίμπλαντο· ἀπὸ τῆς τῶν ὑδάτων μεταφορᾶς· εἰσὶ δὲ τῶν ἐντοσθιδίων αἱ φρένες πλευρῶν ὑφ' ἧπαρ καὶ φρένας· ἤδη δὲ οἱ νεώτεροι μελαίνας φρένας φασίν.

V. 104. ὄσσε — ὄμματα· ὀφθαλμοί· παρὰ τὸ ὄπτω· ὄσσω· ὡς πέτω πέσω· τὸ ὄσσας καὶ ὄσσε·

V. 106. μάντι κακῶν — συνετείνει δὲ τοῦτο, εἰς τὸ δεκαέτη μαντεύεσθαι αὐτὸν ἐν Αὐλίδι τὸν πόλεμον ὅσον ἀπὸ τοῦ συμβόλου τῶν σρυθῶν· Ἐντεῦθεν οἱ νεώτεροι ὁρμηθέντες ὅτι τῶν Ἑλλήνων ἐν Αὐλίδι πόλει τῆς Βοιωτίας ἀθροισθέντων, καὶ ἀπλοΐᾳ κατεσχεθέντων, a) Κάλχας ὁ μάντις ἐξεφώνησε μὴ δύνασθαι εἰς Ἴλιον ἐκπλεῦσαι αὐτούς, εἰ μὴ Ἀγαμέμνων Ἰφιγένειαν τὴν θυγατέρα αὐτῷ σφα-

a) Pauca de his recitat Hust. p. 59. in fine. Ast in Aulide a contrariis ventis detinebantur graeci.

Digitized by Google

γιάσῃ Ἀρτέμιδι· διὰ τὸ φονεῦσαι αὐτὸν τὴν ἱερὰν αἶγα, τὴν τρεφομένην ἐν τῷ ἄλσει αὐτῆς, καὶ πρὸς τούτου καυχησάμενον εἰπεῖν· ὅτι οὔτε αὐτὴ ἡ Ἄρτεμις οὕτως ἂν ἐτόξευσε· τοῦ δὲ Ἀγαμέμνονος διὰ τὴν πολλὴν ἀνάγκην παραστήσαντος τὴν κόρην τῷ βωμῷ κατοικτειρήσασαν τὴν θεὰν, καὶ ἔλαφον ἀντὶ τῆς παρθένου παραστήσασαν, σῶσαι· καὶ ἐν Ταύροις τῆς Σκυθίας εἰς τὸ ἱερὸν τοῦ θεοῦ ἐπιπεμφθῆναι αὐτήν. Ἡ ἱστορία παρὰ πολλοῖς μὲν τῶν νεωτέρων, καὶ παρὰ Δίκτυϊ δὲ τῷ γράψαντι τὰ Τρωϊκά.

V. 113. καὶ γὰρ ῥὰ Κλυταιμνήστρης — ἡ Κλυταιμνήστρα γυνὴ μὲν ἦν Ἀγαμέμνονος Τυνδάρεως δὲ καὶ Λήδης τῆς Θυεστίου θυγάτηρ· Ἑλένης δὲ ἀδελφή. Διατί δὲ ὁ Ἀγαμέμνων τὴν αἰχμάλωτον τῆς γαμετῆς προκρίνει; λέγει γὰρ Κλυταιμνήστρης προβέβουλα· καὶ οἱ μέν φασιν, ὅτι ἕνεκα τοῦ μὴ δοκεῖν τοῖς Ἕλλησιν ἐφ' ὕβρει κατέχεσθαι τὴν κόρην· οἱ δὲ, ὅτι ἐπαινεῖ τὴν Χρυσηΐδα, ἵνα μὴ τὰ τυχόντα τοῖς Ἕλλησιν, ἀλλὰ τὰ μέγιστα δόξῃ χαρίζεσθαι· ἔνιοι δὲ, ἵνα ψευδόμενον ἀποδείξῃ τὸν Κάλχαντα· πῶς γὰρ ὀργίζοιτο ἂν ὁ θεὸς τῆς αἰχμαλώτου, μηδὲν δεινὸν ἢ ἐφύβριστον πασχούσης;

V. 114. ἐπεὶ οὐδέν ἐστιν — ἐπειδὴ κατ' οὐδὲν αὐτῆς· τὸ πρῶτον καὶ τὸ δεύτερον ὀρθοτονεῖται μόνως· τὸ δὲ τρίτον δισσόν ἐστι τῷ τόνῳ· νῦν οὖν ἐγκλίνεται.

V. 115. οὐ δέμας — οὐδὲ κατὰ σῶμα· δέμας ὁ ποιητὴς τὸ ἔμψυχον εἴωθε λέγειν· παρὰ τὸ δέσθαι καὶ συναιστηκέναι· ὅιον, — οὐ δέμας, οὐδὲ φύην — καὶ πάλιν — δέμας δ' ἤϊκτο γυναικὶ καλῇ τὲ μεγάλῃ τέ· — καὶ ἀλλαχοῦ — οὐ δὲ ἔοικε θνητοῖς ἀθανάτοισι δέμας. — σῶμα δὲ καλεῖ, τὸ ἄψυχον· ἐπεὶ σῆμα τὲ ἔστι τοῦ ποτὲ ζῶντος· οἷον — σῶμα δ' οἴκαδ' ἐμὸν — καὶ ἐπὶ τοῦ Ἐλπήνορος πάλιν — σῶμα γὰρ κατελίπομεν ἡμεῖς ἐν Κίρκῃ, ἄκλαυστον καὶ

Digitized by Google

ἄθαπτον· — καὶ — ὧν ἔτι καὶ νῦν σώματ' ἀκηδέα κεῖται· — Εὐριπίδης μέν τοι ἐνηλλαγμένως λαμβάνει, λέγων — δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι· — ἐν μενοεικέϊ δὲ πᾶσαν ἀρετὴν γυναικὸς ἐσήμανε· καὶ ἀλλαχοῦ — κάλλεϊ καὶ ἔργοισιν· ἡ δὲ φρεσὶ καλή τε μεγάλη τε· ἀγλαὰ ἔργα εἰδυῖα.

V. 117. σόον ἔμμεναι — σώζεσθαι· ἢ σῶον καὶ ὑγιῆ εἶναι· ἢ ἀπολέσθαι καὶ ἀπολέσθαι· ὁ δὲ λόγος, θέλω γάρ φησιν ἐγὼ τὸν λαὸν μᾶλλον σώζεσθαι καὶ αὐτὸς ἀπολέσθαι. ὁ γὰρ ἢ σύνδεσμος, ἀντὶ τοῦ καὶ παρείληπται τῷ ποιητῇ. ἢ διασαφητικῶς a).

V. 119. ἀγέρασος — ἄνευ γερῶν· ἔοικε παρὰ τὸ γεράζω. εἰ γὰρ ὡς ἀπείρασος, ἀβίασος· ἵνα δὲ μὴ δοκῇ τοῦ μηδενὸς καταπεφρονηκέναι, τὸ ἴσον αἰτεῖ.

V. 120. λεύσετε — ἴδετε καὶ θεάσασθε ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν.

V. 121. ποδάρκης — ἤτοι τοῖς ποσὶ ταχὺς, ἢ ὁ ἐπαρκεῖν τοῖς ποσὶ δυνάμενος· ὁ ἄλλως ἀρκῶν τοῖς ποσίν· ὡς τὸ, λαοσσόος.

V. 122. κύδιστε — ἐνδοξότατε παρὰ τὸ κύω, τὸ φιλῶ· τὴν γὰρ δόξαν πάντες φιλοῦμεν.

V. 123. Ἀχαιοί — οἱ Ἕλληνες· Ἀχαιοὺς δὲ καὶ Δαναοὺς, καὶ Ἀργείους ὁ ποιητὴς καλεῖ τοὺς Ἕλληνας· Δαναοὺς μὲν, ἀπὸ Δαναοῦ τοῦ Βήλου τοῦ Ποσειδῶνος· Ἀχαιοὺς δὲ, ἀπὸ Ἀχαιοῦ τοῦ Ξούθου καὶ Κρεούσης τῆς Ἐρεχθέως· Ἀργείους δὲ, ἀπὸ Ἄργου τῆς Ἀπιδος καὶ Νιόβης τῆς Φορωνέως·

a) Quaedam heic in Cod. sunt, quae partim supra recitantur ad v. 23., et partim inferius ad v. 173., ubi de vocab. ψυχὴ et θυμὸς Scholiastes differentias exponit. Quapropter, ut ad hunc locum minime pertinentia, ea praetermisi.

Digitized by Google

Ἕλληνες δὲ φιλῶς, καλεῖ τοῦ ὑπὸ τῷ Ἀχιλεῖ λέγων — Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.

V. 124. οὐ δέ τι πω ἴδμεν — οὐδὲ ἐπιξάμεθά πω. οὐδέποτε οἴδαμεν. τὸ δὲ ἀντὶ τῦ γάρ. πρὸς ἐντροπὴν δὲ τοῦ Ἀγαμέμνονος τὴν κοινὴν ἀπορίαν προβάλλεται·

ξυνήϊα — τὰ κοινὰ χρήματα· ἀπὸ τοῦ ξῦνον, ξύνειον Ἰωνικῶς ἢ διαιρέσει.

V. 125. ἐξεπράθομεν — ἐξεπορθήσαμεν· ἀπὸ τοῦ πέρθω τὸ πορθῶ. ὁ β' ἄόριστος ἔπραθον.

δέδασται — μεμέρισται· ἀπὸ τοῦ δαίω, τὸ μερίζω· καθ' ὑποστολὴν τῦ ι.

V. 126. παλλίλεσγα — πάλιν σύλλεκτα· ἐκ τοῦ πάλιν καὶ τοῦ λέγω τὸ συλλέγω· ἀντὶ τοῦ, ὃ δίκαιον ἔστιν εἰς τὸ αὐτὸ πάλιν συλλέγειν τὸς Ἕλληνας τὰ ἅπαξ φθάσαντα αὐτοῖς διαμερισθῆναι χρήματα.

V. 128. ἀποτίσομεν — ἀποδώσομεν· πιστοῦται τὴν ὑπόσχεσιν ὡς δάνειον, καὶ ἑαυτὸν ὑπογράφει ἐν τῷ χρέει μεθ' ὑπερβολῆς γὰρ δεῖ ποιεῖσθαι τὰς ὑποσχέσεις καὶ τὸ ἄδηλον τῆς τύχης.

V. 129. πόλιν Τροΐην — τὴν Τρωϊκὴν πόλιν· λέγει δὲ τὴν Ἴλιον τρισυλλάβως· σημαίνει γὰρ Τροϊκήν· ὅπου γὰρ δισυλλάβως λέγει, οὐκ ἐπαφέρει πόλιν· οὐ μάχεται τὸ — ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον — κατὰ γὰρ κατηναγκὴν σύνταξιν ἐπενέχθη τῇ γενικῇ· ἔνθεν δὺ διηρέθη Τρωΐην τρισυλλάβως περὶ Τροίας ὁ λόγος· ἀπό τε τοῦ εὐτύχεος καὶ τοῦ τὴν πᾶσαν αὐτοὺς ὁρμὴν περὶ ταύτην εἶναι· εἰσὶ δὲ . . . . . ὅτε δισύλλαβοι, φησὶν — οὐκ ἂν ἔῤῥυτο πόλεν· καὶ ἐν ἐκείνῳ καὶ τρισύλλαβός ἐστιν — καὶ τοι ἀμφὶ πόλιν Τρωΐην· — Τρωΐην δὲ κτητικὸν, ἐκ τοῦ Τρώς, Τρωός, Τρωϊκὸς, καὶ ἀποβολῇ τοῦ κ Τρώϊος· τοῦ τόνου ἀναδιδομένου· ὡς τὸ ὀλυμπικὸς, ὀλύμπιος· καὶ Τρώϊος, Τρωΐα, Ἰω-

Digitized by Google

νικῶς Τρωΐη, συνολῇ ποιητικῇ τῇ ω εἰς ο μικρὸν διὰ τὸ μέτρον, καὶ ἐν συναιρέσει Τροία, Τροίη.

εὐτείχεον — καλῶς τετειχισμένην· διὰ τὸ ὑπὸ θεῶν τετειχῆσθαι καθ' Ὅμηρον Ποσειδῶνος καὶ Ἀπόλλωνος.

ἐξαλαπάξαι — ἐκπορθῆσαι, κατασκάψαι· ἔμφασιν ἔχει ἡ προσθήκη τῆς προθέσεως· ἐκ τοῦ ἀλαπάζω.

V. 131. μήδ' οὕτως — μηδαμῶς οὕτως· τὸ ἐντελὲς μὴ δή ἐστιν.

ἀγαθός περ ἐών — καί τοι γενναῖος ὑπάρχων· εἰρωνεία ὡσαύτως τῷ κύδιστε· ὁ δὲ περ ἐναντιωματικὸς, ἀγαθός περ ἐών.

θεοείκελε — εὐειδὴς γὰρ παρὰ πάντας τοὺς ἥρωας ὁ Ἀχιλεὺς καὶ γυναικοπρόσωπος· ὡς καὶ εἰς τὸν Λυκομήδους παρθενῶνα εἰσελθόντα αὐτὸν, ἀγνοεῖσθαι ὅτι εἴη ἀνήρ· σπανιάκις τὴν γενειάδα φέρων· γίνεται δὲ ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ, ὅ περ ἔγνωμεν διὰ διφθόγγου· καὶ γὰρ τὸ ἔοικα παρέκειτο. εἴρηται δὲ πολλάκις ἔτι ὡς περ ἀπὸ τοῦ σθένω Σθένελος, πέμπω Πέμπελος, ἄγω Ἄγελος, καὶ Ἄγγελος, εἴδω εἴδελος, καὶ εἴδωλος, καὶ ἀείδελος, οὕτω καὶ ἀπὸ τοῦ εἴκω εἴκελος, καὶ ἐν συνθέσει θεοείκελος· τὸ δὲ ἁπλοῦν τούτῳ διαφορεῖται· τὸ δὲ σύνθετον ἀεὶ διὰ τοῦ ει διφθόγγου γράφεται.

Τὸ αὔτως εἰ μὲν δασύνεται, γίνεται ἐκ τοῦ οὕτως, κατὰ τροπὴν τῆ ο εἰς α, καὶ σημαίνει τὸ ὁμοίως· εἰ δὲ ψιλῶται σημαίνει τὸ ματαίως· πολὺ δὲ τοῦτο παρ' Ὁμήρου χρᾶται· γίνεται δὲ παρὰ τὸ ἕω, ἑτὸς, ἀετὸς μετὰ τοῦ ς περιτικοῦ α ὁ μάταιος· οἱονεὶ ὁ μὴ ἀληθὴς ὑπάρχων· καὶ τὸ ἐπίρρημα ἀέτως καὶ κράσει αὔτως.

V. 136. ἄρσαντες — τουτέστιν· ἀρεστὸν καὶ θυμῆρες ποιήσαντες· Ἀρίσαρχος δασύνει, ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ.

V. 138. ἦ ἐτεὸν γέρας — ὁ ἐστι Βρισηΐδα, ἐνδεικνύ-



Digitized by Google

μενος τὴν ἀρχὴν πᾶσιν ἀπεχθάνεται, μάλιστα τοῖς Ἀχιλέως.

ἢ Αἴαντος — Τέκμησσαν λέγει τὴν Τεύθραντος θυγατέρα.

ἢ Ὀδυσσῆος — Δαοδίκην λέγει τὴν Κύκνου θυγατέρα.

5 ταῦτα δὲ αἰνιγματώδες φησί· τὸ δὲ ὅλον ἀποτείνεται πρὸς Ἀχιλέα.

V. 142. ἐς δ' ἐρέτας — εἰς αὐτὴν δὲ κωπηλάτας· γίνεται δὲ ἐκ τοῦ ἐρέσσω τὸ ἐλαύνω· τοῦτο παρὰ τὸ ἔλω τὸ λαμβάνω· ἐλέσσω, κατὰ τροπὴν ἀμεταβόλου εἰς ἀμετάβολον.

10 ἐπιτηδές — ἐπιτηδείους· ἐκ τοῦ ἐπιτηδὴς ἐπιτηδές, ἐπιτηδέας, καὶ ἐπιτηδὲς κατὰ συγκοπήν.

V. 148. ὑπόδρα — ὑπόδεινα, καὶ συγκοπῇ τῆς ει διφθόγγου καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον·

V. 149. ὤ μοι — φεῦ μοι· ἔστι δὲ ἀναφώνημα λύπης

15 δηλωτικόν· καὶ ἐπίρρημα.

ἀναιδίην — ἀναισχυντίαν, προφανῆ τὴν ἀναίδειαν ἔχων· ἔστι γὰρ ὁ φιλοχρήματος φύσει καὶ ἀναιδής.

ἐπειμένε, κερδαλεόφρον — ἠμφιεσμένε, πανοῦργε τὸ φρόνημα, ἢ περικερδῆ τὸν νοῦν ἔχων· τουτέστι κερδαίνειν φρο-

20 νῶν ὡς ὄψα ἐσθίειν, καὶ ὄψα φαγεῖν· ἁπλᾶ μὲν ἔντα, μέσα ἐστί· συντιθέμενα δὲ ψόγον δηλοῖ· φυλάσσει δὲ τὸν τόνον τὰ παρὰ τὸ φρήν· τὰ δὲ ἄλλα ἀναπέμπει, πλὴν τοῦ Λακεδαίμων.

V. 153. δεῦρο — ἐνταῦθα· πάντα τὰ παρ' αὐτὸ διασ-

25 λεῖ εἰς τὸ δεῦρο τενές· — οὐ γὰρ ἐγὼν Τρώων ἕνεκ' ἦλυθον αἰχμητάων — δεῦρο μαχησόμενος.

V. 157. σύριά τε σκιόεντα — ὁ δὲ λόγος· οὐ δέποτε ἠδεκησάν με οἱ Τρῶες· ἐπειδὴ μεταξὺ Φθίης· καὶ (sic) Πολυποσήνης πολλὰ ἐστι μέγιστα ὄρη καὶ πολλὴ θάλασσα· ὡς μήτε

30 ὑπήκοόν με σοὶ εἶναι· ἔστι δὲ Θεσσαλίας ὄρη μέγιστα τὸ Πήλιον, καὶ ἡ Ὄσσα, καὶ ἄλλα τινά·

Digitized by Google

V. 159. ἀρνύμενοι — ἀντὶ τοῦ καταλλασσάμενοι, λαμβάνοντες παρὰ τῶν Τρώων ἐκδίκησιν, ἀπαιτοῦντες τῷ Μενελάῳ.

V. 160. τῶν οὔτι — ὧν τινῶν οὐδὲν τῶν ἀπελογησάντων ἢ τῶν προπεπονημένων ἢ τῶν Τρώων, ὧν ἀμελήσας περὶ πολλαπλοῦς διαλέγῃ.

V. 161. ἀφαιρήσεσθαι — ἀφελέσθαι· ἄλλοι δικαίως ἐθωρήσαντο· ἔκαμον γάρ· σὺ δὲ λέγεις αὐτὸν ἀφαιρήσεσθαι.

V. 162. ᾧ ἐπι — ἀναστροφὴ ὁ τρόπος· ἀναστροφὴ ἐστὶ δύο λέξεων τάξις ἐναλλαγμένη· οἷον· λέων ὡς, ὡς λέων· ὄρνιθες ὡς, ὡς ὄρνιθες.

V. 163. ὅπποτ' Ἀχαιοί — Δωρικῶς τὸ π καὶ τὸ τ, καὶ τὸ σ, καὶ τὸ δ ἀναδιπλασιάζεται· οἷον — ἔδδεισεν ὁπόταν.

V. 166. ἀτὰρ ἦν ποτε — ἐζήτηται πότε τὸ ἀτὰρ ἐκ τοῦ αὐτὰρ, ἢ τὸ αὐτὰρ ἐκ τοῦ ἀτὰρ ἐκφέρεται· καὶ φαμὲν ὅτι εἰ ἦν τὸ ἀτὰρ ἐκ τοῦ αὐτὰρ κατὰ ἀπολοβὴν τοῦ υ, ἐξέτεινε τὸ δίχρονον, ὡς τὸ καίω κάω· ναίω νάω· ἀλλ' οὐ δὲ τὸ αὐτὰρ πάλιν κατὰ πλεονασμὸν Αἰολικὸν τοῦ υ ἐκ τοῦ ἀτάρ· ἐπὶ γὰρ τῶν καθαρευόντων τοῦτο ποιοῦσιν· οἷον Ἄρεος Ἄρευος, ἢ τῶν ἐχόντων τὸ ρ· φαμὲν οὖν ποιητικὸν εἶναι πλεονασμὸν τοῦ υ ἐν τῷ αὐτάρ.

V. 169. νῦν δ' εἶμι ΦΘίην — ὁ δὲ νοῦς, ὑπερβατόν· νῦν δ' εἶμι ΦΘίην δὲ σὺν νηυσὶ κορώνισιν-ἐνθάδ' ἄτιμος ἐών· ἐποὶ πολὺ φέρτερον ἐστίν — οὐχ ὑπολαμβάνω δέ σε φημὶ ἐμοῦ ἀπόντος κατασρέψαι τὴν Ἴλιον, καὶ πλοῦτον πολὺν σχεῖν· φθέγγεται δὲ καὶ πόλις Θεσσαλίας σὺν τῷ δ· Ζηνόδωρος δὲ χωρίς.

ἐπεί· — ἐπειδή· τὸ η ψιλούμενον καὶ περισπώμενον δηλοῖ σύνδεσμον παραπληρωματικόν· ἐνταῦθα δὲ ἴσον τὸ δή — ἐπειδὴ πολὺ· φέρτερός ἐστι — ἔστι δὲ καὶ ἀπορηματικὸν ἀντὶ τοῦ ἆρα — ἦ οὐχ' Ἑλένης ἕνεκ' ἠϋκόμοιο — ἦ μοῦνοι φιλέουσιν ἄλοχους — ἔστι δὲ καὶ ῥηματικὸν ἀντὶ τοῦ ἔφη —

Digitized by Google

ἢ καὶ κυανέοισιν — ψιλέμενον δὲ καὶ βαρυνόμενον θηλοῖ σύνδεσμον διαζεύξεως — ἢ εὖ, ἢ κακῶς — καὶ συναπτικὸν ἴσον τῷ νη — ἢ καὶ γίνει ὕς-τερος ἦεν — καὶ ἀντὶ τοῦ πότερον — ἢ ὅγε φάσγανον ὀξύ — ἐν ἑνίοις δὲ παρέλκεται — ἀλλά τί η μοι φίλος διελέξατο θυμός — δασυνόμενον δὲ, καὶ βαρυνόμενον, ἄρθον θηλικὸν προτατικόν — ἡ δ' ἑτέρηθε ῥέη — καὶ ὑποτατικόν — ἢ μυρί' Ἀχαιοῖς — καὶ ἀντωνυμία ἀναφορική — ἦγ' ἀμφιπόλοισι — πάλιν δὲ ψιλούμενον καὶ περισπώμενον κεῖται παραλλήλως, ἦγουν βεβαιωτικῶς — ἦ δὴ λοίγια ἔργα — καὶ ἦ ἧπερ διασαφατικόν, ἢ ἀφνειτόν ἐ-ι μετὰ ἤθους — βέλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι — Πορφύριος δὲ διαζευτικὸν ἀντὶ τοῦ, καὶ ἀπολέσθαι ἐγώ· δασυνόμενον δὲ καὶ περισπώμενον ἀντὶ τοῦ ὡ- ἢ ὡς θέμις ἐ-ίν·

V. 170. οὐδέ σ' οἴω — οὐχ ὑπολαμβάνω δέ σε· οὐ σοὶ οἴω τὸ τέλειον. οὔκ οἶμαι, φασίν, ἐγὼ ὁ νῦν ὑπὸ σεῦ ἀτιμαζόμενος ἐνταῦθα ἔτι ἔξειν ἀφορμὴν πλοῦτον συναθροίσειν· ἐμοῦ ἀπόντος οὐκ ἀπαντλήσεις πλοῦτον.

V. 171. ἐνθάδ' ἄτιμος ἐών — ἐνταῦθα ἀτιμαζόμενος· ἐνήλλακται δὲ ἡ πτῶσις· ἀντὶ γὰρ γενικῆς, κέχρηται ἔνθα καὶ ὀνομα-ικῇ· καὶ ἔ-ι σχῆμα.

ἄφενος — πλοῦτον· κυρίως δὲ ἄφενος καλεῖται, ἡ ἀπὸ ἰγιαυτοῦ περιουσία· πλοῦτος δὲ ὁ ἀπὸ πολλῶν. Ὁ ποιητὴς ἑδετέρᾳ χρῆται τῇ λέξει· τενὲς δὲ καὶ ἀρσενικῇ· γίνεται δὲ ἐκ τοῦ ἕνος, τοῦ σημαίνοντος τὸν ἐνιαυτόν· ἄφενος προπαροξυτόνως, ὁ πλοῦτος· ἀφενὸς δὲ ὀξυτόνως, ὁ ἄνθρωπος ὁ πλήρης τοῦ ἐνοῦ· ἐνὸς, ἐκ τοῦ ἕω τὸ πληρῶ.

ἀφύσσειν — ἀπαντλήσειν, προσωρεύσειν· παρὰ τὸ ἀφύσσω, τὸ ἀπαντλῶ. Δωρικὴ δὲ ἡ λέξις, καὶ πλεονασμῷ τοῦ λ λαφύσσω, καὶ ἀφερέσει ἀφύσσω.

V. 173. εἴ τοι θυμός — εἰ ἡ ψυχή σε· τοῦτο δὲ τὸ ὄνομα

Digitized by Google

παρὰ τὸ ποιητῇ ἑ σημαίνει· τὴν ὀργήν, ὡς τὸ — Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων — καὶ τὴν ψυχήν, ὡς ὅταν εἴπῃ — μελικηδέα θυμὸν ἀπηύρα — τὴν ἐπιθυμίαν, ὡς τὸ — ᾧ θυπῷ εἴξας μίγη φιλότητι καὶ εὐνῇ — καὶ τὸν λογισμών, ὡς τὸ — ἕτερος δέ με θυμὸς ἀνῆκε — καὶ τὴν ὁμόνοιαν, ὡς ἐπὶ τοῦ — ἕνα θυμὸν ἔχοντε νόῳ καὶ ἐπίφρονα βουλήν.

V. 175. μητίετα — ἀντὶ τοῦ μητιέτης· ὁ ἐς-τι βουλευτικός· ἐκ τοῦ μήδω τὸ βούλομαι, μήσω, μῆσις· καὶ τροπῇ τῶ σ εἰς τ μῆτις. Βοιωτικὸς δὲ καὶ Αἰολικὸς ὁ τοιοῦτος τῶν ὀνομάτων μετασχηματισμός· οἷον, αὐτὰρ ὁ αὖτε θύες-α, ἀντὶ τῦ θυές-ης· καὶ ἱππηλάτα, ἀντὶ τοῦ ἱππηλάτης, καὶ νεφεληγερέτα ἀντὶ τοῦ νεφεληγερέτης, καὶ κυανοχαῖτα ἀντὶ τοῦ κυανοχαίτης. Παρ' ἡμῖν δὲ οὐδὲν ἀρσενικὸν ὄνομα ἐπὶ τῆς εὐθείας εἰς α λήγει. Ἔχρῆν αὐτὸ παροξύνεσθαι εἴγε τὰ εἰς ης λήγοντα βαρύτονα βραχεῖα, παρηλήγηται μὲν ἀπρόσληπτα τοῦ σ. Ἐπὶ γοῦν καὶ κλητικῶς παροξύνεται ἀκάτα, ἐρύετα, φελίτα· παράλογος ἡ εὐρύοπα, δέσποτα, μητίετα· καὶ ἔς-ιν οὖν εἰπεῖν, ὅτι ἀπὸ τοῦ μητίτα κατὰ πλεονασμὸν τῦ ε καὶ συς-ολῇ τοῦ ι ἀπ' εὐθείας τῆς μητίτης, ἡ κλητικὴ γέγονε μητίετα· καὶ ὁ τόνος ἐπὶ τῦ αὐτῦ τόπου ἔμεινε κατὰ πλεονασμόν.

V. 176. Διοτρεφέων — τῶν σὺν Διὸς γνώμῃ τεθραμμένων· ἐπεὶ τῆς αὐτῦ σειρᾶς εἰσίν· ὡς καὶ Ἡσίοδος φησίν· — ἐκ γάρ τοι μεσάων καὶ ἐκηβόλου Ἀπόλλωνος — ἄνδρες ἀοιδοὶ ἐπὶ χθονὶ, καὶ κιθαρισταὶ — ἐκ Διὸς βασιλῆος.

V. 177. πολεμοί τε μαχαίτε — τὰ πλεονεκτήματα τῦ ἀνδρὸς εἰς ἐνείδη μεθίς-ησιν. ὡς εἴτις τὸν ἀνδρεῖον βίαιον καλοίη, καὶ τὴν σιωπὴν δόλιον.

V. 178. θεὸς δέ σοι — ὅτι Θέτιδος ἦν παῖς τῆς Νηρέως θυγατρός· αὕτη δὲ ἀθάνατος.

Digitized by Google

V. 180. Μυρμιδόνεσσιν ἄναασε — ἐν τοῖς Μυρμιδόσι βασίλευε· Αἴγιναν τὴν τῆ Ἀσωπῆ τῆ ποταμῆ Θηβῶν θυγατέρα ἁρπάσας ὁ Ζεὺς, κατέβη εἰς Φλιοῦντα καὶ φθείρας τὴν προειρημένην, ἔγκυον ἐποίησεν· ἥ τις Αἰακὸν ἐγέννησεν· Ἀσωπὸς δὲ, τὴν θυγατέρα ζητῶν, ἔμαθε παρὰ Σισύφῳ, καὶ τὸν ἁρπάσαντα, καὶ τὸν τόπον, εἰς ὃν κατελήλυθει· μὴ μελήσας ἓν, ἔσπευσεν· μέλλων δὲ ὁ Ζεὺς ἐπ' αὐτοφώρῳ καταλαμβάνεσθαι, τὴν μὲν Αἴγιναν, μετεμόρφωσεν εἰς τὴν ὁμώνυμον νῆσον· αὐτὸς δὲ μετεβλήθη εἰς λίθον· ἐλθὼν δὲ ὁ Ἀσωπὸς, καὶ μηδέτερα καταλαβών, ἔμπαλιν εἰς τὰς ἰδίας ὑπέστρεψε πηγάς· βαλόμενος δὲ ὁ Ζεὺς τιμωρῆσαι τὸν μηνύσαντα, ἠνάγκασεν αὐτὸν ἐν τοῖς ὑποχθονίοις, τοσοῦτον μέγεθος μέτρον ἀναθεῖν, εἰς ὅσον αὐτὸς μετεβλήθη· Αἰακῷ δὲ ἐν τῇ νήσῳ μόνου ὄντος, ὁ Ζεὺς κατοικτείρας, τοὺς αὐτόθι μύρμηκας μετέβαλεν αὐτοὺς εἰς ἀνθρώπους· ἀφ' ἧς αἰτίας Μυρμιδόνες ἐκλήθησαν.

V. 184. πέμψω — ἀποπέμψω· ἵνα θοκῇ μὴ ἐξ ἀνάγκης αὐτὴν ἀποπέμπειν· ὡς οὐ γνωρισοῦντος τοῦ Διὸς τὸν αἴτιον τῆς ἀποστολῆς.

V. 187. Ἶσον ἐμοὶ φᾶσθαι — ἰσαγορῆσαι μοι, τουτέστιν ἐξίσου πρὸς ἐμὲ λέγειν· κατὰ τὴν ἰσαγορίαν ὁμοιοῦσθαι δεικνύων τὸν Ἀχιλέα καὶ λοιπὸν ὑπόστατικὸν ἔχειν πρόσωπον κατὰ τὴν ἐπικράτειαν, καὶ τὸ τῆ βασιλέως σκῆπτρον.

ἄντην — ἐξ ἐναντίας· γίνεται δὲ ἐκ τοῦ ἄτην· τοῦτο παρὰ τὴν ἀντὶ πρόθεσιν· τὰ δὲ εἰς ην ἐπιρρήματα διὰ τῆ η γράφεται, οἷον προχύδην, μίγδην.

V. 188. Πηλείωνι — Πηλέως παιδὶ, τῷ Ἀχιλεῖ· ἔστι δὲ πατρωνυμικόν· δεύτερος τύπος· τὰ δὲ εἰς ων πατρωνυμικὰ φυλάττουσι τὸ ω μέγα ἐπὶ τῆς γενικῆς.

ἦτορ — ψυχὴ· παρὰ τὸ τείρω τὸ κατασπαράσσω· τερῶ· καὶ ἐκ τούτου τέρων τέρονος· τροπῇ τοῦ ε εἰς ο τέρονος, καὶ

Digitized by Google

κατὰ ἀποκοπὴν τοῦ ο καὶ τῆς νος συλλαβῆς, καὶ μετὰ τῶ ς ρητικῶ α ἄτερ καὶ ἦτορ.

V. 189. λασίοισι — θερμοῖς· ἡ θέρμη γὰρ αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν ἐστί· νῦν δὲ περὶ τοῦ θυμοειδοῦς μέρους τῆς ψυχῆς φησίν· ἀφ' ὧν λέγει στήθεσσιν· ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία· ἐν ᾗ ἐστὶ τὸ πνεῦμα καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς.

μερμήριξεν — ἐμεριμνησεν· ἐκ τοῦ· μιρέζω μερμιρίζω· καὶ ἐκτάσει μερμηρίζω, ὡς θράπτω, θαρδάπτω.

V. 190. φάσγανον — παρὰ τὸ φῶ τὸ φανερῶ· ἐστὶ δὲ φάσσω καὶ φάζω Δωρικῶς· καὶ πλεονασμῷ τοῦ σ σφάζω· ἐκ ταύτης σφάγιον, καὶ ἐν ὑπερβιβασμῷ φάσγανον.

V. 192. ἠὲ χόλον παύσειεν — ἢ τὴν περιφορὰν καὶ ὀργὴν παύσειεν. Γελοίως περαιροῦσι τὸν στίχον· ἀγνοοῦντες ὡς ἡ ὕβρις ἀνεζωπύρει· ἡ δὲ φρόνησις κατέστελλεν· οἱ δὲ ὅτι δύο ἐβουλεύσατο, ἀνασῆσαι ἐκείνους καὶ ἀποκτεῖναι Ἀγαμέμνονα· διὸ περισσὸς ὁ δεύτερος χόλος· ἐπειδὴ τοῦτο θερμαινομένου ἐστὶν ὡς ἐπὶ ὕδατος βέοντος, εἶπε παύσειεν· ὁ δὲ θυμὸς, ἐπειδὴ τὸ θύον ἐστὶ, τὸ ἐρεθίσειε.

V. 194. ἐκ καλεῖο — ἐκ τῆς ξυφαθήκης· ἡ παράτασις τοῦ χρόνου τὴν ἀπὸ τῶν λογισμῶν στάσιν δηλοῖ· τὸ δὲ μέγα, ἀφορμὴν δίδωσι τῷ καθάδε τῇ Ἀθηνᾷ· τὸ δὲ ἕως νῦν, ἀντὶ τοῦ τέως· ἐκεῖ, ὡς μέν ῥ' ἐπέτεκτο· ἐπεὶ πῶς ἡ ἀνταπόδοσις τοῦ ἕως; τῷ γοῦν ἔλκετο δόκεον τὸ καὶ διδάσκει δὲ μὴ περαιτέρω χρῆσθαι ταῖς ἐξουσίαις τοὺς βασιλεῖς.

ἦλθε δ' Ἀθήνη οὐρανόθεν — ἐκ τοῦ οὐρανοῦ φησὶ παρεγένετο ἡ Ἀθηνᾶ· ὅ ἐστιν ἡ φρόνησις· δεῖ γὰρ εὖτως αὐτὴν καταβαίνειν, οἷα καὶ τῆς κόμης αὐτὴν κρατεῖν· καὶ οὐκ ἄλλο μέρος τῶ σώματος, ἀλλ' ἔνθα ἵδρυται τὸ λογικὸν τῆς ψυχῆς μέρος· εὐλόγως δὲ καὶ οἱ λογογράφοι φασίν,

Digitized by Google

ὅτι ἔγκυος ἦσα ἡ μῆτις τὴν Ἀθηνᾶν κατεπόθη ὑπὸ τοῦ Διός· καὶ ἀπὸ τῆς κεφαλῆς αὐτῷ τῷ ὡρισμένῳ τῆς ἀποκυήσεως καιρῷ, ἐξέθορεν ἡ θεὸς σὺν ὅπλοις· ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ.

V. 197. ξανθῆς — καλῆς· πυρράς· καὶ διὰ τοῦτο δέ φασιν αἰνίττεται τὸ θερμὸν καὶ ὀργίλον τοῦ ἥρωος· οἱ γὰρ ξανθόχολοι τοιοῦτοι· κόμη εἴρηται παρὰ τὸ κόσμος εἶναι τῆς σώματος· κόσμη καὶ κόμη· τοῦτο ἐκ τοῦ κάζω τὸ κοσμῶ, ἐξ οὗ καὶ τὸ κεκασμένε.

V. 198. οἵῳ φαινομένη — μένῳ αὐτῷ ὁρωμένη· μόνος γὰρ αὐτὸς τὸν οἰκεῖον δαίμονα καὶ τὴν ἐν αὐτῷ φρόνησιν ἑώρα φαινομένην· οἱ μὲν φαινομένην ἢ ὅτι παραλαιωδῶς λέγων ἔπεται κατὰ μέρος ἔρχεται· καὶ ὅτι δεῖ κατὰ μέρος ἰᾶσθαι τοὺς θυμαίνοντας· πολλὴ δὲ καὶ ἡ φαντασία· ὅτι καὶ ἐνεργείας ἐδέησεν τῇ θεᾷ.

V. 200. Παλλάδα — τὴν Ἀθηνᾶν ἐπιθετικῶς· ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ πάλλειν καὶ κραδαίνειν τὸ δόρυ· πολεμικὴ γὰρ ἡ θεός· ἢ ὅτι Πάλλαντα, ἕνα τῶν γιγάντων ἀπέκτεινεν· ἢ ἀπὸ τοῦ ἀναπαλθῆναι αὐτὴν ἐν τῇ κεφαλῇ τοῦ Διός· ἢ διὰ τὸ παλλομένην τὴν καρδίαν τοῦ Διονύσου προσκομίσαι τῷ Διΐ· ἢ ὅτι συνήθης ἦν ἡ θεὸς τοῖς ἐπακουρουμένοις Ἕλλησιν· ἢ ὅτι τοῖς Διογενέσι δηλοῦνται οἱ θεοί· ὡς τῇ Ἑλένῃ· καὶ Αἰνείας δὲ ἐκπεπτωβόλει Ἀπόλλωνος ἔγνω· Παλλὰς δὲ παρὰ τὰς παλάμας ἢ ὅτι εὐκίνητος ὁ νοῦς ὡσεὶ πτερὸν ἢ ἐννόημα.

V. 203. ἦ ἵνα ὕβριν ἴδῃ — νῦν τὸν φόβον. ἴδῃ δίχα σ ὑψοῖ δὲ τὴν ὕβριν ὡς καὶ θεὰς κινήσασαν εἰς θέαν.

V. 205. ὑπεροπλείῃσι — ὑπέροπλος· ὑπερόπλιος· ὑπεροπλία ὑπεροπλίαις, Ἰωνικῶς ὑπεροπλίῃσι· λέξις μεταφορικὴ ἀπὸ τοῦ ὑπὲρ αὐτὸν τὰ ὅπλα φέρεσθαι.

Digitized by Google

τάχ' ἄν ποτε — πλεονασμὸς τοῦ ποτέ· ὑπὸ ἐμοῦ δὲ ταχέως ἀπολεῖται·

V. 210. ἄγε — φέρε· ἔστι δὲ ἐπίρρημα παρακελεύσεως·

V. 213. τρὶς τόσσα — πολλάκις τοσαῦτα· σὺ γὰρ τριπλάσια αὐτῷ παρασχέθη παρὰ Ἀγαμέμνονος· ἀλλὰ σὺν Βρισηΐδι πολλὰ ἄλλα, ὡς αὐτός φησι ἐν τῷ ι'.

V. 214. πείθεο δ' ἡμῖν — ὡς ἰατρὸς οἶνον ἀπαγορεύων ὕδωρ δίδωσιν, ἕτω διὰ τὸ τοῦ μείζονος ἐκτρέπειν τὸ ὀλίγον συγχωρεῖ· ὡς Ἡσίοδος - τοῦ κεχορεσσάμενος νείκεια καὶ δῆριν ὀφέλλοις - ἢ τὸ ὑπομνῆσαι τῶν εὐεργεσιῶν φησιν, ὡς ἀχάριστον αἰτίας.

V. 216. χρή — προσῆκον ἐστί. Τὸ χρὴ ἐξυπακουόμενον καὶ ἐν τῇ συντάξει βαρυνόμενον, σημαίνει ἐπίρρημα ὁμοίως τῷ δεῖν - χρὴ μὲν σφωΐτερόν γε, θεά, ἔπος εἰρύσσασθαι - περισπώμενον δὲ, ῥῆμα Ἀττικόν· ἀπὸ γὰρ τοῦ χρῶμαι τὸ β' πρόσωπον τῆς κοινῆς διαλέκτου ἐστὶ χρᾷ, καὶ Ἰωνικῶς καὶ Ἀττικῶς χρῇ· ὡς εἴρηται Ἀλεξάνδρῳ - ἰδοὺ κάταπρον, εἰπέ μοι τί χρῇ τεύτῳ;

V. 222. μετὰ δαίμονας ἄλλους — ἐπὶ τοὺς θεούς· ἔστι δὲ πρόθεσις ἀντὶ προθέσεως· οὕτως δὲ δαίμονας καλεῖ τοὺς θεούς· ἤτοι ὅτι δεσπόμονες· ἔμπειροι γὰρ καὶ ἴδρυες πάντων αὐτοί εἰσιν· ἢ ὅτι διαιτηταί εἰσι καὶ διοικηταὶ τῶν ἀνθρώπων. Ἀλκμὰν ὁ λυρικός φησιν· εἶεθεν (εἰρ) πάλιν ἔπαλλε δαιμόνας τ' ἐδάσατο· τοὺς μερισμούς· τὰς διαιτήσεις αὐτῶν· Ἡσίοδος δὲ δαίμονάς φησι τοὺς ἐκ τῶ ζῆν μεταστάντας· ὄντας δὲ ἐπὶ τῶ Κρόνω βασιλείας τῷ χρυσῷ γένους, λέγων αὐτοὺς δαίμονας, φύλακας θνητῶν ἀνθρώπων.

V. 225. θωρηχθῆναι — καθοπλισθῆναι· ἐκ τοῦ θωρήσσω, θωρίξω, θώραξ· τοῦτο δὲ ἐκ τοῦ θῶ τὸ πυθῶ, ἐν ᾧ τὰ βρώματα ἄλλεται.

Digitized by Google

V. 227. ἰέναι — παραγενέσθαι· τὰ ἴημι τρία σημαίνει· τὸ πορεύομαι· τὸ πέμπω· καὶ τὸ ἐφίεμαι.

V. 228. τόδέ τοι — τοῦτο δέ σοι· δύο μέρη λόγου, ἵνα γένηται δεκτικώτερος καὶ ἀναφορικώτερος.

κήρ — θανατηφόρος μοῖρα· θάνατος· ταῦτα γάρ σοι, φησὶ, τὸ ἐν πολέμῳ ἢ λόχῳ εὑρεθῆναι ὡς ὁ θάνατος μιαρὸς φαίνεται.

V. 229. ἦ πολὺ λώϊον — ἀλλ' ὄντως δὴ τοῦτο καλὸν νομίζεται· ἐκεῖνο δέ σοι βέλτιον ἢ καὶ ἡδύτερον ἐστὶ τὸ τὰς τιμὰς ἀφαιρεῖσθαι τῶν ὑπὲρ τοῦ κοινοῦ ἀντιλεγόντων σοι. Ἢ περισπᾶται ὡς ἀρκετὸν καὶ ἀντὶ τῆς δή· ἀπολελυμένων δὲ τὸ σχῆμα, καὶ πολλὰς ἔχον περικοπάς· ἄπλησον γὰρ προσλοιδορίαν ὀργή·

V. 131. δημοβόρος — ὁ τὰ δημόσια κατεσθίων· κυνηγικὰ τοῦτα τοῦ πλήθους· θέλων κωλῆαι κατ' αὐτοῦ τὸ πλῆθος μεγίστη γὰρ κατηγορία τὸ σφετερίζεσθαι τὰ κοινά.

οὐτιδανοῖσιν — οὐδενὸς λόγου ἄξιος· οὐτιδανὸς, οὐτιδανὴ καὶ μηδαμινὸς, μηδαμινὴ γέγονε παρὰ τὸ οὔτις οὔτιδος· συγκείμενον ἀπὸ τῆς οὐ καὶ τοῦ τίς· τὸ δὲ μηδαμινὸς, ἀπὸ τοῦ μηδαμῶς, ἅπερ σύγκειται ἀπὸ τῆς μὴ ἀπαγορεύσεως καὶ τοῦ δαμῶς.

V. 234. μὰ τόδε σκῆπτρον — πεπλεόνασε τὸ μὰ ἀρνητικὸν, ἢ ἀπομοτικὸν μόριον κατὰ τὸ Ἀττικὸν ἔθος· ἦρκα γὰρ εἰπεῖν· νὴ τοῦτο τὸ σκῆπτρον· ὅτι διὰ τῆς σκήπτρου ὄμνυσιν αὐτῷ τὸν ἔφορον τῆς βασιλείας Διόν· τὸ ἑξῆς, καὶ μὰ τόδε τὸ σκῆπτρον ποθὴ ἵξεται Ἀχιλέως, καὶ πᾶσαν τὴν παρέκβασιν διασταλτέον, καὶ ὑποστιγμὴν ἀναπαύσομεν. Διατί δὲ ὁ Ἀχιλεὺς σκῆπτρον ἔχει; καὶ λέγομεν, ὅτι εἰ καὶ πάντων τῶν Ἑλλήνων οὐκ ἐβασίλευε, τῶν μέντοι Μυρμιδόνων ἦρχεν· ἐπόμνυσθαι δὲ ἐστὶ τὸ ὑποσχόμενον ὀμόσαι, καὶ ἀπόμνυσθαι τὸ ἀπαράσκευον.

ὄζους — κλάδους, ἐκ τοῦ ἕζω τὸ καθέζομαι.

Digitized by Google

V. 236. οὐδ' ἀναθηλήσει — οὐδὲ ἀναβλαστήσει· ἐκ τοῦ θηλή, θηλῶ, θηλήσω, ἢ θηλάσω· ἢ παρὰ τὸ θάλλω θαλῶ, θαλήσω· καὶ Ἰωνικῇ τροπῇ θηλήσω· τὸ δὲ θηλὴ παρὰ τὸ θέλος· τοῦτο παρὰ τὸ θεῖν καὶ ἄλλειν τὸ πηδᾶν, ἢ παρὰ ὅλην θέειν.

χαλκὸς ἔλειφε — περιελέπισεν αὐτὸ ὁ σίδηρος· παρὰ τὸ λέπω· ἐξ οὗ καὶ λέπος, καὶ λεπτός· τὸ δὲ λέπω, παρὰ τὸ λίαν ἕπεσθαι τὸ ξέον.

V. 237. φύλλα τε καὶ φλοιόν — τάτε φύλλα καὶ τὸν φλεῶ· παρὰ τὸ φλῶ τὸ ἀναδίδωμι καὶ ἀναπέμπω· φλῶ φλέω φλέβω· φλέψω· φλέψ· φλοὸς, φλοιός· ἢ ἐκ τοῦ φλῶ, κατὰ παραγωγὴν φλάζω, φλέξω· κατὰ τροπὴν τοῦ ε εἰς υ φλύω· ἐξ οὗ καὶ φλοίαφος· ἐκ δὲ τοῦ φλέω φλενὸς, καὶ φληνός· καὶ μετὰ τοῦ φῶ ῥήματος τοῦ λέγω, φληναφῶ· καὶ φλήναφος ἡ φλυαρία· φλοιὸς δέ ἐστι τὸ λέπος.

V. 239. ὅρκος — παρὰ τὸ εἴργω τὸ κωλύω· ὄργος καὶ ὅρκος· ἐπισχετικὸς γὰρ τῶν παραβαινόντων· ἢ παρὰ τὸ ἐπαρκεῖν καὶ βοηθεῖν· ὡς γὰρ βοηθήματι αὐτῷ χρῶνται οἱ δικαιέμενοι· ἄρκος, ἄρκιον, καὶ ὅρκος. ἢ παρὰ τὸ ὅρος καὶ πλεονασμῷ τοῦ κ ὅρκος· οἱ γὰρ ὀμνύοντες ὁρίζονται καὶ ὁμολογοῦσι· θαυμάζεται δὲ ἐν τῇ συναλοιφῇ.

V. 240. πεθήσ. — ἐπιζήτημα Ἀττικὸν, διὸ ὀξύνεται.

V. 242. ὑφ' Ἕκτορος ἀνδροφόνοιο — διατί a) τὸν Ἕκτορα ἀνδροφόνον προσηγόρευσεν καὶ οὐ χαλκοκορυστὴν, ἢ καὶ ἱππόδαμον; ῥητέον ὅτι ἀνδροφόνον αὐτὸν εἴρηκα, πρὸς κατάπληξιν τῶν ἀκουόντων· εἴωθε δὲ τηρεῖν τὰ ἐπίθετα εὐσχόλως· ἄλλως· ῥητέον ἐν ᾧ τίς ἐστι μέγας καὶ εὐδοκιμῶν ἀεὶ, ἐκ τούτου καὶ ἄλλως ἐπαινεῖ· καὶ γὰρ ὁ Ἀχι-

a) Haec male intrusa cum aliis, quae ad Nestorem infra v. 247. pertinent, habentur p. 368.

Digitized by Google

λεὺς ἤδετο μὲν Διογενὴς καλέμενος· οὐχ' ἧττον δὲ ἐπέχαιρε καὶ τῇ ἀνδροφονίᾳ· ἐκ τοῦ λέγειν τῷ Ἕκτορι, ὑφ' Ἕκτορος ἀνδραφόνοιο.

V. 246. χρυσίοις ἥλοισι πεπαρμένον — χρυσοῦς ἥλους ἔχον κόσμου χάριν· καὶ αὐτοὺς διαπεπερονημένους, ἤγουν ἠσφαλισμένους κατὰ τὴν ῥαῦδον – οὐ σκῆπτρον θυμῆρες ἔδωκεν – κινῶν δὲ ὁ θυμὸς ἅμα τὸ μετὰ χεῖρας ἐχόμενον ἀπορρίπτει.

V. 247. Νέστωρ — Νέστωρ ἦν ἐκ γένους Ποσειδῶνος, γηραιώτερος δὲ πάντων, καὶ ἡδύγλωσσος. Πῶς τὸ ἀνόρεσεν ἐπὶ τῷ Νέστορι ὁ ποιητὴς τῷ ἐξώρᾳ εἴδει ἐχρήσατο; ἐπὶ νέῳ γὰρ εἰκὸς ἦν τοῦτο λέγεσθαι· καὶ ῥητέον ὅτι τὸ προνοητικὸν τῶν ὁμοφύλων, νεανικὴν αὐτῷ περιτίθησι κίνησιν· οὐδὲ γὰρ γέροντα κυβερνήτην πέμψοιτο ἄν τις κινδυνεύοντος σκάφους ὑπὲρ τὸ δέον κινούμενον· καὶ ἄλλως ῥητέον· ὅτι εἴωθεν ἀεὶ ἡ τῆς τιμῆς προσθήκη μὴ μόνον τοὺς νέους, ἀλλὰ καὶ τοὺς γέροντας μεταπείθειν· πρὸς τὸ παρὰ δύναμιν ἐγχειρεῖν τί ποιεῖν· μᾶλλον δὲ τὸν Νέστορα ἐν τῷ δημηγορεῖν διαφέροντα τῶν λοιπῶν· καὶ εἰθέτα μὴ ἀπαρεσκομένους τοὺς Ἕλληνας πρὸς τὰ λεγόμενα.

V. 249. γλῶττης· γλῶσσα σημαίνει γ'· τὸ μέρος τοῦ σώματος· τὴν διάλεκτον· καὶ τὸ ἀπεξενωμένον τῶν λέξεων.

ῥέεν — ἔρρει· ἐφέρετο· διὰ δὲ τὸ εἰπεῖν ῥέεν, ἐμφαίνει τὸ ῥητορικὸν τῷ Νέστορος πρὸς τὸ ἀνεμπόδιστον· ἔρεπε δὲ ἀποτείνεσθαι πρὸς ἑαυτὸν φωνήν.

V. 250. μερόπων — μεμερισμένην τὴν φωνὴν ἐχόντων· ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζώων· ὃ ἐστι μεριζομένην εἰς συλλαβὰς καὶ ἔναρθρον ἐχόντων τὴν ὄπα, ὃ ἐστι τὴν φωνήν· εἴρηται δὲ ἀπὸ Μέροπος τοῦ Ὑαντος· ὃς μετὰ τὸν κατακλυσμὸν πρῶτος συνῴκησε τοὺς ἀνθρώπους· ἢ τῶν μυρσύντων περὶ τὴν ὄπα· οἱ δὲ παρὰ τὸ παρηλλαγμένην ὄπα ἐχόντων.

Digitized by Google

V. 231. ἐφθιάθ' — ἐφθαρμένοι ἦσαν· Ἡρακλέης ἐν Πύλῳ στρατεύσαντος, καὶ ἀποκτείναντος τοὺς πρεσβυτέρους ἰδίων ὄντας γενεὰν, καὶ τοὺς τῆς μέσης ἡλικίας, ἄλλην ὄντας γενεὰν, ἧς ὁ Νέστωρ καὶ μόνος περισωθεὶς, τῆς τρίτης γενεᾶς ἐβασίλευε, τῆς περὶ τοὺς παῖδας, οἱ σὺν τούτῳ ἐστρατεύοντο· ἤγουν τριακονταετίαι παρεληλύθησαν· ἐν δὲ τῇ γ' τριακονταετίᾳ ἐβασίλευε· γενεὰς δὲ ἀναμφιβόλως τὰς τριακονταετίας λέγει. Ἰστέον δὲ ὅτι οἱ παλαιοὶ τὰς γενεὰς ἐψήφιζον ἕως τῶν λ'. Γίνωσκε ὦ ἀκροατά, ὅτι ἡ α' γενεὰ ἄχρι λ' χρόνον συνίσταται· καὶ πάλιν ἄρχεται ἡ δευτέρα γενεὰ, ἀχρι τοῦ ὁμοίου ὁρισμοῦ· καὶ οὕτως ἡ τρίτη· τοῦτον δὲ τὸν Νέστορα λέγουσι τινὲς ὅτι ἑξηκοντούτης ἦν ὅτε ἐβασίλευσεν· ἕτεροι δὲ λέγουσιν ὅτι τρὶς ἐβασίλευσε.

V. 254. ὤ πόποι — φεῦ· παπαί· ἔστι δὲ ἐπίρρημα λύπης δηλωτικόν· ὅταν τὸ πρᾶγμα πρόσιμον ᾖ, τῷ μεγέθει καὶ τῷ πάθει, σὺ δεῖ πορίζειν ἑτέρων προοίμια· ἔχει δὲ τὴν προσοχὴν ἀπὸ ὁλοφυρμοῦ ἀρξάμενον.

V. 257. μαρναμένοιϊν — κατὰ ἀποβολὴν τοῦ σ· παρὰ τὸ μαραίνω· καὶ συγκοπῇ μάρνω· τὸ δὲ ῥῆμα ποιητικόν·

V. 258. περὶ δ' ἔστε μάχεσθαι — περισσῶς δὲ καὶ ὑπερβαλόντως ἐστὲ, καὶ ὑπερέχετε· φυλάσσεται δὲ ὁ τόνος.

V. 259. νεωτέρω — νεώτεροι· δυϊκῶς· πιθανῶς πρὸ τῆς ἐμπειρίας τὸν χρόνον προβάλλεται· ἀνεπίφθονόν τε ὄντα καὶ προστατικόν· προσδοκῶν γάρ τις γηρᾷν, πείθεται γέρουσι· δεῖ οὖν πεισθῆναι τὸν Ἀχιλέα Ἀγαμέμνονι ὡς πρεσβυτέρῳ· νεωτέρῳ οὐκ ἐστι συγκριτικὸν, ἀλλὰ τρόπος συγκριτικός· παρὰ νὸ νέος· τοῦτο παρὰ τὸ νέω τὸ πορεύομαι.

V. 260. ἤδη γάρ ποτε — ὄντως γάρ ποτε· τοῦτο ἀορίστου καὶ χρόνου δηλοῖ· ἐπὶ μὲν γὰρ παρωχημένου - ἤδη γὰρ ποτ' ἐγὼ καὶ ἀρείοσιν - ἐπὶ δ' ἐνεστῶτος - ἤδη γὰρ νῦν μοι

Digitized by Google

τὸ δ' εἰκοστὸν ἔτος ἐστίν· - ἐπὶ δὲ μέλλοντος - ἤδη λοίγια ἔργα τάδ' ἔσσεται.

ἀρείοσι — βελτίοσιν· ἐκ τοῦ ἄρευς· ἄρεος ὄρεος, καὶ ἀρεῖος.

ἠέπερ ὑμῖν — ἢ ὑμῖν· γράφεται καὶ ὑμῖν διὰ τὸ ἀνεπαχθές· Ἀττικὸς δὲ ὁ λόγος, ἀντὶ τοῦ κρείττων ἢ ὑμῖν·

V. 261. ὠμίλησα — συνανεγράφειν· τοῦτο ἀόριστος ἀ· ὠμιλῶ ἐκ τοῦ ὅμιλος· τοῦτο παρὰ τοῦ ὁμοῦ εἰλᾶσθαι· καὶ ὤφειλε γράφεσθαι διὰ διφθόγγου· ἀλλ' ἐπειδὴ τὰ διὰ τῶ ιλος ἀρσενικὰ μὴ ὄντα ἀπὸ ὀνόματος ἔχοντος τὴν ει δίφθογγον, διὰ τοῦ ι γράφεται· οἷον, Τρώϊλος· Ζώϊλος χωρὶς τοῦ Νεῖλος· ἀπὸ δὲ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον γίνονται, ὡς τὸ δειλὸς, κροκόδειλος· χεῖλος· ἀγκυλόχειλος· τὸ δὲ ὅμιλος, μακρὸν ἔχει τὸ ι.

ἀθέριζον — ἠπείλουν· ἀπεδοκίμαζον· μεταφορικὴ ἡ λέξις· οἱονεὶ ἡ μὴ θεριζομένη καὶ πρὸς χρείαν συναγομένη· ἀλλ' ἀποβαλλομένη· γίνεται οὖν ἐκ τοῦ θέρος, παρὰ τοῦ θέρος θερίζω· καὶ μετὰ τοῦ στερητικῶ α ἀθερίζω· τὸ θέρος παρὰ τὸ θέρω τὸ θερμαίνω· οὗ ὁ μέλλων θερῶ, καὶ θέρσω Αἰολικῶς, καὶ Θερσίτης.

V. 263. Πειρίθοον — Πειρίθουν, ἔστι δ' ὄνομα κύριον· Πειρίθους ὁ Ἰξίονος, γένος μὲν ἦν Ἀθηναῖος· ὠπαίωτο δὲ τοῖς Κενταύροις· πρὸς γάμον δὲ ἀγόμενος Ἱπποδάμειαν τὴν Βάτα, τοὺς Κενταύρους συνεκάλεσεν εἰς εὐωχίαν· οἵ τινες οἰνωθέντες ἐπεχείρουν ὑβρίζειν ὅσας τῶν Ἑλλήνων παρῆσαν γυναικῶν· ὅθεν οἱ Λαπίθαι συστάδην μαχεσάμενοι διώκουσιν αὐτοὺς εἰς Μάλεον ὄρος τῆς Πελοποννήσου· ὁ δὲ Πειρίθους ὠνομάσθη ἀπὸ τῶ περιθεῖν· ἵππῳ γὰρ ὡμοιώθη ὁ Ζεὺς ἐν τῷ μίγνυσθαι τῇ μητρὶ αὐτῦ.

V. 264. Καινέα τε — ὁ Καινεὺς Ἐλάτε μὲν ἦν παῖς, Λαπίθων δὲ βασιλεύς· ὅστις πρότερον παρθένος ὢν εὐε-

Digitized by Google

θὴς, μεγέντος αὐτῇ Ποσειδῶνος, ἠτήσατο μεταβληθῆναι εἰς ἄνδρα· μετατραπεὶς δὲ ἡ νεάνις, ἄτρωτος γίνεται· γενναιότατος τῶν κατ' αὐτὸν ὑπάρξας· καὶ δή ποτε πήξας ἀκόντιον ἐν τῷ μεσαιτάτῳ τῆς ἀγορᾶς, θεοῖς ἑαυτὸν προσέταξεν ἀριθμεῖν· δι' ἣν αἰτίαν ἀγανακτήσας ὁ Ζεὺς, τιμωρίαν περὶ τῆς ἀσεβείας παρ' αὐτῆ εἰσεπράξατο· μαχόμενον γὰρ αὐτὸν τοῖς Κενταύροις, καὶ ἄτρωτον ὄντα, ὑποχείριον ἐποίησε· βάλλοντες γὰρ αὐτὸν οἱ προειρημένοι δρυσί τε καὶ ἐλάτας, ἤρεισαν εἰς γῆν· μέμνηται γὰρ αὐτῆ καὶ Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτικοῖς, λέγων οὕτως· — Καινέα γὰρ τὸν πρόσθεν ἐπικλείουσιν ἀοιδοὶ — Κενταύροισιν ὀλέσθαι· ὅτι σφέας εἷος ἀπ' ἄλλων — ἤλασ' ἀρισ-ήων· οἱ δ' ἔμπαλιν ὁρμηθέντες — οὔ τε μὶν ἐγκλῖναι (sic) προσωτέρω σθένεσιν, οὔτε διῶξαι· — καὶ ἀρήκτος, ἄκαμπτος ἐδύσατο νειόθι γαίης· — θεινόμενος σ-ιβαρῇσι κατὰ ἴγδην ἐλάτῃσιν.

V. 268. φησὶ — θησὶ, λέγει δὲ τοῖς Κενταύροις Ἰξίων ὁ Φλεγίᾳ παῖς, Δίαν τὴν Ἰωνέως γήμας, ἐλθόντα τὸν κηδε-ὴν ἐπὶ τὰ ἔδνα, δόλῳ καταπρήσας, μανεὶς καὶ ὑπὸ θεῶν καθαρθεὶς τῶν φόνων, Ἥρας ὕ-ερον ἠράσθη· Ζεὺς δὲ βουλόμενος αὐτὸν δοκιμάσαι, εἰ τῷ ὄντι τολμᾷ ποιῆσαι τοῦτο, νεφέλῃ ἀπεικάσας Ἥραν, παρέκλινεν αὐτῷ· ὁ δὲ μιγεὶς τῇ νεφέλῃ ὡσανεὶ τῇ Ἡρᾳ, ἔσχε παῖδα Κένταυρον· ἀφ' ὃ τὸ τῶν Κενταύρων γένος, μετὰ δὲ θάνατον, ἔλαβε δίκας περ' αὐτῆ ὁ Ζεύς. ποιήσας αὐτὸν ἐν τοῖς καταχθονίοις σ-ρέφεσθαι μετὰ πολλῆς βίας ἐπὶ τροχῆ σιδηρῆ· φορσὶν ἀντὶ τοῦ θυρσὶ· κατὰ μετάθεσιν του θ εἰς φ· ὡς τὸ, θλᾶν φλᾶν· κυρίως δὲ θῆρες λέγονται οἱ λέοντες, καὶ οἱ σύαγροι, καὶ οἱ τούτους λαμβάνοντες λέγονται θηρευταί. καταχρη-τικῶς δὲ καὶ ἐπὶ τῶν λοιπῶν.

ἀρεσπόοισι — τοῖς ἐν ὄρει διαιτωμένοις· ἔσ-ι ῥῆμα κῶ

Digitized by Google

τὸ κοιμῶμαι· παράγωγον κέω κείω· καὶ ὄνομα ῥηματικὸν κοῖος· καὶ ἐπαυξήσει τοῦ ο εἰς ω μέγα κῷος ὡς κολοιὸς κολῳός· καὶ μετὰ τῆς ὄρεσι δοτικῆς ὀρεσκῷος· καὶ ὀρεσκῷος κατὰ συγκοπήν.

ἐκπάγλως — ἐκπληκτικῶς· ὅ ἐστι κατὰ κράτος αὐτοὺς ἐξεπολέμησαν· ἐκ τοῦ πλήσσω ἔκπλαγον· καὶ ἔκπαγλον ὄνομα ῥηματικόν· καὶ ἐπίῤῥημα ἐκπάγλως.

V. 270. ἐξ Ἀπίης γαίης — ἐκ τῆς ἀλλοδαπῆς καὶ μακρὰν ἀπεχούσης γῆς· ἤτοι τῆς Πελοποννήσου κληθείσης Ἀπίης ἀπὸ Ἄπιδος τοῦ Φορωνέως.

V. 272. τῶν οἱ νῦν — τοῦτο τὸ σχῆμα οἱ μὲν κλίσιν, οἱ δὲ μετάληψιν λέγουσιν, ὅταν ἡ τεθεῖσα πτῶσις κλίνεται ὡς ὅσοι τὸ πελαργικὸν Ἄργος

V. 275. ἀγαθός περ ἐών — καί τοι βασιλεὺς ὑπάρχων, ἢ ἀγαθὸς τῇ γνώμῃ προκατέλλει τὸν θυμὸν διὰ τὸ ἀγαθός· ὅ ἐστι, μὴ θελήσῃς ἀνάξια σαυτῷ ποιεῖν.

V. 277. Πηλείδη θέλε — ἐφεξῆς αἱ ὀξεῖαι διὰ τὴν κράσιν τοῦ ε συγκραθέντος μενὰ τοῦ η, ἠέθελε ἦν· μή τε σὺ Πηλείδη θέλε· οὐδέποτε παρὰ τῷ ποιητῇ εἴρηται δισυλλάβως ἡ τῦ θέλω κλίσις· ὡς ἐπὶ τοῦ - μή τε σὺ Πηλείδη θέλε - τῷ λόγῳ τῆς συναλοιφῆς εἰς τὴν η τίθεμεν τὴν ὀξείαν· ἔστι δὲ ὁ τρόπος ἀντισήκωσις· συντέμνει γὰρ τὴν παραίνεσιν, ὅπως μὴ μένων ἐπαχθὴς εἶναι δοκῇ.

V. 278. ἔμμορε — ἔλαχε, ἀπὸ τοῦ μείρω τὸ μερίζω, μέμορα· ὁ μέσων παρατατικός· καὶ ἐν ὑπερβιβασμῷ τοῦ ε ἔμμορα· τὸ γ' ἔμμορεν· ἢ ἀπὸ τοῦ μορῶ τὸ ἐπιτυγχάνω· μορήσω· ὁ β' ἀόριστος ἔμορον· τὸ τρίτον ἔμορε· καὶ πλεονασμῷ τοῦ μ. ἔμμορεν.

V. 279. ᾧ τε — ἀντὶ τοῦ καὶ ᾧ τινι· ἵν' ᾖ, οὐδέποτε τῆς αὐτῆς ἀξιοῦται τιμῆς ὁ βασιλεύς· καὶ ἐκεῖνος ᾧ τινι ὁ Ζεὺς τὸ κῦδος ἔδωκε, τὸ ἀπὸ τῆς ἰσχύος ἐξηγεῖται δὲ

Digitized by Google

συνήθως ἑαυτὸν σαφηνίζων ὁ ποιητὴς σημαίνων διὰ τῶν ἑξῆς, τίς ἐστιν ᾧ τε Ζεὺς νῦδος ἔδωκεν; ἐπάγει γὰρ, εἰ δὴ σὺ κάρτερος ἐσσὶ, καὶ τὸ, μήτηρ· ὑποστικτέον εἰς τὸ κάρτερός ἐσσι.

V. 280. καρτερὸς — ἰσχυρός· τὰ εἰς τερος τρισύλλαβα βαρύτονα· πρότερος· κύντερος· πῶς οὐχὶ καὶ τὸ καρτερὸς κατὰ βαρεῖαν λέγομεν; ὅτι τοῦτο οὐκ ἦν εἰς τερος, ἀλλ' εἰς ερος· τὸ γὰρ τ οὐκ ἐν τῇ παραγωγῇ ἔσχεν· ἦν γὰρ ἀπὸ τοῦ κράτος, ὡς ἀπὸ τοῦ βλάβος, βλαβερός· οὐ διὰ τοῦ βερος ἡ παραγωγή· ἐν γὰρ τῷ πρωτοτύπῳ τὸ β ἔσχεν· οὕτω καὶ ἀπὸ τοῦ κράτος κρατερός· διὰ τοῦ ερος ἡ παραγωγὴ, καὶ οὐ διὰ τοῦ τερος.

V. 281. φέρτερος — κρείσσων· οὐ γὰρ γενναῖος ἢ εὐγενὴς ἄρξει βασιλείας· τοὐναντίον δὲ καὶ θείαν λῆξιν ἔχει ὁ βασιλεύς.

V. 286. κατὰ μοῖραν — κατὰ τὸ πρέπον· εἰ κατὰ μοῖραν, διατί μὴ πείσῃ; ὅτι αἰδούμενοι τὴν πρόληψιν τὰς αἰτίας τοῖς πέλας ὑπὸ φιλονεικίας τίθεμεν.

V. 292. ὑποβλήδην — ὑποβαλὼν τὸν ἴδιον λογισμὸν Ἀχιλεὺς καὶ μεσολαβήσας τὸν Ἀγαμέμνονος, πρὶν ἢ σιωπῆσαι, αὐτὸς εἰπών· γίνεται δὲ τὸ ὑποβλήδην παρὰ τὸ βλῶ βλήσω· βλήδην καὶ ὑποβλήδην.

V. 293. δειλός τε — ἀσθενής· μέγιστον ὄνειδος οἴεται τὴν δειλίαν παρὰ τὸ δέω τὸ φοβοῦμαι γίνεται· καὶ πλενασμῷ τοῦ ο, δείω δείσω δειλός· ἢ παρὰ τὸ δέος ὁ φόβος, δείλος καὶ δειλός.

V. 299. μὴ γὰρ ἔμοιγε — ἐμοὶ γὰρ μὴ, διὰ τὴν διαστολὴν τοῦ ἄλλοισιν ὀφείλει ὀρθοτονεῖσθαι.

οὔτέ τῳ — οὔτέ τινι ἄλλῳ· τὸ τω σημαίνει ἐν ὄνομα· ἄρθρον ἀντωνυμίαν· σύνδεσμον αἰτιολογικόν· ῥῆμα· ὄνομα μὲν οὕτως· οὔτε σοί, οὔτε τῷ· τουτέστιν, ἄλλῳ τινί· ῥῆμα



Digitized by Google

δὲ, ὡς τὸ — Κνήμῃσιν τῇ πὲρ ἐόντων — τυπέϊς· λάβε, τὸ ζέμα τάων τῶν — ἄρθρον δὲ — ἤτοι μὲν τὸν ὅπισθεν Μαχάονι ἶσα τῷ Ἀσκληπιάδῃ — ἀπεωνυμία δὲ ὡς τὸ — τῷ μὲν ἐεισάμενος — σύνδεσμος αἰτιολογικὸς — τώ σε καὶ οὐ δύναμαι — ἔστι γὰρ ἀντὶ τοῦ δεῖ· ὅταν μέντοι ἄρθρον σημαίνει καὶ ἐνεργῶς δεικτικὴ ἐστὶ πάσσεως, παρεσπάσαι τὸ δὲ δυϊκὸν βαρύνεται, οἷον τὰ Αἴαντε.

V. 301. ἀέκοντος — ἄκοντος καὶ μὴ βουλομένου· ἔκω τὸ ἕλκω, καὶ ἡ μετοχὴ ἑκὼν ἀξυνομάκτως καὶ σημαίνεται ἐν τῇ συνθέσει ἀναβιβάζουσα τὸν τόνον ἀέκων καὶ μετὰ κράσεως ἄκων.

V. 302. πείρησαι — πειράθητι προπαροξυτόνως, προστακτικὸν γὰρ ὡς τὸ — τὺ δὲ φράσσαι.

V. 303. αἶψά τοι — ταχέως σου παρὰ τὸ ἆπαρ ἄψω ἄψα καὶ αἶψα· τὸ γὰρ ταχέως γινόμενον καὶ συντομισμένον ἐστί.

κελαινόν — μέλαν μελανὸν καὶ μελαινόν καὶ τροπῇ τοῦ μ εἰς κ κελαινόν· τὸ δὲ μέλας πλατὺ τὸ ἕλαν, ὁ σημαίνει μέλαν κατὰ πλεονασμὸν τοῦ μ.

ἐρωήσει περὶ δορί — περιῤῥώσεται τῇ δόρατι παρὰ τὴν ἐρωήν· τὸ ἐρῶ τὸ ῥέω, καὶ ῥθέρον τὸ ἐρέω ἐρῶ παρὰ τὸ ῥῶ, ῥώσω ὅθεν τὸ — ἐπερρώσαντο ἄνακτες — ῥῶ ῥωῆ ὡς ζῶ ζωή καὶ πλεονασμῷ τοῦ ε ἐρρή.

V. 304. ὡς τώ γε — οὕτως οὕτως ὁ τρόπος παραγραφῆς μετιὼν γὰρ ἐπὶ ἑτέραν διήγησιν, τούτῳ χρῆται.

V. 305. ἀνιάχησεν — ἀνέκραγεν, ἀναστήτην, καὶ κατὰ συγκοπὴν ἀνστήτην· ὡς παρ' ἀνασχεθεῖν ἀνσχεθεῖν· ἐν τοῖς ἀδιαλλάκτοις ἔχθραις κρεῖσσον τὸ φεύγειν ἢ τὸ ὑποχωρεῖν.

V. 308. σύν τε Μενοιτίάδῃ — σὺν τῷ Μενοιτίου παιδὶ Πατρόκλῳ, καὶ τοῖς Μυρμιδόσι· κεχάροσι δὲ τῶν λοιπῶν

Digitized by Google

ἑταίρων τὸν Πάτροκλον· κατ' ἐξοχὴν εἰκότως ὅπως ἂν πάρεσι πρὸς τὸ τὸν θυμὸν αὐτῷ μαλάσσειν· κατ' ἐξοχὴν δὲ ἰδιαζόντως εἶπε περὶ αὐτῷ ἵνα ἀξιόχρεως ᾖ τελειτῶν ἐγείρειν αὐτόν. Γίνεται δὲ Μενοιτιάδης παρὰ τὸ μένος Μενότιος Μενοίτιος καὶ Μενοιτιάδης πατρωνυμικόν.

V. 308. ἄλλα — εἰς τὴν θάλασσαν, δηλονότι αὐτὸ ἐθαλάσσευσεν τινὲς τῶν νέων· ἐπεὶ τίς χρεία νεολκίας;

V. 310. ἀνὰ δὲ Χρυσηΐδα — ἀναγαγὼν δὲ καὶ τὴν εὐπρόσωπον Χρυσηΐδα εἰς τὴν ναῦν ἐκάθισεν· ἀμεταστέλευτον τὸ σχῆμα· ἀναγαγὼν δὲ τὴν Χρυσηΐδα εἶσεν· ὁ δὲ μετὰ δώρων μὴ διδοὺς αὐτὸν, μετὰ προσθήκης ἀποδίδωσιν, ἐξυπηρετούμενος πρὸς δυσώπησιν τοῦ θεοῦ.

V. 312. οἱ μέν — οὗτοι μὲν, παραγραφὴ ὁ τρόπος.

ὑγρὰ κέλευθα — τὴν διὰ θαλάσσης ὁδόν· ὅτι τὰ ὑγρὰ κέλευθα κατὰ μεταπλασμὸν γένους ἐς ἓν ἀντὶ γὰρ θυλήκων, τὸ ἀμφότερα εἶπε· γίνεται γὰρ μεταβολὴ γένους εἰς ἕτερον γένος· ὡς ἀπὸ τῆς τράχηλος τὸ τράχηλον· ὃς παρὰ Καλλιμάχῳ — τὰ τράχηλα γυμνάζει — καὶ λύχνος, λύχνον δέρρος δέρρον· καὶ ἀπὸ τοῦ ἐρετμοὺς ἐρετμά· ὅθεν ἐρετμὰ προήκεια· τάρταρος ἀρσενικὸν, καὶ κατὰ μεταβολὴν ἡ τάρταρος παρὰ Πινδάρῳ — ὃς τ' ἐν αἰνῇ ταρτάρῳ — ἀμφότερον τὸ τάρταρον· Ἡσίοδός — τάρταρά τ' ἠρόεντα — τροπῆτον καὶ τὸ ὑγρὰ κέλευθα. Ὑγρὰ παρὰ τὸ ὑγρὸς τοῦτο παρὰ τὸ ὕδωρ ὑδαρός· καὶ ἐν συγκοπῇ ὑδρός· καὶ τροπῇ τοῦ δ εἰς γ ὑγρός.

V. 313. ἀπολυμαίνεσθαι — ἀποκαθέρασθαι· ἀπὸ τοῦ λύω λύσω, λύμη, λυμαίνω· τὸ λύσω ἐκ τοῦ λῶ.

ἄνωγεν — ἐκέλευσεν· ποιητικὸν τὸ ῥῆμα· διὸ οὐκ ἔχει μέλλον· τὸ θέμα ἀνώγω· τοῦτο παρὰ τὴν ἀνὰ πρόθεσιν καὶ τὸ ἄγω.

V. 314. ἀπολυμαίνοντο — ἀποκαθαίροντο· παρὰ τὸ

Digitized by Google

λύμη λυμαίνω. Διατί μὴ καθαροὺς ἐκπέμπει; ἢ ὅτι πρόυργιαστίῳ τῷ θεῷ ἡ ἀποδίδοσις· ψυχαγωγικὸν δὲ τὸ πλῆθος, ὡς ἤδη καθαρθέντες εἶεν· καὶ Εὐριπίδης — θάλασσα κλύζει πάντων ἀνθρώπων κακά — τὰ δὲ περιττεύματα εἰς τὴν ἀπείριττον θάλασσαν βάλλουσιν, — εἰς ἄλα λύματ' ἔβαλλον· — φύσει δὲ τὸ ὕδωρ τῆς θαλάσσης καθάρσιόν ἐστιν.

V. 315. ἔρδον — ἐπετέλουν· ἔδουν, παρὰ τὸ ἔρδω· τοῦτο παρὰ τὸ ῥέζω· ῥέδων· καὶ κατ' ὑπερβιβασμὸν ἔρδον.

τελήεσσας — μετοχὴ ἀορίστου α' τελῶ τελέσω· καὶ πλεονασμῷ Αἰολικῷ καὶ Δωρικῷ τελησσάω· τὸ τελῶ, παρὰ τὸ τέλος· τοῦτο παρὰ τὸ ἔω· τὸ πληρῶ· ἔος καὶ τέλος.

V. 316. ἀτρυγέτοιο — ἐκ τοῦ τρυγετός· τοῦτο παρὰ τὸ τρυγῶ; τρυγήσω τρυγητός· καὶ τρυγετός· κατὰ τροπὴν τοῦ η εἰς ε· τὸ τρυγῶ παρὰ τρύγω τρύξω· τρύγη καὶ τρύξ τρυγὸς, τρύγα· τοῦτο παρὰ τὸ τρῶ τὸ κατασπονῶ καὶ βλάπτω· ἐξ οὗ καὶ τρώω — οἶνος σε τρώει μελιηδής — ἐκ τοῦ τρῶ, καὶ τρύω, καὶ τρύχω.

V. 317. κνίσσῃ — ἀναθυμίασις δοκεῖ δὲ ἡ λέξις δ' σημαίνειν, ὡς καὶ Πορφυρίῳ δοκεῖ· αὐτό τε τὸ λῖπος· καὶ τὸν ἐπίπλεον· καὶ τὸ κρέας, καὶ τὴν ἀναθυμίασιν· παρὰ τὸ κνίσω· ὑπ' ἄψεν δὲ ἤγαγεν ἅμα τῷ μέλανι τοῦ καπνοῦ συναναμισγομένην τὴν λευκότητα τῆς πιμέλης φαντασικῶς· ὁπὸ οὖν τοῦ κνίσω μέλλοντος γίγονε πλεῖξα· γὰρ ὀνόματα ἀπὸ μελλόντων γίνονται, οἷον ἄψω ἀφίς· λέξω λέξις. ποιήσω ποίησις· δόξω δόξα· ἄξω ἄξα καὶ ἅμαξα· οὕτω δὲ καὶ κνίσω κνίσα διὰ τοῦ ι· τὰ γὰρ διὰ τοῦ ίζω, διὰ τοῦ ι γράφεται.

V. 318. πένοντο — ἔπραττον· ἔξι παρατατικὸν τρίτου προσώπου τῶν παθητικῶν Ἰωνικῶς καὶ ποιητικῶς· τὸ θέμα πένω τὸ ἐνεργῶ καὶ κάμνω· ἀφ' οὗ καὶ πόνος, καὶ πλεο-

Digitized by Google

νασμῷ τοῦ τ πόντος, καθὸ πεπόνηται τὸ τῶν ἀνθρώπων γένος περὶ τὸν πλοῦν· πόντον οὖν καλεῖται ἐπωνύμως ὁ πόντος.

V. 321. ἔσαν — παρατατικὸν τρίτον πρόσωπον παθητικῶς τῶν εἰς μι, κατὰ συζυγίαν ποιητικὴν καὶ Ἰωνικὴν τῶ η εἰς ε· ἦσαν ἔσαν· ἐκ τοῦ εἰμὶ τοῦ ὑπάρχω. ὁ παρατατικὸς ἦν.

ὀτρηρώ — ὀτρηροί, σπουδαῖοι· ὀτρηρὸς σημαίνει τὸν ἔνεργον, ὁ μὴ ἀναμένων ὀτρυνθῆναι παρά τινος, ἀλλὰ δι' ἑαυτῶ παροτρυνόμενος ἅπαντα ποιεῖ· γέγονε δὲ παρὰ τὸ τρέω τὸ φοβοῦμαι, καὶ ὄνομα ῥηματικὸν τρειρός, καὶ κράσει τῶν δύο εε εἰς η τρηρός, τὸ δηλοῦν τὸν δειλόν· καὶ τρήρων καὶ ἀτρηρὸς ὁ δραστικός· ἢ παρὰ τὸ ὁρῶ τὸ ὁρμῶ, ὥρια, ὥρμαι, ὀρτὸς, ἀτρός, ἀτρηρὸς κατὰ παραγωγήν.

θέραποντε — ὑπηρέται, οἱ τοὺς κρείσσονας δι' ὠφέλειαν θεραπεύοντες, ὡς Ἑτεωνεὺς Μηριόνην· ὁμωνύμως δὲ καὶ οἱ δοῦλοι.

V. 322. ἔρχεσθον — ἀπέρχεσθε, δυϊκῶς βασιλικὸν τὸ ἀπόλυτον τῆς φράσεως.

V. 324. μὴ δόμεν — μὴ παράσχῃ· δύο ἐπεκτάσεις δεῖ λαμβάνειν ἀπὸ τοῦ δόμεν· ἐπεὶ δύο δεῖ λαμβάνειν τὰς ἐπεκτάσεις ἐὰν ἐστὶν ἀπὸ τοῦ δῶ.

V. 325. ἐλθὼν σὺν πλεόνεσσι — σὺν πλείοσι· τὸ δὲ σὺν πλεόνεσσι οὐ τῷ ἐλθὼν συντακτέον, ἀλλὰ τῷ ἀφέλωμαι· ἵν' ἢ μετὰ πολλῶν καὶ ἄλλων κτημάτων αὐτὴν ἀφαιρήσομαι.

V. 329. κλισίη — παρὰ τὴ σκηνῆ, πλησίον τῆς σκηνῆς· διὰ δὲ τῆς μελαίνης νηὸς, τὸ σκυθρωπὸν τῆς ἕδρας δηλοῖ· τοῦτο ὑβριστικῶς· οὐ γὰρ ἐντυχεῖν Ἀχιλεῖ κελεύει, ἀλλ' ὡς καινῆς οὔσης τῆς νεὼς ἄγειν αὐτὴν· βασιλικὸν τὸ δι' ἄλλων πειρᾶσθαι, καὶ οὕτως ἐπιτυχεῖν.

αἰδομένω — αἰδεσθέντες, φοβηθέντες διὰ τὸν βασιλέα·

Digitized by Google

τὸ μὲν γὰρ εἰπεῖν, παροξυντικὸν, τὸ δὲ θωπεῦσαι, δουλοπρεπές· γίνεται δὲ παρὰ τὸ αἰδῶ· οἶδε δὲ καὶ τὸ αἰδεῖσθαι — ἀλλήλους τ' αἰδεῖσθαι — ἀλλ' αἰδεῖσθε θεούς — οὐδέ τις αἰδέσσεται — αἴδεσθε μέν — ἄλλους τ' αἰδέσθητε — καὶ τὸ ὄνομα αἰδήμων. Αἰδομένων· παρὰ τὸ αἰδῶ, πρώτης συζυγίας τῶν περισπωμένων· αἰδόμενος, καὶ συγκοπῇ αἰδόμενος· τὸ αἰδῶ παρὰ τὸ αἰδάς· τοῦτο παρὰ τὸ ἴδω· καὶ μετὰ τοῦ ϛ ερητικοῦ α ἀίδω, καὶ αἰδῶ κατὰ συναίρεσιν.

V. 332. προσεφώνεον — προσεφθέγγοντο· ὅτι πρῶτος κωφὰ πρόσωπα δεδίδαχε τὴν τραγῳδίαν.

V. 334. χαίρετε — ἐκ τοῦ χῶ χαίρω, ὡς σπῶ σπαίρω, σκῶ σκαίρω.

Διὸς ἄγγελοι ἢ δὲ καὶ ἀνδρῶν — ἀνθρώπων κήρυκες· ἄξιοι δὲ καὶ τοῦ Διός· ἢ ὅτι τὰς ἑορτὰς αὐτῷ ἀγγέλλουσιν, ἢ ὅτι ἀπὸ τοῦ Ἑρμοῦ εἰσὶν, ὃς ἄγγελος Διός· πεπαιδευμένος δὲ, οὐ γὰρ δεῖ τὰς αἰτίας ἐφ' ἑτέρους μετάγειν, ὡς κύνα κατὰ τοῦ βεβλημένου λίθου. Ἄσυλον καὶ θεῖον τὸ γένος τῶν κηρύκων· Ἑρμῆς γὰρ μιγεὶς Πανδρόσῳ τῇ Κέκροπος θυγατρὶ ἔσχε παῖδα ὄνομα Κήρυκα, ἀφ' οὗ τὸ τῶν κηρύκων γένος, ὡς ἱστορεῖ Πτολεμαῖος.

V. 335. ὔμμες — τὸ ὔμμες Αἰολικῶς — αἶκεν ὔμμιν ἐπίσχῃ χεῖρα Κρονίων.

V. 336. σφῶϊ — ὑμᾶς· δι' ἑνὸς σ – σφῶϊ δ' ἀμφὶ βοός·

V. 337. Διογενὲς — εὐγενίσατε· ἔξαιρει πάλιν τὸ πρόσωπον· τοῖς γὰρ τῶν φίλων γνησιωτάτοις εἰώθαμεν παιτεύειν τὰς γυναῖκας.

Πατρόκλεις — ἀντὶ τοῦ Πάτροκλε· ἐσχημάτισται γὰρ τὸ ὄνομα οὐκ ἀπὸ τῆς Πατροκλοῦς εὐθείας, ἀλλ' ἀπὸ τῆς Πατροκλῆος, ὡς Ἡρακλῆος ὦ Ἡράκλης.

V. 338. μάρτυροι — μάρτυρες· Ἰωνικῶς δὲ μάρτυροι

Digitized by Google

— Ζεὺς δ' ἅμα ἐπιμάρτυρος ἔστω — παρὰ τὸ μάρπτειν τὸ καταλαμβάνειν τι· μαρτύρεται δὲ αὐτοὺς ὅπως μὴ δοκῇ προδότης εἶναι τῶν Ἀχαιῶν· τὰ δὲ ἄλλα οὐχ ἅπτεται Ἀγαμέμνονος, ἵνα μὴ δοκῇ μικροψυχεῖν ἐπὶ τῇ ἀφαιρέσει, ὅπως ἐγκαλούμενος καὶ ὑπὸ θεῶν καὶ ἀνθρώπων, καὶ ὑπ' αὐτῆς ὑμῶς ἔχω μάρτυρας.

ἴσων — ἔσωσαν, ὑπαρχέτωσαν· ἀποκοπὴ τοῦ ἔσωσαν.

V. 339. πρός τε θεῶν — πρός τε τοὺς θεούς.

μακάρων — μακαρισμῶν εἰδίων, εὐφημιόνων.

V. 340. κηλεός — ἀκηκοὺς, χαλασθῇ, ἀκλήρῃ, παρὰ τὸ ἄποθεν τοῦ αἰνεῖσθαι ἀκηλέος εἶπεν, ὅτι τὸν ἀρητῆρα Χρύσην ἠτίμησεν.

V. 341. χραισμῇ — χραίσμη τὸ χραῖσμα ὡς κλεῖω, καὶ κλειοῖ· χραισμῇ δὲ ἀναγκαίᾳ· χραισῶ, χραίσῃς, χραισῇ, χρεία, μνεία ὑγεία.

ἀεικέα — αἰκισικὸν, χαλεπὸν.

V. 343. πρόσσω καὶ ἐπίσσω — τὸ παρὸν καὶ τὸ μέλλον· τουτέστι μὴ εἰδὼς προσκοπήσας καὶ τὴν ἀρχὴν καὶ τὴν ἐπόρθωσιν τῶν πραγμάτων. Πρόσσω ἐπίρρημα χρόνου δηλωτικόν· παρὰ τὸν πρὸς πρόθεσιν, καὶ κατ' ἐπέκτασιν τῆς σὺν συλλαβῆς πρόσσω· ἢ παρὰ τὸ πόρρω πόρσω, καὶ ἐν ὑστερβιβασμῷ τοῦ ρ καὶ τροπῇ τοῦ ρ εἰς σ πρόσσω· τὸ ἔμπροσθεν καὶ πόρρω ὄν, τὸ παρὸν καὶ τὸ μέλλον, τήν τε ἀρχὴν καὶ τὴν ἔκβασιν τῶν πράγματα προσκοπήσας, καὶ τῆς στρατιᾶς ἐπιμνήσας. — Ἅμα πρόσσω καὶ ὀπίσσω — τὸ δὲ ἐναντίων ὅρα πρόσσω καὶ ὀπίσσω. δεῖ γὰρ μὴ τὰ παρόντα μόνον σκοπεῖν, ἀλλὰ καὶ τὰ μέλλοντα· λείπει αὐτοῖς ἐπιρρήμασι τὸ τά· μέγιστον δὲ καὶ ψιλῷ ἀνθρώπῳ πρὸς κατηγορίαν ἡ ἀπρονοησία.

V. 348. ἡ δ' ἄκουσα — ἡ δὲ Βρισηὶς ἄκουσα καὶ μὴ βουλομένη ἅμα τοῖς κήρυξιν ἐπορεύετο· ἔστι γὰρ φίλαν-

Digitized by Google

δρος, ὡς τὸ πρόσωπον αὐτῆς δηλοῖ· καὶ διὰ μιᾶς λέξεως ἀλόκληρον ἡμῖν ἦθος προσώπου γρεῖν κατελέλοιπεν.

V. 348. — 9. αὐτὰρ Ἀχιλεὺς δακρύσας — ἕτοιμον τὸ a) ἠρωϊκὸν πρὸς δάκρυον, καὶ Ὀδυσσεὺς, ὡς δὲ γυνὴ κλαίῃσι καὶ παροιμία, ἀεὶ δ' ἄρα δάκρυες ἐσθλοὶ Ἀγαμέμνονος· ἤ τε κατ' αἰγίλιπος πέτρης· ἄλλως τε καὶ φιλότιμος ὤν, ἐνίκατα ἐν τῇ ὕβρει· παλαιᾶς τε συνηθείας ἔρεται, καὶ τὸ γύναιον ἴσως αἰχμαλωτιζόμενον ἐλεεῖ.

V. 349. ἄφαρ — εὐθέως, ταχέως· ἐπίρρημα μεσότητος δηλοῖ δὲ τὸ ἔπειτα — τό κεν ἡμῖν ἄφαρ πολὺ λώϊον εἴη — ἡ δ' ἀϊοῦσα, ἅμα τοῖσι γυνὴ κίεν.

νόσφι — χωρίς· ὅπως μὴ γελῶτο παρὰ τῶν ἑταίρων, ἢ πρὸς τὴν διάλεξιν τῆς μητρὸς, παρὰ τὸ νοσφίζω.

λιασθείς — χωρισθείς ἢ ἐκκλίνας· ἐκκλίναν καὶ ἐκφεύγων, ἢ πλανηθείς, παρὰ τὸ λιάζω, λιάσω· καὶ λιαζῶ παρὰ τὸ τὴν λείαν, ὃ σημαίνει τὴν b) πραΐδαν.

V. 350. πολιῆς — πολλῆς ἢ λευκῆς διὰ τὸν ἀφρόν· οἰκεῖον γὰρ τὸ πολιὸν τῇ ἁλὶ τοῦ πόντου.

V. 352. μινυνθάδιον — ὀλιγοχρόνιον· ἤδει γὰρ δι' ὧν εἶπεν ἡ μήτηρ αὐτῷ ἀχθαδίας χεῖρας· παιδευτικὸν δὲ τὸ μὴ εἰς ῥᾳθώνην, ἀλλ' εἰς πρακτικὴν νεῦσαι τὸν ἥρωα· φιλαστοργία δὲ καὶ ἐλέῳ προπαλεῖται τὴν μητέρα, ἐν κεφαλείοις τὴν εὐχὴν ἐκθέμενος, ὕστερον λεπτολογήσει· ἔστι δὲ παρὰ τὸ μινύθω· ὁ δὲ περ σύνδεσμος περιπληρωματικός.

V. 353. ὄφελλεν — ὤφελεν· ἄλλως ἀντὶ τοῦ ἐχρεώστει παρὰ τὸ ὀφείλω γέγονεν ὀφελὴ, ὀφελὸς συστολῇ τῷ ε καὶ ἀναδιπλασιασμῷ τῷ λ ὀφέλλω, ὁ παρατατικὸς ὄφελλον·

a) Cod. τρωϊκόν. mendose, cetera edidi prout ibi iacent. b) Nota vocabulum latinum, a Scholiorum concinnatore heic intrusum σαφηνείας χάριν.

Digitized by Google

Ὀλύμπιος — ὁ τὸν Ὄλυμπον κατοικῶν Ζεύς.

ἐγγυαλίξαι — ἐγχειρῆσαι, παρασχεῖν· τὸ ἐγγυῆσαι κυρίως παρὰ τὸ γύον· κυρίως ἐπὶ χειρὸς ἢ ποδός.

V. 354. ὑψιβρεμέτης — ὁ ἐν ὕψει ἠχῶν, ὅ ἐστι βροντῶν· βρόμος δὲ κυρίως ὁ ἐκ τοῦ πυρὸς ἦχος· ὅθεν καὶ τὸν κατὰ πυρὸς Διόνυσον Βρόμιον καλοῦσιν.

V. 356. ἀπούρας — ἀφελόμενος, ἀποσπάσας· ἀπὸ τοῦ εἴρω τὸ ἀπολαύειν ὅθεν ἐν συνθέσει ἀπαυρήσασθαι ἀ συζυγίας τῶν περισπωμένων· ὁ μέλλων αὐφήσω, ἤυρησα ὁ ὁρίσας· αὐρήσας ἡ μετοχὴ κατὰ συγκοπὴν αὖρας, καὶ τροπῇ τοῦ α εἰς ο οὖρας, καὶ ἐν συνθέσει ἀπούρας. Ἔστι δὲ καὶ δευτέρας συζυγίας τὸ ἀπούρας τῶν περισπωμένων· λέγεται δὲ ἀπὸ μεταφορᾶς τῶν ἀποσπώντων τοὺς ὅρους τινός· τὸ θέμα ὀρῶ, τὸ ὅρον τίθημι· ὁ μέλλων ὁρήσω, ὁ ἀόρι-ος ὥρησα, ἡ μετοχὴ ὁ ὁρήσας· καὶ μετὰ τῆς ἀπο προθέσεως ἀπορήσας, καὶ συγκοπῇ ἀπόρας, καὶ τροπῇ τῶν δύο οο εἰς τὸ ου δίφθογγον ἀπούρας· ἢ ἐκ τοῦ ὁρίζω ὅρος· ἀρίζω καὶ ἐπενθέσει τοῦ υ αὐρίζω, αὐρίσας, συγκοπῇ οὖρας καὶ ἀπούρας.

V. 357. δακρυχέων — δακρύων, κλαίων· ὑφ' ἓν δακροπολεῖν γάρ πε φησίν.

πότνια — σεβασμία· ἔντιμος· σεπτή· οἱ γὰρ σεβόμενοι προσπίπτουσι τοῖς ἐνδεέσι τῶν θεῶν· εἴρηται δὲ παρὰ τὸ πότμον, καὶ ποτνιᾶσθαι τὸ προσπίπτειν καὶ ἐπικαλεῖν. Δεῖ δὲ γινώσκειν ὅτι τὸ Ἀλεξάνδρεια διὰ διφθόγγου γράφεται· ἐπειδὴ τὰ διὰ εια προπαροξύτονα ὑπεραλμέναν τῶν διὰ τοῦ τρια διὰ τοῦ ει διφθόγγου γράφεται, οἷον ἀναίδεια φληνάφεια· ἀφίλεια· ἄθεια· ἔνδεια· μαφόνεια· μεσίμβρεια· βοήθεια· ἀδράνεια· ἀπέχθεια· ἀπόλεια· ἔνθεια· θάλεια· Ἡράκλεια· Μήθεια· κράτεια· ἀμάσεια· ἀσάφεια· νουνέχεια· πρόκειται ὑπεραλμένων τῶν διὰ τρια, οἷον ἐλέτρια,

Digitized by Google

ἑλεκάζιμα σημαίνει τὴν πόρνην, μονάστρια καὶ τὰ λοιπά· καὶ χωρὶς τοῦ πότνια· Πολέμνια λάμια ἰάμια· Ὄμπνια σημαίνει δὲ τὴν Δήμητραν, καὶ χωρὶς τοῦ Ἀκλητα, ἐστι δὲ ὄνομα πόλεως· τὸ δὲ Καλάβρεια παρὰ μὲν Ἀπολλωνίῳ καὶ Καλλιμάχῳ μετὰ ει διφθόγγου· παρὰ δὲ Διονυσίῳ διὰ τοῦ συνεσταλμένου ι, Καλάβρια· Τετρίχια, ἐστι ὄνομα πόλεως· τὸ δὲ Θέσπεια ὁ ὅρος διὰ τοῦ ει διφθόγγου γράφεται, τῷ τῶν παρεξυτόνων κανόνι· ὁ δὲ Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ διὰ τοῦ ι γράφει· ἐπειδὴ γὰρ εὕρηται ἡ πι συλλαβὴ συνεσταλμένη, ὡς παρὰ Κορίνθῳ Θέσπια a).

V. 358. παρὰ πατρὶ γέροντι — τῷ Νηρεῖ· τὸν δὲ Νηρέα οἱ ποιηταὶ παρίστωσι ἡμῖν δαίμονα θαλάσσιον· ἀφ' οὗ καὶ Λορίδος τῆς ἀκεανοῦ αἱ Νηρεΐδες.

V. 359. καρπαλίμως — ταχέως· παρὰ τὰ κάπω τὸ ἀναπνέω, καπνὸς, καὶ πλεόνασμῷ τοῦ ρ καρπνὸς, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς καρπάλιμος.

ἀνέδυ — ἀνῆλθεν, ἐκ τοῦ δῦμι ὁ β' ἀόριστος ἔδυν·

ἠΰτε — καθάπερ, ὃν τρόπον· ἐκ τοῦ ἄτι, ἐκτάσει τοῦ α εἰς η, καὶ ἐπενθέσει τοῦ υ ἠΰτε.

ὀμίχλη — ὁ παχὴς ἀὴρ καὶ ὑγρότατος.

V. 361. κατέρεξε — κατέψησε· ἐκ τοῦ ψω ψήσω· τὸ θέμα ἐρέζω, ἐρέξω, ἤρεξα· καὶ συστολῇ ἔρεξα Ἰωνικῶς καὶ ποιητικῶς.

V. 363. ἐξαύδα — εἰπέ· τῇ γὰρ τῶν λόγων ἀνοχῇ κουφιεῖται τοῦ βάρους ἡ ψυχή· ἔστι δὲ διυτέρας συζυγίας τῶν περισμωμένων, αὐδῷ αὐδᾷς.

μὴ κεῦθε — μὴ κρύπτε· ἐνθέσει καὶ παραθέσει τῶν πράξεων.

a) Cf. Draconem p. 20. 21, ubi de his aliqua invenies.

V. 365 οἶσθα — οἶδας· καὶ πρὸς εἰδότας ἦθος λέγειν ἐπισωρεύοντας τὴν ὀδύνην.

V. 366. ᾠχόμεθ' ἐς Θήβην — παρεγενόμεθα ἐν τοῖς Θήβαις· νῦν δὲ λέγει τὰς Ὑποπλακίους, ὧν ἐβασίλευσεν Ἠετίων ὁ Ἀνδρομάχης πατήρ· Κίλικες ἔθνος βάρβαρον τῆς Ὑποπλάκους ὄρους Θήβης· τούτων ἦρχε τῶν Κιλίκων Ἠετίων ἔχων υἱοὺς ἑπτὰ, θυγατέρα δὲ Ἀνδρομάχην τὴν γαμηθεῖσαν Ἕκτορι τῷ υἱῷ Πριάμου· κατὰ δὲ τὰς Τρωϊκὰς πολέμους ἐπιστρατεύσας Ἀχιλεὺς τῇ Θήβῃ, καὶ τὴν πόλιν πορθήσας, τόν τε Ἠετίωνα ἀνεῖλε σὺν τοῖς τέκνοις, μεθ' οὓς Λύρνησσον πορθήσας καὶ τὴν πόλιν ἐξελὼν, αἰχμάλωτον ἤγεν Λυρνησσοῦ μὲν βασιληΐδα, ἣν γέρας αὐτῷ ἐψηφίσαντο Ἕλληνες· ἀπὸ δὲ τῆς Χρύσης Χρυσηΐδα τὴν Χρύσου τοῦ ἱερέως τοῦ Ἀπόλλωνος θυγατέρα, ἣν ὁ Ἀγαμέμνων κλῆρῳ λαχὼν, τῷ πατρὶ δεομένῳ οὐκ ἀπέδωκεν· ἐξ οὗ ὀργισθεὶς ὁ θεὸς ἔπεμψε τοῖς Ἕλλησι λοιμικὴν νόσον· ἔνιοι δέ φασιν ὅτι καὶ Κρυσηὶς ἐκ Θηβῶν ἐλήφθη· τῆς γὰρ Χρύσης φασὶν οὔσης πολιχνίου ἀτειχίστου καὶ εὐτελοῦς, ὡς ἐν ἀσφαλεστέρᾳ καὶ μείζονι τῇ Θήβῃ, οἱ ἀπ' αὐτῆς προσερρυηκότες ἦσαν διὰ τὸν πόλεμον· Θῆβαι δὲ αὗται εἰσὶ τὸ νῦν Ἀδραμύτιον· ἰστέον ὅτι τρεῖς εἰσὶ Θῆβαι· αἱ Ὑποπλάκιοι, ὧν ἐνταῦθα μέμνηται καὶ ἐν τῇ ζ'· καὶ αἱ Καδμεῖαι, ὧν μέμνηται ἐν τῇ δ', καὶ ἐν τῇ ε'· καὶ αἱ τῆς Αἰγύπτου, ὧν μέμνηται ἐν τῇ ι'.

ᾠχόμεθ' ἐς Θήβην — ὁ τρόπος ἀνακεφαλαίωσις· τεσσάρων δὲ διηγήσεων εἰδέαι· ἡ μὲν ὁμιλητικὴ, ὅταν παρά τινος τι ἀκούσας αὐτὸ διηγεῖται ὡς ἤκουσεν. ὡς τὸ — πολλάκι γὰρ σέο πατρός — ἡ δὲ ἀπαγγελτικὴ, ὅταν ὁ παρ' ἑτέρου ἤκουσεν ἑτέρῳ διηγοῖτο, ὡς τὸ — ἀγγελίην τινά τοι γαμόρχε — ἡ δὲ ὑποστατικὴ, ὅταν τῶν πραγμάτων τινὰ ἀπαγγεῖλαι ὑποθέμενοι, διηγούμεθα· ὡς . . . . . ἡμῖν

νεῖκος ἐτύχθη — τὸ δὲ μικτὸν καὶ ὑποστατικόν, ὡς τὸ — σὺ τόν γ' ἐλθοῦσα θεὰ ὑπελύσαο δεσμῶν — εἰ γὰρ ὁμιλητικὴ ἦν ἡ διήγησις, οὕτως ἂν εἶπεν ἀλλὰ τῶν δεσμῶν αὐτὸν, ἀπολῦσαι καλέσαντα τὸν Ἑκατόγχειρα· ὁ δὲ ἐφ' ἑτέραν πτῶσιν κατελθὼν ὡς ἴδιον ὅλον ἤδη, καὶ οὐχὶ ὡς περ παρ' ἐκείνου ἀκούσασα διέξισι.

V. 368. μετὰ σφίσιν — ἐν αὐτοῖς, παραξιτατητέον, εἰς σύνθετον γὰρ ἡ μετάληψις καὶ ὅτι μετὰ προσθήκης ἡ ἀντωνυμία συντασσομένη, ὀρθοτονεῖται· εἰ μὴ τῷ ἐπιφερομένῳ ῥήματι συντάσσεται· ὡς τὸ, κατὰ σὲ χώσομεν λίθοις· καὶ ἐν τῷ, σύν μοι γενέσθαι.

V. 386. κελόμην — ἐκέλευον· ὡς καὶ τῶν ἄλλων τέτε ἐχόντων σκοπῦ· παρὰ τὸ κέλω, καὶ ὁ παρατατικὸς ἐκελόμην, καὶ Ἰωνικῶς καὶ ποιητικῶς κελοίμην.

ἐξιλάσκεσθαι — ἐξιλεοῦσθαι, ἐξευμενίζεσθαι ἀπαρέμφατον· ἀπὸ τῦ ἵλω συζυγίας β' τῶν περισπωμένων, τὸ δηλῦν τὸ ἐξιλεοῦμαι καὶ ἐξευμενίζω· ἰλάσω, καὶ πλεονασμῷ τῦ κ ἰλάσκω.

V. 388. ἠπείλησεν — ἐπηγγείλατο· ἀόριστος α' τῶν εἰς ω τρίτον πρόσωπον τῶν ἐνικῶν, α' συζυγίας τῶν περισπωμένων· τὸ θέμα ἀπειλῶ.

V. 389. ἐλίκωπες — μελανόφθαλμοι· ἑλίκη γὰρ κατὰ διάλεκτον τὸ μέλαν, ἢ οἱ ἑλικοειδῶς κινοῦντες τὰς ὄψας, ὅ ἐστι τοὺς ὀφθαλμούς εὐειδεῖς.

V. 391. ἔβαν — ἔβησαν, ἀόριστος β' κατὰ συγκοπὴν Δωρικὴν καὶ Αἰολικήν.

V. 392. κούρην Βρισῆος — τὴν Βρισέως θυγατέρα Βρισηΐδα· ἔοικε δὲ πατρωνυμικῶς τὰ ὀνόματα σχηματίζειν αὐτῶν ὁ ποιητὴς καὶ οὐ κυρίως· ὡς γὰρ οἱ ἄλλοι ἀρχαῖοι ἱστοροῦσιν, ἡ μὲν Ἀστυνόμη ἐκαλεῖτο, ἡ δὲ Ἱπποδάμεια ἀντωνομάσθη.

Digitized by Google

V. 393. περίσχεο — περίσχυ, φρόντισον· οὐ διςάζων ἀλλὰ σχετλιάζων, εἴγε σοι κἂν τοῦτο χαριεῖται· περίσχεο ἀόριςος β′ τῶν εἰς ω α′ συζυγίας τῶν περισπωμένων· κατὰ διάλυσιν Ἰωνικὴν σχοῦ σχέο.

ἑοῖο — ἀντὶ τοῦ σοῦ· οἱ δὲ ἀντὶ ἀγαθοῦ προσηνῶς· ἰδίυ· ὀνόματος γένους ἀρσενικοῦ· ἀπὸ τοῦ ἔω τοῦ ὑπάρχω γίνεται ὄνομα ῥηματικὸν ἐὺς ὁ ἀγαθὸς, ὁ βέβαιος, ὁ ἑδραῖος· καὶ τρεπῇ τοῦ ε εἰς η ἠὺς ἠϋέος, καὶ ὑπερθέσει τοῦ ε ἐῆος·

V. 394. λίσαι — λιτάνευσον· ἀπὸ τοῦ ἔλισα, ὅθεν ἐλισάμην — καί σφιν μενοεικέα καὶ κῆρα λίσεσθαι.

V. 396. πολλάκι γάρ σεο — γάρ συ· τὸ δὲ ὅλον, πολλάκις γάρ σεο ἤκουσα ἐν τοῖς τοῦ πατρός μου Πηλέως οἴκοις αὐχοῦσαν· ἐν γὰρ θαλάττῃ Πηλεὺς κατοικεῖ· ἀλλ' οὐκ ἠδύνατο διὰ τὸ ἁπλῆν ἔχειν, καὶ μὴ ἔχειν ἀντιδιαςολὴν ἔτι καὶ ὀρθοτονεῖν, ἵνα λέγῃ σοῦ καὶ οὐκ ἄλλης ἤκουσεν.

V. 397. ὅτ' ἔφησθα — ὅτε ἔλεγες· ἐκ τοῦ φῶ, φημὶ, ἔφην, καὶ ἐπεκτάσει τῆς θα συλλαβῆς ἔφησθα.

V. 399. ὁππότε μιν ξυνδῆσαι — Ζεὺς παραλαβὼν τὴν ἐν οὐρανῷ διοίκησιν, περισσῶς τῇ παῤῥησίᾳ ἐχρῆτο, πολλὴν αὐθάδειαν διαπραττόμενος. Ποσειδῶν δὲ καὶ Ἥρα καὶ Ἀπόλλων καὶ Ἀθηνὰ ἐβούλοντο αὐτὸν δήσαντες ὑποτάξαι· Θέτις δὲ ἀκούσασα παρὰ τῦ πατρὸς Νηρέως, ἦν γὰρ μάντις, τὴν Διὸς ἐπιβουλὴν, ἔσπευσε πρὸς αὐτὸν, ἐπαγομένη Αἰγαιῶνα φόβητρον τῶν ἐπιβουλευόντων θεῶν. ἦν δὲ θαλάσσιος δαίμων· οὗτος καὶ τὸν πατέρα Ποσειδῶνα κατεβράβευεν· ἀκούσας δὲ ὁ Ζεὺς Θέτιδος, τὴν μὲν Ἥραν ἐν τοῖς κατ' αὐτοῦ δεσμοῖς ἐκρέμασε· Ποσειδῶνι δὲ καὶ Ἀπόλλωνι τὴν παρὰ Λαομέδοντι θητείαν ἐψηφίσατο· τῇ δὲ Θέτιδι τὴν Ἀχιλέως τιμὴν εἰς τὰ μεταταῦτα ἐταμιεύσατο· ἱςορεῖ Δίδυμος.

Digitized by Google

ξυνδῆσαι — Ἰωνικὴ ἡ διάλεκτος, πρώτης συζυγίας τῶν εἰς μι· παρὰ τὸ δέω τὸ δεσμεύω συντέθειται· καὶ ἀναδιπλασιασμῷ διδῶ· ἐκ τούτου δίδημι, δήσω, ἔδησα· δῆσαι τὸ ἀπαρέμφατον· καὶ ἐν συνθέσει συνδῆσαι καὶ ξυνδῆσαι.

V. 400. Ἥρη ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη — γράφεται καὶ, Φοῖβος Ἀπόλλων καὶ Ὀλύμπιοι ἄλλοι — τουτέστι Τιτᾶνες· καὶ γὰρ ἐν ἄλλοις φησί — μάλα γὰρ καὶ μάχης ἐπύθοντο καὶ ἄλλοι — οἵ περ ἐνέρτεροι εἰσὶ θεοί, Κρόνου ἀμφὶς ἐόντες.

V. 401. ὑπελύσαο — ὑπελύσω, ἢ ἴσωσας· λύω, λύσω, ἔλυσα, ἐλυσάμην, ἐλύσω· καὶ διαλύσει Ἰωνικῇ ἐλύσαο.

V. 402. ἑκατόγχειρον — ἑκατοντάχειρα, Αἰολικῶς· μακρόν· μέγαν συνεκδοχικῶς.

V. 403. ὃν Βριάρεων καλέουσι θεοί· ἄνδρες δέ τε πάντες — Αἰγαίωνα — τῶν δὲ διωνύμων τὸ μὲν πρότερον ὄνομα Ὅμηρος εἰς θεοὺς ἀναφαίρει· τὸ δὲ δεύτερον εἰς ἀνθρώπους· ὡς καὶ τό — Χαλκίδα κεκλήσκουσι θεοί, ἄνδρες δὲ Κυμίνδιν· — καὶ περὶ τοῦ ποταμοῦ — ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον.

V. 407. καὶ λάβε γούνων — καὶ τῶν γουνάτων κράτησον· κεφαλῆς μὲν λαμβανόμεθα, ἐπεὶ ἡγεμονική· δεξιᾶς, ἐπεὶ πρακτική· γουνάτων, δι' αὐτῶν γὰρ ἐπικλᾶται τὸ σῶμα· ἐπικλᾶν οἰωνιζώμενοι τὴν ψυχὴν τοῖς λόγοις· γόνυ παρὰ τὴν γωνίαν, ἢ παρὰ τὸ εἰς γῆν νεύειν.

V. 409. κατὰ πρύμνας — τὰς ναῦς· ἀπὸ μέρους φησί· συνεκδοχικῶς γὰρ μέρος τῆς νηὸς τὸ ἔσχατον.

ἕλσαι — συνελᾶσαι, συγπλεῖσαι· ἀπὸ τοῦ ἑλῶ, ἐλάσω, τὸ τὸ ἐλαύνω δηλοῦν· β' συζυγίας τῶν περισπωμένων· τὸ ἀπαρέμφατον ἑλᾶσαι, καὶ ἕλσαι κατὰ συγκοπήν.

V. 414. αἰνὰ τεκοῦσα — ἐπεὶ νύτοι αἶσα· τὸ δὲ, αἴθ' ὄφελες παρὰ νηυσί, διὰ μέσον· τὸ δὲ αἰνὰ, ἀντὶ τοῦ αἰνῶς

ἐκ τοῦ δεινὸς δεινή ἀποβολῇ τοῦ δ, καὶ τροπῇ τοῦ ε εἰς α αἰνή ἡ γενικὴ τῶν πληθυντικῶν αἰνῶν καὶ τὸ ἐπίρρημα αἰνῶς καὶ αἰνή.

V. 415. ὄφελες — ῥῆμα κατὰ παντὸς ἀριθμοῦ φερόμενον ὡς — δὴ μὴ ὄφελε νικᾶν — ὡς ὄφελεν Ἕκτωρ κτεῖναι — μὴ ὄφελες λέσσεσθαι — Καλλίμαχος δὲ ἐπίρρημα εὐκτηκόν — ὄφελε μὴ δ' ἐγένοντο θεαὶ κῆες — τὸ ἑξῆς (iungitur cum αἰνὰ τεκοῦσα ut supra.)

V. 416. μίνυνθα — ἐπ' ὀλίγον κατὰ ἀποκοπὴν τοῦ μυνινθάδιος — μυνινθάδιος δέ οἱ αἰὼν ἔπλετο — παιδευτικὸν δὲ τὸ μὴ τὸν ὀλίγον τῶν ἀνθρώπων βίον ἄδακρυν εἶναι· ἔστι δὲ περίφρασις ἐν τῷ στίχῳ ὡς τὸ — ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν.

V. 417. ἀκύμορος — ταχυθάνατος λέγεται γὰρ Θέτις παρὰ τὰ Διὸς μαθεῖν τὰ περὶ Ἀχιλέως ὅτι εἰ μείνει ἐν τῇ Φθίᾳ μὴ συμπλεύσας τοῖς Ἕλλησιν εἰς τὴν Ἴλιον, πολλὴ μὲν αὐτῷ ἔσται ζωὴ, ἄδοξος δέ· εἰ δὲ συνέλθοι αὐτοῖς, ἔσται ὀλιγοχρόνιος μὲν, ἀλλὰ ἀοίδιμος, καὶ εὐκλεής· ὅθεν ὡς προειδυῖα ἡ Θέτις τοῦτο, ἦν αὐτὸν παραθεμένη εἰς τὸν Λυκομήδους παρθενῶνα, ὡς κόρην ἐν τῇ Σκύρῳ ἡ δὲ Σκύρον (μία) μέν ἐστι τῶν Κυκλάδων νήσων.

ὀϊζυρός — ἐπίπονος, ἄθλιος, ταλαίπωρος· εἰ ταῦτα περὶ Ἀχιλέως ὁ ποιητὴς φησὶ, τί περὶ ἄλλων εἴποιμι;

V. 419. τερπικεραύνῳ — τερπομένῳ κερουνοῖς, ἢ καταγωνιζομένῳ τοὺς ἐναντίους, καὶ κεραυνοῖς τρέποντι.

V. 420. ἀγάννιφον — τὸν λίαν νιφόμενον τὰ ὑπὸ τοῖς νέφεσι μέρη· τὰ γὰρ ἄκρα τοῦ Ὀλύμπου ὡς ὑπὲρ τὰ νέφη, οὔτε νίφεται οὔτε κατομβρεῖται· κατ' αὐτὸν τὸν ποιητὴν τὸν λέγοντα — Ὄλυμπος δ' ὅθέ φασι θεῶν ἕδος ἀσφαλὲς αἰεὶ — ἔμμεναι· οὔ τ' ἀνέμοισι τινάσσεται, οὔ τέ ποτ' ὄμβρῳ — δεύεται· οὔ τε χιὼν ἐπικίδναται, ἀλλὰ μαλ' αἴθρη — πέπλαται

ἀννέφελος· λευκὴ δ' ἐπιδέδρομεν αἴγλη. — Ἀγάννιφον οὖν εἴτοι τὸν πάνυ κατανιφόμενον, εἴτε τὸν οὔτε ὅλως οὕτω τινὰ τῶν ὀρῶν ἦν ὑπερνεφῆ· ὅτι τινὲς τῶν ἱερέων ἀνήρχοντο εὐχῆς χάριν εἰς αὐτὰ ἅπαξ τοῦ ἐνιαυτοῦ· καὶ ἐποίουν ἐν αὐτοῖς χαρακτῆρας, οὓς τινας εἰς τὸ ἐπιὸν εὕρισκον ἀμειώτους. Ἀγάννιφον τινὲς ἐπὶ τοῦ οὐρανοῦ, τὸν ἄγαν νίφοντα ὡς βριήπουον καὶ γαιηόχον· τὰ ὄρη γὰρ νιφόεντα καλεῖ ὡς Τήλεφος.

V. 421. ἀλλὰ σὺ μὲν νῦν νηυσί — τὸ νῦν ἀντὶ τοῦ δὴ κεῖται· διὸ καὶ Τυραννίων ἠξίου ὀξύνειν αὐτό· οὐ καλῶς δέ· λόγοις μὲν χαρέζεται αὐτῷ· ἔργῳ δὲ ἀναβάλλεται.

V. 422. μήνιε — ὀργίζου· ἐκ τοῦ μῆνις μήνιος Ἰωνικῶς· μηνίω καὶ ἐκ τούτου μηνιῶ.

V. 423. ἐς ὠκεανόν — παρὰ τὸν ὠκεανόν· ὁ δὲ ὠκεανὸς ποταμός ἐστι καθ' Ὅμηρον· ἔξωθεν περιέχων κυκλοτερῶς ὅλον τὸν κόσμον.

Αἰθιοπῆας — Αἰθίοπες δισσοὶ δέ εἰσιν Αἰθίοπες ὑπὸ Νεῖλον ὁριζόμενοι· ὡς ἡ Ἰθάκη καὶ αἱ λοιπαὶ νῆσοι· ἄλλοι δὲ γράφουσι, μέμνονας Αἰθιοπῆας· ἔθνος δὲ τοῦτο· ἔστι δὲ ὡς ἡνιοχῆας.

V. 424. χθιζός — διὰ τὴν χθὲς ἐπιρρηματικῶς· ἔστι καὶ τὸ τήμερος παρὰ Ἀττικοῖς.

μετὰ δαῖτα — ἐπὶ εὐοχίαν· ἡ μετὰ ἀντὶ τῆς ἐπὶ καὶ ἀντὶ τῆς ἐν, ὡς τὸ μετὰ χερσίν· — Ἀρίσταρχος δὲ γράφει ἐπὶ δαῖτα· ἔστι δὲ παρὰ τὸ δαίω, δαίσω, δαίς· ὡς παίω, παίσω, παῖς· ἡ μεριζομένη παισί.

V. 426. δῶ — δῶμα· οἴκημα· τὸ δὲ πάθος ἀποκοπὴ ἐστί· δαίμω τὸ οἰκοδομῶ· ἐξ οὗ καὶ δόμος· καὶ ἐξ αὐτῆς ἕτερον ῥῆμα δομῶ, δομήσω, δεδόμηκα, δεδόμημαι, δόμημα, καὶ συγκοπῇ δῶμα, κατ' ἐπέκτασιν τοῦ ο μικροῦ εἰς ω μέγα, καὶ ἀποκοπῇ δῶ.

Digitized by Google

V. 427. γενάσομαι — γουνπετήσω· ἐς-ι δευτέρας συζυγίας τῶν περισπωμένων· γουνῶ γουνᾶς· ὁ μέσων μέλλων ά γουνάσομαι.

πείσεσθαι — πεισθῆναι· ὡς ἀμφίβολον δὲ αὐτὸ φησί· διότι ᾔδει τὸ αὐτοπαθὲς τῆς Ἥρας.

V. 428. ἀπεβήσατο — ἀπέβη· οἱ Δωριεῖς ποιοῦσι τοὺς μέλλοντας ἐκ τοῦ βῶ, βίβημι, βήσω ά συζυγίας· καὶ τῶν χρόνων ἐναλλαγῇ τοῦ μέλλοντος εἰς ένες-ῶτα βήσομαι, καὶ τὰ τρίτον τῆ παρατατικοῦ ἐβήσατο·

V. 429. εὐζώνοιο — εὐζώνε· καλῆς καὶ εὐς-ολίς-ε· ἀφ' οὗ καὶ εὐειδοῦς· ἀπὸ μέρες· ἐκ τοῦ ζῶ, ζωὴ καὶ ζώνη· ὡς χῶ, χωὴ καὶ χώνη· καὶ φῶ, φωὴ καὶ φωνή.

V. 432. πολύβενθέος — τοῦ πολὺ βάθους ἔχοντος· ἐκ τοῦ βάθαυς, βενθέος, καὶ πολυβενθέος.

V. 433. ἰς-ία — τῆς νηὸς ἡ ὀθόνη, ὅ ἐς-τι τὸ ἄρμενον, ἰς-ίον λέγεται· ἰς-ὸς δὲ τὸ μέγα ξύλον τὰ κατάρτιον λεγόμενον ὑπὸ τῶν ναυτῶν.

V. 434. ἰς-οδόκῃ — τῇ ὑποδεχομένῃ τὸν ἰς-όν· λέγει δὲ κατὰ τὴν πρύμναν ἀνέχον ξύλον, καθ' οὗ κλίνεται ὁ ἱστός· παρὰ τὸ δέχω, δοχὸς, καὶ δοκὸς καὶ ξενοδόκος ὁ πάντας δεχόμενος.

πίλασαν — προσεπίλασαν, προσήγησαν, προσήγαγον· μετωνυμία· πελασθῆναι ἐποίησαν· ἐκ τοῦ πέλω τῆ σημαίνοντος τὸ πλησιάζω, δευτέρας συζυγίας τῶν περισπωμένων· οὗ παράγωγον πελάζω, καὶ κατὰ συγκοπὴν πλῶ, πλήσω· ὄνομα ῥηματικὸν πλητὸς, πλητίος, καὶ τροπῇ τοῦ τ εἰς σ πλησίος.

προτόνοισιν — τοῖς προτεταμένοις κάλοις· οἵ τινες τὸν ἰς-ὸν περιτείνουσιν ἵνα ᾖ ὀρθός.

ὑφέντες — ἐνδόσαντες, χαλάσαντες· ὁ Ζηνόδοτος· οἱ δὲ



Digitized by Google

δὲ ἄλλοι ἐφέντες· γέγονε δὲ ἐκ τοῦ ἵημι, ὁ α΄ ἀόριστος ἦν· ἡ μετοχὴ εἷς ἔντος.

V. 435. εἰς ὅρμον — εἰς τὸν λιμένα· ἐκ τοῦ ὅρω, ὅρμος· εἴρηται δὲ ἀπὸ τοῦ ὁρμᾷν καὶ ἵστασθαι τὰς ναῦς·

V. 436. ἐκ δ' εὐνάς — τὰς ἀγκύρας, νῦν λέγει τὰ σίδηρα· παρὰ τοῦ εὐνάζειν τὴν ναῦν χαλωμένας εἰς τὸ ὕδωρ, καὶ ποιεῖν ἵστασθαι· τρία δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ· τὴν κοίτην· ὡς ὅταν λέγει - εὐνῇ ἐνὶ μαλακῇ - τὴν ἄγκυραν ὡς νῦν - ἐκ δ' εὐνὰς ἔβαλον· - καὶ τὴν διατριβὴν ὡς τὸ - ὅθι φασὶ Τυφωέως ἔμμεναι εὐνάς - πολλὴν ἔχει τὴν ἡδονὴν ἡ τῆς προθέσεως ἐπαγωγή· τὸ δὲ σχῆμα ἐπανάληψις.

V. 443. Φοίβῳ τέ — καὶ τῷ Ἀπόλλωνι· ὡς ἀντιδιαστελλόμενον τῷ Φοίβῳ ὀρθοτονεῖσθαι.

V. 446. ὁ δ' ἐδέξατο χαίρων — περιέτεμε τὸν λόγον τοῦ γέροντος· οὔ τε γὰρ ἐπαινεῖν οὔ τε ψέγειν ἦν τοὺς ἀποδώσοντας· τὸ μὲν δουλοπρεπὲς, τὸ δὲ παροξυντικόν· ἀλλ' οὐδὲ τοσαύτην κίνησιν ἔχει τὰ ἡδέα, ὅσην τὰ λυπηρά.

V. 448. ἑξείης — ἐφεξῆς· ἐπίρρημα ταττικόν· κατὰ διαίρεσιν καὶ ἐπέκτασιν· τὸ ἑξείης οἶμαι τὸ ει πεπλεονακέναι· ὡς ἐν τῷ ἀδελφειός.

ἐΰδμητον — περὶ τὸν καλῶς ᾠκοδομημένον βωμόν· δέμω· δμῶ· δμήσω· δέδμηται· δμητὸς, καὶ ἐΰδμητος.

V. 449. χερνίψαντο — τὰς χεῖρας ἐνίψαντο· δεῖ γὰρ τὸν προσιόντα τῷ θεῷ κατὰ τὸ δυνατὸν εἰκάζειν ἑαυτὸν θεῷ·

οὐλοχύτας — οὐλὰς, κριθάς· εἰσὶ δὲ κριθαὶ μετὰ ἁλῶν μεμιγμέναι, ἃ ἐπέχεον τοῖς ἱερουργουμένοις ζώοις πρὸ τοῦ θύεσθαι, ἤτοι πολυπληθίας χάριν, ἢ μνήμην ποιούμενοι τῆς ἀρχαίας βρώσεως· ὡς γὰρ Θεόφραστος ἐν τῷ περὶ εὑρημάτων, πρὶν ἢ μάθωσιν οἱ ἄνθρωποι ἁλεῖν τὸν δημητριακὸν καρπὸν, οὕτω σώας αὐτὰς ἤσθιον· ὅθεν οὔλας (sic) αὐτὰς ὁ ποιητὴς φησίν.

Digitized by Google

V. 459. αὖ ἔρυσαν — εἰς τοὐπίσω ἀνέκλασαν τὸν τράχηλον τοῦ θυομένου ἱερείου, ὡς προσέχειν εἰς οὐρανὸν τοῖς θεοῖς, οἷς καὶ ἐθύοντο ὡς καὶ αὐτῶν ἐν τῷ οὐρανῷ ὄντων· πάλιν δὲ τοῖς ἥρωσιν ὡς κατοιχομένοις ἔντομα ἔθυον· ἀποβλέποντες εἰς γῆν κάτω.

V. 461. δίπτυχα ποιήσαντες — διπλώσαντες τὴν κνίσσαν· νῦν δὲ λέγει τὸν ἐπίπλουν· τινὲς ὡς ὑπόβροχα· καὶ τῷ μὲν ἑνὶ ἐπιτίθεται ὁ μηρός· θατέρῳ δὲ τὰ ἄκρα.

ἐπ' αὐτῶν δ' ὠμοθέτησαν — τῶν ἱερείων ἀπαρξάμενοι ἔκοψαν μικρὸν ἀπὸ παντὸς μέλους καὶ ἔθηκαν ἐπὶ τὰ μηρία, ὡς δοκεῖν ὅλα τὰ μέλη τοῦ ἱερείου καρπῶσθαι.

V. 462. αἴθοπα — μέλαινα, ἢ θερμαντικὸν· αἴθοπα οὐκ ἔστιν ἀπὸ εὐθείας τῆς Αἰθιόπης· ἀλλ' ἀπὸ αἰτιατικῆς κλινομένης ἀκολούθως ἀπὸ τοῦ αἴθοψ· λαμβάνονται γὰρ καὶ αἰτιατικαὶ ἀπὸ εὐθείας κατὰ μίμησιν μεταπλασμοῦ, οὐ μὴν μεταπλασθεῖσαι· οὐ γὰρ βούλονται εἶναι· καὶ τὴν ἀκάκητα καὶ εὐρύοπα.

V. 463. πεμπώβολα — πέντε ὀβελοὺς ἔχοντα, ἐκ μιᾶς λαβῆς κρατουμένης· τριαινοειδεῖς διὰ τὸ μὴ συνεμπεσεῖν τῷ πεντόβολα· καὶ τοὺς μὲν ἄλλους τρεῖς ὀβελοὺς πείρειν· Κυμαῖοι (a) δὲ πέντε (sic) φασίν.

V. 464. σπλάγχνα — ἥπατα· ἀντὶ τῶν σπλάγχνων· ὅ ἐστι τῶν ἐντοσθίων· ἐκ τοῦ σπῶ, σπάζω· σπάλανον· σπλάγχνον· ἐνδόσθια δὲ ἥπατα, νεφροὶ καὶ τὰ ἑξῆς· τούτων δὲ πρώτων ἐπεγεύοντο ἀπὸ τῶν σπλάγχνων ἐκ ψυχικῆς σπουδῆς δηλοῦντες γίνεσθαι τὴν θυσίαν.

ἐπάσαντο — ἐγεύσαντο· ἐκ τοῦ σπῶ, σπάζω· σημαίνει δὲ τὸ χρῶμαι.

a) Eust. p. 135. Μόνοι δὲ Κυμαῖοι, Αἰολικὸν δὲ οὗτοι ἔθνος, πεμποβώλοις ἐχρῶντο· ἐστι δὲ ἡ τοῦ πεμπωβόλου λέξις Αἰολική, καθὰ καὶ ἡ χρῆσις· πέμπε γὰρ οἱ Αἰολεῖς τὰ πέντε φασίν.

Digitized by Google

V. 465. μίγνυλλον — εἰς μικρὰ διέκοψαν, ἐκ τῶ μείων μις-ὸς αὐκ ἔχει τὸ ε, ὡς οὐδὲ μικρὸς παρὰ τοῦ μείων.

τ' ἄρα τ' ἄλλα — καὶ τὰ ἄλλα καὶ τὰ λοιπὰ· τενὲς δὲ κατὰ συναλοιφήν· τἄλλα ὡς τἄργα· ὁ δὲ Ἡρωδιανὸς τόν τε παραπληρωματικὸν ἀποδέχεται, καὶ λείπει τὸ ἄρθρον ὁμηρικῶ. ἔθει.

V. 466. περιφραδέως — πάνυ ἐμπύρως· ἐμπειρίας γὰρ δὴ προσδεῖ τοῖς ὀπωσοῦν (sic)· ἀπτᾶν γὰρ εἴρηται διὰ τὸ πυκνότερον ἐποπτεύειν· γίνεται δὲ παρὰ τὸ φράζω τὸ γνώσκω καὶ διανοοῦμαι.

V. 467. πόνου — τῆς περὶ τὴν εὐωχίαν ἀσχολίας· τετύκοντο — κατεσκεύαζον· εὐτρέπιζον· ἐκ τοῦ τεύχω, ἔτυχον, ἐτυχόμην, ἐτύχοντο· ποιητικῶς καὶ Ἰωνικῶς· καὶ κατὰ ἀναδιπλασιασμὸν τοῦ τ καὶ τροπῇ τοῦ χ εἰς κ τετύκοντο.

V. 468. δαίνυντο — εὐωχοῦντο. ἐκ τοῦ δαίω τὸ μερίζω, δαινύω καὶ δαίνυμι·

V. 469. ἐδητύος — εὐωχίας· βρώσεως· ἐκ τοῦ ἐδῶ, ἐδήσω τὸ σημαῖνον τὸ τρώγω· α' συζυγίας τῶν περισπωμένων· ἐδέσω· καὶ ἐδήσω κατ' ἔκτασιν· ἤδεκα, ἤδεσμαι· ὅθεν ἔδεσμα, ἐδεσ-ός· ἐκτάσει καὶ ἐκθλίψει τοῦ σ ἐδητὸς καὶ ἐδητύος.

ἐξ ἔρον ἔντο — ἐξέβαλον τὸν τῆς τροφῆς ἔρωτα· ὁ ἐσ-ω ἐκορέσθησαν· ἔρον δὲ τὸν ἔρωτα οἱ Αἰολεῖς λέγεσιν· ασ-ικὸν τὸ μὴ φάναι ὅτι μέχρι κόρου ἤσθιον· τοῦτο γὰρ δουλοπρεπές· ὡς ἐπὶ Εὐμαίου — πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος - τὸ μὲν ἔρος, ὡς Αἰολικόν, ψιλῶται· τὸ δὲ ἔντο δασύνομεν· ἔσ-ι γὰρ παρὰ τὸ ἔω εἰμί· εἷς ἡ μετοχὴ καὶ ἀφεὶς ἕμαι, ἕμην, ἕσο, ἕτο, ἕντο· ταῦτα δὲ καὶ πλεοναστικὸν ἐπιμένουσι τοῦ ι· λέγουσι δὲ τὸ μὲν ἔρος ἐπὶ πάντων λέγεσθαι, τὸ δὲ ἔρως διὰ τῶ ω μέγα ἐπὶ τῶν Ἀφρο-

Digitized by Google

θεσίων· ὃ ἐστιν ἀπίθανον· Πίνδαρος γοῦν — καὶ γὰρ ἑτέροις ἑτέρων ἔρως ἔκνιζε φρένας.

V. 471. ἐπαρξάμενοι — ἢ τοι τοῦ πίνειν ἀρχὴν ποιησάμενοι καὶ ἀπαραξάμενοι καὶ σπείσαντες θεοῖς· τῇ οἰνοχόῃ ἐπιχείσαντες τοῖς ποτηρίοις δείδωκαν· ἢ ἐπαρξάμενοι τοῖς θεοῖς σπονδὴν νώμησεν πᾶσι.

V. 472. πανημέριοι — δι' ὅλης τῆς ἡμέρας· δηλονότι παντὶ τῷ ὑπολειμμένῳ μέρει τῆς ἡμέρας φησί.

πολπῇ — ὑμνῳδίᾳ· ᾠδῇ· πέντε δὲ παρὰ τοῖς ἥρωσιν ᾠδαί· σωφρονιστική· ὡς τοῦ ἀοιδοῦ Κλυταιμνήστρας ἐγκωμιαστική· οἷον ὁ Ἀχιλεὺς εὕρηται ἄδων — ἄεισε δ' ἄρα κλέα ἀνδρῶν - παιανική, ὡς νῦν θρηνητική, ὅπερ ἐπὶ γυναικῶν τάσσεται - ἀνέρα Παιῶνος υἱὸς ἄλετο - ὑπορχηματική.

V. 473. καλὸν ἀείδοντες — ἢ τοι καλὸν ἄδοντες τὸν παιᾶνα· παιὰν δέ ἐστιν ὕμνος εἰς Ἀπόλλωνα ἐπὶ ἀφέσει λοιμοῦ ᾀδόμενος· πολλάκις καὶ προσδοκωμένου τοῦ λοιμοῦ.

V. 474. μέλποντες — ὑμνοῦντες· ἀπὸ δὲ τοῦ εἰπεῖν - ὁ δὲ φρένα τέρπει ἀκούων - διδάσκει ἡμᾶς ὅτι πλέον τῶν θυσιῶν τέρπονται οἱ θεοὶ ἐν τοῖς οἰκείοις ἕκαστος ὕμνοις.

V. 476. ῥοδοδάκτυλος — ῥοδόχρους· διαυγής· πυρώδης γὰρ ὁ ἀὴρ τοῦ ὄρθρου γίγνεται ἐν τῇ ἀνατολῇ· ἀπὸ δὲ τοῦ σχήματος τῶν τῆς χειρὸς δακτύλων, παρίστησι τὸ τῶν ἀκτίνων σχῆμα· ἢ συνεκδοχή· ἀπὸ μέρους τὸ ὅλον· τὴν δὲ πολὺ τοῦ φωτὸς ἔχουσαν, οὕτω καλεῖ· τὴν δὲ τοῦ σκότους, κροκόπεπλον.

ἠώς — ἡμέρα· ὄρθρος παρὰ τὸ ἄρω· ὀρῶ· ὄρκος· ὥρμαι· ὥρμενος· ὄρτο· ὀρθός καὶ ὄρθρος.

V. 479. ἴκμενον — ἤτοι πορευτικόν· παρὰ τὸ ἱκνεῖσθαι· ἢ ὑγρὸν παρὰ τὴν ἰκμάδα· καὶ γὰρ ἐν ἄλλοις φησίν - ἀνέμων μέγος ὑγρὸν ἑάντων — ἰκμάδος γὰρ ὑδάτων ἀτμιζομένης, τὸ διαλυθὲν ἄνεμος γίνεται· διὸ φιλωτέον· οὐ γὰρ

Digitized by Google

παρὰ τὸ ἰκνεῖσθαι· ἅμα δὲ φύσιν ἀνέμων δηλοῖ· καὶ τὸ ζυγὸν τοῦ λοιμοῦ διασκεδάζει ἄνεμος·

V. 482. στείρη — τῇ τρόπιδι τῆς νεώς· ἐπεὶ ζερεωτέρα τῶν σανίδων ὑπάρχει· ἐπὶ γὰρ τῷ ξύλῳ τούτῳ ὡς περ εἰς θεμέλιόν τινα ἀποκαθορμίζεται τὰ ἄλλα ξύλα τῆς νεώς·

V. 486. ψαμάθοιο — τοῦ φάμμου· ἐκ τοῦ ἅμμα ἄμαθος καὶ ψάμμαθος.

ἔρματα — ἐρείσματα· ζηρίγματα· δασύνεται· τὰ δὲ βραχέα πρὸ τοῦ ρ ἐπαγόμενον τὸ μ δασύνεται· πλὴν τοῦ ἄρμενον, ὅρμιον·

V. 488. παρήμενος — παρακαθήμενος, ἐκ τοῦ ἧμι· ἕεμαι· ἧμαι· ἥμενος·

V. 490. καδιάνειραν — τὴν ἐνδόξους ἄνδρας ἔχουσαν· ἢ τὴν ἐνδόξους τοὺς ἄνδρας ποιοῦσαν·

V. 491. φθονύθεσκε — διέφθειρεν· ἔτηκεν· τοῖς πρακτικοῖς γὰρ ἡ ἀργία φθορά ἐστι· ἔκειτο γὰρ ἐν νήσσιν·

V. 497. ἠερίη δὲ — ἐωθινή· ὀρθρινή· ἐπυρρήματικόν· δηλοῖ δὲ καὶ τὸν τῶν ἐντεύξεων καιρόν· ἡσυχος γὰρ καὶ νηφάλιος ὁ καιρός.

V. 498. εὐρύοπα — ἤτοι μεγαλόφθαλμον· παρὰ τὴν ὄπα, ἤγουν τὴν φωνήν· εἰ μὲν μεγαλόφθαλμον, ἵν' ᾖ τὸν μεγάλως τὰ πάντα ὁρῶντα· εἰ δὲ μεγαλόφωνον, τὸ βροντοπαὸν εἶναι τὸν Διόν· ψιλῶς μεγαλόφωνον, ὡς τὸ, ἐραβρεμέτης ἢ μεγαλόφθαλμον διὰ τὸ προνοητικόν.

V. 499. οὐλύμποιο — φυσικώτερον δὲ ἄλεμπας λεχθείη ἂν ὁ οὐρανός· οἱονεὶ ὁλολαμπής τις ὢν· ἡλίῳ καὶ σελήνῃ, καὶ τοῖς ἄστροις.

V. 501. ἀνθερεῶνος — τοῦ ὑπὸ τὸ γένειον τόπου παρὰ τὴν ἐξάνθησιν τῶν τριχῶν· ὑπολαβοῦσα τὸν ἀνθερεῶνα.

V. 508. μητίετα — βουλευτικώτατε· ἐχρῆν αὐτὸ παροξύνεσθαι εἴγε τὰ εἰς της λήγοντα βαρύτονα βραχέα πα-

Digitized by Google

ραληγόμενα, ἀπρόσληπτα τοῦ σ ἐπὶ γενικῆς καὶ κλητικῆς παροξύνεται· οἷον οἰκέτα· φιλέτα· εὐνέτα· παράλογος ἄρα ᾖ εὐρύοπα· δέσποτα· καὶ τὸ μητίετα· ἔςι δὲ εἰπεῖν· ἀπὸ τοῦ μητίτα κατὰ πλεονασμὸν τοῦ ε ἀπὸ εὐθείας τῆς μητίτης, ἡ κλητικὴ γέγονε μητίετα· καὶ τόνος ἐπὶ τοῦ αὐτοῦ τόπου ἔμεινε.

V. 511. τὴν δ' οὔτε προσέφη — ταύτην δὲ οὐδαμῶς τὶ προσεῖπεν· ὅτι μετ' ἐπισκέψεως δεῖ ποιεῖσθαι τὰς ἀποκρίσεις· ὅπου δὴ καὶ ὁ Ζεὺς σκέπτεται.

νεφεληγερέτα — νεφῶν ἀθροιςικώτατε· τὰ εἰς ετης γίνονται ῥηματικὰ καὶ παρώνυμα· ἀπὸ τοῦ γείνω γενέτης· ἀγείρω ἀγειρέτης· καὶ νεφεληγερέτης.

V 512. ἧςο — ἐκαθέζετο· ἐκ τοῦ ἕω ἵημι· ἕεμαι· ἥμην· ἧτο καὶ ἧςο ἐπενθέσει τοῦ σ· τῷ παθητικῷ ἐχρήσατο ἀντὶ ἐνεργητικοῦ.

V. 513. ἔχετο — εἴχετο· ἐκράτει· παθητικῷ (sic iterum) ἐχρήσατο ἀντὶ ἐνεργητικοῦ.

ἐμπεφυυῖα — ἐμπλέξασα τὰς χεῖρας· ἰσχυρῶς κρατοῦσα· ἐκ τοῦ φῶ φύω· πεφυκώς· πεφυώς· πεφυυῖα.

V. 514. ὑπόσχεο καὶ κατάνευσον — δὶς τὸ αὐτὸ πέφρακεν ἐπιτάσεως χάριν· ἀντὶ τοῦ ὑπόσχου μοι.

V. 515. δέος — φόβος· τουτέςιν ἐπειδὴ οὐ φοβῇ τῶν θεῶν τινὰ καὶ συγκαταθέσθαι· τοῦτο δὲ δυσωπητικὸν εἰ τηλικαύτην ὡς ἔχει χάριν· οὐδὲ τῶν τυχουσῶν χαριεῖ.

V. 517. μέγ' ὀχθήσας — μέγα ςενάξας καὶ δεινοπαθήσας· ἀγανακτήσας· ἐκ τοῦ ἔχθος ὀχθῶ ὀχθήσω.

V. 519. Ἥρη ὅταν μ' ἐρέθῃσι — τὸ Ἥρη εἰ μὲν σὺν τῷ ι γράφεται, ἄνω ἡ ςιγμή· εἰ δὲ τοῖς ἑξῆς, χωρὶς του ι· Ἀρίςαρχος κατ' εὐθεῖαν, οὐχὶ δοτικήν· ἵν' ᾖ· ὅταν ἐρέθῃσιν· Ζεὺς ἐρασθεὶς Θέτιδος τῆς τοῦ Νηρέως, ἐδίωκεν αὐτὴν, βουλόμενος βιάσασθαι· γενόμενος δὲ ἐπὶ Κάυκασον

Digitized by Google

ὅρος, ἐκωλύθη ὑπὸ Προμηθέως, φήσαντος τὸν ἐκ Θέτιδος γεννώμενον ἀμείνονα ἔσεσθαι τοῦ ἰδίου πατρός· δείσας οὖν ὁ Ζεὺς περὶ τῆς ἐν οὐρανῷ κρατήσεως, αὐτὸς μὲν ἀπέσχετο τῆς προειρημένης· εἰς τιμὴν δὲ τῷ παιδὸς Αἰακῷ ἔδωκεν αὐτὴν εἰς γάμον Πηλεῖ· ἐξ ἧς ἐγένετο Ἀχιλεύς, ὃς οὐ μόνον ὑπερέβαλε τῇ ἀνδρείᾳ τὸν ἑαυτῷ πατέρα, ἀλλὰ καὶ τοὺς κατ' ἐκεῖνον γενομένους πάντας ἥρωας.

ἐρέθησιν — παροξύνῃ ἔστι χρόνου ἐνεστῶτος καὶ παρατατικῷ ὑποτακτικῷ τρίτου προσώπου ἑνικοῦ· ἐρέθω· ἐὰν ἐρέθω· καὶ κατ' ἐπέκτασιν τοῦ σι τρίτου προσώπου ἐρέθησιν.

ὀνειδείοις — ὑβριστικοῖς· ὀνειδιστικοῖς· χλευαστικοῖς· τὸ δὲ ὅλον· ὁπόταν μὲ ἡ Ἥρα ὑπομνήσασά σοι χάριν παρέχειν παροξύνῃ χρωμένη λόγοις· ἐρεθιστικοῖς.

V. 522. ἀπόστιχε — ἀπαλλάσσου· ἀναχώρει· ἐκ τοῦ στίχος στίχω· τὸ στίχος ἐκ τοῦ στύχος (sic) ἢ ἐκ τοῦ στίχω.

V. 524. εἴ δ' ἄγε τοι κεφαλήν — ἐδού δή σοι· ἢ ἐὰν δή σοι· τὸ λογιστικὸν περὶ κεφαλήν· τὸ θυμικὸν περὶ καρδίαν· - καρδίη δέ οἱ ἔνδον ὑλακτεῖ· - τὸ ἐπιθυμικὸν περὶ ἧπαρ·

ὄφρα πεποίθῃς — ὅπως σαφῶς μάθῃς· πιστεύσῃς μοι ἀπὸ τούτων λέγεται τῶν δύο στίχων a) Φειδίαν τὸν ἀγαλματοποιὸν ποιῆσαι τὸν ἐν τῇ Ἠλίδι b) χαλκοῦ ἀνδριάντα οὕτω καμπτόμενον καὶ συνθούμενον.

V. 526. τέκμωρ — ἐκ τοῦ τέκω τέκμωρ.

τέκμωρ — τεκμήριον· εἰς τὸ τέλος στίζουσιν οἱ πολλοί· συνάπτοντες τοῖς ἄνω· ἔνιοι δὲ ἐφεξῆς ἀναγινώσκουσι στίζοντες εἰς τὸ, μέγιστον· καὶ ἀνάγνωσμα ποιοῦσιν οὐχ ὁρητικὸν μέν, ἀναγκαῖον δέ, ἐπειδὴ τὸ ἐμὸν κτητικόν

a) Eust. p. 145. Οἱ δέ φασιν ὅτι ἀπὸ τούτων τῶν δύο στίχων ὁρμηθεὶς Φειδίας ὁ ἀγαλματοποιὸς, ἐποίησε τὸν ἐν Ὀλυμπίᾳ Δία, οὕτω καμπτόμενον. b) Cod. méndose Ἰλιάδι et infra κάμπτομαι καὶ συνθοῦμαι. Cf. Paus. Ἠλιακῶν α' pag. 156. 18. ed. Francofurti 1583.

Digitized by Google

ἐς-τιν· αἱ δὲ κτητικαὶ ἀντωνυμίαι μετὰ τῶν κτημάτων συνάπτονται.

παλινάγρετον — παλινσύλλεκτον· εἰς τοὐπίσω ληπτόν· ἐξ οὗ ψευδὲς ἢ μεταμελητόν.

οὐδ' ἀπατηλόν — οὐδ' ἀπατηκόν· διὰ τὸ παλινάγρετον ἐσήμανεν ὅτι βέβαιος ἐς-ίν· ὅτι φιλάγαθος· καὶ διὰ δὲ τῶ, οὐδ' ἀτελεύτητον, ὅτι καὶ τελεσιουργὸς ὑπάρχει ὁ Θεός· τὸ ἀπατηλὸν, τὸ ἀτελεύτητον σημαίνει· ἐκ τοῦ ἀπάτη· τῦτο ἐκ τοῦ φῶ τὸ λέγω· ἀφ' οὗ ἀφάτη καὶ ἀπάτη.

V. 528. ἦ — ἔφη· εἶπε· δηλοῖ πλοίονα· φημὶ, φήσω· ὁ β' ἀόρις-ος ἔφην, ἔφης, ἔφη· Ἰωνικῶς καὶ ἀφαιρέσει τοῦ φ ἦν, ἦς, ἦ.

ἐπ' ὀφρύσι — ταῖς ὀφρύσι· συνεκδοχικῶς καὶ ἀπὸ μέρους φησὶ τῇ κεφαλῇ· εὐθὺς γὰρ ἐπάγει — ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος — κρατὸς ἀπ' ἀθανάτοιο.

V. 529. ἀμβρόσιαι· — θεῖαι· θαυμασταί· ἐκ τοῦ βρῶ, βρῶμι, βέβρομαι, βέβροσαι.

χαῖται — τρίχες· ἐκ τοῦ χεῖσθαι ἢ κεῖσθαι· ἢ ἔχεσθαι· ἢ παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ.

ἐπερρώσαντο — ἐπεσείσθησαν· ἐκ τοῦ ῥῶ ῥώσω·

V. 530. ἐλέλιξεν — ἐκίνησεν· ἔσεισε· τῷ τάχει τῶν συλλαβῶν, τὸ ταχὺ τῆς κινήσεως δηλοῖ· ἐκ τοῦ ἐλίσσω.

V. 531. διέτμαγον — διεχωρίσθησαν, διὰ τοῦ ε· ἡ μεταφορὰ ἀπὸ τῶν τεμνομένων σωμάτων· ἐκ τοῦ τμῶ· τμήγω· τμήξω, ἔτμαγον.

V. 532. ἅλτο — καθήλατο· ἅτε δὴ οὖσα ἐνάλιος δαίμων· ἅλτο ψιλοῦται· a) τὸ γὰρ α καταλῆγον εἰς λ ἐνὸς τῶν

a) Eust. p. 145: ψιλοῦται ... μᾶλλον δὲ κατὰ τοὺς παλαιοὺς ... ἐπαγομένου ἑνὸς τῶν τῆς γ' συζυγίας συμφώνων ἄγουν τοῦ δ ἢ θ ἢ φ ψιλοῦται· Plura Barnesius mutuatur ab Eust.

Digitized by Google

συμφώνων τῆς γ' συζυγίας ἐπαγόμενον ψιλοῦται· γέγονε δὲ ἐκ τοῦ ἄλλω ἄλλομαι· ἠλλάμην· ἤλλατο, καὶ ἄλτο.

αἰγλήεντος — λαμπροῦ παρὰ τὴν ἄγλην· τοῦτο παρὰ τὸ ἀΐσσω.

V. 533. ἀνέ-αν — ἀνέ-ησαν· Δωρικῶς· ἐκ τῆ ἵ-ημι -

V. 534. ἐξ ἐδέων· — ἐκ τῶν καθεδρῶν· ἀπὸ τούτων τῶν δύο σ-ίχων λέγουσι μέρος τιμῆσαι τὸν Λυκοῦργον τὸν τῶν Λακεδαιμονίων γράψαντα νόμον ἐπανίσ-ασθαι τοὺς νεωτέρους τοῖς πρεσβυτέροις· τὸ ἐξ ἐδέων δασύνεται· παρὰ τὸ ἕζω· οἱ δὲ μετὰ τοῦ ρ ῥέζω, καταῤῥέζετο.

V. 536. θρόνα — καθέδρας· ἐκ τοῦ θρῶ θρέω· καὶ κατὰ πλεονασμὸν θρένω καὶ θρόνος

V. 537. - 9. ἠγνοίησεν — ἐκ τοῦ νοῦς νόος· ἀνοῶ καὶ ἀγνοῶ· - συμφράσσατο - συνεβουλεύσατο· φράζω τὸ γνώσκω καὶ διανοοῦμαι· - ἀργυρόπεζα - ἀργυρόπους· λαμπρόπους· ἀπὸ μέρους ὅλη καλή· μέρος γὰρ ὁ ποῦς. - κερτομίοισιν - ἐρεθισ-τικοῖς· χλευασ-τικοῖς· νῦν δὲ ταῖς τὸ κέαρ, ὅ ἐσ-τι τὴν ψυχήν, τέμνουσι καὶ λυποῦσιν· ἵν' ᾖ, λυπηροῖς.

V. 540. δολομῆτα — δόλια βουλευόμενε· γυναικῶς ἄμφω τόγε ὑπονοῆσαι καὶ τὸ μὴ ἐπισχεῖν τὸν λόγον· δείσω· δόλος· δόλιος· ὁ γὰρ φοβούμενος, δόλιος ἐ-ί· τὰ εἰς της βαρύτονα τῷ η παραληγόμενα, εἰς α τὴν κλητικὴν ἔχοντα, προπερισπᾶται· ἀγκυλομῆτα· πεδῆτα· δολομῆτα. πλὴν τοῦ ἀκάκητα.

V. 541. νόσφι — χωρίς· τὸ ἐξῆς ἀπόντα· διὸ οὐκ ἀναστρεπτέον τὴν ἀπό· ἡ δὲ φράσις συνήθης ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔρχεσθαι — φρῶν μέντοι ἐπέσσας μετὰ πρώτοισιν ἐόντας.

V. 542. κρυπτάδια — κρυφαῖα· λαθρίδια· ἐκ τῆ κρύπτω· κρύβδην.

Digitized by Google

δεικάζεμεν — δικάζειν, ἐκ τοῦ δίζω τὸ ζητῶ, ἡ δίχη καὶ δίκη.

σὺ δέ τι πώ μοι — σύδεποτέ μοι . . . . τὸ πω διὰ τὸ μοι· δυσχεραίνουσι γὰρ αἱ γυναῖκες εἰ μὴ πάντα ἀνακεινοῖντο αὐτοῖς οἱ ἄνδρες.

V. 545. ἐπιέλπεο — ἔλπιζε· ἐκ τοῦ ἔλπω, ἔλπομαι ἠλπόμην, ἤλπιν· ἤλπετο καὶ ἤλπεσ·

V. 546. - 50. χαλεποί τοι ἔσσονται — βλαβεροί σοι γενήσονται· ἐκ τοῦ χαλέπτω τὸ κακῶ· καὶ χαλεπτὸς καὶ χαλεπός· ἐνίοτε δὲ ἀντὶ τοῦ καλὰ τὰ χαλεπὰ κεῖται· ἡ παροιμία ἀπὸ Περιάνδρου Κορίνθιε δημωτικοῦ πρότερον ὄντος ὕστερον δὲ τυραννίσαντος· ἃ πυθόμενος ὁ Σόλων ἔφη χαλεπὰ τὰ καλά· ταύτης δὲ Πλάτων a) μέμνηται. — ἀλόχῳ — γυναικί· ἐκ τοῦ λέχω, λέχος, λόχος καὶ ἄλοχος — ἐούσῃ — ὑπαρχούσῃ· ἐκ τοῦ εἰών, ἐοῦσα, οὖσα· — ἐπιεικές - πρέπον· πρᾶον· ὡς τιμὴν αὐτῇ περιάπτειν· ἔστι δὲ καὶ βιωτικὰ μιμήματα· πρῶτον ἠπίως ἀρξάμενον ἐπάγειν τὰς ἀπειλίας· - εἴσεται - γνώσεται, μάθῃ· - δείρεο - ἀνερώτα· ἔρως ἐστὶν ἡ ἐπιτεταμένη ἐπιθυμία· ἐράω, ἐρῶ, εἴρεο· — βοῶπις - εὐόφθαλμος· καλή· βοῶ· βοῶμι· οἱονεὶ τρέφω βῶς.

V. 552. πεῖσον τὸν μῦθον — Ἀττικῶς· προσελθόντος τοῦ ἄρθρου τῷ πύσματι.

V. 553. οὔτ' εἴρομαι — οὔτ' ἀνερώτησα· ἐκ τοῦ ἐρῶ, εἴρω τὸ λέγω· ἄμφω διὰ τοῦ τ· ἵν' ᾖ ἐκφαντικὸν δεύτερον λεγόμενον· — μεταλλῶ — ἐπιζητῶ· δευτέρας συζυγίας τῶν παρεσπωμένων.

V. 554. εὔκηλος· — ἥσυχος· ἡ εὐ δίφθογγος πρὸ ἀφώνου ψιλοῦται· πλὴν τοῦ εὖρον· εὑρίσκω· εὕδω· τὸ γὰρ εὖσεν ἀπὸ τοῦ εὔω.

a) In Θεάγης ἢ περὶ σοφίας.

Digitized by Google

V. 554. ἄσσα — ἅ τινα καὶ ὅσα a)· καὶ ἀεὶ ψιλοῦνται· ὅτε δὲ δηλοῖ τὸ ἄτινα, δασύνεται· καὶ ἔστι κατὰ Ἡρωδιανόν, δύο μέρη λόγου· τὸ ἃ ἄρθρον καὶ τὸ σα ὅ ἐστι Μεγαρικόν, δηλοῦν τὸ τίνα· ἐν δὲ τῷ στίχῳ ψιλῶται.

V. 557. ἠρίη — ὀρθρινή σοι παρεκαθέσθη· οἱασδηποτοῦν τυχεῖν χρείας ἐλπίζοντες ἐν ὄρθρῳ τελεῖσι τὴν ὁδὸν διὰ τὸ ἄγνωστον ἢ διὰ εὐέλπιστον.

V. 560. - 66. ἀεὶ μὲν οἵεται — διαπαντὸς μὲν ὑπονοεῖ· ἅπαντα ἀρχῇ πράσσουσα καὶ οὐ λογιζομένη· ἀπὸ δὲ τοῦ οἷα δύο διαιρέσεις εἰσί· — κάθησο - καθέζου· προπαροξυτόνως ἀπὸ συνθέτου τῶν παραγώγων· — ἐπιπείθεο - πήθει· ἡ γὰρ ἄγνοια οὐ τοσοῦτον λυπεῖ, ὅσον τὰ ἀποθύμια γινώσκει· — οὐ χραίσμωσιν - οὐκ ἐπιβοηθήσωσιν· ἀπὸ τοῦ χρήσιμος, χρησιμῶ, χραισμῶ.

V. 566. εἷς' ἐν Ὀλύμπῳ — τὸ πλῆρες εἰσίν, ἀπὸ τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω· τὸ α' τῶν πληθυντικῶν ἔμεν· ἐσμὲν κατὰ πλεονασμὸν τοῦ σ· ἐστέ· ἐσὶ τὸ γ' καὶ πλεονασμῷ τοῦ ι εἰσὶ· μαρτυρεῖ τὸ ἔασι τῇ διὰ διφθόγγου γραφείσῃ· ὡς περ γὰρ τίθεμεν τιθεῖσι, τιθέασι· καὶ εἰσὶν ἔασιν.

V. 567. ἀάπτους — ἀπροσπελάστους Ἡρωδιανὸς παρὰ τὸ ἰάπτω· κατὰ παράληψιν τοῦ ι ἄπτους ἀάπτους εἶχον.

V. 569. καθῆσο — ἐκαθέζετο· τὸ θέμα ἕζω· ἧσμαι ἥσμην, ἧσο, ἧστο· καὶ ἐν συνθέσει καθεῖστο· εἰ γὰρ ἐκ τοῦ ἧμαι ἦν, ὡς ἀπὸ τῶν εἰς μι, ἀνεδίδου τὸν τόνον· οἱ δὲ τοιοῦτοι παρακείμενοι καὶ ὑπάρχοντες b) δισύλλαβοι, ἔχοντες δύο σύμφωνα, ἐν συνθέσει φυλάττουσι τὸν τόνον· κατῆρμαι· κατῆγμαι. οὕτως οὖν καὶ τὸ καθῆστο.

a) Ita Cod. haec vocabula duplici signat spiritu. b) Eust. pag. 150. quasi eadem. Οἱ γὰρ δισύλλαβοι παρακείμενοι ἔχοντες σύμφωνα, φυλάττουσι καὶ ἐν τῇ συνθέσει τὸν τόνον etc.

Digitized by Google

V. 569. ἐπιγνάμψασα φίλον κῆρ — ἐπικάμψασα τὴν ἑαυτῆς ψυχήν· ὅ ἐστι παύσασα τὴν ἀκουσίως πεισθεῖσαν· δηλοῖ φίλον· διδάσκει δὲ ὡς καὶ τὰ λίαν ἀσθενῆ μὴ κολοζόμενα, λίαν ἐστὶν ἀρόρητα.

V. 570. ὤχθησαν — ἀνεξέναξαν ἐδυνοπάθησαν διὰ τὴν Ἥραν — ἀνὰ δῶμα Διός — κατὰ τὴν οἰκείαν· διαστολτέον ἐπὶ τὸ Διός.

V. 572. ἐπίηρα — τὴν μετ' ἐπικουρίας χάριν· ἔρω· ἔρανον ὡς ὄχανον καὶ ἤρανα· εἶτα συγκοπῇ ἡ ἀποκοπῇ ἦρα Ἀρίσταρχος δὲ ὑφ' ἓν κατὰ τὴν σημασίαν τὸ ἐπίηρα·

V. 574. εἰ δὴ σφώ — ἐὰν δὴ ἡμεῖς οἱ θεοί· τοῦτο πρὸς ἔμφασιν τῶν προσώπων· πρωτόθετον δὲ αὐτὸν Ἡρωδιανὸς φησίν· οὐκ ἀπὸ τῆς σφῶϊ, διὸ ἀξύνεται· τὸ γὰρ ω τῶν δυῶν ἀπέρραπται τὴν περισπωμένην· — ἐριδαίνετον — ἐρίζετε· φιλονεικεῖτε ἐκ τοῦ ἔρις ἔριδος, ἐριδαίνω.

V. 575. κολωφῶν — δόρυβον· ἡ μεταφορὰ ἀπὸ τοῦ κολοιοῦ· ὅ ἐστι θορυβώδες καὶ κραυγαστικὸν ὄρνεον· κολοιὸς κολφός· — κολφὸς παρὰ τὸ κολοιός· ὁ δὲ Φιλόξενος παρὰ τὸ κλῶ ὄθεν τὸ κλάζω κατὰ παραγωγήν· καὶ οὐ προσγράφεται τὸ ι.

ἐλαύνετον — ἐλαύνετε διεγείρετε ἐμβάλλετε· ἀπὸ τοῦ ἐλῶ, ἐλαύω καὶ ἐλαύνω κατὰ πλεονασμὸν τοῦ ν.

V. 576. ἧδος — ἡδονή ὄφελος· κατὰ σχηματισμὸν ἐστὶ τὸ ἧδος· τὸ ἡδονή· γὰρ δασυνόμενον μεταχηματίζεται εἰς τὸ ἧδος ψιλούμενον· ὡς περ τὸ ἡμέρα ἦμαρ ψιλούμενον, καὶ τὸ ἅρα δασυνόμενον εἰς τὸ ἄμυδις ψιλούμενον· ὅτως Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ· Ἡρωδιανὸς a) ἐν τῷ συμποσίῳ φησὶ· ὅτι τὸ ἧδος βούλονται τινὲς δασύνειν· ἡμεῖς δὲ

a) Nota Herodiani fragmentum, cuius operae titulum a nemine, quod sciam, hucusque est memoriae traditum.

Digitized by Google

ἐκρίναμεν ὥστε μᾶλλον ψιλοῦσθαι· ἐπειδὴ τὰ εἰς ος a) λήγοντα οὐδέτερα δισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς, θέλει ψιλοῦσθαι· οἷον αἶσχος· εὖχος· εὖδος· οὐδός· τὸ ἦδος οὖν ψιλοτέον· ὡς τροχαϊκὸν τῶν εἰς ος ληγόντων· παράγεται δὲ καὶ τοῦ ἥδω ἦδος.

ἐπεὶ τὰ χερείονα — ἐπειδὴ ὅλως τὰ χερείονα τῶν καλλιόνων πραγμάτων ἐπικρατέστερα.

V. 577. παράφημι — παραινῶ· συμβουλεύω· τὸ φημὶ καὶ τὸ εἶμι ἐν τῇ συνθέσει τὸν τόνον ἀναπέμπουσιν.

νοεούσῃ — φρονούσῃ· ἐκ τοῦ νέω τὸ κινῶ· ἐξ οὗ καὶ τὸ νόος.

V. 579. νεικείῃσι — κακολογίαις ὀνειδίζῃ· ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ· εἶκος καὶ νεῖκος· καὶ νεικῶ περισπωμένως.

V. 580. ἀστεροπητής — ἀστραπτικός· ἀστραπὰς ποιῶν. αἱ διορθώσεις τῶν στίχων τούτων διάφοροι εἰσίν· οἱ μὲν γὰρ εἰς τὸ ἀστεροπητὴς ὑποστίζουσι στιγμήν· ἐκδεχόμενοι αὐτὸ ὑπευκτηκὸν εἶναι ῥῆμα· ὁμοίως δὲ καὶ τὸ μαλακοῖσι τελείαν· οἱ δὲ τῷ στυφελέξαι ὑποστίξαντες καὶ τὸ ἔστι καὶ τὸ μαλακοῖσιν ἐκδεχόμενοι συνεκδοχικῶς ὑπακούεσθαι τῷ στίχῳ τὸ εθέλῃσι· τοῦ ἄλλα παραλαμβανομένου ἀντὶ τοῦ δέ· ἵν' ᾖ ἡ ἔννοια ταιαύτη· σὺ δὲ τοῦτον ἐθέλῃσι θεραπεῦσαι· εἰς τὸ ἔσσεται ἡμῖν, τελείαν στίζουσιν· ἄλλοι δὲ ὑποστίζοντες τὸ στυφελέξαι καὶ τὸ ἔστιν, εἰς τὸ μαλακοῖσι τιθέασι τελείαν· ἵν' ἡ ἐλλεῖπον τῷ λόγῳ τὸ ὀφείλεις. Μαλακοῖσιν ἐκ τοῦ μαλάσσω· μαλακός· τὸ δὲ μαλάσσω ἐκ τοῦ μάσσω, κατὰ πλεονασμὸν τῆς λα συλλαβῆς.

V. 584. ἀμφωύπελλον — ἀμφοτέρωθεν κοῖλον καὶ περι-

a) Eust. p. 154. sine ulla Herodiani mentione, sed tantum φέρεται δὲ καὶ κανὼν οὗτος· τὰ εἰς ος οὐδέτερα δισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς, ψιλοῦσι τὸ καταρχὰς φωνῆεν· οἷον οὖχος etc.

Digitized by Google

φερίς· οἱονεὶ κύπελλον· ἔνθα ὁ πηλὸς χεῖται· ὅθεν καὶ κάπηλος ὁ τὸν οἶνον πωλῶν. Γελοῖον δέ ἐστιν Ἥφαιστος ἀναπηδῶν, καὶ μιμέμενος Ἥβην καὶ Γανυμήδην, καὶ μεμνημένος ῥίψεως· πηλὸς οὖν ὁ οἶνος· ἀπὸ τοῦ πάλλειν καὶ κραδαίνειν τὴν κάρην.

V. 586. τέτλαθι — καρτέρησον· ὅτε κατεπράϋνε τὸν θυμὸν, τότε τὴν παραίνεσιν ἐπάγει.

V. 587. ἴδωμαι — θεάσωμαι· παρὰ τὸ ἴδω τὸ θεωρῶ, καὶ τὸ ὑποτακτικὸν ἐὰν ἴδωμαι.

V. 589. ἀργαλέος γάρ — χαλεπὸς γάρ ἐστιν ὁ Ζεὺς τῷ βουλομένῳ αὐτῷ ἀντιφέρεσθαι· ὃ ἐστιν ἐναντιοῦσθαι καὶ φιλονεικεῖν εἰς ἀπόδειξιν τῆς ἰσχύος τοῦ Διός· τὸ ἤδη γὰρ καὶ τὰ ἑξῆς.

V. 590. ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα — Ἡρακλῆς ἐξ Ἰλίου ἀνακομιζόμενος μετὰ τὴν γενομένην ὑπ' αὐτοῦ πόρθησιν τῆς Ἰλίου, ἐπὶ τῇ Λαομέδοντος ἀπάτῃ, παρόσον αὐτῷ ἀντὶ τῶν ἀθανάτων ἵππων, ὧν ὑπέσχετο, ἀντέδωκε θνητοὺς ἀπατήσας· κατ' ἐκεῖνο καιρῷ προσίσχε τῇ Κῷ τῆς Μεροπίδος χειμῶνι κατεχόμενος, κατὰ χόλον Ἥρας μισούσης τὸν ἥρωα, διὰ τὸ πρότερον κατακομισάσης τὸν Δία· οἱ δὲ ἀπὸ τῆς Κῶ θεασάμενοι αὐτὸν, καὶ ὡς ἄγριον θῆρα φοβηθέντες, ἐξήλασαν ἀπὸ τῆς πόλεως· ἐφ' ᾧ ἀγανακτήσας ὁ Ἡρακλῆς, ἐξεπόρθησε τὴν Κῶ. ἐπὶ δὲ τῇ τῆς Ἥρας κατακομιῴσει ὀργισθεὶς ὁ Ζεὺς, ἐν δεσμοῖς κατέσχε τὴν Ἥραν· ἣν ἐπειρᾶτο τηνικαῦτα ὁ Ἥφαιστος λύειν, καὶ φορηθεὶς ἀπὸ τοῦ Ὀλύμπου ἐξερρίφη καὶ εἰς Λῆμνον νῆσον πρὸ τῆς Θράκης καταπεσὼν, χωλὸς ἐγένετο, ὥς φησιν ὁ ποιητὴς, διὸ καὶ ἱερὰ τοῦ θεοῦ ἡ Λῆμνος.

ἀλεξέμεναι — ἀλέξω· ἀλέξειν· καὶ Ἰωνικῶς καὶ Δωρικῶς ἀλεξέμεναι, ὃ σημαίνει τὸ βοηθεῖν.

μεμαῶτα — προθυμούμενον· μετοχικοῦ παρακειμένου·

Digitized by Google

ἀπὸ τῆ μειῶ τοῦ σημαίνοντος τὸ προθυμοῦμαι· δευτέρας συζυγίας τῶν περισπωμένων· μῶ· μήσω· μέμηκα· μεμηκώς, μεμακώς· καὶ ἐκθλίψει τοῦ κ μεμακώς.

V. 591. ῥίψε ποδός — ὅτι δύο ῥίψεις τοῦ Ἡφαίστου· πρωτέρα μὲν ἡ ὑπὸ τὴν γένεσιν, ἡ ὑπὸ τῆς Ἥρας· δευτέρα δέ, ἡ ὑπὸ τοῦ Διὸς, διὰ τοὺς τῆς Ἥρας δεσμούς.

τεταγών — ἐκτείνας· ἀόριστος β΄· τάζω τὸ τείνω καὶ ἑλκύω· τάσω· τέταγα· ὁ παρακείμενος· ὁ β΄ ἀόριστος ἔταγον· ταγών· καί κατὰ πλεονασμὸν τετταγών.

ἀπὸ βηλῆ — ἀπὸ τῆ οὐρανοῦ· ἀπὸ γὰρ τῆ βεβηκέναι τὰς θεὰς ἐπ' αὐτῷ, καὶ τὰς ἀστέρας κεῖθι βαίνειν εἴρηται· τῷ δὲ τόνῳ καθάπερ οἱ Ἀριστάρχειοι, βηλὸν ὡς χωλὸν καὶ πηλὸν προσφερόμενοι ἀποδιδόντες τὸν τῶν θεῶν βαθμόν· ἕτεροι δὲ βῆλον εἶπον τὸν ἀνώτατον πάγον, καὶ περιέχοντα τὸν πάντα ἀέρα· ἄλλοι τὴν περίοδον a) τοῦ αἰθέρους καὶ τῶν ἄστρων· κοινῶς δὲ σημαίνει ὁ βηλὸς τὸν οὐδὸν τῆς θύρας, ὃν καλοῦσι φλιάν· ὁ γὰρ ποιητὴς ὑποτίθεται τὸν οὐρανὸν πύλας ἔχοντα· εἴρηται δὲ βηλὸς ἀπὸ τοῦ βαίνεσθαι· ὡς καὶ ὁδὸς ἀπὸ τοῦ ὁδεύεσθαι· καὶ ὁ Ποσιδώνιος δὲ τὰ πέδηλα βίολα λέγει· τινὲς κατὰ Χαλδαίους τὴν ἀνωτάτω τοῦ οὐρανοῦ περιφέρειαν· οἱ δὲ κατὰ Δρύοπας τὸν Ὄλυμπον· ἄμηνον δὲ τὸν βατῆρα λέγειν· ἐκ τοῦ βῶ· βήσω, βηλός.

θεσπεσίοιο — θεοσπέσιος· καὶ κατὰ συγκοπὴν θεσπέσιος· ὁ σημαίνει τὸ θεῖον καὶ θαυμαστόν.

V. 593. κάππεσον — κατηνέχθην· κατέπεσον ἐν Λή-

a) Eust. p. 156. Βηλὸν δέ τινες τῶν ἀρχαίων ἐνταῦθα φασι τὴν περίοδον τοῦ αἰθέρους καὶ τῶν ἀστέρων· ἕτεροι δὲ τὸν ἀνωτάτω καὶ πάντα περιέχοντα ἀέρα· τινὲς δέ φασι τὸν τοιοῦτον βηλὸν, κατὰ Δρύοπας μὲν Ὄλυμπον εἶναι· κατὰ δὲ Χαλδαίους, οὐρανόν.

Digitized by Google

μνῳ· ἡ δὲ Λῆμνος ἐστὶ Θρᾴκης ἱερὰ Ἡφαίστου, ἔχουσα δύο πόλεις, Ἡφαιστίαν καὶ Μύριναν.

ὀλίγος δέ τι θυμὸς ἐνῆκεν — ἀντὶ τοῦ ὠλιγοψύχουν· εἰ δὲ ἐλαττοῦται τὸ θεῖον καὶ τέλεον ἐπιλείψει οὐδαμῶς· καὶ γὰρ αὐχμῶν πλεοναζόντων ἐλαττοῦται καὶ μειοῦται τὸ ὑγρόν· ἀλλ' οὐκ ἐπιλείπει· τὸ δὲ ὅλον ἀλληγορία· λύει δὲ αὐτὴν εἰδήμων.

V. 594. Σίντιες — οἱ Λήμνιοι· ἀπὸ τοῦ σίνεσθαι καὶ βλάπτειν, ὄντες πειραταί· ἢ ὅτι δοκοῦσιν αὐτοὶ πρῶτον ἐπινενοηκέναι τὰ τρὸς τὸν πόλεμον ὅπλα· ταῦτα γὰρ ὁμολογουμένως βλάπτει.

V. 598. ἀφύσσων — ἀρυόμενος· ἀπαντλῶν· ἐκ τοῦ ἀφῶ, ἀφύω, ἀφύσσω.

V. 599. ἐνῶρτο — διεγείρετο· παρατατικὸς παθητικός· τὸ δὲ ὄρω, ὄρσω Αἰολικῶς· ὃ ἐνεστὼς ὄρσομαι, ὠρσόμην, ὤρσετο· καὶ κατὰ συγκοπὴν, ὦρτο· ἔστι δὲ καὶ β' ἀόριστος, ὥς τινες φασίν.

V. 600. ποιπνύοντα — διακονοῦντα· μετοχικοῦ ἐνεστῶτος, καὶ παρατατικοῦ· πονῶ· πονύω· καὶ πλεονασμῷ τοῦ ι καὶ π ποιπνύω· καὶ ἄλλως· τὸ μετὰ πνεύματος καὶ σπουδῆς ποιεῖν τι· ἔκειται (sic) οὖν ὁ ποιητὴς καὶ τὸ πνοιὴ Βορέαο.

V. 601. ἐς ἠέλιον καταδύντα — ἕως ἡλίου δυσμῶν· Ἀττικισμὸς ἐστίν· ὡς τὸ ἐς τρίτην ἥκειν.

V. 603. φόρμιγγος — κιθάρας· παρὰ τοῦ ὄρω· ὁρμῶ· ὅρμος· ὁρμίσσω· φορμίσσω, φόρμιγξ· ἢ μεταθέσει τοῦ ρ φρόμιγξ· παρὰ τὸ προκεῖσθαι τῆς οἴμης· πρῶτον γὰρ ἐκιθάριζεν ὁ Ἀπόλλων, εἶτα ἐπῆγον τὴν ᾠδήν.

V. 604. μουσάων — τέσσαρες τέχναι ἀνατίθενται τῷ Ἀπόλλωνι· μουσικὴ· τοξικὴ· μαντευτικὴ· καὶ ἰατρική· ὁ δὲ λόγος, ὥς περ τῆς εὐωχίας ἐνδεεῖς οὐκ ἦσαν οἱ θεοὶ, οὔτε τῆς τοῦ Ἀπόλλωνος μουσικῆς ὁμοίως, οὔτε τῆς τῶν θεῶν



Digitized by Google

μουσῶν ᾠδῆς. αἴτινες Ἀπόλλωνος καθαρίζοντος ἐκ διαδοχῆς καὶ παρὰ μέρος ἦδον.

V. 607. ἀμφιγυήεις — ἀμφοτέρους τοὺς γύους, ὅ ἐστι τοὺς πόδας χωλός. Τὰ εἰς εις λήγοντα ἀρσενικὰ διὰ τοῦ εντος κλίνεται· ἐρώεις ἐρώεντος· ἀμφιγυήεις ἀμφιγυήεντος· τολμήεις τολμήεντος· τελήεις τελήεντος· χαρίεις χαρίεντος· γίνεται δὲ παρὰ τὸ γῶ, γύω, γῦον· πρῶτος μὲν Ὅμηρος ἀρχὴν ἔδωκε τοῖς ἀπὸ τῶν μαθημάτων εἰρηκὼς ἕκαστον τῶν θεῶν, ἴδιον οἶκον ἔχειν ὃ ἐστι τῶν ἀστέρων. θεοὶ γὰρ καὶ αὐτοὶ διὰ τὸ θεῖον καὶ ἀΐδιον καὶ ἀξύτερον τῆς ἐνεργείας αὐτῶν.

V. 609. πρὸς ὃν λέχος — ὁ δὲ Ζεὺς φησὶν εἰς τὴν ἰδίαν κρίσιν παρεγένετο· Κρόνου γὰρ καὶ Ῥέας ἐγένοντο υἱοὶ ἄρρενες Ζεύς, Ποσειδῶν καὶ Ἅδης· θυγατέρες δὲ τρεῖς· Ἑστία Δημήτηρ· Ἥρα· ταύτων φασὶν ἐπὶ τῆς τοῦ Κρόνου δυναστείας ἁρπασθῆναι· τὸν δὲ Δία καὶ Ἥραν ἐπ' ἐνιαυτὸς τριακοσίους ὡς φησὶ Καλλίμαχος ἐν βʹ αἰτιῶν· ὡς τὸ, — Ζεὺς ἐράτιζε τριηκοσίους ἐνιαυτούς — λάθρα δὲ τῶν γονέων ἀλλήλοις συνηρχόμενοι, ἔσχον υἱὸν Ἥφαιστον· οὐχ ὁλόκληρον, ἑκατέρους δὲ τοὺς πόδας χωλόν· ὡς φησιν αὐτὸς καὶ ἀμφιγυήεντα· ὅτι δὲ λάθρα τῶν γονέων συνήρχοντο ἀλλήλοις, μαρτυρεῖ ὁ ποιητὴς λέγων· — εἰς εὐνὴν φοιτῶντας φίλους λήθοντο τοκῆας· — μετὰ δὲ τὴν τῶν Τιτάνων ὑπόνδιος καθαίρεσιν καταταρταρωθέντος Κρόνου, Ζεὺς καὶ Ἥρα διαδεξάμενοι τὴν ἐν οὐρανῷ βασιλείαν μέχρι καὶ νῦν θεῶν τε καὶ ἀνθρώπων βασιλεύουσιν, ἀλλήλοις ἡρμοσμένοι τῆς Ἥρας τελείας καὶ συζύγου προσαγορευομένης παρὰ πᾶσι· ἀδελφὴ μόνη ἀνδρὸς ἔτυχε τοιούτου· ἔσχε δὲ Ἥβην καὶ Εἰλείθυιαν. ἦν εἰνοχόος θεῶν παρὰ τράπεζαν ὁ ποιητής.

V. 611. ἔνθα — ἐνταῦθα· τόπικὸν ἐπίρρημα· — κάθευδε — ἐκοιμᾶτο· πρωτοπαθὲς εἶδος· ὡς τι μὴ ἀφροδισιακὸν εἶναι, ἀλλ' ὁρμητικὸν ἐπιμιγνυμένου φιλοστοργίαν· ἡ συνήθεια

Digitized by Google

τὸν τόνον· διὸ δασέως δὲ μὴ χωρίζεσθαι ἄνδρα γοναικὸς ἐν κοίτῃ.

παρὰ δέ — παρ' αὐτὸν δέ· - Ἥρῃ - ἡ Ἥρα· ἰς-έον ὅτι ἡ ῥαψῳδία αὕτη μόνη παραβολὴν οὐκ ἔχει.

χρυσόθρονος Ἥρη — βασιλίς· μᾶλλον δὲ ἐπειδὴ τὰ πρὸς τῷ αἰθέρι μέρη τῆ ἀέρος γειτνιῶντα τῷ ἡλίῳ πυρώδη ἐς-ίν· ὁ γὰρ ποιητὴς ἀλληγορῶν τὸν χρυσὸν λαμβάνει ἐπὶ τοῦ πυρός.

Τέλος τῆς α΄ Ὁμήρου ῥαψῳδίας.

Digitized by Google

# ΙΣΤΟΡΙΑΙ ΚΑΙ ΑΠΟΡΙΑΙ

## ΤΗΣ Β' ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

Vers. 1. Ἄλλοι μὲν ῥά — οἱ μὲν δὴ λοιποί· ἔστι δὲ σύνδεσμος παραπληρωματικὸς· τινὲς ὅλοι a) γράφουσιν, ὡς Ζηνόδοτος· λείπει δὲ τοῖς ἄρθροις ὁ ποιητής· διδάσκει δὲ ὅτι καὶ θεοῖς πρὸς σκέψιν εὔθετος νύξ, τούς τε ἄρχοντας οὐ παννυχίζειν δεῖ, δεῖ καὶ παντὶ τρόπῳ τὰς ὑποσχέσεις πληροῦν.

ἀνέρες — ἄνδρες· ὅτι μετὰ θεὸν ἄνθρωπος, καὶ ἀπὸ τοῦ ἀνδρὸς τὸ πᾶν γένος· ἐκ τοῦ ἀνύω.

ἱπποκορυστα ί — ἐφ' ἵπποις ὁπλιζόμενοι· ἢ οἱ ἵππους κορύσσοντες. τετέστι πολεμικοί· ἢ ἀπὸ ἵππων μαχόμενοι·

V. 2. παννύχιοι — δι' ὅλης τῆς νυκτός· οὐκ ἄρα οὖν ὁ Ζεὺς αἴτιος ἐγένετο τῆς ἀπάτης τοῦ Ἀγαμέμνονος, ἐκείνου μὴ ποιήσαντος τὸ κελευσθέν· εἰ γὰρ αὐτῷ ὄνειρος πανσυδίῃ, ὃ ἐστι σὺν πάσῃ τῇ στρατιᾷ, αὐτὸς δὲ χωρὶς Ἀχιλέως καὶ τῶν Μυρμιδόνων ἐξῆλθεν, οὗτοι δὲ ἡ μεγίστη δύναμις τῶν Ἑλλήνων ἦσαν, εὐθαμῶς αἴτιος τῆς ἀπάτης αὐτοῦ ὁ θεός·

Δία δ' οὐκ ἔχε — πῶς ἐν τῇ α' εἰπὼν τὸν Δία καθεύδειν, νῦν φησὶ Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος; καὶ ἐροῦμεν ὅτι ἐπ' ὀλίγον μὲν ἐκαθεύδησε, καὶ οὐ διὰ πάσης νυκτὸς, ὡς οἱ ἄλλοι, μεριμνῶν· ἢ καὶ ἄλλως ἐροῦμεν, ὅτι οὐ πάντως ἐκοιμᾶτο, ἀλλὰ κατὰ τὸ σιωπώμενον ἀνεπαύετο· Θέτις

a) Cod. ὅλοι.

Digitized by Google

γὰρ αὐτὸν παρεκάλεσεν ὑπὲρ τοῦ υἱοῦ λέγουσα — Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα — καὶ τὰ ἑξῆς. νηδυμος — ὁ ἡδὺς ὕπνος· οὐ γὰρ παρὰ τὸ ἡδύς· λέξει γὰρ δασυνομένη ὃ συντίθησι τὸ ν· ἄλλοι δέ, ὃς οὐ δυνατὸν ἀποδύσασθαι ἢ ὁ βαθὺς παρὰ τὴν νηδύν· ἢ ὁ ἀνώδυνος, τούτου χάριν εἴρηται νήδυμος· ὅτι δὲ μετὰ τοῦ ν φησί - νήδυμος ἀμφιχυθείς.

V. 3. μερμήριζε — ἐμερίμνα, ἐνεθυμεῖτο· εἰς μέρη ἐμερίζετο· καὶ διανοίας· διάνοια μέν ἐστιν ἡ ἑδραία, μέριμνα δὲ ἡ μεριζομένη.

V. 3. - 4. ὡς Ἀχιλῆα τιμήσῃ — αὐκτικὸν τὸ ἑξῆς ὑποτακτικόν, ὡς τὸ χόλον τελέσειεν Ἀγαμέμνων· στατέον δὲ ἐν τῷ νηυσίν· ἦλθε γὰρ τούτους μόνους ἀνελεῖν· διὸ φησὶν — ὑπὲρ αἴσαν Ἀχαιοὶ φέρτεροι ἦσαν - ὥστε διωχθῆναι μέχρι νηῶν.

V. 5. ἣ δὲ δὲ οἱ — αὕτη δὲ αὐτῷ πολλὰ προσκεφαμένῳ, ταύτην εὗρε χρεώδη βουλήν· ἔστι δὲ ὡς τό — ἕτερος δέ με ἔρυκε - καὶ αἱ δευτέραι φροντίδες σοφώτεραι.

φαίνετο — ἐφαίνετο· ἐκ τοῦ φῶ τὸ λογίζομαι.

V. 6. οὖλον ὄνειρον — νῦν τὸν ὀλέθριον· δηλοῖ δὲ καὶ τὴν προσηνῆ καὶ τὸν ὁλόκληρον, ὡς ἐν Ὀδυσσείᾳ φησίν - οὖλον ἄρτον εἰλών - δηλοῖ καὶ τὴν τῶν τριχῶν διαρροφήν· οὖλον ὄνειρον, οὐχ αὐτὸν ὀλέθριον ὄντα, ἀλλὰ τὸν ἐπ' ὀλέθρῳ πεμπόμενον· ἢ οὖλον τὸν ὑγιῆ ὥς περ λέγεται, οὐλὴ τραύματος· σημαίνει δὲ καὶ τὸ ὑγίαινε· ὡς ἐν ἐκείνῳ - οὖλέ τε καὶ μέγα χαῖρε· θεοί δέ τοι ὄλβια δοῖεν.

V. 7. καί μιν φωνήσας — καὶ αὐτὸν προσκαλεσάμενος ἦγουν ἐπὶ μὲν τῇ αὐτόν· ὡς ἐνταῦθα, ἐπὶ δὲ τῇ αὐτήν - καί μιν ἔτισ' ὡς οὔτις ἐπὶ χθονὶ τίεται ἄλλη· - ἐπὶ δὲ τοῦ αὐτό - νῦν αὖτέ μιν υἷες Ἀχαιῶν· - ἐν παλάμαις φορέεσι - τὸ σκῆπτρον.

Digitized by Google

V. 8. βάσκ' ἴθι — πορεύου καὶ ἄπιθι· ἔστι γὰρ ἐκ παραλλήλου τὸ αὐτό· βάσκ' ἴθι. Τυραννίων ὑφὲν ὡς ἄπιθι· ἄμεινον δὲ ταυτολογίαν εἶναι ἐμφαίνουσαν τὸν ἔμπηξιν· καὶ ἀλλαχῦ - ἔλθοι καὶ ἵκοιτο - καὶ Ἡρωδιανὸς τὸ ἴθι ἐνεῶτα φησὶ νῦν. Ἐπαφρόδιτος δὲ ἀόριστον - ὣς ἔφατ' ἐκ τ' ὀνόμαζε - καὶ πάνυ σφόδρα φασὶν Ἀττικοί. δέχεται δὲ καὶ ἴθι ἐπίρρημα παρακελεύσεως· ὡς ἴθ' ἐκάλυψεν· ὡς εἰδότως πᾶν κακόν.

V. 10. ἀτρεκέως — ἀληθῶς· διδάσκει τοὺς ἀγγέλους μὴ περαιτέρω τῶν ἀκουομένων περιεργάζεσθαι· ἀτρεκέως παρὰ τὸ τρέχω, τρεχὸς καὶ ἀτρεχής καὶ τροπῇ τοῦ χ εἰς κ ἀτρεκής· ὁ μὴ διατρέχων τὴν ἀλήθειαν.

V. 11. καρηκομόωντας — τὰς κεφαλὰς κομῶντας ἀνδρείας χάριν· τῶν Ἑλλήνων τὸ παλαιὸν ἀρετῆς ἕνεκα καὶ ἀνδρείας κομώντων τὰς κεφαλάς, λέγει πρῶτον Θησέα ἀποκειράμενον τὴν ἐμπροσθίαν κόμην, εἰς Δῆλον, νῆσος δέ ἐστιν ἡ Δῆλος, ἀναθῆναι τῷ Ἀπόλλωνι· ἀπὸ τοῦ κομῶντας ἐν διαιρέσει κομῶντας.

V. 12. παννυχίη — ἐν δεητικῇ διὰ τοῦ η· ὡς ἀνστήτην κατὰ Ἀρίσταρχον. παννυχίη, πανυχίη Δωρικῶς.

Ζητεῖται διὰ ποίαν αἰτίαν ψευδόμενον παρεισάγει ὁ ποιητὴς κατὰ τὴν ἐπαγγελίαν τῆς Ἰλίου πορθήσεως τὸν Δία; καὶ φαμὲν ὅτι οὐ ψεύδεται· ἀλλ' Ἀγαμέμνονα πεπλάνηται· ὁ μὲν γὰρ ἔφησε, θωρῆξαι ἐ κέλευε παννυχίη· ὁ δὲ μέγιστον μέρος παραλιπὼν τὸν Ἀχιλέως συμμαχίαν, εἰκότως τῆς ἐλπίδος ἐσφάλη, μὴ νοήσας τὰς τοῦ Διὸς φωνάς.

νῦν γάρ κεν — ἀτίως γὰρ ἂν τοὺς τρεῖς χρόνους δηλοῖ - a) νῦν γὰρ δὴ γένος ἐστί - νῦν ὤλετο πᾶσα - νῦν δὲ δὴ Αἰνείας (sic) βίῃ Τρώεσσιν ἀνάξει.

a) Eust. p. 164. hoc scholion citat, aitque — Ἰσέον γὰρ ὅτι τὸ

Digitized by Google

ἕλοι — λάβοι, πορθήσοι· ἀληθεύει δηλονότι ὁ ὄνειρος· εὐρυάγυιαν — πλατυάμφοδον· ἀγυιαὶ γὰρ τὰ ἄμφοδα. ἐκ τοῦ ἄγω καὶ τοῦ εὖρος τὸ πλάτος, εὐρυάγυια· ἢ παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ.

V. 13. - 14. ἀμφὶς φράζονται — χωρὶς ἀλλήλων βουλεύονται· διχαγνωμοῦσι περὶ τῆς Ἰλίου· οὐκέτι γὰρ οἱ τὸν Ὄλυμπον οἰκοῦντες θεοὶ διάφορα φρονοῦσιν· οἱ μὲν τὰ ὑπὲρ Τρώων, οἱ δὲ τὰ ὑπὲρ Ἑλλήνων· ἐκ τοῦ φρῶ φράζω, ὡς χῶ χάζω.

V. 20. Νέστορι — Ζητεῖται a) διατί ὁ ὄνειρος μάλιστα τῷ Νέστορι ὁμοιοῦται; ἐροῦμεν ὅτι μάλιστα αὐτὸν ἐτίμα Ἀγαμέμνων· φησὶ γάρ - τοιοῦτοι μὲν εἰ συμφράδμονες εἶεν Ἀχαιῶν τῷ καὶ τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος - ἢ ὅτι σύμβουλος ἦν τῶν Ἑλλήνων· ἵνα οὖν ταχέως πείσῃ τὸν Ἀγαμέμνονα, Νέστορι αὐτὸν εἴκασεν.

V. 42. μαλακόν — ἁπαλὸν, τρυφερόν· παρὰ τὸ μαλάσσω· εἴρηται δὲ χιτὼν τὸ ἱμάτιον, παρὰ τὸ οἱονεὶ χεῖσθαι καὶ περιχεῖσθαι αὐτὸ τῷ σώματι. Ἱστέον b) δὲ ὅτι ἐπὶ μὲν ἀνδρὸς χιτῶνα λέγει, ἐπὶ δὲ γυναικὸς πέπλον.

νηγάτεον — νεωστὶ κατεσκευασμένον, ἢ νενησμένον· ὥς περ παρὰ τὸ τείνομαι τατὸς γίνεται, καὶ γατὸς καὶ νεήγατος· καὶ ἐν ὑπερθέσει τοῦ ε νηγάτεος· νηγάτεον δὲ ἢ ἀγέννητον ἢ λεπτὸν, ἢ νεήγατον νεωστὶ γεγονός· δηλοῖ δὲ ὁ χιτὼν παρ' αὐτῷ καὶ τὸν σιδηροῦν.

V. 43. περὶ δὲ μέγα βάλλετο φάρος — τὸ μέγα τῷ

νῦν κατὰ τοὺς παλαιοὺς τοὺς τρεῖς χρόνους δηλοῖ, τὸν ἐνεστῶτα· οἷον - ἢ γὰρ ὃν Ἀτρείδῃ νῦν ὕστατα λαβήσαιο. καὶ τὸν παρῳχήμενον, ὡς τὸ-νῦν ὤλετο πᾶσα Ἴλιος κατ' ἄκρης. καὶ τὸν μέλλοντα, οἷον - νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει - etc. a) Hoc scholion in margine ad textum extat. b) Eust. p. 170. Σημειοῦνται δὲ οἱ παλαιοὶ, ἐπὶ ἀνδρὸς τὸν χιτῶνα λέγεσθαι, καθάπερ τὸν πέπλον ἐπὶ γυναικός.

Digitized by Google

μεγέθει τοῦ ἱματίου καὶ τὸ αὐτῷ φοροῦντος αὐτὸ συνεμφαίνεται μέγεθος. μίγα δὲ καὶ παχὺ τὸ ἱμάτιον· πρεπώδες δὲ ἁλὼ τῷ ἐπιβουλὴν ἀξιόντι, νίκα δ' ἐπὶ πολέμιο ὄμματα καὶ κεφαλήν, νίκα δὲ ἐπισκοπὴν τὴν λεόντινον. τὸ δὲ φάρος καὶ ἐπὶ γυναικῶν.

φάρος — ἱμάτιον· παρὰ τὸ φέρεσθαι, ἢ τῇ ὑφῇ ἀφηγέναι.

V. 44. ποσὶ δ' ὑπὸ λιπαροῖσιν — ὑπὸ δὲ εὐτραφέσι καὶ λιπαροῖς ποσὶν ἢ παραλειφομένοις ἐν τῷ ὑποδεῖσθαι, ἢ λαμπροῖς κατὰ ἀντίφρασιν.

πέδηλα — παρὰ τὸ περιελεῖσθαι αὐτὰ τοῖς ποσὶν, ὅ ἐστι περιτίθεσθαι· ἢ παρὰ τὴν ἕλην, τὰ τοὺς πόδας θερμαίνοντα.

V. 45. ξίφος — τὴν καλουμένην σπάθην· σπάθη παρὰ τὸ σπᾶσθαι αὐτὴν τῆς θήκης.

ἀργυρόηλον — ἀργυρόῃς ἥλοις πεπαρμένον ἢ παρέλκει τὸ ἐπίθετον, ἢ μεμιγμένους ἔχον χρυσοῦς.

V. 46. ἄφθιτον — ἀδιάφθαρτον, αἰώνιον ὅτι οὐκ ἐδόθη ἐκ γένεως ἑτέρου.

V. 48. ἠὼς μὲν ῥά — ἡ ἡμέρα μὲν δὴ παρὰ τὸ ἄω, τὸ λάμπω· ἐξ οὗ ἄος, καὶ αὔος καὶ πλεονασμῷ τοῦ γ αὔγος, καὶ αὐγή· ἐκ δὲ τοῦ ἄος ἠώς, κατὰ τροπὴν τοῦ ο μικροῦ εἰς ω μέγα.

προσεβήσατο μαλερὸν ὄλυμπον — προσῆλθε τῷ μεγίστῳ ὀλύμπῳ· τουτέστιν ἀνέτειλε πρὸς ἕω· ὄνειρος ἀληθὴς πεπτομένων τῶν σπείων.

V. 53. ἵζε — ἐκάθιζε· καθέδρυνεν· ἡ κοινὴ τὸ ἵζε συγκέλλει· φθάνει a) δὲ τὴν Λακαίνων πολιτείαν βουλὴν γερόντων, καὶ δύο βασιλεῖς λέγων· γέγονε δὲ παρὰ τὸ ἵζω, τοῦτο δὲ παρὰ τὸ ἕζω· τοῦτο παρὰ τὸ ἕω τὸ καθέζομαι.

a) East. p. 172. Εἰ δὲ σαφῶν τῶν Λακαίνων ἡ τῶν γερόντων βουλὴ, καὶ οἱ δύο βασιλεῖς, φθάνει τὴν τοιαύτην πολιτείαν ὁ ποιητὴς προειδώς.

Digitized by Google

V. 55. ἠρτύνετο — παρὰ τὸ ἄρω τὸ ἁρμόζω, ἀρτῶ, ἀρτύω, καὶ ἀρτύνω.

V. 56. ἐνύπνιον — κατὰ τοὺς ὕπνους ὀνομαστικὸν ἐπίρρημα, ἀντὶ τοῦ ἐνυπνίως· ἔστι δὲ καὶ ὄνομα. Κρατῖνος Θράττῃ μὲν τὸ ἐνύπνιον.

V. 58. εἶδος τε — τὸν τῆς ὄψεως χαρακτῆρα· ἀληθῆ γὰρ δοκοῦσι ὅσα θεοὶ φησὶν ἀξιόλογοι ἄνθρῳ διδάσκουσι λέγειν.

V. 73. πειρήσομαι — ἀπόπειραν λείψομαι· ἀπόπειραν δὲ τοῦ πλήθους λαμβάνει ὁ βασιλεὺς Ἀγαμέμνων, κατὰ τὸ παλαιὸν ἔθος, βουλόμενος μαθεῖν πότερον γνώμῃ οἰκείᾳ πολεμοῦσιν, ἢ ἀνάγκῃ.

ᾗ θέμις ἐστίν — ὡς νενόμισται καὶ ὡς πρόσηκον ἐστίν· ἀντὶ τοῦ ὡς τὸ ᾗ, διὸ καὶ δασύνεται.

V. 74. πολυπλήϊσι — πολυκαθέδροις· κληῖδες γὰρ καλοῦνται, αἱ τῶν ἐρεσσόντων καθέδραι· — καὶ φεύγειν σὺν νηυσὶ πολυπλήϊσι· διατί ἀστρατηγητικῶς φεύγειν τοῖς ὄχλοις προστάσσει ὁ Ἀγαμέμνων; ῥητέον τῇ μεταγωγῇ τῶν πραγμάτων νεωτέρας τὰς ψυχὰς ποιῆσαι ἠθούλήθη, ὅπως ἐπιθυμίᾳ τῶν πατρίδων τέμωνται τὸν χρόνον τοῦ πολέμου.

V. 80. ἔνισπεν — εἶπεν· οἷς γὰρ οἰκεῖον τὸ μεριμνᾶν, τούτοις ἀληθεῖς αἱ φάνσεις· καὶ ὧν ἡ ἀποτυχία κίνδυνον φέρει, αὐτὰς ἂν ψεύσαιτο.

ζητεῖται διατί κόλακα τὸν Νέστορα παρεισάγει Ἀγαμέμνονος λέγοντος, εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος; ῥητέον οὖν ὅτι φιλοσόφου ἐνθυμήματι χρῆται, πιστεύσας τῷ ὀνείρῳ, ὁποῖόν τί Μένανδρος ἐπεφώνει εἰπών· ἃ γὰρ μεθ' ἡμέραν τίς ἐσπέδασε, ταῦτ' εἶδεν νύκτωρ· εἰδὼς οὖν ἐνθυμούμενον τὰ τοῦ πολέμου τὸν Ἀγαμέμνονα, εἰκότως ἀληθῆ εἴρηκε τὸν ὄνειρον εἶναι.

V. 81. καὶ νοσφιζοίμεθα μᾶλλον — ἢ Ἀττικῶς πλεο-

Digitized by Google

νάζει, ἢ ἐπιψευδεῖς οἱ ὄνειροι· δεοτρεφεῖς δὲ καὶ ἀγχίθεοι οἱ βασιλεῖς.

V. 87. ἠὺτ' ἔθνεα — πρώτη δὲ αὕτη παραβολὴ τῷ ποιητῇ· συγγενὲς δὲ ποιητικῶς τὸ ζῶον διὰ τὸν μάχθον, καὶ τὸ γλυκὺ καὶ τὴν σύνθεσιν τοῦ κηρίου. ἡ μὲν οὖν φαλαγγηδὸν γενομένη πρόσοδος, ἐν ἔχει ὡπλισμένοι τέ εἰσι κέντραις, ὑπήκοοί τε καὶ αὐτοὶ εἰσί· καὶ ἐπὶ ἔργον ἐξίασιν· ἐχ ὡς αἱ γέρανοι. φιλάλληλοί τε εἰσί· μεταβαίνουσί τε πολλὰς ἀρχὰς πτήσεως ποιοῦσαι.

V. 92. ἠΐονος — αἰγιαλῶ· ἀπὸ τῆ ἄϊσσω, ἄϊων· ὄνορα ῥηματικὸν ἄϊονος, καὶ τροπῇ Ἰωνικῇ τοῦ α εἰς η, ἠΐονος· ἐν ᾧ τὰ κύματα προσκλώνται ἀριθμένα.

V. 95. τετρήχει — ἀπὸ τῆ ταράσσω· οὗ ὁ παρακείμενος τετάραχα καὶ κατὰ συγκοπὴν καὶ αὔξησιν Ἰωνικὴν τοῦ α εἰς η, τέτρηχα, καὶ ὁ ὑπερσυντελικὸς ἐτετρήχειν, καὶ ὁ μέσος παρακείμενος τέτρηγα καὶ τετρηγώς.

V. 96. ἐννέα δέ σφεας — ἐννέα δὲ αὐτὼς οἱ τῶν ἐννέα γερόντων a), Ὀδῖος, Αἴαντος οἱ περὶ Ταλθύβιον καὶ Εὐρυβάτην, Ἀγαμέμνονος Εὐρυβάτης· Ὀδυσσέως Ἀσφαλίων καὶ Ἐτεωνεύς· Μενέλαος· Θοώτης Νέστορος.

V. 102. Ἥραιστος μὲν δῶκε Διὶ Κρονίωνι - τοῦτο καὶ τὰ ἑξῆς ἄχρι τῆ - αὐτὰρ ὁ αὖτε θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι - καλεῖται κλίμαξ b)· τὸ λῆγον γὰρ τῆς διανοίας ἀρχὴ γίνεται τῶν ἑξῆς· - δέδωκε δὲ ὁ Ἥραιστος τῷ μὲν

a) Locus undique corruptus incuria librarii, ab Eust. p. 180. restituitur, qui hoc vetustam scholion citat. Τινὲς δὲ πειρῶνται καὶ ἱστορικῶς ἐπανορθοῦσθαι τὴν τῶν κηρύκων τούτων ἐννεάδα· λέγοντες ὅτι, Ταλθύβιος καὶ Εὐρυβάτης, Ἀγαμέμνονος κήρυκες· Ὀδῖος Αἴαντος· Εὐρυβάτης ἕτερος Ὀδυσσέως· Ἀσφαλίων καὶ Ἐτεωνεύς, Μενελάου· συγκαταριθμεῖται δὲ αὐτοῖς καὶ Στέντορα τὸν εὐρυβόαν· οὗπερ Ὅμηρος ἐν τοῖς ἑξῆς μεμνῆσθαι καὶ τὸν Θοώτην. b) Eust. p. 181. Τὸ δὲ σχῆμα τοῦ ῥοθίου χωρίου, κλίμακα καὶ κλιμακωτὴν λέγουσιν οἱ πολλοί.

Digitized by Google

Διὶ τὸ σκῆπτρον ὡς βασιλεῖ· τῷ Ἑρμῇ δὲ πάλιν ὁ Ζεὺς ὡς κήρυκι.

V. 103. διακτόρῳ — διάγοντι τὰς ἀγγελίας τὰς τῶν θεῶν· ἢ διακτόρῳ καὶ σαφεῖ κατὰ τὸ λέγειν· εἰ τῷ διαγγέλλοντι καὶ σημαίνοντι, καὶ διακονοῦντι τὰς ἐργασίας.

ἀργειφόντει — ἀργῷ καὶ καθορῷ φόνου· εἰρηνικὸς γὰρ ὁ Θεός· ἢ ὥς τινες κατ' ἐπώνυμον· ὅ ἐστιν ἐξ αἰτίας τοιαύτης· Ἰοῦς τῆς Ἰνάχου θυγατρὸς τοῦ Ἀργείων βασιλέως Ζεὺς ἐρασθεὶς, καὶ γνοὺς αὐτὴν, μετέβαλεν αὐτὴν εἰς βοῦν, διὰ τὸν τῆς Ἥρας ζῆλον· Ἥρα δὲ αἰτησαμένη αὐτὴν παρὰ Διὸς, καὶ λαβοῦσα, ἐπέστησεν αὐτῇ φύλακα Ἄργον τὸν πανόπτην καλούμενον· ἐπειδὴ κατὰ παντὸς τοῦ σώματος εἶχεν ὀφθαλμούς· κελευσθεὶς δὲ Ἑρμῆς ὑπὸ Διὸς κλέψαι ταύτην βοῦν, ἐπειδὴ λαθεῖν οὐκ ἠδύνατο τὸν Ἄργον, λίθῳ βαλὼν ἀπέκτεινε· καὶ ἐντεῦθεν Ἀργειφόντης ἐκλήθη. τῇ δὲ Ἰοῖ ἡ Ἥρα ὡσανεὶ βοῒ οἶστρον ἐμβάλλει· ἡ δὲ ἐκ τῆς ὀδύνης, πρῶτον ἦλθεν ἐπὶ τὸν ἀπ' ἐκείνης Ἰόνιον κόλπον κληθέντα. ἔπειτα διὰ τοῦ καλουμένου πρότερον Θρᾳκίου πόρου, νῦν ἀπ' ἐκείνης βοσπόρου, ἐλθοῦσα, καὶ ἄλλοις δὲ διαφέροις τόποις πλανηθεῖσα, ἦλθεν εἰς Αἴγυπτον· ὅπου τὴν ἀρχαίαν μορφὴν ἀπολαβοῦσα, τίκτει παρὰ τῷ Νείλῳ Ἔπαφον· ἡ δὲ ἱστορία πλατύτερον κεῖται παρὰ Ἀπολλοδώρῳ ἐν δευτέρῳ.

V. 104. Ἑρμείας δὲ ἄναξ δῶκε Πέλοπι πληξίππῳ — Ἱπποδάμεια ἡ Οἰνομάου θυγάτηρ ἐρασθεῖσα Πέλοπος, Μύρτιλον τὸν Ἑρμοῦ μὲν υἱὸν, ἡνίοχον δὲ τοῦ ἑαυτῆς πατρὸς, ἔπεισε τῇ κατὰ τοῦ πατρὸς νίκῃ συνεργῆσαι, καὶ τοὺς ἵππους τῆς εἰς τὸ τρέχειν ὁρμῆς κατασχεῖν, βουλομένη τὸν Πέλοπα καὶ τοὺς ἵππους λαβεῖν, καὶ τὸν ἑαυτῆς γάμον· ἔκειτο γὰρ τῷ νικήσαντι ἔπαθλον ὁ ταύτης γάμος, νικηθέντι δὲ θάνατος· ἀγωνιζομένων δὲ αὐτῶν, ὁ Οἰνόμαος ἐκπίπτει τοῦ ἅρματος. οὐ γὰρ αἱ χοινικίδες τοὺς ἐμβόλους κατίσχον· τοῦτο

Digitized by Google

παυσυργήσαντος τοῦ Μυρτίλου· γνοὺς δὲ τὴν ἐπιβουλὴν ὁ Οἰνόμαος, ἀρὰς ἔθηκεν κατὰ Μυρτίλου ὅπως ἀπόληται ὑπὸ Πέλοπος· ὃ καὶ γέγονε· διαβαινόντων γὰρ αὐτῶν διὰ τοῦ Αἰγαίου πελάγους, καὶ διψησάσης τῆς Ἱπποδαμείας, καταβὰς ἐκ τῆς ἅρματος ὁ Πέλοψ, ἐζήτει ὕδωρ κατὰ τῆς ἐρήμου· κατ' ἐκεῖνο δὲ καιροῦ ἡ Ἱπποδάμεια ἐρασθεῖσα Μυρτίλου, ἐδέετο μὴ παρεδεῖν· ἀντεπόντος δὲ αὐτῇ καὶ τοῦ Πέλοπος παραγενομένου, φθάνει ἡ Ἱπποδάμεια, κατηγορήσασα τοῦ Μυρτίλου ὡς βιασαμένου αὐτήν, καὶ Μύρτιλον Πέλοψ ἀπὸ τοῦ ἅρματος ὠθεῖ εἰς τὸ πέλαγος· αὐτὸς δὲ αὐτῆ ἡνιοχεῖ· ὅθεν τὸ μὲν πέλαγος Μυρτῷον ἀπὸ Μυρτίλου, ὁ Πέλοψ δὲ πλήξιππος ἐκλήθη ἔκτοτε διὰ τὴν τῶν ἵππων αὐτουργίαν.

Ἑρμείας εὐλόγως διὰ τοῦ ει διφθόγγου γράφεται· γίνονται γὰρ τοιαῦται παραγωγαὶ διὰ τὸ ας καὶ εας. Καὶ οἶμαι τὰ διὰ τὸ ας διὰ τοῦ ι μόνου γράφεσθαι. εἰ δὲ εὑρεθεῖεν ἔχοντα τὴν ει δίφθογγον, κατὰ πλεονασμὸν τοῦ ι ἐστὶ τοῦ παρειά· ἐκ γὰρ τοῦ παρειὰ ἔχει τὴν ει δίφθογγον. Γέγονεν οὖν ἀπὸ τοῦ ἐρέω, ἐρέας, καὶ ἑρμέας κατὰ πλεονασμὸν τῷ μ· ὡς ἐν τῷ μάλευρον· μοχλὸν· χερμάδιον· τέκμωρ· ἀχυρμαί· μείραξ· μία· ἀκμὴ· ἐρίζω· ἐριζαίνω· ἐρεδαίνω· σκυδμαίνω· Ἥρη μὴ δὴ πάντα ἀποσκύδμαινε θεοῖσιν· ἀμβροσίη· διὰ τοῦ α παρὰ τῷ ποιητῇ, Αἰνείας, Αὐγείας.

V. 105. αὐτὰρ ὁ αὖτε Πέλοψ. — ὁ δὲ Πέλοψ πάλιν ἔδωκε τῷ Ἀτρεῖ· μέγα ποὸς ἀρχὴν παρασκευὴ πολυχρόνιος, καὶ παλαιὸν τροφῆς ἀξίωμα· Πέλοψ ἐκ προτέρας γυναικὸς ἔχων παῖδα Χρύσιππον, ἔγημεν Ἱπποδάμειαν τὴν Οἰνομάου· ἐξ ἧς ἱκανῶς ἐπαιδοποίησεν· ἀγαπωμένου δὲ ὑπ' αὐτῆς σφόδρα τοῦ Χρυσίππου, ἐπιφθονήσαντες ἥ τε μητρυιὰ καὶ οἱ παῖδες μή πως τὰ σκῆπτρα αὐτῷ καταλείψῃ, θάνατον ἐπεβούλευσαν Ἀτρέα καὶ Θυέστην τοὺς πρεσβυτέρους τῶν παίδων εἰς τοῦτο προσηκάμενοι· ἀναιρεθέντος δὲ τοῦ Χρυ-

Digitized by Google

σίππου, Πέλοπι ἐπεγνους, ἐφυγάδευε τοὺς αὐτόχειρας τῆς σφαγῆς γενομένους παῖδας ἐπαρασάμενος αὐτοῖς καὶ τῷ γένει αὐτῶν ἀναιρεθῆναι· οἱ μὲν οὖν ἄλλοι ἀλλαχῆ ἐκπίπτουσι τῆς Πίσσης· τελευτήσαντος δὲ τοῦ Πέλοπος, Ἀτρεὺς κατὰ τὸ πρεσβυτέριον σὺν πολλῷ στρατῷ ἐλθών, ἐκράτησε τοῦ τόπου· ἡ δὲ ἱστορία παρὰ Ἑλληνικῷ·

V. 106. πολύαρνι Θυέστῃ — πολυθρέμμονι, πλεσίῳ· Ἀτρεὺς ὁ Πέλοπος τῆς Πελοποννήσου βασιλεύων, ηὔξατο ποτὲ ὅ, τι ἂν κάλλιστον ἐν ταῖς ποιμνίοις αὐτοῦ γεννηθῇ, τοῦτο Ἀρτέμιδι θῦσαι· καὶ γεννηθείσης αὐτῷ χρυσῆς ἀρνὸς, μετεμέλησε τῆς εὐχῆς· καὶ καθείρξας αὐτὴν εἰς λάρνακα, ἐφύλαττε· μίγα δέ τι φρονῶν ἐπὶ τῷ κτήματι, κομπάζει κατὰ τὴν ἀγοράν· ἀνιώμενον δὲ ἐπὶ τούτῳ Θυέστην, ἀπελθόντα ὡς ἐρῶντα, λέγεται πεῖσαι Ἀερόπην ἐκδοῦναι αὐτῷ τὸ κτῆμα· λαβόντα δὲ ἀντιπεῖν τῷ ἀδελφῷ, ὡς δὴ ὄντως περὶ τούτου κομπάζει· αὐτὸς δὲ ἔλεγεν ἐν τῷ πλήθει δεῖν καὶ τὴν βασιλείαν ἔχειν τὴν χρυσῆν ἄρνα ἔχοντα. τοῦτο δὲ ὁμολογοῦντος καὶ Ἀτρέως, Ζεὺς Ἑρμῆν πέμπει πρὸς τὸν Ἀτρέα συνιέναι λέγων περὶ τῆς βασιλείας καὶ δηλοῦν τὰ περὶ τῆς ἀνατολῆς· διότι μέλλει ποιεῖσθαι τὴν ἐναντίαν ὁδὸν ὁ ἥλιος· συνθεμένου δὲ περὶ τούτων, ὁ ἥλιος τὴν δύσιν εἰς ἀνατολὴν ἐποιήσατο· ὅθεν ἐκμαρτυρήσαντος τοῦ δαιμονίου τὴν Θυέστου πλεονεξίαν, τὴν βασιλείαν Ἀτρεὺς παρέλαβε· καὶ Θυέστην ἐφυγάδευσεν.

V. 107. αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι — Θυέστης κατέλειπε θνήσκων Ἀγαμέμνονι τὸ σκῆπτρον· Ἀτρεὺς βασιλεύων τῆς Πελοποννήσου, ἔχων ἐκ Ῥαίσης τῆς Ἐρεχθέως θυγατρὸς, ἢ ὡς τινες τῆς Τελέστορος ἢ Ἀερόπης τῆς Ἀτρικέως, a) Ἀγαμέμνονα καὶ Μενέλαον, μέλλων δὲ τελευταν

a) Ita omnino codex, qui tamen binas lacunas, ab editoribus scholiorum homericorum heic cruce vel asterisco signatas, instaurat.

Digitized by Google

τὸν βίον, σπασάμενος πρὸς τὸν ἀδελφὸν τὴν ἔχθραν, παραδίδωσιν αὐτῷ τὴν βασιλείαν ἵνα Ἀγαμέμνονι ἀνδρωθέντι ἀπρδῶ· ὁ δὲ πιστεύσας ποτήσας, ἀποδίδωσιν.

αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι — ἀντὶ τοῦ Θυέστης, ἢ ἀντὶ τοῦ Θυέστα, ἵν' ᾖ Θυέστα ἡ εὐθεῖα· μεταπλασμὸς δὲ τοῦτο καλεῖται, ὡς τὸ — μητίετα Ζεύς - χρῶνται δὲ αὐτῷ κατ' ἐξουσίαν οἱ ποιηταί· καί τοι τὸ α οὐκ ἔστι κατὰ κλητικὴν ἀρσενικῶς· ἢ νοήσομεν ὅτι κλητικὴν ἀντὶ εὐθείας εἶπε· πολλάκις γὰρ καὶ τοῦτο ποιεῖ.

V. 108. νήσοισι — νήσους· νῆσος δέ ἐστιν ἡ περιεχομένη ὑπὸ θαλάσσης πανταχόθεν, ἔχουσα ἐν αὐτῇ πολ-ς πόλεις ἢ καὶ ὀλίγας· ἴσως δὲ εἴρηται ἀπὸ τῶν ὀρνέων τῆς νήσσης, ἥτις καὶ αὐτὴ διασπαντὸς τοῖς κύμασι τῶν ὑδάτων νήχεται, μίαν μόνην ἔξοχον ἔχουσα ἐπὶ τὴν ξηρὰν εἰ τύχοι.

V. 117. πολλάων — πολλῶν ἔ-ι δὲ ὁ τρόπος ἐπέκτασις, ἴδιος Ἰώνων.

V. 131. ἐγχίσπαλοι — πάλλοντες καὶ κινοῦντες τὰ δόρατα· πολεμικοί· ἔσειον δὲ αὐτὰ πρὸ τῆς ἀφέσεως πήποτε ἄρα εἴη κλασθέντα.

V. 132. μέγα — μεγάλως· συγκοπὴ ὁ τρόπος.

οὐκ εἰῶσιν — οὐ συγχωροῦσι βουλόμενον, ὃ ἔ-ι δυνάμενον· ἡ δὲ διάλεκτος τοῦ οὐκ εἰῶσιν, Ἰάς.

V. 145. πόντε Ἰκαρίοιο — τοῦ Ἰκαρίε πελάγους κεκλημένε οὕτως ἀπὸ Ἰκάρε τοῦ Δαιδάλε παιδὸς πεσόντος εἰς αὐτό, καὶ ἀπολομένε οὕτως. Μετὰ τὴν τῆς Πασιφάης πρὸς τὸν ταῦρον μίξιν, Δαίδαλος τυλαβούμενος τὴν Μίνωος ὀργήν, πτερωτὸς σὺν Ἰκάρῳ τῷ υἱῷ ἐκ Κρήτης ἐφέρετο· καταπεσόντος δὲ αὐτοῦ παιδὸς εἰς τὸ ὑποκείμενον πέλαγος, Ἰκάριον μετωνομάσθη· ὁ μέν τοι Δαίδαλος διαπτὰς εἰς Κάμικον τῆς Σικελίας, καὶ τὸν υἱὸν αὐτοῦ ἐκδεχόμενος·

Digitized by Google

ἔμενε παρὰ ταῖς Κωκάλου θυγατράσιν· ὑφ' ὧν ὁ Μίνως ἥκων ἐπ' ἀναζήτησιν τοῦ Δαιδάλου, ἀποθνήσκει· καταχεθέντος αὐτῷ ζεστοῦ ὕδατος· ἱστορεῖ Φιλοστέφανος καὶ Καλλίμαχος ἐν αἰτίοις.

V. 150. ἐπεσσεύοντο — ἐπήρχοντο, ἐπηκολούθουν· οὐκ ἀναστραπτέον· αἱ γὰρ συναλειφόμεναι οὐκ ἀναστρέφονται, εἰ μὴ ἐπὶ τέλους κεῖνται, ῥῆμα δηλοῦσαι ἐκ τοῦ σῶ σύω, κατὰ πλεονασμὸν σεύω.

ὑπένερθεν — ὑποκάτωθεν.

V. 151. ἀειρομένη — εἰς ὕψος αἰρομένη· ἐκ τοῦ αἴρω· πλεονασμῷ τοῦ ε ἀείρω.

τοί δ' ἀλλήλοισι κέλευον — οὗτοι δὲ ἀλλήλοις παρεκελεύοντο· τουτέστιν εἷς ἕνα ἐσπούδαζεν.

V. 153. οὐρούς τε — ταφρωνδῆ ὀρύγματα· δι' ὧν αἱ νῆες καθέλκονται εἰς τὴν θάλασσαν, ἢ τὰς ἀντλίας.

V. 155. ὑπέρμορα — ὑπὲρ τὸ εἱμαρμένον· ὀνοματικὸν ἐπίρρημα ὑπέρμορα.

νόστος — ἡ εἰς τὸν οἶκον ἀνακομιδὴ, παρὰ τὸ ἡδὺ καὶ γνήσιον τῆς πατρίδος· ἡ μεταφορὰ ἀπὸ τῶν ἐδεσμάτων.

ἐτύχθη — ἐγένετο· παρὰ τὸ τεύχω ἔλλειψις τοῦ ε· πολλάκις δὲ καὶ διὰ τοῦ υ· ὡς τέχνη.

V. 157. αἰγιόχοιο — τοῦ αἰγίδα ἔχοντος· αἰγὶς δέ ἐστιν ὅπλον τοῦ Διὸς ἡφαιστότευκτον· Ζεὺς Κρόνου καὶ Ῥέας γενόμενος, ἐν Κρήτῃ δὲ ἐπικληθεὶς αἰγίοχος διὰ τὸ αὐτόθι τραφῆναι· ἢ ὥς τινες φασί, διὰ τὸ αἶγα ἀνελόντα, τὴν μὲν δορὰν ἀμφιάσασθαι· ταῖς δὲ κέρασιν εἰς τόξον χρήσασθαι· ὅθεν καὶ αἰγιδόκον τόπον τινὰ ἐν Κρήτῃ καλεῖσθαι· ἱστορεῖ Εὐφορίων.

V. 159. νῶτα θαλάσσης — ἤτοι τὴν ἐμφάνειαν τῆς θαλάσσης· ἢ τὰ μεγέθη· ἰστέον ὅτι οὐδετέρως τὸ νῶτον, καὶ

τὰ νῦτα λέγει· πανταχοῦ καὶ Ἡσίοδος καὶ οὐκ ἀρρενικῶς τὸν νῶτον.

V. 161. Ἀργείην — τὴν Πελοποννησίαν· ἡ γὰρ Λακωνικὴ μέρος ἦν τὸ πέμπτον τῆς Πελοποννήσου, ὡς καὶ ἔμπροσθεν εἴρηται· Ἄργος Ἀργεία.

V. 163. ἔθειραν — ἐπὶ τοῦ εἶμι τὸ πορεύσομαι, ἔρχομαι. καὶ προσοστικῶς ἔθειρα ἄλογος δὲ καὶ τῆς ἐνδόξου ἢ χρειώδους ὑπηρεσίας.

V. 164. ἀγανοῖς — πρᾴοσι ἡμέροις ἢ ὑπάγεσθαι δυναμένοις· οὕτω γὰρ ἔθος μαλάσσειν τὸ θυμοῦ τὸ δὲ α πρὸ τοῦ ὑ ἥλωσαν ἥλω τοῦ ἀγνὲς καὶ ἁγνός.

V. 171. ἄχος — λύπη ἢ ἄφορος αὐτὴν ἔσχε Νιόβη.

V. 182. κατὰ δὲ χλαῖναν βάλεν — ἐπεδύσατο τὴν χλαμύδα διὰ τὸ μὴ ἐμπεδοῦσθαι αὐτὴν ὑπὸ τοῦ πλήθους τῶν ἱματίων.

V. 184. κήρυξ Εὐρυβάτης — ἰσχύν δέ τινες ἕτερός οὗτος ἐστὶν ὁ Εὐρυβάτης, καὶ ἕτερος ὁ Ἀγαμέμνονος, οὗ ἐμνήσθη ἐν τῷ ἀπὸ καρτὸς μὰρ τῶν βασιλέων εἶχεν ἰδίους κήρυκας.

V. 185. αὐτὸς δ' Ἀτρεΐδεω Ἀγαμέμνονος ἀντίος ἐλθών — Ὀδυσσεὺς φησὶ παρὰ τοῦ Ἀγαμέμνονος λαμβάνει τὸ σκῆπτρον· οὐχ ἁπλῶς δὲ τοῦτο παίζει, ἀλλ' ἵνα δειχθῇ σὺν τῇ τοῦ βασιλέως γνώμῃ κρατεῖν αὐτούς.

V. 186. ἄφθιτον — ἄφθαρτον ποιητικῶς τοῦτο πέπλασται· τὰ μὲν ἀΐδιον ἐπὶ τῶν ἐμψύχων οἱ φιλόσοφοί τάττουσι τὸ δὲ ἄφθιτον ἐπὶ τῶν ἀψύχων.

V. 190. δαιμόνιε — αὕτη ἡ λέξις τῶν μέσων ἐστὶ καὶ δηλοῖ ἀμφότερα· ὅτε μὲν ἐπὶ κακίαν λεγομένη οἷον θεῖε, μαινόμενε μάγιστε καὶ μεγαθὲ καὶ ἄριστε· ὅτε δὲ ἐπὶ ψόγου οἷον ἄφρον καὶ μάταιε ἢ χείριστε καὶ φαῦλε· ὅτε μὲν ἓν

Digitized by Google

φησὶ, θεῷ προσφέρῃ, ἥσσονα λέγει ἢ κατὰ θεόν· ὅτε δὲ ἀνθρώπῳ, ὑπερέχοντα ἄνθρωπον· ὡς δηλοῦσθαι ἥττονα μὲν θεοῦ, μείζονα δὲ ἀνθρώπου.

οὔ σε ἔοικεν — οὔ σε τρέπει, ὦ βέλτιστε· ἡ ἀκριβὴς ὀρθοτονεῖ· ἐγκλίνει δὲ ἡ κοινή.

V. 194. ἀκούσαμεν — ἠκούσαμεν· μετρίως, ἵνα μὴ καταισχύνῃ τοὺς ἄλλους· τινὲς δὲ ἐν ἐρωτήσει· μὴ οὐκ ἠκούσαμεν; τὸ δὲ μὴ, διστακτικόν.

V. 199. ἐλάσασκεν — ἔπληττεν· οἱ μὲν θρασεῖς κολακευόμενοι, ἐπαίρονται· πῶς οὖν δημόχαρές τις Ὀδυσσεὺς φησίν; ἵνα ἐκεῖνοι τούτων ἀκούοιεν, καὶ ἔκδηλος ἡ βουλὴ γένηται.

V. 204. κοίρανος — βασιλεὺς ἡγεμών· οὕτω γοῦν, ὅτι ἡ Περσῶν ἀρχὴ διὰ τῆς μοναρχίας μεγάλη ἐστί· καὶ οἱ Ἀθηναῖοι ὁπότε πλείονας παρεῖχον τῷ στρατεύματι ἡγεμόνας, ὡς ἐν Αἰγὸς ποταμοῖς οἱ θ' ἡττῶντο· ὁπότε δὲ δι' ἑνὸς ἐποιοῦντο τοὺς ἀγῶνας, ἐνίκων, ὥς περ ἐν τῇ Κνίδῳ ὁ Κόνων τὸ τῶν Περσῶν (sic) στρατόπεδον· ὅπου γε καὶ αὐτὰ τὰ σώματα ἡμῶν εἰ ἦσαν ἐξ ἑνὸς στοιχείου, οὐκ ἄν ποτε ἤλγουν· οὔτε γὰρ ἦν ὑφ' οὗ ἀλγήσειαν ἓν ὄντα, ὥς φησιν ὁ θεῖος Ἱπποκράτης· καὶ ἐν ἑτέρῳ δὲ πάλιν ὁ αὐτὸς ἀνήρ· καὶ πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον· τὰ γὰρ πολλὰ ἀλλήλοις ἀνθιστάμενα, ὥς περ πόλεμον ἐπιφέρει, ἐφ' οὗ καὶ φθορὰ ἐπακολουθεῖ.

V. 205. ἀγκυλομήτεω — ἀγκυλομήτης ὁ Κρόνος ἐκλήθη· ἤτοι ὁ ἀγκύλα καὶ σκολιὰ βουλευσάμενος κατὰ τοῦ πατρὸς καὶ τῶν παίδων, ὥς φησιν Ἡσιόδου μῦθος· τοῦ μὲν γὰρ τὰ αἰδοῖα τῇ ἅρπῃ ἀπέτεμε, τοὺς δὲ κατέπιεν· ἢ ἄγκυλα καὶ σκολιὰ πράγματα καὶ δυσχερῆ, τῇ μήτιδι περιλαμβάνων, κορόνους τὶς ὢν καὶ τέλειος νοῦς καὶ εἰδήμων τῶν σκολιῶν πραγμάτων, καὶ εὐμήχανος· δηλοῖ δὲ τὸ ἄγ-



Digitized by Google

κυλον παρὰ τῷ ποιητῇ τρία· τὸ σκολιὸν κατὰ βούλευσιν· ὡς ὅταν λέγῃ ἀγκυλομήτην τὸν Κρόνον· καὶ τὸ περιφερὲς κατὰ τὸ σχῆμα, ὡς τὸ - ἄγκυλα τόξα - καὶ τὸ ἰσχυρὸν, ὡς τὸ - ἄγκυλον ἅρμα.

V. 212. Θερσίτης δ' ἔτι μοῦνος — μόνος δὲ Θερσίτης. Οἰνεῖ ἀμελήσαντι τῆς Ἀρτέμιδος θυσιῶν εἵνεκα, θεὸς ὀργισθεῖσα, ἔπεμψε τῇ πόλει σῦν ἄγριον· ἐφ' ὃν ἦλθε στρατεία τῶν Ἑλλήνων ἀρίστων· ἐπειδὴ καὶ ἐλυμαίνετο τὴν χώραν, ὥς φησιν αὐτὸς ὁ ποιητὴς ἐν τῇ ι', μεθ' ὧν ἦν καὶ ὁ Θερσίτης· ὃς δειλιάσας κατέλειψε τὴν παραφυλακὴν, ἐφ' ἧς ἦν, καὶ ἀπῆλθεν ἐπί τινα τόπον ὑψηλὸν, τὴν σωτηρίαν θηρώμενος· ὀνειδιζόμενος δὲ ὑπὸ Μελεάγρου ἐδιώκετο· καὶ κατὰ κρημνοῦ πεσὼν, τοιοῦτος ἐγένετο, οἷον Ὅμηρος αὐτὸν παρίστησιν· ἱστορεῖ δὲ Εὐφορίων.

Τὸ σχῆμα ἐπένθεσις· ἐπένθεσις δέ ἐστι, διχρόνου φωνήματος δίφθογγον ποιοῦντος τὴν σύλλαβὴν· πρόθεσις· οἷον, ὁδὸς οὐδός· ὅρος οὖρος· μόνος μοῦνος· ἐρετρία εἰρετρία· κόραι κοῦραι.

Γινώσκειν μέν τοι χρὴ, ὅτι αἱ διχρόνων ἐπενθέσεις, τὰ μὲν ψιλούμενα οὐ μεταβάλλουσιν εἰς δασέα· τὰ δὲ δασυνόμενα ψιλοῦσιν.

Οἰνεὺς καὶ Ἄγριος ἀδελφοί· ὡς λέγει ποιητὴς ἐν τῇ θ'· ἀλλ' ὁ μὲν Οἰνεὺς ἦν πατὴρ Μελεάγρου· ὁ δὲ Ἄγριος Θερσίτου· μήτηρ δὲ Θερσίτου Δία. Ἐζήτηται δὲ διὰ ποίαν αἰτίαν ὁ Θερσίτης ἐστράτευσεν εἰς Τροίαν τοιοῦτος ὤν· ῥητέον οὖν· ὅτι καί τοι στασιώδης ὤν, οὐκ ἀπελείφθη τῇ πατρίδι· ἢ ὅτι καὶ ἐπεισόδιον παρῆκται, πρὸς τὸ ἐκ σκυθρωποῦ εἰς ἱλαρότητα τὰς ψυχὰς ἀνακαλέσασθαι τῶν Ἑλλήνων· ὥς περ εἴληπται καὶ Ἥφαιστος γέλωτος χάριν παρὰ τοῖς θεοῖς ἐν τῷ α' λαμβάνεται καὶ πᾶν ἐπεισόδιον τὸ ποιητῇ, ἢ

πεθανότητος ἕνεκεν, ἢ χρείας· ὥς περ τοῦτο νῦν· ἢ κόσμου καὶ ὑψώσεως χάριν.

ἀμετροεπής — ἄμετρος ἐν τῷ λέγειν· φλύαρος· πάντων γὰρ κόρος ἐστὶν· οἱ δὲ μέτρον τὴν τάξιν, ἡμεῖς δὲ ἀπεραντολόγον τοῦτον φαμέν·

V. 215. – 6. ἀλλ' ὅ τι οἱ εἴσατο γελοίϊον Ἀργείοισιν — ἔμμεναι – ἀλλ' ὅπερ ἂν ἐνόμιζεν ὁ Θερσίτης ἀναγκαῖον εἶναι, τοῦτο γέλωτος πολλοῦ ἄξιον ἐφαίνετο τοῖς Ἕλλησιν· Ἀττικῶς γελοῖος· τὸ δὲ ἔμμεναι ἀπὸ κοινοῦ· τὸ τι ἀναφορηκόν ἐστι.

V. 219. φοξός — ὀξυκέφαλος· φοξὸς τῶν διχῶν εἰρημένων· σημαίνει δὲ τὸν ὀξυκέφαλον· εἴρηται a) δὲ ἀπὸ τῶν κεραμεικῶν ἀγγείων, τῶν ἐν τῇ καμίνῳ ἀπὸ τοῦ φωτὸς ἀποξυνομμένων καθὰ φησὶ καὶ Ἀμμονίδης (sic) – αὐτὴ δὲ φοξίχειλος Ἀργείη κύλιξ· – ἔνιοι δὲ κυρίως τὸν ἐπὶ τὰ φάη, τουτέστι τὰ ὄμματα ἀποξυμμένην ἔχοντα τὴν κεφαλήν· ἀμφοτέρων τὸ πρότερον.

ἐπενήνοθε — ἐπήνθη, ἐπέκειτο· τὸ ἐνήνοθεν οὐ δύναται εἶναι Ἀττικὸν, καθὸ ἤνοθε καὶ ἐνήνοθεν, οὐ διπλασιασμὸς Ἀττικός· ἀπὸ γὰρ τοῦ ἔω, τοῦ σημαίνοντος τὸ ὑπάρχω, γίνεται παράγωγον ἐέθω, ὡς φλεγέθω, ῥεέθω, νεμέθω· εἶτα κατὰ συνέλευσιν τῶν δύο εε εἰς η ἤθω γίνεται τὸ θέμα· ὥστε οὖν δεῖ λέγειν ὅτι κατὰ πρόθεσιν τῆς ἐν, ἐγένετο ἐνήθω· ἤνοθα ὁ μέσος παρακείμενος καὶ ἐνήνοθα· ἢ κατὰ Φιλόξενον ἐκ τοῦ ὄθω τοῦ σημαίνοντος τὸ κινῶ, μετὰ τῆς ἐν

a) Eust. p. 207. Ἢ κατὰ τοὺς παλαιοὺς ἐξ ὁμοιότητος τῶν πυριῤῥαγῶν ὀστράκων, ἅπερ φοξὰ λέγεται, οἱονεί τινα φλοξά. Ἰστέον δὲ ὅτι ἐν τοῖς τοῦ Ἀθηναίου φέρονται καὶ ταῦτα χρήσιμα εἰς τὸ περὶ φοξότητος· ἐπίσημοι κύλικε Ἀργεῖαι, καὶ Ἀττικαί· φοξαὶ δὲ τὸ χεῖλος αἱ Ἀργεῖαι, ὡς δηλοῖ Σιμωνίδης εἰπών – αὐτὴ δὲ φοξόχειλος – εἰς ὀξὺ ἀνοιγμένη, τουτέστι εἰς ὀξὺ λήγουσα.

ἐνόθω, ἐνόσω ὁ μέλλων· ὅθεν ἐνοσίχθων καὶ ἐνοσίφυλλος· ἤνοκα καὶ ἤνοθα ὁ μέσος· καὶ διπλασιασμὸς Ἀττικὸς ἐνήνοθα· ὅπερ καὶ ἄμεινον τούτου λαμβάνειν.

λάχνη — τρίχωσις. Ἱστέον δὲ ὅτι ὁ Ἀχιλεὺς αὐτὸν τὸν Θερσίτην ἀνειρεῖ, ὡς ἱστορεῖ Κόϊντος ὁ ποιητὴς ἐν τοῖς μεθ' Ὅμηρον· φησὶ γὰρ ὅτι ἐν τῇ Ἀμαζονομαχίᾳ· ἦλθον γὰρ αἱ Ἀμαζόναι τοῖς Τρωσὶ σύμμαχοι μετὰ τὸν Ἕκτορος θάνατον· ἀνελὼν Ἀχιλεὺς Πενθεσίλειαν τὴν τῶν Ἀμαζόνων βασίλειαν, ὕστερον προσχὼν τὸ σῶμα αὐτῆς εὐπρεπὲς πάνυ, εἰς ἔρωτα ἦλθε τῆς προειρημένης· βαρέως τὲ ἔφερεν ἐπὶ τῷ θανάτῳ αὐτῆς· ὁρῶν δὲ δυσφοροῦντα αὐτὸν Θερσίτης, συνήθως ἐλοιδόρει· ἐφ' ᾧ ὀργισθεὶς ὁ ἥρως, γρόνθῳ παίσας αὐτὸν ἀναιρεῖ· πάραντα τῶν ὀδόντων αὐτοῦ ἐνεχθέντων χαμαί.

V. 221. τῷ γὰρ εἰκέεσκε — τούτους γὰρ πρῶτον προελοιδόρησεν κακολογήσας· εἶθ' οὕτως τὸν Ἀγαμέμνονα.

V. 222. ὀξέα — μεγάλα· αἱ τῶν μεγάλων εὐτυχίαι ὑψοῦσι ταπεινούς.

V. 226. πλεῖαί τοι χαλκοῦ — διατί δὲ ὑπὲρ τὴν ἄλλην ὕλην τοῦ χαλκοῦ ἐμνήσθη; ὅτι τοῖς ἀρχαίοις σφόδρα ἦν τίμιος ὁ χαλκός· οὐκ ἀπὸ τοῦ πλείων, ἀλλ' ἀπὸ τοῦ πλεῖος· ἀφ' οὗ παρὰ τῷ ποιητῇ, πλεὸς μέλανος θανάτοιο· καὶ, πλεῖαί τοι καλκοῦ κλισίαι.

V. 235. ὦ πέπονες — ἔκλυτοι καὶ ἀσθενεῖς· ὁτὲ δὲ ἥδιστοι· ἡ μεταφορὰ ἀπὸ τῶν πεπόνων, ἃ τῇ μὲν γεύσει ἐστὶν ἡδέα, τῇ δὲ ἀφῇ τῆς χειρὸς μαλακὰ καὶ εὐένδοτα.

V. 237. πεσέμεν — κατέχειν· ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τῇ γαστρὶ σιτίων· καὶ γὰρ ἂν μὴ κρατηθῇ τὸν ὡρισμένον χρόνον, ἀσθενούσης τῆς καθεκτικῆς δυνάμεως, οὐ πέττεται.

V. 248. βροτὸν — φθαρτὸν ἄνθρωπον· βρότος δὲ παροξυτόνως τὸ μετὰ κόνεως μιγὲν τοῦ ἀνθρώπου αἷμα.

Digitized by Google

V. 249. ὅσσοι ἅμ' Ἀτρείδῃς — οὗτοι δὲ ἦσαν κατὰ μὲν τὸ σύνηθες Πλεισθένους καὶ Ἀερόπης, Ἀτρέως παῖδες τοῦ Πέλοπος· ὥς φασιν ἄλλοι τε πολλοὶ, καὶ Πορφύριος ἐν τοῖς ζητήμασιν· ἀλλ' ἐπειδὴ Πλεισθένης νέος τελευτᾷ, μηδὲν καταλείψας μνήνης, πάνυ ἀνατρεφέντες νέοι οἱ αὐτοῦ παῖδες, ὑπὸ Ἀτρέως αὐτοῦ ἐκλήθησαν παῖδες. Διὰ ποῖαν αἰτίαν εἰπὼν - εἴ κ' ἔτι σ' ἀφραίνοντα κεχήσομαι ὡς νύ περ ὧδε - ἐπάγει - σκήπτρῳ δὲ μετάφρενον ἠ δὲ καὶ ὤμω - πλῆξε; Λέγομεν δὲ ἡμεῖς, ὅτι τοτηνικαῦτα εἶπεν ἀποδύειν καὶ οὕτω τύπτειν γυμνόν· νῦν δὲ ἁπλῶς ἔπληξεν.

V. 269. ἀχρεῖον ἰδών — ἀπρεπὲς καταστήσας τὸ πρόσωπον· ἢ ἀγενὲς καὶ ἄνανδρον, ἢ ἀειδὲς καὶ δύσμορφον· γίνεται δὲ ἐκ τοῦ χρῶ τὸ ἅπτομαι καὶ πλησιάζω, οὗ παράγωγον χραύω - χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον - ἀφ' οὗ τὸ ἔχραε τὸ βαρύνειν, καὶ μετὰ τοῦ στερητικοῦ α ἀχρὴς καὶ ἀχρεῖον τὸ ἀσθενὲς, καὶ βάρους μὴ μετέχον.

Ibid. ἀλγήσας δ' ἀχρεῖον ἰδὼν, ἀπεμόρξατο δάκρυ — ἐπὶ δὲ τῆς Πηνελόπης - ἀχρεῖον δ' ἐγέλασσεν - ἐπίπλαστον a) καὶ ὑποκεκρυμμένον· μέχρι τοῦ τὰ χείλη μόνον διανοίγειν· τοῦ δὲ ἀχρὴς κτητικῷ τρόπῳ ἀχρήϊον. Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων, ἀχρεῖον παρὰ μὲν τῷ ποιητῇ προπερισπᾶται, παρὰ δὲ τοῖς Ἀττικοῖς ἄχρειον ἰδὼν ὀργιζόμενος καὶ μὴ δυνάμενος ἀμύνασθαι τὸ βλέμμα, διαγράφει.

V. 270. οἱ δέ — καὶ αὐτοί· οἱ δὲ Ἕλληνες· στικτέον δὲ μετὰ τὸ ἀχνύμενοί περ· ἔπειτα ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωστέον· ἵν' ᾖ· οἱ δὲ Ἕλληνες καί τοι λυπούμενοι διὰ τὴν ἀναβολὴν τῆς ἐπὶ τὸν οἶκον ἀνακομιδῆς, ἡδέως ἐγέλασαν, ἐπὶ τῇ ὄψει τοῦ Θερσίτου.

a) Eust. p. 217. haec citat de Penelope iisdem verbis ἐπίπλ· καὶ ὑποκεκρυμένον - dein sequitur, φασὶν οἱ παλαιοὶ et regulam eamdem recitat.

Digitized by Google

V. 273. κορύσσων — καθοπλίζων, παρασκευάζων· Αἰολικὸν, ἀπὸ τοῦ κορύπτω· στασίδιον δὲ πλῆθος, πληγαῖς ἢ γέλωτι παύσεται· οἷς ἀμφοῖν ἐχρήσατο ὁ ποιητής·

V. 278. - 9. ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς — ἔστη - τὸ ἑξῆς· ἀνέστη δὲ ὁ τὰς πόλεις παρθῶν· ὁ πολεμικὸς Ὀδησσεύς· ἵν' ᾖ ὑπερβατὸς ὁ τρόπος· προκατεσκεύασε δὲ αὐτῷ ὁ ποιητὴς τῆς Ἰλίου πόρθησιν· ὡς ὀφέποτε τοῦ Ὀδυσσέως ἐπινοήσαντος τὴν τοῦ δουρείου ἵππου κατασκευὴν, οὗ εἰσαχθέντος ἐπορθήθη ἡ Ἴλιος, ὡς ἀλλαχόσε τῆς ποιήσεως φησί - σῇ δ' ἥλω βουλῇ πόλις Πριάμοιο ἄνακτος.

Τρία ἤδη ῥητορικῆς· συμβουλευτικὸν, ὅ ἐστιν ἐκ προτροπῆς καὶ ἀποτροπῆς, ὡς νῦν· δικανικὸν, ἐκ κατηγορίας καὶ ἀπολογίας, ὡς, δύω δ' ἄνδρ' ἐνείκεον· πανηγυρικὸν, ἐξ ἐγκωμίου καὶ ψόγου — ὦ μάκαρ Ἀτρείδη - οἰνοβαρὲς κυνὸς ὄμματ' ἔχων.

V. 290. οἶκον δὲ νέεσθαι — εἰς τὸν οἶκον πορεύεσθαι· οἱ μὲν γὰρ εὐθὺ πόρον τῆς ἀγορᾶς λαμβάνοντες ἵενται οἴκαδε αἱ δὲ τὸν οἶκον φυλάσσονται μὴ κεκτημέναι.

V. 291. ἦ μὴν καὶ πόνος ἐστίν — ἔστι μὲν οὖν καὶ πόνος· ἦ μὴν καὶ πόνος ἐστί· καί τοι λύπης γε οὔσης οὐ μικρᾶς, πονήσαντά τινα καὶ μοχθήσαντα ἐπὶ πράγματι ἐπανελθεῖν ἄπρακτον καὶ μὴ ἐκτελέσαντα.

V. 303. χθιζά τε καὶ πρωϊζά — χθὲς καὶ πρώην· κατεσμίκρυνε δὲ τὸν ἐνναετῆ χρόνον, ἵνα μὴ διὰ τῆς ἀναμνήσεως πλέον ποιήσῃ ἀγωνιάσαι τοὺς Ἕλληνας.

V. 307. πλατανίστῳ — ὑπὸ τῇ ἱερᾷ πλατάνῳ· τῇ μέν τοι τάσει ἀναγνωστέον ὡς κυπαρίσσῳ· δεῦδατίζεσθαι θέλει ἡ πλάτανος, καὶ ἔστιν ἐπιτηδὴς πρὸς γένεσιν στρουθιῶν.

V. 308. ἔνθ' ἐφάνη — ὅπου ἡμῖν ἐφάνη ὁ δράκων· οὗ τινος δράκοντος τὸ ὄνομα ὁ Πορφύριος ἐν τοῖς ζητήμασιν

Digitized by Google

ἔρη, λέγων αὐτὸν Σθένελον· οὕτω γὰρ ἐξορεῖται Διομήδους ἐν τῇ ε' τῶν ἀπάντων.

V. 311. στρουθῷ — οἱ στροθοὶ Ἀφροδίτης χρόνον τε θηλοῦσιν ἐπὶ πτισὶ ὁ χρόνος· ὁ δὲ λίθος, ἐπεὶ οὐκέτι μήνιεν ἔλαβεν ὁ πόλεμος· ἅτε μὲν ἐφ' ὕψους κατεῖσθαι τὴν νεοττίαν, τὴν ἡμεμόεσσαν Ἴλιον· οἱ δὲ ὑποπτεύουσι νεοσσοὶ τὸ ὀλιγοχρόνιον τῶν Τρώων· παραπλησίως γὰρ ὅσον οὐδέπω τῶν φύλλων ἀποπεσοῦνται ἢ δὲ ἐννάτη μήτηρ, τῆς ἐνιαυτηρίδος τοῦ πολέμου τὸ ἐνεργάσιμον ἐσήμαινεν· ἡ δὲ διὰ τῶν ὕδατος περιὰ τοῦ δράκοντος, τὴν δ' ὕδατος ἄρξιν τῶν Ἑλλήνων· τὸ δὲ περιλειφθῆναι τὴν νεοσσίαν, τὸ μὴ παντελῶς ἠφανίσθαι τὸν τόπον· οἰκεῖται γὰρ μέχρι τῆς νῦν· ἡ δὲ ἀπολίθωσις, ἢ τὸ ἀσυδιεξόδευτον τῶν νόσων, ἢ ὅτι εἰς λίθους περιγήρασε τὸ τέλος τοῦ πολέμου· ἔστι δὲ σημεῖον τὸ παρὰ τόπον γενόμενον, ὡς μέλισσαι, ἢ πτηνοὶ μύρμηκες ἐν ὄγκῳ· τέρας δὲ τὸ παρὰ φύσιν· τοῦτο οὖν εἶχεν ἄμφω, τὸ σημεῖον μὲν τὸ ἐπ' ἄκρῳ τῷ φυτῷ εἶναι τὴν νεοσσίαν· τέρας δὲ τὸ ὑπτιῶ τετανύσθαι. ἔπτακε γὰρ τίπτει, ὃν τὸ ἂν ῥύρων ἰᾷ.

V. 316. πτερύγος — παροξυντόνως· καὶ ὁ μὲν κανὼν θέλει προπαροξυτόνως, ὡς ὄρτυγος· ἀλλ' ἐπειδὴ οὕτω δοκεῖ τονίζειν τῷ Ἀριστάρχῳ, πειθόμεθα αὐτῷ ὡς πάνυ ἀρίστῳ γραμματικῷ.

V. 323. ἄσπω — ἐνεοί, ἄφωνοι κατὰ στέρησιν τῆς ἰωῆς, ὅ ἐστι τῆς φωνῆς· ὧδε μετὰ τοῦ ι οἱ ἀνεφ· ἐπὶ δὲ τῆ· ἡ δ' ὄπωπα ὧδε ἔχα τοῦ ι.

V. 325. ὅ οὐ κλέος οὐ ποτ' ὀλεῖται — τὰ ἄρθρα διαιρεῖται· αἱ γὰρ ἀντωνυμίαι πλεονάζουσι τὸ οὐ.

V. 328. πολεμίξομεν — πολεμήσομεν· ἐξαμένω τῷ δεκάτου, ἐπόρθησαν - τοσαῦτ' ἔτεα - ἢ ὅτι τέλειος χρόνος ὁ ἐνιαυτός· ἢ ὅτι τρεῖς εἰσὶ χρόνοι δι' ὧν ὁ πᾶς αἰὼν ἀριθ-

Digitized by Google

μεῖται· ἡμέραι, μὴν, ἐνιαυτός· εἰ μὲν ἦσαν ἐν τῷ στελέχει, ἡμέρας εἶπεν· εἰ δὲ ἐν μέσῳ, μῆνας· ἐπεὶ δὲ πρὸς τῷ τέλει, ἐνιαυτούς.

V. 330. τὰ δὲ νῦν — ταῦτα ἐπὶ τοῦ παρόντος· τὸ νῦν πρὸς τὸ χθέζά τε φησί· καὶ τὸ τελεῖται, ἀντὶ τοῦ τελεσθήσεται.

V. 336. γερήνιος ἱππότα Νέστωρ — ἱππικὸς, νῦν δὲ φυγάς· ὁ γὰρ ποιητὴς τῷ ἱππότης νῦν ἀντὶ τοῦ φυγάδος κέχρηται. Ἡρακλῆς γὰρ ἐπιστρατεύσας τῇ Πύλῳ, διὰ τὸ μὴ καθαρθῆναι αὐτὸν ὑπὸ Νηλέως τὸν Ἰφίτου φόνον, καὶ διὰ τὴν τῶν Νηλιδῶν ἀφροσύνην, πολὺς ἦν προθῶν τὴν πόλιν· καὶ ἐφ' ὅσον μὲν περικλήμενος ὁ Νηλέως ἔζη, δυσάλωτος ἦν ἡ πόλις· ἀμφίβιος γὰρ ἐκεῖνος ἐγένετο· καὶ δὴ γενόμενον αὐτὸν μέλισσαν, καὶ στάντα ἐπὶ τοῦ Ἡρακλέους ἅρματος, Ἀθηνὰ εἰκάσασα Ἡρακλεῖ, ἐποίησεν ἀνακρεθῆναι· τότε Νέστωρ ἐν Γερήνῃ φερόμενος, ἔφυγε γὰρ ἵππου ἐπιβὰς εἰς Γερηνοὺς, πορθηθείσης δὲ τῆς Πύλου, καὶ τῶν ἕνδεκα ἀδελφῶν αὐτοῦ ἀνατρεθέντων, μόνος περιελείφθη· διὸ καὶ Γερήνιος ὠνομάσθη· ἱστορεῖ Ἡσίοδος ἐν καταλόγοις.

V. 347. ἄνυσις δ' οὐκ ἔσσεται αὐτοῖς — ἐντελὴς δὲ πρᾶξις οὐ γενήσεται αὐτῶν· ὥστε πρὸ τοῦ δέοντος χρόνου πορευθῆναι ἡμᾶς εἰς τὴν Πελοπόνησον πρὶν γνῶμεν τὴν τοῦ Διὸς γνώμην. Τὸ α πρὸ τοῦ ν ψιλοῦται, πλὴν τοῦ ἀνδάνω· φησὶ γοῦν· οὐδὲν ἀνύσουσι πρὸς τὸν ἀπόπλουν ἄχρις ὅτου πέρας λάβῃ ἡ τοῦ Διὸς ὑπόσχεσις· ἀμφίβολος ὁ λόγος· ἢ διαστελλόντων ἡμῶν ἐπὶ τῶν αὐτῶν, ἢ σηναπτόντων ἐπὶ τὸ ἰέναι· ἤτοι, οὐ γάρ ἐστιν οὐδὲν ὃ ἐπινοήσουσιν ὥστε ὑποστρέψαι ἡμᾶς πρότερον, πρὶν τὸ τέλος ποιήσασθαι τοῦ πολέμου· ἢ, ἀνύσουσιν οὐδὲν πρὶν ὑποστρέψαι ἡμᾶς, καὶ πρὶν τέλος εὑρέσθαι τοῦ πολέμου.

V. 349. ψεῦδος ὑπόσχεσις — εἰ ψευδὴς ἡ ὑπόσχεσις

ταῦτα περὶ τοῖς Τρωϊκοῖς λεκτὰ καλοῦνται πρὸς τὴν σημασίαν ἀναφερόμενα ψεῦδος τὸ ἐπάγγελμα.

V. 350. Κρονιώνα — Κρόνου παῖδας· εἰσὶ γὰρ καὶ ἕτεροι, ἄρρενες μὲν, Ζεὺς, Ποσειδῶν, Ἅιδης· θήλειαι δὲ, Ἑστία, Δημήτηρ, Ἥρα.

V. 356. τίσασθαι — τιμωρήσασθαι, τιμωρῆσαι δὲ καὶ βοηθῆσαι τῇ Ἑλένῃ, καὶ ἀμύνασθαι ὑπὲρ αὐτῆς ἀνθ' ὧν ὑπέμεινε φροντίδων καὶ στενεγμῶν ἁρπαγεῖσα· κατὰ γὰρ τὸν πολιτὴν ἐνταῦθα ἄκουσα ἠρπάγη· ἢ καὶ τοὺς ἐν ἡμῖν γενομένους στεναγμοὺς καὶ τὰ ὁρμήματα ὑπὲρ τῆς Ἑλένης ἀντιμωρήσασθαι τοὺς Τρῶας.

V. 359. πότμον — μόρον· ὃ ἐστιν ἵν' αὐτὸς πρὸ πάντων ἐκεῖνος ἐπὶ θάνατον ἔλθῃ καὶ ἀναπληρώσῃ τὴν εἱμαρμένην.

V. 360. ἀλλ' ἄνα — ἀλλ' ὦ βασιλεῦ· ἀποστρέφει δὲ τὸν λόγον ἀπὸ τῶν Ἑλλήνων πρὸς τὸν Ἀγαμέμνονα, καὶ καλεῖται τὸ σχῆμα ἀποστροφή.

V. 362. κατὰ φρήτρας — κατὰ φρατρίας, ὅ ἐστι συγγενείας· φρήτρας τὰς τριττῦς, ὅ ἐστιν τρεῖς φυλάς· τοῦτο δὲ ἵνα μή τε περιορῶσι τοὺς οἰκείους, καὶ εὐδοξεῖν σπουδάζοιεν ἐλεγχόμενοι.

V. 367. γνώσεαι εἰ καὶ θεσπεσίη πόλιν οὐκ ἀλαπάξεις — καὶ τὰ ἑξῆς· ἐπιγνώσῃ πότερον θεία γνώμη ἐστὶν ἢ ἐναντιουμένη σοι πρὸς τὸ ἑλεῖν τὴν Ἴλιον, ἢ ἡ τῶν ἀνδρῶν δειλία καὶ ἀπόνοια τῶν πολεμικῶν ἔργων.

V. 368. ἀφραδίη — ἀπειρία· Ἐζήτησα δὲ διατί ταύτην τὴν τάξιν πρὸ πολλοῦ μὴ ὑπέθετο ὁ Νέστωρ· ὅτι πάλαι μὲν ὁ Ἀχιλεὺς φίλος ὢν τῶν Ἑλλήνων, ἤρκει πρὸς τὸ συνέχειν τοὺς βαρβάρους, καὶ καλῶς ἐκείνῳ θαρρῶν, οὐκ ἐποίει τοῦτο· νῦν δὲ αὐτοῦ μηνίοντος εἰκότως ἀσφαλεστέραν διάταξιν εἰσάγει.

Digitized by Google

V. 370. νικᾷς — ὑπερβάλλεις· Εὐριπίδης a) - σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας - νικᾷ· σὺν ὄχλῳ ἀμαθία πλεῖστον κακὸν νικᾷ.

V. 371. αἲ γὰρ Ζεῦ τε πάτερ — αἴθε γάρ ἐστιν ἐπίρρημα εὐκτικόν· ἐντεῦθεν δέ τινες νομίζουσιν Ἀθηναῖον γεγονέναι τὸν ποιητήν· τὸ γὰρ Ἀθηναίη Ἀττικόν, καὶ ἴδιον εἶναι τὸν ὅρκον Ἀθηναίοις.

V. 374. περθομένη τε — πορθηθεῖσα. Ἐζήτηται δὲ καὶ τοῦτο· διατί Ὀδυσσέως κατασχόντος διὰ λόγων τοὺς ὄχλους, καὶ τοιοῦτο πρᾶγμα συνετὸν καὶ σπουδαῖον ποιήσαντος, ὁ βασιλεὺς νῦν δύναμεν ἐν τῷ λέγειν τῷ Νέστορι προσμαρτυρεῖ; ἤτοι ὡς δυναμικωτέρῳ· προκατειλημμένων τῶν ἐπιχειρημάτων Ἀθηνᾷ τε καὶ Ὀδυσσεῖ ὅμως εὐπορῆσαι λόγων· ἢ ὅτι ὁ μὲν, μόνον ὠνείδισε· Νέστωρ δὲ σὺν τῇ διατάξει καὶ συμβουλίᾳ, καὶ τὰς ἀστρατὰς εἶπε νίκης φῶς βεβαιότερον.

V. 376. ἀπρήκτους — πρὸς ἀπράκτους, πρὸς ἃς οὐδέν ἐστι πρᾶξαι φιλονεικίας· εὐεπίφοροι κατὰ θεὸν οἱ ἀτυχεῖς.

V. 381. δεῖπνον — τὸ παρ' ἡμῖν ἄριστον λεγόμενον· τὸ πρωϊνὸν ἔμβρωμα· δόρπος δὲ, τὸ ἐν τῇ ἑσπέρᾳ, ὃ ἡμεῖς δεῖπνον λέγομεν· δεῖπνον b) τὸ ἐωθινὸν ἄριστον· ὃ διὰ τὴν ἀνάγκην πρὸ τοῦ δέοντος ποιοῦνται, μεθ' ὃ δεῖ πονεῖν, ὅ ἐστιν ἐργάζεσθαι· δόρπος δὲ, ἡ ἑσπερινὴ τροφὴ, παρὰ τὸ οἱονεὶ παύεσθαι τὸ τηνικαῦτα λοιπὸν τοὺς πολεμοῦντας τοῦ

a) Extant in Antiop. fragmentis v. 77., heic tamen redundat secundum νικᾷ, et inest varia lectio non omnino aspernenda.
b) Eust. p. 242. Ἔστι δὲ δεῖπνον τὸ ἐωθινὸν ἄριστον, ὥς φασιν οἱ παλαιοὶ, ὃ κατ' ἀνάγκην πρὸ τοῦ δέοντος ποιοῦνται καιροῦ, ὡς ἂν ἐν τῷ πονεῖν στηρίζοιντο τῇ τροφῇ· ὅθεν καὶ δεῖπνον τὸ τοιοῦτον πρωϊνὸν ἔμβρωμα λέγεται. . . . Τὸ δὲ παρ' Αἰσχύλῳ ἄριστα δεῖπνα δόρπα θ' αἱρεῖσθαι τρία, ἢ μάλιστα τρίτα κατὰ τοὺς παλαιοὺς, κακῶς ῥηθῆναι κρίνουσιν οἱ παλαιοί· οὐδὲ μνηστῆρες γάρ φασιν, οὐ δὲ Κύκλωψ τρισὶ τροφαῖς ἐχρῶντο.

Digitized by Google

δόρατος, ὅ ἐστι τοῦ πολέμου καὶ ἡσυχάζειν· τὸ δὲ δεῖπνον, ἔσθ' ὅτε πᾶσαν τροφήν· Αἰσχύλος δὲ κακῶς, ἄριστα δεῖπνα δόρπα θ' αἱρεῖσθαι τρίτα· οὐδὲ μνηστῆρες γὰρ, οὐδὲ Κύκλωψ τρίτῃ τροφῇ ἐχρῶντο.

Ἄρηα — νῦν τὸν πόλεμον· τετραχῶς γὰρ τούτῳ τῷ ὀνόματι κέχρηται ὁ ποιητής· ἐπὶ μὲν τοῦ πολέμου, ὡς ἐνταῦθα· - νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον ἵνα ξυνάγωμεν Ἄρηα· - ἐπὶ δὲ τοῦ σιδήρου ὡς ἐκεῖ - αἵματος ἄσαι Ἄρηα ταλαύρινον πολεμιστήν· - καὶ - ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄμβριμος Ἄρης· - ἐπὶ δὲ αὐτοῦ τοῦ θεοῦ οὕτως· - καὶ δ' αὐτὴ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα· - καὶ πάλιν ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος· — ἐπὶ δὲ ταῖς πληγαῖς· — ἔνθα μάλιστα - γέγνετ' Ἄρης ἀλεγηνὸς ὀϊζυροῖσι βροτοῖσι.

V. 388. τελαμών — ὁ ἀναφορεὺς τῆς ἀσπίδος· ὅ ἐστι πλατὺς ἱμὰς, ἀφ' οὗ ἡ ἀσπὶς ἤρτηται· ἔστι δὲ καὶ ἕτερος τελαμὼν τοῦ ξίφους.

V. 389. ἀμφιβρότης — τῆς πανταχόθεν τὸν βροτὸν καὶ τὸν ἄνθρωπον περισκεπούσης καὶ περιεχούσης· ἀνδρομήκεσι γὰρ ἐχρῶντο ταῖς ἀσπίσιν οἱ παλαιοί· ἐν τῇ συνθέσει προσλαμβάνει τὸ μ τὸ βροτὸς, ὡς κεχρεωστημένον· τοῦτο δὲ οὐ δέχεται· ἴσος δὲ διὰ τὸ προϊέναι.

V. 395. ἀκτή — ὁ παραθαλάσσιος καὶ πετρώδης τόπος, ἀπὸ τοῦ περὶ αὐτὸν ἀΐσσεσθαι ὅ ἐστι ῥήσσεσθαι καὶ περικλᾶσθαι τὰ κύματα.

V. 396. σκοπέλῳ — ὑψιλῷ τόπῳ, ἀφ' οὗ περισκοπῆσαι καὶ ἐπιδεῖν πάντα δύναται.

V. 400. αἰειγενετάων — διαπαντὸς ὄντων, ἀθανάτων. καὶ οἱ Ἴωνες τὸ εἶναι γενέσθαι φασί· καὶ Πίνδαρος a) - ἄλλοι δ' ἄλλοισι νόμιμα· σφετέραν δ' αἰνεῖ δίκαν ἕκαστος· - τὸ

a) De hoc Pindari incerto fragmento cf. praefationem.

Digitized by Google

δὲ θεῖον φύσει μὲν ἕν· θέσει δὲ πολύ. Ἑλληνικὸν δὲ τὸ εἰς θεοὺς ἔχειν τὴν ἐλπίδα, ὃ οὐ ποιοῦσι Τρῶες.

V. 401. μῶλον — μολυσμὸν τὸν ἐν τῷ πολέμῳ καὶ πόνον· ἤρκει γὰρ αὐτοῖς, τῷ δὲ βασιλεῖ, τὸ εὐκλεῶς ζῆν· Ἰσοκράτης a), ταῖς μὲν ταπειναῖς τῶν πόλεων προσήκειν ἐξ ἅπαντος τρόπου ζητεῖν σωτηρίαν, ταῖς δὲ προϊστάναι τῆς Ἑλλάδος ἐξουσίαις, ὡς τοῖς καλοῖς τε καὶ ἀγαθοῖς τῶν ἀνδρῶν, αἱρετώτερόν ἐστι καλῶς ἀποθανεῖν, ἢ ζῆν.

V. 408. βοὴν ἀγαθός — ὁ ἐν τῷ πολέμῳ γενναῖος· ἡ μὲν γὰρ δειλία, θραύουσα τὸ πνεῦμα, βραχίστην ἀπεργάζεται τὴν φωνήν.

V. 414. μέλαθρον — οἶκον, ἀπὸ τοῦ ὑπὸ καπνοῦ μελαίνεσθαι· ἀπὸ δὲ τούτου φησὶ τὸ βασίλειον.

V. 435. μηκέτι νῦν δηδ' — στρατηγικὴ διδασκαλία χρόνου μὴ φείδεσθαι· οὔτε γὰρ παρελθόντα ἀνακαλέσασθαι, οὔτε αἰτήσαντα λαβεῖν αὐτὸν δυνάμεθα· ἐρωτηθεὶς οὖν Ἀλέξανδρος πῶς τῆς Ἑλλάδος περιεγένετο, μηδὲν ἀναβαλλόμενος, εἶπεν.

V. 449. ἑκατόμβοιος — ἑκατῶν βοῶν τιμῆς ἄξιος· ἢ ἑκατὸν χρυσοῦ νομισμάτων· οἱ γὰρ ἀρχαῖοι ὑπερετίμων τῶν ζώων τὸν βοῦν· διὰ πολλὰ μὲν, καὶ ὅτι ἱερόν ἐστιν ἐνεχάραττον τῷ μὲν ἑνὶ μέρει τοῦ νομίσματος βοῦν, τῷ δὲ ἑτέρῳ τὸ τοῦ βασιλέως πρόσωπον.

V. 461. ἀσίῳ ἐν λειμῶνι — ἐν τῷ τῆς Ἀσίας συμφύτῳ τόπῳ, ἢ ἐν τῷ ἰλυώδει τόπῳ· ἄσις γὰρ κατὰ διάλεκτον ἐστὶν ἡ ἰλύς· ἄλλοι δὲ Ἀσίου ὀνομαστικῶς, ἀπὸ Ἀσίου τοῦ Λυδοῦ· οἱ μὲν Ἄσιν ἔχοντι, ἀλλὰ πιστότερον τὸ κύριον αὐτῷ περιτιθέναι· ὡς τῷ ποταμῷ ἐστιν οὖν ἀπ' Ἀσίου, ὃς ἦρξε Λυδίας, καὶ ὁμοίως τῷ εὐμμέλιω ὡς

a) Sic omnino in codice haec Isocratis in Paneg.

Digitized by Google

Ἡρωδιανὸς ἐν τῇ καθολικῇ καὶ Πτολεμαῖος ἐν τῷ περὶ συναλοιφῆς· κατὰ δὲ τὰς προχοὰς πηλώδη τὸν τόπον ὁ Κάϋστρος ἐργάζεται· οὗ δὲ ὕδωρ καὶ βοτάνη, ἀφθονία ὀρνέων.

Ἀσίω ἐν λειμῶνι — γενικῆς πτώσεως· ὅθεν οὐκ ἔχει τὸ ι· ἦν γὰρ τίς Ἀσίας ἥρως, οὗ ὁμώνυμος λειμών· εἶτα Ἀσίεα ὡς Ἀτρείδεα, καὶ Ἀσίω κατὰ συγκοπήν· ὡς ἐϋμμελίας, ἐϋμμελίω Πριάμοιο, καὶ Αἰνείω ἕταρον· καὶ βορέω ὑπ' ἰωῇ· οὕτως Ὧρος ἐν τῇ ὀρθογραφίᾳ.

V. 465. Σκάμανδριον — τὸ τῷ Σκαμάνδρῳ ποταμῷ παρακείμενον πεδίον· ὁ δὲ Σκάμανδρος καταφερόμενος ἀπὸ τῆς Ἴδης, καὶ μέσον τέμνων τὸ ὑποκείμενον τῇ Ἰλίῳ πεδίον, καὶ ἐπὶ τὰ ἀριστερὰ ἐκδιδοὺς εἰς θάλασσαν· καλεῖται δὲ οὗτος καὶ Ξάνθος.

V. 467. ἀνθεμόεντι — ἄνθη φέροντι· τῷ πρώην ἄνθη ἔχοντι· ὡς ἐϋμμέλιω a) Πριάμοιο ἥρως Αἰγύπτιος κῦμα πορφύρεον· ἐπεὶ πῶς ἠχεῖ ἢ πῶς ἀνθεῖ πατούμενος;

V. 469. μυιάων — μυιῶν· ἡ διάλεκτος Βοιωτῶν.

Ἐπὶ τὸ δεύει ὑποστίζομεν· τῆς ἀντιποδιδομένης ἠΰτε λέξεως ἀνακολούθως ἐχούσης· ὡς ἐν τῇ θ' τῆς Ἰλιάδος — ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην — εἶτα ἐπιφέρει — τόσσα μεσσηγὺ νεῶν.

V. 474. πλατέα — μεγάλα, ἢ ὅτι ἐν διαστήματι καὶ πλάτει πλείονι νέμονται αἱ αἶγες.

V. 478. ἴκελος — ὁ ὅμοιος καὶ ἴσος, δοτικῇ συντάττεται μόνα τῶν πρός τι. Γραφεῖς μὲν τὸ ἀληθὲς μεταδιώκουσι, ῥήτορες δὲ τὸ δεινόν· τραγικοὶ δὲ τὸ σεμνὸν, κωμικοὶ δὲ, τὸ ἔλασσον· ἅπερ ἅπαντα παρὰ τῷ ποιητῇ ἐ-

a) Ita codex extra locum haec habet, quorum aliqua paullo ante recitantur.

ϛίν· ὡς ἐπὶ Θερσίτου· καὶ τῷ δ' ἔχεν Αὐτομέδων, καὶ ἐπ' Ἀγαμεμνονος νῦν· καὶ ἱκανὸν ἑνὶ θεῷ εἰκάζειν αὐτόν· ὁ δὲ γὰρ εἴκασεν ἑκάϛου τὸ διαπρεπὲς ἐκλεξάμενος· τοῦ βασιλέως μὲν τὸ ἡγεμονικὸν καὶ ἐποπτικόν· Ἐνοσιγαίου δὲ τὸ ἰσχυρόν· οἷς τὰ κάρη κατέχομεν· Ἄρεως δὲ ταμάλιστα ἐν πολέμῳ φανόμενα· οἱ δὲ τὸ ἀξιοματικὸν, τὸ γεραρὸν, τὸ πολεμικόν.

V. 484. ἔσπετε νῦν μοι μοῦσαι — Ζητοῦσι δέ τινες διὰ ποίαν ἀιτίαν τῆς μὲν ὅλης πραγματίας ἀρχόμενος ὁ ποιητὴς, μίαν ἐπικαλέσατο τῶν μουσῶν· ἐπὶ δὲ τοῦ καταλόγου τὰς πάσας; λέγουσιν οὖν τινὲς τῶν γραμματικῶν· ἐπὶ τοῦ μῆνιν ἄειδε τὸν τρόπον εἶναι συνεκδοχήν· ὡς ἀπὸ μιᾶς τῆς κυριωτέρας τῶν μουσῶν νοεῖσθαι τὰς πάσας· ἄλλοι δὲ λέγουσιν, ὅτι περὶ μὲν ἑνὸς προσώπου τοῦ Ἀχιλέως καὶ τῆς ὀργῆς τούτου τὸν λόγον ποιούμενος, δεόντως πρὸς μίαν τῶν μουσῶν ἐποιήσατο τὸν λόγον· καὶ γὰρ Ἡσίοδος τὴν Καλλιόπην κυριωτέραν φησὶν λέγων οὕτως — Καλλιόπη δὲ προφερεϛάτη ἐϛὶν ἁπασῶν — μέλλων δὲ νεῶν κατάλογον ἐρεῖν καὶ βασιλέων ἐθνῶν τε καὶ τόπων, πλήθους τε πραγμάτων, εὐλόγως πρὸς ἁπάσας τὰς μούσας τὸν λόγον ἀπερείδεται.

ἔσπετε — ψιλωτέον· ἀπὸ γὰρ τοῦ ἔπω κατὰ πλεονασμόν· ὡς ἐπὶ ἐργώδη δὲ καὶ θαυμασίαν περιπέτειαν τὰς μούσας ἐπικαλεῖ· ὡς τὸν ἀφροατὴν διὰ τὸ μέγεθος ὄρεξιν ἔχειν καὶ συγγινώσκειν τοῖς ἐκδεέϛερον λεγομένοις· εὐτελίζων δὲ τὴν ἰδίαν φύσιν τὴν ἀπὸ τῶν ἀκουόντων ἐπεσπάσατο εὔνοιαν· ὁ δὲ λόγος ἔχει οὕτως — ἔσπετε νῦν μοι μοῦσαι, οἵ τινες ἡγεμόνες· ἀρχοὺς γὰρ νηῶν ἐρέω· πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσοιμι, οὐδ' εἰ δεκαπλασίων ἐμαυτοῦ γένομαι· ὑμῶν γάρ ἐϛι τὸ ἔργον, φωνὴ δ' ἄῤῥηκτος· καὶ διὰ τοῦτο δηλοῖ ὅτι σῶμα ἡ φωνή.

Digitized by Google

V. 486. κλέος οἶον — ἤτοι μόνην τὴν δόξαν τῶν ἀνδρῶν, ἢ μόνον φήμην τινὰ ἀκούομεν· παρὰ τὸ κλύειν ῥῆμα, ὅ ἐστιν ἀκέειν.

Τέλος τῆς β'. Ὁμήρου ῥαψῳδίας.

---

## ΖΗΤΗΜΑΤΑ ΚΑΙ ΑΥΣΕΙΣ

### ΕΚ ΤΩΝ ΟΜΗΡΙΚΩΝ ΕΠΩΝ ΕΙΛΗΜΜΕΝΑ,

## ΠΟΝΗΘΕΝΤΑ ΧΡΙΣΤΟΦΟΡΩ ΤΩ ΚΟΝΤΟΛΕΟΝΤΙ

---

Τίνος ἕνεκα ἀπὸ τοῦ μῆνιν ἄειδε θεὰ, ὁ ποιητὴς ἤρξατο.

Τῶν πρὸ τοῦ Πλάτωνος φιλοσοφησάντων καὶ ξυντεταχότων, ἐμμέτρως οἱ πλείους τὰ αὐτῶν ἐκδεδόκασι συγγράμματα, τεχνηέντως ὡς οἶμαι πάνυ τοῦτο ποιήσαντες· ἐφ' ἃ γὰρ ἡδέως ἡ αἴσθησις ἐνεργεῖ, ταῦτα μάλιστα καὶ τῇ φαντασίᾳ εὐτύπωτα, καὶ τῇ μνήμῃ πρόχειρα διά τε τὸ τερπνὸν τοῦ λόγου καὶ θελκτικὸν γίνεται· τὸ γὰρ σεμνὸν αὐτοῦ καὶ σπουδαῖον ὡς αὐτόθεν δυσχερὲς δοκοῦν, καὶ πολύπονον, εἰς τοὺς περὶ τῆς τῶν ὄντων θεωρίας λόγους δειμαίνων ὁ εἰσαγόμενος, ὀκνηρότερος διατίθεται· διὰ τὸ πεπλασμένου τε καὶ μυθῶδες ὡς ἡδύ τε τοῖς τῆς φιλοσοφίας ἀμνήτοις τῷ δοκοῦντι πικρῷ ξυνεκέρασαν· ἵνα τρὸς τὴν τῶν λόγων ἀνάγνωσιν αὐτοὺς ἐφελκύσαντες, ἀπορεῖν κατ' ὀλίγον περὶ τῆς ἐν αὐτοῖς κεκρυμμένης ἀληθείας παρασκευάσωσιν.

Digitized by Google

Ἐκ γὰρ τοῦ μαθεῖν ἡμῖν ἔφεσις ἐπιγίγνεται· ἔκ τε τῆς ἐφέσεως ζήτησις· καὶ ζητοῦντες παρὰ τῶν εἰδότων μανθάνομεν· διὸ Παρμενίδης καί τινες τῶν Πυθαγορείων, ὅ τ' Ἐμπεδοκλῆς καὶ Δημόκριτος, καὶ πρὸ τούτων Ζωρόαστρος καὶ Ὀρφεὺς, Ἡσίοδος, Θεόγνις καὶ Φοκυλίδης τῷ ἐμμέτρῳ λόγῳ ἐχρήσαντο· ὧν οἱ μὲν, περὶ φύσεως καὶ θεολογίας· οἱ δὲ, περὶ ἠθῶν τε καὶ πράξεων καὶ καιρῶν συνέγραψαν, δῆθεν τῷ τοῦ λόγου γλυκεῖ, τοὺς πρὸς τοὺς λόγους νηπιάζοντας προσκαλούμενοι· ὧν καὶ Ὅμηρος τὸν ἐν ἀνθρώποις ἄριστον βίον διδάξαι προείλωσεν· οὐ τὴν ἀρετὴν ἐν τοῖς ἀνθρωπίναις πράξεσι· τοὺς γὰρ λόγους, οὐχ ἧττον τῶν ἀνδρῶν καὶ σπουδαίων αἱ γυναῖκες καὶ οἱ νέοι, οἵ τε φαῦλοι οἷοί τε μαθεῖν καὶ εἰπεῖν πεφύκασι· διὸ τὴν πρὸς τὰς πράξεις ἱκανὴν ἡλικίαν τοῦ Ἀχιλέως αὐτῷ πρότερον προτίθεται· μεθ' ἣν τὴν τοῦ Ὀδυσσέως ἤδη παρακμάζουσαν· ὧν ἡ μὲν διὰ τοῦ σώματος ἀνδραγαθήματα, ἡ δὲ τὰ τῆς ψυχῆς κατορθώματα φέρεται, καὶ τῆς μὲν, ἡ πρὸς τοὺς πολεμίους νίκη, τῆς δὲ, ἡ φρόνησις καὶ μᾶλλον ὁ θεωρητικὸς βίος σκοπὸς αὐτῷ πρόκειται· Ὁ γὰρ ἄνθρωπος ἐκ σώματος θνητοῦ καὶ ψυχῆς ἀθανάτου συνίσταται· ὧν ἑκατέρων οἰκεῖον ἀπαιτεῖ τὸν καιρὸν πρὸς τὸ ἐνεργῆσαι τὰ κατ' αὐτὸ ἄριστα· οὐ γὰρ τὰς τῆς ψυχῆς ἀρετὰς τελέσαι δυνάμεθα, μὴ πρότερον τὰς σωματικὰς ἐνεργήσαντες ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον ἀφικούμενοι· πᾶσι γὰρ τοῖς ἐν γενέσει καὶ φθορᾷ τοῦτο πέφυκε· διὸ καλῶς φησιν Ἀριστοτέλης, ὡς τοὺς νέους ἐνδέχεται μὲν εἶναι σοφοὺς, τουτέστιν ἐπιστήμονας, φρονίμους δ' οὔ· ὡς διὰ τῆς τῶν πράξεων πείρας τῆς φρονήσεως ἡμῖν ἐπιγιγνομένης. Ἐπεὶ οὖν τὸν ἄριστον τῶν ἀνθρώπων βίον διδάξαι προεχειρίσατο· τὸ δ' ἄριστον ἑκάστου γένους, ἐν τοῖς ἐν αὐτῷ κρείττοσι καὶ τελειοτέροις ἐγγίνεται, κρεῖσσον δὲ τὸ ἄρρεν θήλεος, καὶ ὁ ἀνὴρ τοῦ παιδὸς τελμότερος, ἐν τῷ ἀνδρὶ

Digitized by Google

τὰς τοῦ καθόλου ἀνθρώπου σωματικὰς καὶ ἀρίστας πράξεις μᾶλλον ἐνδείκνυσιν· ἅτε τῶ σώματος ἀκμάζοντος, καὶ τὰς αὐτῶ δυνάμεις ἀκεραίους φέροντος· λαμβάνει δὴ τὸν Ἀχιλλέα τὴν τοῦ ἀνδρὸς ἡλικίαν ἔχοντα ὃν φασι τοὺς φυσικοὺς καὶ ἰατρικοὺς καὶ τοὺς τῆς ἱππασίας λόγους παρὰ Χείρωνος παιδευθέντα, οἱ τῇ ψυχῇ καὶ τῷ σώματι χρησιμώτατοι πρὸς σύνεσιν καὶ ὑγείαν ὑπάρχουσι· πολλάκις γὰρ ἔκ τε βρωμάτων καὶ ποτῶν καὶ ἀέρος μᾶλλον, ἢ ἐκ τῶν πολέμων τὰ στρατεύματα διεφθάρησαν· καὶ ὁ τοὺς καιροὺς τοῦ τοῖς πολεμίοις ἐπιθέσθαι μὴ προμαθὼν, τυχὸν ἀπαράσκευος εἴληπται· ὅ, τε τὰ καθόλου καὶ καθέκαστα τῶν πραγμάτων μὴ προγνοὺς ὡς τὰ πολλὰ πλημμελεῖ, μή τε ὅσια δρῶν, μή τε εὔλογα· διὸ καὶ πρῶτος τὸν τοῦ στρατοῦ λοιμὸν νοήσας ὁ Ἀχιλλεὺς παρὰ φύσιν ὄντα, τὴν αἰτίαν τῆς νόσου μαθεῖν ἐζήτησε· καὶ ζητήσας εὗρε, καὶ εὑρὼν, τὸν στρατὸν τῆς νόσου ἀπήλλαξε. Σοφώτατον τοίνυν τῆς αὐτοῦ ὑποθέσεως ὑποκείμενον ὁ ποιητὴς καὶ φιλόσοφος τὸν Ἀχιλλέα προτίθεται· ἐν οὐ μόνον τῆς χέρσου, ἀλλὰ καὶ τῆς θαλάττης ἔκπειρον ἡγήσατο, διὰ τὸ τὴν Σκῦρον οἰκῆσαι, καὶ τῆς Θέτιδος υἱὸν ἐπιφημισθῆναι· ἵνα καὶ ἐν γῇ καὶ θαλάττῃ τὰς σωματικοὺς πόνους ἀνδρείως φέρηται. Ὁ γοῦν τὰς τοῦ σώματος ἀρετὰς ἐκ τῶν ἔργων ἐνδεῖξαι βουλόμενος, οὐ γεωργίας, οὐδὲ ναυτιλίας, ἢ βάναυσόν τινα πρᾶξιν λαμβάνει τὴν τούτων ἀπόδειξιν· ποῖα γὰρ τῷ γεωργοῦντι ἀνδρὸς ἀρετὴ, οὗ τῶν βοσκημάτων ὁ πόνος οὐδὲν διενήνοχεν; ἢ τίς ἀνδρεία τῷ τὰς χειμόνας τῆς θαλάττης μὴ δειμαίνοντι, οὗ τῶν παίδων ὁ θάνατος καθ' οὐδὲν τιμιώτερος; θρασὺν γὰρ μᾶλλον τὸν τοιοῦτον ἄν τις καὶ ῥιψοκίνδυνον ἢ ἀνδρεῖον καλέσειεν· πρὸς γὰρ τὸ ὁμογενὲς τὸ ἀνδρεῖον ὁρίζεται· διὰ τὸ πολεμικὰ ὡς τῇ ἀοίκῳ πράξει μᾶλλον οἰκειότερα, ἐν οἷς καὶ τὸ θαρραλέον, καὶ ἀν-



Digitized by Google

δρεῖον, δεξιὸν, καὶ εὐκίνητον, τό τε βουλῆς καὶ πόνε καὶ τιμῆς μετέχον, ὡς ὕλην τῆς αὐτῷ ἀποδείξεως παρέλαβε· πάντα γὰρ τἄλλα τῶν ἀνθρώπων ἔργα ἀῤῥᾳθύμιά τε καὶ ὑπορόφια, ὑπὸ τῶν παίδων καὶ γυναικῶν ὁρῶμεν γινόμενα· μόνα δὲ τὰ τοῦ πολέμου τοὺς ἄνδρας ἀπαιτεῖ εἰς τὸ ἐνεργηθῆναι, ὥστε τοῖς πολεμικοῖς καὶ ὁ πόλεμος ἠκολούθησεν· ἄνευ γὰρ τούτου, τὰ πολεμικὰ πράττειν οὐκ ἐνδέχεται.

Ἐπεὶ δ' ἑνὸς ἔτους πόλεμος οὔτε τὸν ἀνδρεῖον τέλειον καὶ ἔμπειρον τῶν πολεμικῶν ἀπεργάζεται, οὔτε τῆς τοῦ ἀνδρὸς ἀρετῆς βεβαίαν φέρεται τὴν ἀπόδειξιν, εὐμεθόδως ὁ ποιητὴς δεκαετῆ τὴν τοῦ πελέμου ἐπεισάγει παράτασιν· ἵνα τελείαν καὶ μὴ τυχηρὰν ἐν πολλοῖς ποικίλοις τὴν τοῦ ἀνδρὸς ἀρετὴν ἐνδείξηται· ἀλλ' ἐπειδὴ τῇ ἱστορίᾳ μᾶλλον ἐστὶν οἰκειότερον ὡς τῆς ἀληθείας φρονιζούσῃ τὸ ἀπὸ τῶν προπαρτικῶν αἰτιῶν, ὡς καὶ τὰ πράγματα γέγονεν, ἄρχεσθαι, τῇ δὲ ποιήσει τὸ τῇ προκειμένῃ ὑποθέσει μᾶλλον ἐφαρμόζον ὡς πρὸς ἕκαστον οἰκειότερον φαίνοιτο συνείργειν τὰ προφθάσαντα κατὰ τὸ συμπίπτον τῷ λόγῳ, ἀπὸ τῶν ὑστέρων τῇ διηγήσει παρεστάνειν, ἵνα μὴ τὸ πεπλασμένον ὡς τὸ γεγονὸς ἀναγκάζηται, ἀπὸ τῆς τῶ Ἀχιλλέως πρὸς τὸν Ἀγαμέμνονα διαφορᾶς τὴν εἰσβολὴν τοῦ λόγε ποιεῖται, ἅ τε φιλόσοφος καὶ οἷον ἀπὸ τῆς μηχανῆς τὴν καθόλε τοῦ πολέμε αἰτίαν παριστάνει τὰ πρώτιστα τῆς ὑποθέσεως πρόσωπα προτιθέμενος.

Ὁ μὲν γὰρ τῇ τιμῇ, ὁ δὲ τῇ ἀνδρείᾳ τῶν λοιπῶν ὑπερέχει· ὁμοῦ τε δηλῶν, ὅτι τὸν ὄντα ἀνδρεῖον, μετὰ τῶν μεγίστων δεῖ διαφέρεσθαι· οὐ μὴν τοῖς ἀοράτοις καὶ ἀθλοις ἐρίζειν καὶ μάχεσθαι· πᾶς γὰρ πόλεμος, οὐκ ἐκ μονάδος, ἀλλ' ἐξ ἀριθμοῦ συνίσταται· κἄκ διαφόρων καὶ διχονοούντων λαμβάνει τὰς αἰτίας· μερισμὸς γάρ ἐστιν καὶ διάστασις τοῦ θελήματος· οἰκειοτάτη ἄρα τὸ - μῆνιν ἄειδε

Digitized by Google

θεὰ Πηληϊάδεω Ἀχιλῆος - ἐν τῇ τῆς ἀρετῆς τῷ ἀνδρὶ ἀποδείξαι τῷ ποιητῇ εἰς ἀρχὴν τοῦ λόγου παραίλημπται· μῆνις γάρ ἐστι καὶ ὁ πόλεμος οὐκ ἀπὸ τῶν μερικῶν διαφορῶν εἰς κοινήν τινα καὶ καθόλου χωρεῖ δήμου τινὸς εἰ τύχοι ἢ καὶ πλειόνων ἐθνῶν προσάλληλα διϊσταμένα, περὶ ἧς τὴν αἰτίαν ἀπεδοῦναι εἰλόμεθα.

Ὅτι οὐκ αἴτιος τῶν κακῶν ὁ θεός.

Β, ν. 5. Διὸς δ' ἐτελείετο βουλή.

Ἀπορήσειε δ' ἄν τις πῶς τῇ τοῦ Διὸς βουλήσει τὰ μυρία ἄλγεα καὶ ἡ εἰς Ἅιδου τῶν ψυχῶν πέμψις τοῖς Ἀχαιοῖς καὶ ἥρωσι γίνεται; ἀγαθοῦ γὰρ οἱ θεοί, οὐ μὴν κακοῦ αἴτιοι· πρὸς ὃ ῥητέον, ὅτι πᾶν τὸ παρυπὸς (ἵνα τὰ μυθόδη παρῶμεν) βουλήσει θεία γίγνεσθαι λέγομεν· θεοῦ γὰρ ἡ φύσις διάπονος· οὐ γὰρ κακὸν τὸ τμητὸν τμηθῆναι καὶ τὸ φθαρτὸν φθαρῆναι· οὔτε τὸ δύνασθαί τι ποιεῖν, δύνασθαί τε μὴ ποιεῖν· ἐλευθερίας γὰρ τὸ τοιοῦτον καὶ αὐτεξουσίου τις δύναμις· ἡ δ' ἐλευθερία ἀγαθόν, ὡς περ κακὸν ἡ δουλεία· ἀλλὰ καὶ τὸ μεῖζον νικᾶν γε τὸ ἔλαττον, οὐκ ἀνόσιον· εἰ οὖν τῷ ἀπεκτεῖναι δυναμένῳ τὸ ἐξεῖναι παρὰ τῆς φύσεως δέδοται, καὶ τῷ ἰσχυροτέρῳ τὸν ἀσθενέστερον νικᾶν, οὐκ ἀπεικότως ταυτὸ δοθῆσεται· λέγω δ' ἐξεῖναι τὸ παρὰ τῆς φύσεως τὴν τοῦ πράξαι δύναμιν αὐτοῦ μὴ κωλύεσθαι· ὥστε πᾶς τις καὶ ἀποκτενεῖν καὶ ἀποκτανθήσεσθαι, καὶ φθερεῖν καὶ φθαρήσεσθαι πέφυκεν· οὐ δεῖ οὖν τῶν κακῶν τὸν θεὸν αἴτιον ἡμᾶς οἴεσθαι, ὅτι τὸ ἐλεύθερον ἡμῖν ἐδωρήσατο· οὕτω γὰρ ἂν καὶ ἄδικον ἔφαμεν, ὅτι χεῖρας τῷ κλέπτῃ καὶ ὄμματα δέδωκεν.

Ὅτι ξὺν ἀληθῶς οἱ ψευδαῖοι λέγονται,

οὐ μὴν οἱ φαῦλοι.

Β, ν. 3.-4. Πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν - ἡρώων.

Τίνος ἕνεκα πολλῶν ἐν Ἰλίῳ τῷ πολέμῳ θανόντων,

Digitized by Google

τῶν ἡρώων μόνων ὁ ποιητὴς μέμνηται; ἢ ἵνα δείξῃ, ὅτι οἱ τῷ πολέμῳ θνήσκοντες ἀνδρεῖοι εἰσὶ καὶ οὐ φεύγουσιν, οὐδὲ ζωγροῦνται· καὶ ὁ τῶν ἀνδρείων τε καὶ σπουδαίων θάνατος, κυρίως ἐστί τε καὶ λέγεται θάνατος· οἱ γὰρ τοῖς σπουδαίοις καὶ ἐπαινετοῖς ἔργοις ζῶντες, καὶ διάδηλοι καθ' ἡμέραν γεγνόμενοι, μετὰ τὸ θανεῖν ἀργῶσι καὶ τῷ χρόνῳ κατ' ὀλίγον ἀφανεῖς ἀμυδροῦνται· οἱ δὲ δηλοὶ καὶ φαῦλοι, καὶ ζῶντες ὡς τεθνήσκοντες νομίζονται· ἄδηλος γὰρ ὁ βίος αὐτῶν καὶ ὁ θάνατος.

Ὅτι δεῖ τοὺς ὑπερέχοντας σπουδαίως εἶναι.

V. 7. Ἀναξ ἀνδρῶν (Ἀγαμέμνων).

Διατὶ οὐκ ἀνθρώπων, ἢ θνητῶν, ἢ βροτῶν, ἀλλ' ἀνδρῶν ἄνακτα τὸν Ἀγαμέμνονα εἴρηκεν; ἢ ὅτι ἐν τοῖς ἄλλοις τῶν ὀνομάτων αἵ τε γυναῖκες καὶ παῖδες συμπεριλαμβάνονται ὧν ἡ ἡλικία καὶ ἡ φύσις ἀνεπιτήδειος εἰς τὰ ἄνω καὶ ὑψηλὰ τῶν πράξεων ἄγεσθαι· οἱ μέντοι ἄνδρες τῇ θ' ἡλικίᾳ καὶ τῇ φύσει δεκτικοὶ τῶν ἐπιφανῶν κατορθωμάτων ὑπάρχοντες, σπουδαίως καὶ ἀνδρείως ἡγεμόνος πρὸς τὰ τῆς ἀρετῆς κατορθώματα δέονται· οἷοί τε ὄντες ἐπιτελεῖν τὰ ἐπιταττόμενα· ὡ δεῖ οὖν τὰς βασιλεῖς καὶ τοὺς ἄνακτας μαλακίζεσθαι καὶ ὑπὸ τῶν ἡδονῶν βασιλεύεσθαι, εἴ περ ἀνδρῶν ἄνακτες καὶ βασιλεῖς προσηγορεύεσθαι βούλοιντο.

Ὅτι τοὺς ἄρχοντας εὐσεβεῖς εἶναι δεῖ μάλιστα καὶ δικαίους· τὸν δ' ἀρχομένους μὴ δέχεσθαι τ' ἀνόσια τούτων προστάγματα.

V. 9. 10. Ὃ γὰρ βασιλῆϊ χολωθείς, . . . .
νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν.

Τίνος ἕνεκα τῷ βασιλέως ἁμαρτάνοντος ὁ στρατὸς τιμωρεῖται; ἔδει γὰρ τὸν ἄδικον παθεῖν, οὐ μὴν τὸν ἀνεύθυνον· ἢ ὅτι ὁ τῷ ὄντι βασιλεὺς, τὸν ἴδιον μᾶλλον θάνατον ἢ τὴν αἰσχύνην τὴν ἰδίαν προσδέχεται· ὥστε καὶ μᾶλλον δυσφο-

Digitized by Google

ρεῖ τοῦ στρατοῦ φθειρομένου εἴ περ ἂν αὐτὸς ἔθνησκεν, αἰσχύνην καὶ ὄνειδος οἰκεῖον τὸ τοιοῦτον οἰόμενος· ἀλλ' ἔτι καὶ τὰ στρατεύματα δικαίως τιμωρεῖται τῷ στρατηγῷ πρὸς τοὺς θεοὺς ἀνοσίως ἔχοντος, εἴ γε ταῖς ἐκείνου ἀσεβείαις συγκατατίθενται· τῇ γὰρ τοῦ πλήθους δυνάμει θαρρῶν ὁ Ἀγαμέμνων τὸν τῷ θεῷ ἱερέα ἠτίμησεν· ὡς γῶν συμμέτοχα τῶν ἐκείνου ἀτασθαλιῶν τὰ στρατεύματα παιδεύεται· δεῖ τοίνυν τὸν στρατηγὸν καὶ τὸν ἄρχοντα τὴν τῶν ὑπ' αὐτὸν ζωὴν καὶ τὸν θάνατον μᾶλλον τοῦ ἰδίου τίθεσθαι, εἴ περ πάτηρ καὶ ποιμὴν λαῶν, ἀλλ' ὁ δημοβόρος καλεῖσθαι βούλεται· τὰς δ' ὑπ' αὐτὸν τὰ δίκαια καὶ εὐσεβῆ ἐπιτάττοντι πείθεσθαι· τὰ δ' ἀνόσια μὴ προσίεσθαι· ἵνα μὴ τὰς ποινὰς ἀντ' ἐκείνου γε ἀποτίσωσιν.

Πῶς δεῖ τὴν χάριν αἰτεῖν.

Il. v. 16.–21. Ἀτρεῖδαί τε καὶ ἄλλοι εὐκνήμιδες Ἀχαιοί,
ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ' ἔχοντες,
ἐκπέρσαι Πριάμοιο πόλιν, εὖ δ' οἴκαδ' ἐκέσθαι
παῖδα δ' ἐμοὶ λῦσαί τε φίλην, τὰ δ' ἄποινα δέχεσθαι
ἀζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα.

Ὡς θαυμαστὸς ὁ τῆς ἱκεσίας λόγος τῷ ποιητῇ γέγραπται· εἰς δύο γὰρ τὸ πλῆθος διῄρησεν, ἄρχοντας καὶ ἀρχομένους· ὧν καὶ οἱ μετέπειτα μιμησάμενοι, τῇ βουλῇ φασι καὶ τῷ δήμῳ τῶν Ἀθηναίων χαίρειν ἐπιστέλλοντες, ἑκάτερά τε τὰ μέρη αἰτεῖσθαι ὡς ἀμφότερα δοῦναι τὴν χάριν δυνάμενα, εὔνοιαν ἐκ τούτου περαποιούμενος· τοῖς μὲν γὰρ ἄρχουσιν ἡ ἐξαίρετος κλῆσις καὶ τὸ πάτριον ὄνομα, τιμὴν ἐπιφέρει· τοῖς δ' ἀρχομένοις τὸ εὐκνήμιδες· ἡ γὰρ ταχυτὴς τὴν ἰσχυρὰν ἀνδρείαν ἐργάζεσθαι· βιαιοτάτη γὰρ ἡ μετὰ τάχους ὁρμή· διὸ καὶ Ἀριστοτέλης τὸν ἀέρα φησὶ βιαιότατον διὰ τὸ εὐκίνητον· πλήττει γὰρ μᾶλλον φησὶ καὶ ποιεῖ τὰς σεισμοὺς κινούμενος· ἀλλὰ καὶ τὰ κρεοφάγα τῶν ζώων

Digitized by Google

διὰ τὸ τάχος καὶ τὸ δεξιὸν πηδήματος τὰ τούτων μείζονα καὶ τῷ σώματι ἰσχυρώτερα θαμάζοντα ὁρῶμεν βόας καὶ ἵππους, κάμηλούς τε καὶ ἐλέφαντας· πέντα γὰρ ὁ λέων θαμάζει, ἔνια τε λύκος καὶ πάρδαλις ταχέως καὶ δεξιῶς τὸ ἅλμα ποιούμενα· μετὰ δὲ τὸ τιμῆσαι τὸν αἰτοῦντα, δεῖ τοῖς οὓς αἰτεῖται τὴν χάριν εὖνους ποιεῖν, τάγαθὰ ἐκείνους εὐχόμενον· καὶ ταύτην φίλην δεικνῦναι τῷ αἰτοῦντι· ἵνα πείσῃ τῷ μεγέθει τῆς χάριτος τὴν αἰτούμενον· καὶ ἐκ ἀμισθὶ ποιεῖται τὴν αἴτησιν· πτωχοῦ γὰρ τῦτο καὶ προσαίτου· μετὰ δὲ τὸν μισθὸν καὶ μεῖζον αὐτοῖς ἀγαθὸν ἐπόμενον παρεμφαίνει τὴν πρὸς τοὺς θεοὺς δηλονότι εὐσέβειαν· ᾧπερ καὶ δέος αὐτοῖς λεληθότος ἐντίθησι μὴ ποιήσαντιν· οἷον, ὅτι ἀσεβήσουσι, καὶ εἰς ὀργὴν τὸ θεῖον κινήσουσι δεῖ ἄρα τὸν χάριν αἰτούμενον ὑποκλίνεσθαι κρείσσον' αὐτῷ ποιῆντα καὶ τιμῶντα τὸν δόσοντα· εἶτα εὔνουν αὐτῷ ποιεῖν ὁπωσδήποτε· καὶ οὕτω τὴν χάριν παρισάνειν ὡς ἐσομένην ἀίδιον διὰ τὸ φίλην εἶναι τῷ λαμβάνοντι, καὶ δοθεῖσαν εἰς πάντας τοῦ διδόντος τὸν ἔπαινον οἴσουσαν.

Ὅτι τοῖς κρατοῦσι πάντων χειρίστη ἡ ἀκολασία· οἷς ὑπεικτέον ὀργιζομένοις καὶ μὴ δικαιολογεῖσθαι.

V. 28. Μὴ νύ τοι ἀ χαρίσμη σκῆπτρον καὶ στέμμα Διοῖο.

Ὅρα τὸ τῆς ἀκολασίας πάθος πόσην ἔχει τὴν δύναμιν· οὐ μόνον γὰρ τῷ πατρὶ τὴν θυγατέρα καὶ φίλην ὁ βασιλεὺς οὐκ ἀπέδωκεν, ἀλλὰ καὶ θάνατον ἀπειλεῖ τῷ γέροντι· μήτε τὴν τῶν θεῶν φοβούμενος ὄπιν, μήτ' ἐπισχοφὴν ποιούμενος τοῦ κρατοῦ κατανεύσεως· ἀλλ' ἔτι καὶ προλέγει ὡς οὐδενὸς ἄξια τὰ τοῦ θεοῦ κτήματα καὶ τὸ σκῆπτρον τῷ φέροντι γενησόμενα, ἥντι τῆς ἀκολασίας αὐτῷ ταῦτα γένηται κώλυμα· ὑπόπτευε γὰρ ὡς εἴ τινα χρόνον ὁ γέρων αὐτῷ διαμείνειε τοὺς συγκατανεύσαντας πείσει ταῖς δεήσεσιν, ὅπως αὐτὴν παρ' αὐτῷ ἐξαιτήσαντες λάβοιεν καὶ μᾶλλον

Digitized by Google

τὴν πρόσκαιρον ἡδονὴν, ἢ παντὶ τῷ στρατῷ χαρίσασθαι εἵλετο· τοσοῦτον τὸ πάθος σωτίζει τοὺς ἔχοντας, ὥς τε καὶ θεοὺς παρορᾶν· καὶ ὑπὸ πάντων μισεμένους τε καὶ καταγελωμένους μὴ αἰσθάνεσθαι· διὸ πρὸς τοὺς τοιούτους τῶν κρατούντων, φαύλη ἡ παραίνεσις, καὶ ἀλύσιος ἡ ἔνστασις γίγνεται. οὐ γὰρ ἀνθρωπίνῳ λόγῳ, ἀλλὰ θείας παιδεύσεως δέονται· τοὔνεκα καὶ ὁ Χρύσης καταφεύγει πρὸς τὸν Ἀπόλλωνα.

Ὅτι τὰ θεῖα μακροθύμου ἐστὶ καὶ προνοητικοῦ τῶν πάντων.

V. 50. Οὐρῆας μὲν πρῶτα ἐπῴχετο καὶ κύνας ἀργούς.

Ἐπειδὴ πατέρες καὶ τῶν ἄντων φύλακες εἰσὶν οἱ θεοὶ καὶ λέγοντες, πατρικῶς ἡμᾶς καὶ προνοητικῶς ἐκπαιδεύουσι· ποτὲ μὲν εὐτυχίας τὸ μεταδοτικὸν ἡμῶν καὶ τὸ εὔγνωμον αὔξοντες· ποτὲ δὲ δυσχίας τὸ ἀκόλαστον καὶ τὴν πρὸς αὐτὰς ἀγνωμοσύνην ἀναστέλλοντες· ὥσπερ γὰρ οἱ τῶν ἰατρῶν δόκιμοι, ἵνα μὴ πᾶν τὸ σῶμα φθαρῇ, τὰ σεσηπότα τῶν μελῶν καὶ ἀνίατα, τὰ μὲν καίουσι, τὰ δ' ἐκκόπτουσι· καὶ ὁ Ἀπόλλων τοίνυν θεὸς ὢν καὶ προμηθεὺς τῶν ἀνθρώπων, ὡς πατὴρ φιλόστοργος τῇ τῶν ἀλάστων φθορᾷ τὸν στρατὸν καὶ τὸν βασιλέα παιδεύειν ἤρξατο, καθοδηγῶν αὐτοὺς πρὸς τὰ δέοντα, καὶ προσμένων τὴν ἐπανόρθωσιν· ὁρῶν δ' ἀνιάτους, τέμνειν καὶ καίειν αὐτοὺς ἐπεχείρησεν· οὐ δεῖ τοίνυν ἡμᾶς τῇ τοῦ θεοῦ μακροθυμίᾳ καταχρῆσθαι, καὶ οἴεσθαι τὰ τῇδ' ἀπροκόπτα.

Ὅτι τοῖς φαύλοις οὐ μύσου λόγῳ, ἀλλ' ἔργῳ ἀντικεῖσθαι δεῖ.

V. 76. - 7. Τοὶ γὰρ ἐγὼν ἐρέω· σὺ δὲ σύνθεο καί μοι ὄμοσσον,

ἢ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν.

Ἐκ τῆς πρὸς τὸν Χρύσην ὀργῆς τὸ τῆς βασιλέως πάθος

Digitized by Google

νοήσας ὁ Κάλχας, καίπερ τὰληθὲς εἰδει, καὶ μεγάλην τῷ στρατῷ τὴν ὠφέλειαν ἐκ τοῦ δηλωθῆναι ἐσομένην, προπετῶς δ' ὅμως αὐτὸ δηλῶσαι οὐκ εἴωθεν· οὐχ ὅτι τῆς ἰδίας ζωῆς φειδόμενος τὸν τῶν πολλῶν παρεώρα θάνατον· οὐ γὰρ ἂν ἦν ἄριστος, εἴ γε τῶν ἀρίστων βραχέως ἕνεκα βίᾳ ὠλιγώρει πράξεων· ἀλλ' ἡμᾶς ὁ ποιητὴς διδάξαι βουλόμενος ἐν τοῖς ἐμπαθέσιν ὑ λόγοις, ἀλλ' ἔργοις δεῖ ἀντιτάττεσθαι, ἐξεπίτηδες περποιεῖται τὸ βέβαιον πρότερον· οἱ γὰρ τοιοῦτοι καίπερ τοπαρὸν τὰ δίκαια ποιεῖν ὑποκρίνονται, τῷ χρόνῳ δ' ὅμως τὸν αἴτιον τοῦ δικαίου ἀμύνονται· διὸ πεφυλαγμένως τούτοις ἡμᾶς δεῖ προσφέρεσθαι· ἵνα μὴ κακοῦ μᾶλλον ἢ ἀγαθοῦ αἴτιοι γενώμεθα.

Ὅτι εἰ καὶ παρ' ἡμῶν οὐχ ὁρᾶται πολλάκις,
ἔστι δ' ὅμως δίκη θεῶν ἐν τοῖς ἀνθρώποις.

V. 93.-5. Οὔτ' ἂρ ὅγ' εὐχωλῆς ἐπιμέφεται· ἔδ' ἑκατόμβης,
ἀλλ' ἕνεκ' ἀρητῆρος, ὃν ἠτίμησ' Ἀγαμέμνων,
οὕδ' ἀπέλυσε θύγατρα· καὶ οὐδ' ἀπεδέξατ' ἄποινα.

Συνῴδει τῇ θείᾳ γραφῇ τὸ λεγόμενον· λέγει γὰρ ἐκείνη ἔλεον θέλω καὶ οὐ θυσίαν· καὶ, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν· οὐ γὰρ τῶν ἡμετέρων ἀγαθῶν ἢ τῶν παρ' αὐτὸν ἐπαίνων καὶ δοξολογιῶν οἱ θεοί ποτε χρήζουσιν· ἀλλὰ τὴν ἡμετέραν προαίρεσιν ὥς περ ὁρῶσιν, οὕτω καὶ ἀποδέχονται· τίς δ' αὕτη; ἡ πρὸς αὐτὸν ἡμετέρα μίμησις· ὡς γὰρ ἐκεῖνοι τῶν καταδεεστέρων καὶ ὑποτεταγμένων φροντίζουσι, καὶ τοῦ θείου φωτὸς αὐτοῖς μεταδιδόασιν, οὕτω καὶ τὸν κατ' εἰκόνα θεοῦ πλασθέντας καὶ οἱονεὶ συγγενεῖς αὐτῶν πρὸς τὸν ἥττους καὶ δεομένους αὐτῶν εἶναι βέλονται· ἄλλως γὰρ οὐχ ὁμοίως οὐδὲ συγγενεῖς, ἀλλ' ἀλλοτρίους καὶ δυσμενεῖς ὡς τούτοις τἀναντία πράσσοντας οἴονται· ὁ γὰρ μὴ τὸν ἀγαθὸν μιμούμενος, τὸν κακὸν ἐξ ἀνάγκης μιμεῖσθαι ῥηθήσεται· ἀρετῆς γὰρ καὶ κακίας μέσον οὐ δίδοται. Εἰ γάρ τις ἐγὼ

Digitized by Google

τιμήσαι καὶ ἱκετεῦσαι δυνάμενος, κενοῖς λόγοις τοῦτο ποιεῖν οἴεται, ἀτιμάζειν μᾶλλον αὐτὸν καὶ παροργίζειν φανήσεται· τρία μὲν οὖν ἐνταῦθα ὁ βασιλεὺς ἐπλημμέλησε· τὸν τοῦ Διὸς ἱερέα ἠτίμησεν, ὃν ὤφελε τιμῆσαι· οὐκ ἀπέλυσε τὴν θύγατρα, ἣν ἐλευθέραν ἡ φύσις παρήγαγεν· οὐκ ἐδέξατο τ' ἄποινα, ὅπερ ὁ τῶν ἀνθρώπων νόμος λαβεῖν καὶ λυτρώσαι τῆς δουλείας διακελεύεται· ὥστε πρὸς τοὺς θεοὺς καὶ τὴν φύσιν καὶ τὸν νόμον ἥμαρτεν· διὸ καὶ παρὰ θεοῦ καὶ τῆς φύσεως καὶ ἀνθρώπων τὴν τιμωρίαν ἐδέξατο· ὁ μὲν γὰρ θεὸς τῇ τῶν κυνῶν καὶ ἡμιόνων καὶ τῶν ὑπ' αὐτὸν ἀνθρώπων φύσει τὸ δύσκρατον κατεμίξατο· ἡ δὲ τὴν σῆψιν καὶ τὸν θάνατον τούτοις ἐπήγαγε· καὶ μηνίσας ὁ Ἀχιλλεὺς τῷ πολέμῳ ἐπαύσατο, καὶ οἱ Τρῶες τοὺς Ἕλληνας κατεπίεζον· οἵθ' Ἕλληνες τὸν βασιλέα ἐμέμφοντο· καὶ ἡ τὸν πολλῶν δὲ μέμψις νόμος ῥηθήσεται· τί γὰρ ἄλλο νόμος, ἢ πολλῶν συγκατάθεσις τε καὶ σύμπνοια; ἔστι δ' ἄρα δίκη θεῶν ἐν τοῖς ἀνθρώποις.

Ὅτι τὴν κολακείαν οἱ κρατοῦντες ἐξέθρεψαν.

V. 107. - 8. Αἰεί τοι τὰ κακ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι, ἐσθλὸν δ' οὐδέ τι πω εἶπας ἔπος οὐδ' ἐτέλεσσας.

Πολλοῦ ἄξιος ὁ ποιητὴς καὶ τῆς ἀνθρωπίνης φύσεως διδάσκαλος· ἐναργῶς γὰρ τὰ καλὰ τῶν ἠθῶν καὶ κακὰ ἡμῖν ἐπιδείκνυσιν· ἐν γὰρ τοῖς προλαβοῦσιν, οὐχ' ἅρισον. τάτε παρεληλυθότα καὶ ἐνεστῶτα καὶ μέλλοντα εἰδότα· καὶ εἰς Ἴλιον τοῖς νήεσιν ἠτησάμενον τὸν Κάλχαντα εἰρηκεν· νῦν δὲ παρεισάγει τὸν ἀκόλαστον εἰς τὸν σπεδαῖον προπηλακίζοντα· καὶ μάντιν κακῶν, καὶ ψευδόμενον, καὶ χαιρέκακον τὸν αὐτὸν καὶ μισόκαλον λέγοντα· τίνος ἕνεκα; ὅτι τῆς Χρυσηΐδος ἀπολαύειν βέλεται· ἣν καὶ τῆς γνησίας ἀλόχου προίκρινε· καὶ κατὰ πάντα ταύτης κρείσσονα ὑπὸ τῆς ἀπολασίας κινώμενος ὁ ταλαίπωρος οἴεται· ἐφ' ἧς καὶ τετύ-

Digitized by Google

φλωται· καὶ τὰς τοῦ ἀνδρὸς ἀρετὰς ψόγως ἡγεῖται καὶ κακίας ἀποφερόμενος τὴν ἀλήθειαν, φεύγει τὸ φῶς· τὴν πλάνην καὶ τὸ σκότος ἀσπάζεται· τὴν κολακείαν ὡς ἀρίστην φιλίαν προσδέχεται· φαβιροὶ γὰρ γεγόμενοι τῇ ἀληθείᾳ οἱ κρατοῦντες, τὴν παῤῥησίαν τῇ κολακείᾳ δεδώκασι.

Ὅτι δεῖ τοὺς κρατοῦντας πάντων μᾶλλον προκρίνειν τὴν τιμήν.

V. 117. Βέλομ' ἐγὼ λαὸν σῶον ἔμμεναι, ἢ ἀπολέσθαι.

Νῦν τὸ τῆ ἀξίᾳ κρατηγῆ καὶ βασιλίως ὁ ποιητὴς τὸ ἦθος παρεισάγει· εἰ γὰρ καὶ τῆς ἰδέας ζωῆς τὴν Χρυσηΐδα ἡδίων ἐνόμιζε, τὴν τοῦ λαῆ δ' ὅμως σωτηρίαν ταύτης ἀνθείλετο, καὶ θανεῖν ὑπὲρ αὐτῆ βούλεται· ὧν χωρὶς οὔτε κρατηγὸς οὔτε βασιλεὺς εἶναι δύναται· στερηθείς τε τοῦ ἀξιώματος, τῆς ζωῆς τὸν θάνατον μᾶλλον ἀσπάζεται· ἀφίστε πάντες οἱ ἐν ταῖς ἀρχαῖς τε καὶ ἀξιώμασι καὶ παιδεύθητε· καὶ τὸ τὰ εἰκότα πράττειν, πάσης ἡδονῆς προτιμήσατε, εἴπερ ἄξιοι τῆς ἀρχῆς καὶ τοῦ ἀξιώματος εἶναι καὶ λέγεσθαι βούλεσθε.

Ὅτι τοῦ θυμῷ κρατῶν μεγάλας κινδύνους ἐκφεύγει καὶ ψόγους.

V. 216.-7. Χρὴ μὲν σφωΐτερόν γε, θεά, ἔπος εἰρύσασθαι, καὶ μάλα περ θυμῷ κεχολωμένον· ὡς γὰρ ἄμεινον.

Ὦ παιδείας ἀρίστης καὶ παραινέσεως· ὦ φυσικῆς θεωρίας περισπουδάστου τε· τὰ τοῦ Ἀγαμέμνονος ῥήματα τὴν τοῦ Ἀχιλλέως καρδίαν ἐτάραξαν· καὶ τὸ τῆς ψυχῆς ἄλογον μέρος τῷ λογικῷ ἀπομάχεται· αἵ τε τῆς ψυχῆς δυνάμεις κατ' ἀλλήλων παρατάττονται· καὶ ἡ μέριμνα εἰς δύο διῄρηται· ἡ μὲν γὰρ προπετῶς εἰς τὸ ἀμύνεσθαι φέρεται· καὶ τοῖς ὅπλοις χρῆσθαι ὑπὸ τοῦ θυμοῦ γε καταναγκάζεται, μηδὲν προορῶσα, ἢ τὸ ἀντιληθῆσαι· διὸ καὶ πρότερα εἰς ἔργον ἐφέλκεται· ἡ δὲ πρὸ τῆς ψήφου θεωρεῖ τὰ τῷ ἔργῳ ἑπόμενα·

Digitized by Google

διὸ καὶ ὑστερίζει, καὶ ἐξόπισθε παραγίνεται· καὶ τῆς ξανθῆς χολῆς ἀναστελεῖ τὸν Πηλείονα δακυύσαι τέτῳ τὰ χαλεπώτατα καὶ αἰσχύνης ἄξια ἐκ τοῦ ἔργε αὐτῷ ἀποβαίνοντα· ὁ γὰρ ἐννοιατὴς πόνος τῶν Ἑλλήνων ἔνθεν οἰχήσεται· καὶ μάτην κατὰ βαρβάρων ἡ Ἑλλὰς καθοπληθεῖσα φανήσεται ἐξ ὧν αἰσχύνη πᾶσι τοῖς Ἕλλησιν ἕψεται· τῆ τε βασιλέως θανόντος, τὰ στρατεύματα τῶν Ἑλλήνων διαλυθήσεται· καὶ τὸ τῶν ἡρώων πλῆθος κατὰ τοῦ Ἀχιλλέως ὡς τῆς αὐτῶν αἰσχύνης αἰτίε γενοάτος παρατεγήσεται· καὶ τὴν δόξαν, ἣν ἔμελλεν ἕξειν ὁ Πηλείδης ἀπὸ τῆ πολέμε, ἀπολέσει, κτείνας τὸν ἄριστον· καὶ ὑπὸ πάντων ὡς φιλόνεικος καὶ προπετὴς ἢ ἄφρων κριθήσεται· ταῦτα πάντα τὸ τῆς ψυχῆς λογιστὸν αὐτῆ μέρος πρὸς ὀφθαλμῶν τοῦ νοῦ ποιησάμενον, ἔπεισεν αὐτὸν εἰρύσασθαι καὶ φυλάξαι τὰ κρείττονα· καὶ τὸν ἄλογον κατασχεῖν θυμὸν εἰς τὸν κουλεὸν τὸ ξίφος ἀπώσαντα· καὶ ἡμεῖς τοίνυν τὸν Ἀχιλλέα μιμησάμενοι, τὸν ἄλογον θυμὸν κατασβέσωμεν, ἵνα μὴ διὰ μικρὰν ἡδονὴν, ἀΐδιον ψόγον καὶ μεγάλους κινδύνους ληψώμεθα.

*Ὁποῖον εἶναι δεῖ τὸν ῥήτορα· καὶ τὸν τοὺς αὐτῆ κρείσσονας παρανέσαι καὶ καταλλάξαι βελόμενον.*

**V. 147. - 8. τοῖσι δὲ Νέστωρ,**
**ἡδυεπὴς ἀνόρουσε λιγὺς Πυλίων ἀγορητής.**

Πᾶσαν ἐπιστήμην καὶ πρᾶξιν τοῖς ἐλευθέροις ἀνδράσι προσήκουσαν, ἐκ τῶν ἐπῶν τοῦ θείου ποιητοῦ ἐστιν ἐρανίσασθαι· ἰδοὺ γὰρ δι' ὀλίγων ὀνομάτων τὸν ἄριστον ἡμῖν ῥήτορα παριστᾶσι· τὸ γὰρ ἡδυεπὴς, τὸ τὰ πρέποντα καὶ ἔνδεντα λέγειν δηλοῖ· τὰ γὰρ ὑπέργκα καὶ θρασεῖα καὶ ὑβριστικὰ, τά τε γελοῖα καὶ σκώμματα, τὰ μέν ἐστιν ἀηδῆ, τὰ δ' εὐκατφρόνητα· διὸ καὶ ἀπίθανα· τὸ δὲ λιγὺς,

Digitized by Google

τὸ μνημονευτικὸν καὶ ὀξὺ τοῦ νοὸς πρὸς τὴν τῶν λόγων εὕρεσιν· τὸ δὲ Πυλίων ἀγορητὴς, τὸ καλῶς ἠσκημένον εἶναι· τὸ δ' ἀπὸ γλώσσης μέλιτος γλυκύων ῥέειν αὐδὴ, τὸ εὐφραδές τε καὶ εὔηχον· οἷον τὸ καλῶς προφέρειν καὶ μετὰ χάριτος· ἃ πάντα ἐν τῷ τοῦ Νέστορος λόγῳ δῆλα, πλὴν τῆς προφορᾶς τῷ σκοποῦντι γίνεται· συναλγεῖ γὰρ τοῖς ὀργιζομένοις· καὶ τῇ μελλούσῃ κοινῇ ξυμφορᾷ σχετλιάζων φαίνεται, καὶ τοὺς ὀργιζομένους τιμῶν σὺ παύεται· ἅπερ τοῖς ἀκούουσιν εὐπρόσδεκτα καὶ ἡδέα γίνεται ἐγκαίρως λεγόμενα. Τίς γὰρ τὰ φίλα καὶ ξύμφορα ἐχ ἡδέως προσπέξεται; τὸ δὲ μνημονευτικὸν καὶ τὸ τῆς εὑρέσεως ὀξύτατον, ἡ τῶν ἐννοιῶν ποικιλία, καὶ τὸ τῶν ἐπιχειρημάτων πυκνὸν καὶ κατεσβασμένον ἐνδείκνυται· αὐτοσχεδιάζων γὰρ φαίνεται καί περ ἔντεχνος καὶ μεμελετημένος· τὴν δ' ἄσκησιν, ἡ τοῦ λόγου σημαίνει θέσις. Πρότερον γὰρ συλλυπεῖται καὶ συνάχθεται· καὶ τῆς ἀπὸ τῆς πρὸς ἀλλήλους ὀργῆς, τὴν ἀπὸ τῶν κοινῶν ἐχθρῶν ἐσομένην μείζονα λύπην παρισάνει, ἵνα τῷ μεγέθει τὴν παροῦσαν ἀμβλύνῃ· καὶ τὴν τῶν ἐχθρῶν χαρμονὴν τῇ τῶν ἐριζόντων λύπῃ παρατίθησιν, ἵνα τὸ τοῦ θυμοῦ ζέον, τῷ ἐκείνης πεφῷ ἀποκρούσηται· καὶ μετὰ ταῦτα τοὺς ἐπαίνους κατέταξεν, ἰαίνων τὴν πικρίαν τῆς ἐπιτιμήσεως· καὶ οὕτω παρακαλεῖ ἀμφοτέρους πείθεσθαι· καὶ πάντα προσηκόντως καὶ πιθανῶς διατίθησιν.

Ἵνα δὲ φανερὰ τὰ τῶ λόγω ἐπιχειρήματα γένηται, ἕκαστον τούτων εἰς τὸ οἰκεῖον σχῆμα ἀνάξωμεν, προσιθέντες τὰ ἐκ τῶν προσειμένων ὑπακουόμενα·

α'· Ἡ μέγα πένθος Ἀχαΐδα γαῖαν ἱκάνει· – Εἰς τοὺς φίλους τὸ τῶν φίλων πένθος ἀφίκεται· ἡ Ἀχαΐς γῆ φίλη τῶν Ἑλλήνων· εἰς τὴν Ἀχαΐδα ἄρα γαῖαν τὸ πένθος ἀφίκεται.

Digitized by Google

β'· Ἢ καὶ γηθήσαι Πρίαμος - Οἱ δυσμενεῖς τὴν τῶν ἐχθρῶν αὐτῶν ξυμφορὰν ἀκούοντες χαίρουσιν· ὁ Πρίαμος καὶ οἱ τούτου υἱοὶ τὴν τῶν Ἑλλήνων ξυμφορὰν ἐχθρῶν ὄντων ἀκούουσι· ὁ Πρίαμος ἄρα καὶ οἱ υἱοὶ Πριάμου χαίρουσι.

γ'· Οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ' ἐστὶ μάχεσθαι - Ἐν πάσῃ βουλῇ οἱ κρατοῦντες καὶ ἐν παντὶ πολέμῳ οἱ ἀνδρεῖοι τῶν λοιπῶν περιττεύουσιν· ἐν τῇ τῶν Δαναῶν βουλῇ καὶ πολέμῳ ὁ Ἀγαμέμνων κρατεῖ καὶ ὁ Ἀχιλλεὺς ἀνδρειότερος· ἐν τῇ τῶν Δαναῶν ἄρα βουλῇ καὶ πολέμῳ ὁ Ἀγαμέμνων καὶ ὁ Ἀχιλλεὺς περιττεύουσι τῶν λοιπῶν βουλῇ καὶ ἀνδρείᾳ.

δ'· Ἀλλὰ πείθεσθ', ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμοῖο· - Τοὺς νεωτέρους τοῖς γεραιτέροις δεῖ πείθεσθαι· Ἀγαμέμνων καὶ Ἀχιλλεὺς τῷ Νέστορος νεώτεροι· τῶν Ἀγαμέμνονα ἄρα καὶ τὸν Ἀχιλλέα τῷ Νέστορι δεῖ πείθεσθαι.

ε'· Ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ὁμίλησα - Οὗ περ οἱ κρείσσους ὐ καταφρονῆσιν, οἱ χείρονες δικαίως ὐ καταφρονήσουσιν· οἷς Νέστωρ συνεπολέμησε τοῦ Ἀγαμέμνονος καὶ τοῦ Ἀχιλλέως κρείττονες· οὐ δικαίως ἄρα τοῦ Νέστορος ὁ Ἀγαμέμνων καὶ Ἀχιλλεὺς καταφρονήσουσιν.

ς'· Καὶ μὲν τοῖσιν ἐγὼ μεθομιλέεσκον - Ὁ τοῖς ἀρίστοις συγκατηριθμημένος, ἄριστος· ὁ Νέστωρ τοῖς ἀρίστοις συγκατηριθμήθη· ὁ Νέστωρ ἄρα ἄριστος.

ζ'· Καλέσαντο γὰρ αὐτοί - Ὃν οἱ ἄριστοι καλοῦσιν, ἔντιμος· τὸν Νέστορα προσεκαλέσαντο οἱ ἄριστοι· ὁ Νέστωρ ἄρα ἔντιμος.

η'· Καὶ ἐμαχόμην κατ' ἐμαυτόν - Ὃς κατ' αὐτὸν μάχεται, ξύμμαχος ἐστὶ καὶ οὐ βεβιασμένος· ὁ Νέστωρ καθ' αὐτὸν μάχεται· ὁ Νέστωρ ἄρα τοῖς ἀρίστοις ξύμμαχος καὶ οὐ βεβιασμένος.

Digitized by Google

θ'· Καί μεν βέλεων ξύνιον – Οὗ τὰς βελὰς εἰ κρείττονες δέχοντας, τοὺς ἥττονας δέχεσθαι μᾶλλον δεῖ ταύτας· καὶ μὴν οἱ προκατειλεγμένοι τῶ 'Αγαμέμνονος καὶ 'Αχιλλέως κρείσσονες, τὰς τοῦ Νέστορος βελὰς ἐδέχαντο· τὸν 'Αγαμέμνονα ἄρα καὶ τὸν 'Αχιλλέα τὰς τῶ Νέστορος βουλὰς δεῖ προσδέχεσθαι.

ι'· Ἐπὶ πείθεσθαι ἄμεινον – Τῷ πλείονα εἰδότι πείθεσθαι ἄμεινον· ὁ Νέστωρ διὰ τὸ γῆρας καὶ τὴν πρᾶξιν πλείονα εἶδεν· τῷ Νέστορι ἄρα πείθεσθαι ἄμεινον.

ια'· Μή τι σύ γε ἀγαθὸς περ ἐών – Οὐχ' ὁ ἀγαθὸς καὶ τίμιος βιάζει· ὁ 'Αγαμέμνων ἀγαθὸς καὶ τίμιος· 'Αγαμέμνων ἄρα ὁ βιάζει.

ιβ'· 'Αλλ' ἔκ, ὡς οἱ πρῶτα δόσαν – Ὦ ἕτεροί τι ἐδωρήσαντο, ἄλλον τοῦτ' ἀφαιρεῖσθαι σὺ δίκαιον· τῷ 'Αχιλλεῖ τὴν Βρισηΐδα οἱ Ἕλληνες ἐδωρήσαντο· τοῦ 'Αχιλλέως ἄρα τὴν Βρισηΐδα τὸν 'Αγαμέμνονα ἀφαιρεῖσθαι ὐ δίκαιον.

ιγ'· Ἐπεὶ οὐ ποθ' ὁμοίης ἕμμορε τιμῆς – Τῷ τιμιωτέρῳ ἐρίζειν ὐ πρόσφορον· ὁ 'Αγαμέμνων τοῦ 'Αχιλλέως τιμιώτερος τῷ 'Αγαμέμνονι ἄρα τὸν 'Αχιλλέα ἐρίζειν εὐ πρόσφορον.

ιδ'· Ὦ τε Ζεὺς κῦδος ἔδωκεν· Ὦ ὁ Ζεὺς τὸν βασιλείαν παρέσχε, τιμιώτερος τῷ 'Αγαμέμνονι τὴν βασιλείαν παρέσχεν· ὁ 'Αγαμέμνων ἄρα τιμιώτερος.

ιε'· Ἐπεὶ πλεόνεσσι ἀνάσσει. – Ὁ ἰσχυρότερος τιμιώτερος· ὁ 'Αγαμέμνων διὰ τὸ πλειόνων ἀνάσσειν ἰσχυρότερος· ὁ 'Αγαμέμνων ἄρα τῆ 'Αχιλλέως τιμιώτερος.

ις'· 'Ατρεΐδη, σὺ δὲ παύε τὸ σὸν μένος. – Ὁ βασιλεὺς μεγαλόψυχος καὶ οὐκ ὀργίζεται· ὁ 'Αγαμέμνων βασιλεύς· ὁ 'Αγαμέμνων ἄρα μεγαλόψυχος καὶ οὐκ ὀργίζεται.

ιζ''· Αὐτὰρ ἐγὼ λίσσομαί 'Αχιλῆ. – Τὸν χρήσιμον καὶ ξύμφορον θεραπεύειν χρή· ὁ 'Αχιλλεὺς χρήσιμος καὶ ξύμφορος· τὸν 'Αχιλλέα ἄρα θεραπεύειν χρή.

Digitized by Google

Ἐξ ὧν ἁπάντων τίνα τῷ ῥήτορι ἴδια καὶ τίνα τὰς ἀντῦ κρείσσονας καταλλάττοντι καὶ παραινοῦντι προσεῖναι δεῖ, σαφῶς ἀναφαίνοντας τῷ μὲν γὰρ ῥήτορι, τὸ τὰ προσήκοντα λέγειν καὶ εὐπρόσδεκτα τοῖς ἀκούουσι, τό τε πρὸς εὕρεσιν καὶ ἐνθύμησιν τῶν λόγων ὀξύτατον· καὶ ἡ πρὸς τὰς λόγους πεῖρα καὶ ἄσκησις τῆ πείθειν· καὶ πρὸς τούτοις τὸ εὐφραδὲς καὶ ἡ μετὰ χάριτος προφορά· τῷ δὲ καταλλάττοντι καὶ παραινοῦντι τοὺς κρείσσονας, τὸ γραφικὸν, τὸ πρακτικὸν, τὸ ἔντιμον· ὑπὸ γὰρ τοῦ νεωτέρου μᾶλλον αἰσχύνην ἢ πειθὼ φέρει τῷ παραινουμένῳ ἡ παραίνεσις· ὑπὸ δὲ τῦ ἀπράκτου, καταφρόνησις τῷ λόγῳ ξυνέπεται· ὁ τε ἄπημος, οὐ παῤῥησίας ἔχων, οὐ τοῖς κρείττοσι παῤῥησιάσθήσεται· τολμητέας γὰρ μᾶλλον δόξει καὶ προπετὴς τοῖς ἀκούουσι· ταῦτα πάντα ἐν τῷ τοῦ Νέστορος λόγῳ, τῷ ζητοῦντι εὐχείρωτα γίνεται, εἴγε μετὰ ἐπιστάσεως ταῦτα διέρχεται.

Ὅτι δεῖ τὴν ἰσχὺν τοῦ σώματος πείθεσθαι τῷ λόγῳ, ὡς τῷ τεχνήτῃ τὸ ὄργανον.

V. 286. – 7. Ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες.

ἀλλ' οὔ ἀνὴρ ἐθέλει πέρι πάντων ἔμμεναι ἄλλων.

Ὡς περ τὸ τῦ ἀνθρώπε σῶμα χωρὶς τῆς ψυχῆς ἀκίνητον μένει πάντη καὶ ἀνενέργητον, καὶ τὸ εἶναὶ ἄνθρωπος ἀπόλλυσιν· οὕτω καὶ ἐν πάσῃ τάξει μὴ τηρουμένῃ, καὶ τὰ ὧν ἐστιν αὐτὴ συναπώλητάι· ἡ γὰρ τοῦ στρατοῦ τάξις μὴ σωζομένη, οὐδὲ στρατὸς παραυτίκα ὀνομασθήσεται, ἀλλ' ἀνθρώπων συνάθροισις· οἷς εἰ καὶ ἐλάσσους καὶ ἀσθενέστεροι εὐτάκτως προσβάλλοιεν, ῥᾴδιον νικήσουσι· καὶ παντελῶς διαφερῦσιν ὡς ὀλίγοι λύκοι πολλὰ πρόβατα· ὥς περ οὖν ἡ ψυχὴ ἐν τῷ σώματι δεσπότε τάξιν ἔχει καὶ τεχνήτου, τὸ δὲ σῶμα ὕλης τε καὶ ὀργάνε, ἕτω καὶ ἐν ταῖς πολιτείαις καὶ τοῖς στρατεύμασιν· οἱ μὲν ἡγούμενοι, δεσπόται, καὶ δημιουργοὶ νο-

Digitized by Google

τὸ μνημονευτικὸν καὶ ὀξὺ τοῦ νοὸς πρὸς τὴν τῶν λόγων εὕρεσιν· τὸ δὲ Πυλίων ἀγορητὴς, τὸ καλῶς ἠσκημένον εἶναι· τὸ δ' ἀπὸ γλώσσης μέλιτος γλυκύων ῥέεν αὐδὴ, τὸ εὐφραδές τε καὶ εὔηχον· οἷον τὸ καλῶς προφέρειν καὶ μετὰ χάριτος· ἃ πάντα ἐν τῷ τοῦ Νέστορος λόγῳ δῆλα, πλὴν τῆς προφορᾶς τῷ σκοπεῦντι γίνεται· συναλγεῖ γὰρ τοῖς ὀργιζομένοις· καὶ τῇ μελλούσῃ κοινῇ ξυμφορᾷ σχετλιάζων φαίνεται, καὶ τοὺς ὀργιζομένους τιμῶν οὐ παύεται· ἅπερ τοῖς ἀκούουσιν εὐπρόσδεκτα καὶ ἡδέα γίνεται ἐγκαίρως λεγόμενα. Τίς γὰρ τὰ φίλα καὶ ξύμφορα οὐχ ἡδέως προσπέξεται; τὸ δὲ μνημονευτικὸν καὶ τὸ τῆς εὑρέσεως ὀξύτατον, ἡ τῶν ἐννοιῶν ποικιλία, καὶ τὸ τῶν ἐπιχειρημάτων πυκνὸν καὶ κατεσταλμένον ἐνδείκνυται· αὐτοσχεδιάζων γὰρ φαίνεται καί περ ἔντεχνος καὶ μεμελετημένος· τὴν δ' ἄσκησιν, ἡ τοῦ λόγου σημαίνει διάθεσις. Πρότερον γὰρ συλλυπεῖται καὶ συνάχθεται καὶ τῆς ἀπὸ τῆς πρὸς ἀλλήλους ὀργῆς, τὴν ἀπὸ τῶν κοινῶν ἐχθρῶν ἐσομένην μείζονα λύπην παρισάνει, ἵνα τῷ μεγέθει τὴν παροῦσαν ἀμβλύνῃ· καὶ τὴν τῶν ἐχθρῶν χαρμονὴν τῇ τῶν ἐριζόντων λύπῃ παρατίθησιν, ἵνα τὸ τοῦ θυμοῦ ζέον, τῷ ἐκείνης παρῇ ἀποκρούσηται· καὶ μετὰ ταῦτα τοὺς ἐπαίνους κατέταξεν, ἰαίνων τὴν πικρίαν τῆς ἐπιτιμήσεως· καὶ οὕτω παρακαλεῖ ἀμφοτέρους πείθεσθαι· καὶ πάντα προσηκόντως καὶ πιθανῶς διατίθησιν.

Ἵνα δὲ φανερὰ τὰ τοῦ λόγου ἐπιχειρήματα γένηται, ἕκαστον τούτων εἰς τὸ οἰκεῖον σχῆμα ἀνάξωμεν, προστιθέντες τὰ ἐκ τῶν προειμένων ὑπακουόμενα·

α'· Ἡ μέγα πένθος Ἀχαΐδα γαῖαν ἱκάνει· – Εἰς τοὺς φίλους τὸ τῶν φίλων πένθος ἀφίκεται· ἡ Ἀχαΐς γῆ φίλη τῶν Ἑλλήνων· εἰς τὴν Ἀχαΐδα ἄρα γαῖαν τὸ πένθος ἀφίκεται.

Digitized by Google

β'· Ἢ κεν γηθήσαι Πρίαμος - Οἱ δυσμενεῖς τὴν τῶν ἐχθρῶν αὐτῶν ξυμφορὰν ἀκούοντες χαίρουσιν· ὁ Πρίαμος καὶ οἱ τούτου υἱοὶ τὴν τῶν Ἑλλήνων ξυμφορὰν ἐχθρῶν ὄντων ἀκούουσι· ὁ Πρίαμος ἄρα καὶ οἱ υἱοὶ Πριάμου χαίρουσι.

γ'· Οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ' ἐς-ὶ μάχεσθαι - Ἐν πάσῃ βουλῇ οἱ κρατοῦντες καὶ ἐν παντὶ πολέμῳ οἱ ἀνδρεῖοι τῶν λοιπῶν περιττεύουσιν· ἐν τῇ τῶν Δαναῶν βουλῇ καὶ πολέμῳ ὁ Ἀγαμέμνων κρατεῖ καὶ ὁ Ἀχιλλεὺς ἀνδρειότερος· ἐν τῇ τῶν Δαναῶν ἄρα βουλῇ καὶ πολέμῳ ὁ Ἀγαμέμνων καὶ ὁ Ἀχιλλεὺς περιττεύουσι τῶν λοιπῶν βουλῇ καὶ ἀνδρείᾳ.

δ'· Ἀλλὰ πείθεσθ', ἄμφω δὲ νεωτέρω ἐς-ὸν ἐμοῖο· - Τοὺς νεωτέρους τοῖς γεραιτέροις δεῖ πείθεσθαι· Ἀγαμέμνων καὶ Ἀχιλλεὺς τῷ Νέστορος νεώτεροι τὸν Ἀγαμέμνονα ἄρα καὶ τὸν Ἀχιλλέα τῷ Νέστορι δεῖ πείθεσθαι.

ε'· Ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ὁμίλησα - Οὗ περ οἱ κρείσσους ἠ καταφρονῆσιν, οἱ χείρονες δικαίως ἠ καταφρονήσουσιν· οἷς Νέστωρ συνεπολέμησε τοῦ Ἀγαμέμνονος καὶ τοῦ Ἀχιλλέως κρείττονες· οὐ δικαίως ἄρα τοῦ Νέστορος ὁ Ἀγαμέμνων καὶ Ἀχιλλεὺς καταφρονήσουσι.

ς'· Καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον - Ὁ τοῖς ἀρίστοις συγκατηριθμημένος, ἄριστος· ὁ Νέστωρ τοῖς ἀρίστοις συγκατηριθμήθη· ὁ Νέστωρ ἄρα ἄριστος.

ζ'· Καλέσαντο γὰρ αὐτοί - Ὃν οἱ ἄριστοι καλοῦσιν, ἔντιμος· τὸν Νέστορα προσεκαλέσαντο οἱ ἄριστοι· ὁ Νέστωρ ἄρα ἔντιμος.

η'· Καὶ ἐμαχόμην κατ' ἐμαυτόν - Ὃς κατ' αὐτὸν μάχεται, ξύμμαχος ἐς-ὶ καὶ οὐ βεβιασμένος· ὁ Νέστωρ καθ' αὐτὸν μάχεται· ὁ Νέστωρ ἄρα τοῖς ἀρίστοις ξύμμαχος καὶ οὐ βεβιασμένος.

Digitized by Google

θ'· Καί μεν βέλεων ξύνιον – Οὗ τὰς βουλὰς οἱ κρείττονες δέχονται, τοὺς ἥττονας δέχεσθαι μᾶλλον δεῖ ταύτας· καὶ μὴν οἱ προκατειλεγμένοι τοῦ Ἀγαμέμνονος καὶ Ἀχιλλέως κρείσσονες, τὰς τοῦ Νέστορος βουλὰς ἐδέχοντο· τὸν Ἀγαμέμνονα ἄρα καὶ τὸν Ἀχιλλέα τὰς τοῦ Νέστορος βουλὰς δεῖ προσδέχεσθαι.

ι'· Ἐπεὶ πείθεσθαι ἄμεινον – Τῷ πλείονα εἰδότι πείθεσθαι ἄμεινον· ὁ Νέστωρ διὰ τὸ γῆρας καὶ τὴν πρᾶξιν πλείονα εἶδεν· τῷ Νέστορι ἄρα πείθεσθαι ἄμεινον.

ια'· Μή τε σύ γε ἀγαθὸς περ ἐών – Οὐχ' ὁ ἀγαθὸς καὶ τίμιος βιάζει· ὁ Ἀγαμέμνων ἀγαθὸς καὶ τίμιος· Ἀγαμέμνων ἄρα οὐ βιάζει.

ιβ'· Ἀλλ' ἔα, ὡς οἱ πρῶτα δόσαν – Ὦ ἕτεροί τι ἐδωρήσαντο, ἄλλον τοῦτ' ἀφαιρεῖσθαι οὐ δίκαιον· τῷ Ἀχιλλεῖ τὴν Βρισηΐδα οἱ Ἕλληνες ἐδωρήσαντο· τοῦ Ἀχιλλέως ἄρα τὴν Βρισηΐδα τὸν Ἀγαμέμνονα ἀφαιρεῖσθαι οὐ δίκαιον.

ιγ'· Ἐπεὶ οὔποθ' ὁμοίης ἔμμορε τιμῆς – Τῷ τιμιωτέρῳ ἐρίζειν οὐ προσήκει· ὁ Ἀγαμέμνων τοῦ Ἀχιλλέως τιμιώτερος· τῷ Ἀγαμέμνονι ἄρα τὸν Ἀχιλλέα ἐρίζειν οὐ προσήκει.

ιδ'· Ὦ τε Ζεὺς κῦδος ἔδωκεν. Ὦ ὁ Ζεὺς τὸν βασιλείαν παρέσχε, τιμιώτερος· τῷ Ἀγαμέμνονι τὴν βασιλείαν παρέσχεν· ὁ Ἀγαμέμνων ἄρα τιμιώτερος.

ιε'· Ἐπεὶ πλεόνεσσιν ἀνάσσει. – Ὁ ἰσχυρότερος τιμιώτερος· ὁ Ἀγαμέμνων διὰ τὸ πλειόνων ἀνάσσειν ἰσχυρότερος· ὁ Ἀγαμέμνων ἄρα τοῦ Ἀχιλλέως τιμιώτερος.

ις'· Ἀτρείδη, σὺ δὲ παύε τὸ τεὸν μένος. – Ὁ βασιλεὺς μεγαλόψυχος καὶ οὐκ ὀργίζεται· ὁ Ἀγαμέμνων βασιλεύς· ὁ Ἀγαμέμνων ἄρα μεγαλόψυχος καὶ οὐκ ὀργίζεται.

ιζ'· Αὐτὰρ ἐγὼ λίσομαι Ἀχιλῆϊ. – Τὸν χρήσιμον καὶ ξύμφορον θεραπεύειν χρή· ὁ Ἀχιλλεὺς χρήσιμος καὶ ξύμφορος· τὸν Ἀχιλλέα ἄρα θεραπεύειν χρή.

Digitized by Google

Ἐξ ὧν ἁπάντων τίνα τῷ ῥήτορι ἴδια καὶ τίνα τοῖς ἀυτῦ κρείσσονας καταλλάττοντι καὶ παρανοῦντι προσεῖναι δεῖ, σαφῶς ἀναφαίνονται· τῷ μὲν γὰρ ῥήτορι, τὸ τὰ προσήκοντα λέγειν καὶ εὐπρόσδεκτα τοῖς ἀκούουσι, τό τε πρὸς εὕρεσιν καὶ ἐνθύμησιν τῶν λόγων ἐξύτατον καὶ ἡ πρὸς τὰς λόγους πεῖρα καὶ ἄσκησις τῆ πείθειν· καὶ πρὸς τούτοις τὸ εὐφραδὲς καὶ ἡ μετὰ χάριτος προφορά· τῷ δὲ καταλλάττοντι καὶ παρανοῦντι τοὺς κρείσσονας, τὸ γηραιὸν, τὸ πρακτικὸν, τὸ ἔντιμον· ὑπὸ γὰρ τοῦ νεωτέρου μᾶλλον αἰσχύνην ἢ πειθὼ φέρει τῷ παρανουμένῳ ἡ παραίνεσις· ὑπὸ δὲ τοῦ ἀπράκτου, καταφρόνησις τῷ λόγῳ ξυνέπεται· ὁ τε ἄτιμος, οὐ παῤῥησίας ἔχων, οὐ τοῖς κρείττοσι παῤῥησιασθήσεται· τολμητέας γὰρ μᾶλλον δόξει καὶ προπετὴς τοῖς ἀκούουσι ταῦτα πάντα ἐν τῷ τοῦ Νέστορος λόγῳ, τῷ ζητοῦντι εὐχείρωτα γίνεται, εἴγε μετὰ ἐπιστάσεως ταῦτα διέρχεται.

Ὅτι δεῖ τὴν ἰσχὺν τοῦ σώματος πείθεσθαι τῷ λόγῳ, ὡς τῷ τεχνήτῃ τὸ ὄργανον.

V. 286. – 7. Ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες.

ἀλλ' οὐδ' ἀνὴρ ἐθέλει πέρι πάντων ἔμμεναι ἄλλων.

Ὡς περ τὸ τῦ ἀνθρώπυ σῶμα χωρὶς τῆς ψυχῆς ἀκίνητον μένει πάντη καὶ ἀνενέργητον, καὶ τὸ εἶναι ἄνθρωπος ἀπόλλυσιν· οὕτω καὶ ἐν πάσῃ τάξει μὴ τηρουμένῃ, καὶ τὰ ὧν ἐστι αὐτὴ συναπώλητα· ἡ γὰρ τοῦ στρατοῦ τάξις μὴ σωζομένη, οὐδὲ στρατὸς παραυτίκα ὀνομασθήσεται, ἀλλ' ἀνθρώπων συνάθροισις οἷς εἰ καὶ ἐλάσσως καὶ ἀσθενέστεροι εὐτάκτως προσβάλλοιεν, ῥᾷον νικήσουσι· καὶ παντελῶς διαφερῦσιν ὡς ὀλίγοι λύκοι πολλὰ πρόβατα· ὡς περ οὖν ἡ ψυχὴ ἐν τῷ σώματι δεσπότυ τάξιν ἔχει καὶ τεχνήτου, τὸ δὲ σῶμα δέλυ τε καὶ ὀργάνυ, ἕτω καὶ ἐν ταῖς πολιτείαις καὶ τοῖς στρατεύμασιν· οἱ μὲν ἡγούμενοι, δεσπόται, καὶ δημιουργοὶ νο-

Digitized by Google

μισθήσονται· οἱ δ' ἑπόμενοι καὶ τὸ πλῆθος, θῆλοι καὶ ὀργανα ἀναλόγως ῥηθήσονται. Πᾶσα γὰρ τάξις ἐκ τῶν πρός τι συνίσταται, πρώτου δηλαδὴ καὶ δευτέρου· τὸ δὲ πρῶτον καὶ δεύτερον πολλαχῶς ἐκληπτέον· οἷον, χρόνῳ, τόπῳ, ἀξίᾳ, αἰτίᾳ, φύσει, θέσει· ὧν θάτερον θατέρῳ δίχα τοῦτον εἶναι οὐ δύναται· καὶ ὁ μὲν κρατητὸς ἀνάλογος τῷ λόγῳ· ἡ δὲ τῶν σωμάτων ἰσχὺς, τοῖς ὀργάνοις· διὸ εἰ μὴ τῷ λόγῳ τὰ ὄργανα πείθοιντο, ἀμφοτέρων ἡ δύναμις ἄχρηστος τοπαράπαν καὶ ἀνενέργητος γίνεται· ἔστι δὲ τῶν δυσχερεστάτων τὴν μεγάλην καὶ ἄλογον ἰσχὺν κατασχεῖν τοῦ τινός· καὶ ταῦτα ἐν ἐξουσίᾳ ὄντος· δυσπειθὴς γὰρ ὁ τοιοῦτος γίγνεται, καὶ τύραννος· οὐ γὰρ τῷ λόγῳ, ἀλλὰ τῇ αὐτῶ δόξῃ πράττειν βούλεται θαῤῥῶν τῇ δυνάμει τοῦ σώματος· διὸ καὶ ὁ Ἀχιλλεὺς ἀπειθὴς τῷ κρατοῦντι διὰ τὴν τοῦ σώματος ἰσχὺν καὶ ἄναρχος γίνεται· δεῖ τοίνυν τὸν ὄντως ἀνδρεῖον, τῷ λόγῳ μᾶλλον ἢ τῇ τοῦ σώματος ῥώμῃ ἑπόμενον ἐπιτελεῖν τὰ ἀνδραγαθήματα· οὕτω γὰρ καὶ ἑαυτῷ καὶ τοῖς ἄλλοις ξύμφορος γενήσεται· ἄλλως δὲ τῶν δειλῶν ἀχρηστότερος καὶ χείρων φανήσεται.

V. 348. - 9. Αὐτὰρ Ἀχιλλεὺς
δακρύσας, ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθείς.

Διὸς τὸν Ἀχιλλέα κλαύσαντα ὁ ποιητὴς παρεισάγει, τιμῆς ἕνεκα δηλονότι καὶ φίλου· ἀμφότερα γὰρ τῷ πολιτικῷ ἀνδρὶ πλείστου ἄξια· οὔτε γὰρ ἄνευ τιμῆς, οὔτε φίλων χωρὶς ὁ ἀγαθὸς καὶ σπουδαῖος πολίτης ζῆν ἐφίεται· ὡς περ γὰρ ὁ θεὸς τῶν ἐφετῶν ἐστι τὸ ἀκρότατον, πρὸς ὃν οἱ ἐπιρρίφοντες καὶ τῷ νῷ ἐκείνῳ ἑνούμενοι μακάριοι καὶ αὐτάρκεις τῆς αὐτῶν ἐφέσεως γίγνονται, οὕτω πῶν τῷ παρόντι βίῳ ἡ τιμὴ καὶ ὁ φίλος πάντων ποθεινότατα τοῖς λόγῳ ζῆν βουλομένοις. Ἡ γὰρ τιμὴ τῷ τιμωμένῳ μαρτυρίαν παρέχει καὶ βεβαίωσιν, ὅτι σπουδαῖος ἐστὶ καὶ ψόγου ἀμέτοχος· διὰ

Digitized by Google

πάσας τὰς τοῦ σώματος ἡδονὰς πολλοὶ καταλείπουσι καὶ κινδύνους αὐθαιρέτους τιμῆς ἕνεκα λαμβάνουσιν· αὕτη γὰρ μόνη συγγράφεται τοῖς ἀνθρώποις, ὅτι τῆς ψυχῆς ἐστὶν ἰδία τις ἔφεσις· ὁ μέγας δὲ ἄν τις εἴποι τῆς ἀθανασίας ταύτης τεκμήριον· ἀλλὰ καὶ ὁ φίλος ἀπόλαυσις ἐστὶ τοῦ ἡμετέρου βίου, καὶ οἷον ὅρος τῶν εὐφραινόντων τι καὶ λυπούντων ἄλλος αὐτὸς τῷ φίλῳ γεγόμενος. ἐν αὐτῷ γὰρ πάντα τὰ ἡμέτερ' ἀποτιθέντες ὡς ἔν τινι ταμείῳ, ἡσυχάζομεν· καὶ οὐκ εἰς ἄπειρον λύπης ἢ χαρᾶς διάνοιαν ἤνεγκεν διὰ μᾶλλον τοῦ φίλου ἕνεκα ὀδυρόμενον καὶ ζῆν οὐκ ἀνεχόμενον ἐκείνου χωρὶς ποιεῖ τὸν Ἀχιλλέα· πάντα γὰρ ἄνευ φίλου ἀηδῆ καὶ ἀβέβαια τὰ ἀνθρώπινα, ὑποψίας πλήρη καὶ δίης γενόμενα διὰ παντὸς ἐπιπικρότερον καὶ ὀδυρόμενος ὁ Ἀχιλλεὺς οὐ μεμπτέος· οὐ γὰρ μαλακίας, ἀλλὰ μᾶλλον ἀνδρείας τὰ περὶ τούτων πραγμάτων ῥεόμενα δάκρυα. Ὁ γὰρ μὴ περὶ τῶν ἀρίστων ἀλγῶν, οὐκ ἄνθρωπος, ἀλλὰ θηρίον ῥηθήσεται.

Τίνος δ' ἕνεκα τῶν ἑταίρων χωριζόμενον τοῦτον ποιεῖ; ὅτι τὰ ἐντὸς συμβαίνοντα, ταῦτα καὶ ἐκτὸς ἡμῖν φιλεῖ γίγνεσθαι· λυπουμένων γὰρ ἡμῶν ἢ καὶ φοβουμένων, ἡ καρδία συγκέλλεται, καὶ οἱονεὶ κρύπτεται· ὡς περ τἀναντίον θαρρούντων καὶ ἡδομένων διαχεῖται· καὶ πρὸς πάντα τὰ μέλη τὴν αὐτῆς ἡδονὴν καὶ τὸ μηδίασμα πέμπει τὴν κοινωνίαν τῶν ἑταίρων ζητοῦσα· βούλεται γὰρ πᾶσι τοῦ καλῶ μεταδιδόναι τοῦ δὲ κακῶ μετασχεῖν τὰ φίλ' ἀπαναίνεται· διὸ ἐν ἑαυτῇ συγκλομένη καὶ συνιζάνουσα τούτων ὡσανεὶ χωρίζεται· οὕτω καὶ ἡμεῖς λυπούμενοι σχεδὸν παρὰ τῶν γνωρίμων ὁρᾶσθαι αἰδούμεθα καὶ ἐκ εἶπε φίλων νόσφι, ἀλλ' ἑτέρων· τοῖς γὰρ φίλοις μάλιστα τῶν ἀπορρήτων κοινωνοῦμεν, καὶ τὴν αἰσχύνην οὐ κρύπτομεν· ἑταῖροι δ' εἰσὶν οἱ ξυνήθεις καὶ γνώριμοι· οὓς ἐνταῦθα τὰς ἡδονὰς



Digitized by Google

ἀκουστέον· ὁ γὰρ λυπούμενος τῶν ἡδονῶν χωρίζεται· καὶ τῇ τῆς ψυχῆς ταραχῇ συγγίνεται· διὸ ἐπ' ἀκτὴν ἕζεται, ἐν ᾗ καὶ τῶν κυμάτων ταραχὴ καὶ συντριβὴ, καὶ τοῦ ἀφροῦ πολιόν ἐστιν· ἅπερ τὸν τῆς ψυχῆς σάλον καὶ κλύδωνα πάντ' αἰνίττεται.

V. 428. Ζεὺς γὰρ ἐς ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας χθιζὸς ἔβη μετὰ δαῖτα· θεοὶ δ' ἅμα πάντες ἕποντο.

Δία μὲν ἐνταῦθα τὸν νοῦν νόει· ὠκεανὸν δὲ, τὸ τοῦ νοῦ ὡς ὕδωρ ῥευστὸν καὶ ἀκίνητον· Αἰθίοπας δὲ, τὴν ἀπὸ τῆς λύπης ζέσιν καὶ ξηρασίαν καὶ συννεφὲς μελαγχῶδες· οὕτω γὰρ τὴν φύσιν καὶ οἱ Αἰθίοπες· θερμοὶ δηλονότι καὶ ξηροὶ καὶ μέλανες· ταῦτα γὰρ τὰ πάθη ὑπὸ τῆς ὀργῆς καὶ τῆς λύπης τοῖς ἀνθρώπαις ξυμβαίνουσι· καὶ αἱ λοιπαὶ τῆς ψυχῆς δυνάμεις τῷ τεταραγμένῳ νῷ ὡς βιαίῳ τυράννῳ ἅμα ξυνέπονται· ἀφορῶντι μόνον πρὸς ἀντιλύπησιν· ἐξ ὧν ἐστιν εἰδέναι, ὅτι τὸ σφοδρὸν τῆς ὀργῆς καὶ τῆς λύπης δώδεκα ἡμέρας δύσκρατον τῇ ξηρασίᾳ ποιεῖ τὸν ἐγκέφαλον· Θέτιν δὲ λέγει τὸν ἀπὸ τῆς τροφῆς εὔκρατον ἀτμὸν, θυγατέραν οὖσαν τῆς ὑγρότητος· ἡ τῷ δυσκράτῳ ἐγκεφάλῳ μιγεῖσα καὶ ξυγκεράσασα τὰς τοῦ νοῦ δυνάμεις ἀναρανωθεῖ ἤδη πεπονημένας.

---

## ΧΡΙΣΤΟΦΟΡΟΥ ΕΙΣ ΤΗΝ ΤΗΣ ΙΛΙΑΔΟΣ ΠΡΟΘΕΣΙΝ.

Il. α'. v. 1. Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος.

Εἰπόντες τίνος ἕνεκα ἀπὸ τούτου ὁ ποιητὴς ἤρξατο, καὶ τὰ ἐν αὐτῇ τῇ προθέσει θεωρούμενα εἴπωμεν· βουλόμενος ὡς εἴρηται τὰς πρακτικὰς ἀρετὰς ἐνταῦθα παραδοῦναι, δι' ὧν ὁ ἀνθρώπου ἄριστος βίος τελειοῦται καὶ πρὸς θεωρίαν καὶ

Digitized by Google

ἀπάθειαν ἔρχεται, ἀπὸ τοῦ τῷ σώματι προσόντος ἰδίου τὴν ἀρχὴν ἐποιήσατο διὰ τὸ μᾶλλον τῆς τοῦ σώματος ἰσχύος τὰς πρακτικὰς ἀρετὰς δεῖσθαι πρὸς κατόρθωσιν· τοῦτο δ' ἐστὶ τὸ ἀντιτείσθαι καὶ ἡ ἐναντίωσις· ὃ διὰ τοῦ μῆνιν ἐσήμανε· πᾶν γὰρ σῶμα τὰ μέρη ἔχει τοῖς μέρεσιν ἀντικείμενα, τάς τε ποιότητας μαχομένας· τὸ δ' ἀνθρώπινον πρὸς τούτοις καὶ τὴν αἰσθητικὴν ψυχὴν τῇ λογικῇ ἀεί γε πολεμοῦσιν ὡς σωμοποδεστέραν· εἰπὲ οὖν φησι, σοφία, τὴν στᾶσιν καὶ ἐναντίωσιν τοῦ πηλίνου σώματος καὶ πολυχέλου· ἀπὸ γὰρ τοῦ πηλοῦ Πηλεὺς, πηλοῦ γὰρ ἐσμὲν υἱοί· καὶ ἀπὸ τοῦ ἐπιτατικοῦ α καὶ τοῦ χιλοῦ, Ἀχιλλεὺς, ὁ πολύχιλος· οὐ γὰρ στερητικὸν ἐνταῦθα τὸ α· μυθικὸν γὰρ ἐκεῖνο· πολύχιλον γὰρ εἶναι δεῖ τὸ τοῦ πρακτικοῦ σῶμα, καὶ εὔσαρκον, τῷ τοῦ θεωρητικοῦ παραβαλλόμενον. Ἤρξατο δὲ ἐκ τοῦ σώματος, ὅτι τῆς πρὸς τὸ λόγον μάχης τοῦτο, ἀλλ' οὐχ ὁ λόγος αἴτιον γίγνεται τὴν τάξιν παραβαῖνον τῆς φύσεως· εἰ γὰρ ὑπήκοος ἦν τῷ λόγῳ, τῷ φύσει ἡγεμονεύοντι, οὐ μάχη, ἀλλὰ φιλία ἐνεργοῦσιν ὑμῖν ἂν ἐγίνετο· ἐπεὶ δ' ἐκ τῶν ἐναντίων καὶ τῆς μάχης τὸ ἄλογον σῶμα τὸν ἴδιον βίον συντηρεῖ, μῆνιν ἀλλ' οὐ μάχην ἢ πόλεμον εἴρηκεν, ἀπὸ τοῦ μένειν· εἰ γὰρ ὑφ' ἑτέρας ποιότητος τελέως κατακρατηθῇ, καὶ τὸ ζῆν ἂν συναπώλεσεν· ἐπεί τε τὸ νεῖκος συντηρεῖ τὸ ζῶον, ἐν μέρει κρατούντων καὶ κρατουμένων τῶν ποιοτήτων, κυρέως καὶ τὸ οὐλομένην προσέθηκεν, τὸ φθεῖρον δηλονότι καὶ φθειρόμενον· λαμβάνει δὲ τὸν πηλὸν ἐν τῷ τοῦ ἀνθρώπου σώματι ἀντὶ παντὸς στοιχείου, διὰ τὸ μᾶλλον ἡμῖν ὑπάρχειν τὸ γήϊνον· αὕτη δ' ἡ μῆνις καὶ μάχη τοῦ ἀλόγου πρὸς τὸ λογικὸν, τοῖς Ἀχαιοῖς, τουτέστι τοῖς ἐν πολλῷ τῷ χάει καὶ τῇ συγχύσει ζῶσι, ὄπειρα φέρει τὰ ἄλγη καὶ τὰς ὀδύνας· ἀεὶ γὰρ οἱ πλανώμενοι πάσχουσι καὶ λυποῦνται· ὁ γὰρ μὴ τοῦ δικαίου τὸ ἄδικον, καὶ τοῦ δικαίου τὸν ἀνδρεῖον διακρίναι

γνώσεων, χάος καὶ σύγχυσιν βίον ἔχει, μήτε δίκαια μήτ' ἀνδρεῖα πράττειν ἐπιστάμενος· καὶ ἑαυτῷ καὶ ταῖς αὐτοῦ λύπης αἴτιος καθίσταται. Διῖ οὖν τὸ ἄλογον τῷ λογικῷ παρασκευάσαι ὑπήκοον· ἵν' ὅτι δεῖ καὶ ὅσον δεῖ καὶ ἐπεῖον δεῖ πρακτέον κατὰ λόγον εἴσηται· Ἀχαιοὺς τοίνυν λέγει τοὺς ἀλόγως διάγοντας· οἷς ἡ ἄλογος κίνησις τῆς ψυχῆς μυρία καὶ ἄπειρα ἄλγη πεποίηκε.

V. 3. - 5. πολλῶν δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν ἡρώων, αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν, οἰωνοῖσί τε πᾶσι.

Τοῖς μὲν ἀχαοῖς καὶ ἀλόγως βιοῦσιν ἡ μῆνις, τουτέστιν ὁ πόλεμος τοῦ λογικοῦ καὶ ἀλόγου, λύπην ἄπειρον εἰσγάζετο· τοῖς δ' ἰφθίμους καὶ ἀνδρείας ψυχὰς ἔχουσι, χωρισμὸν εὐπροξένει τῷ λογικῷ ἀπὸ τοῦ ἀλόγου· καὶ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητά, τοὺς ἥρωας ἄρουσα· διὸ εἰς ἅϊδα τὰς ἰφθίμους ψυχὰς πέμπεσθαι, τουτέστιν ἐπὶ τὰ μὴ ὁρώμενα, ἀλλὰ νοούμενα εἴρηκε· καὶ θίγα τοὺς ἥρωας θεήρει· τὰ μὲν σώματα τούτων τῇ γῇ καὶ τῷ συνθέτῳ, ἅπερ διὰ τῆς ὀνόματος τοῦ κυνὸς ἐσήμανεν, ἔπεμπε· τὰς δὲ ψυχὰς εἰς τὸν οὐρανὸν κουφισθείσας ὡς οἰωνοὺς ἔστειλε· χωρισθεῖσα γὰρ τοῦ σώματος ἡ ψυχὴ, καὶ τῶν παθῶν καθαρθεῖσα πάντων τῶν ὄντων, τὴν ἀτρεκῆ γνῶσιν φέρεται τῷ καθαρῷ καὶ ἀύλῳ νοΐ ἑνωθεῖσα· ὁ γὰρ κύων χερσαῖον ἐστὶ ζῶον, καὶ ζῆν οὐ θύναται τῆς τοῦ ἀνθρώπου χωρισθὲν προμηθείας· ᾧ δηλοῖ τὸ σύνθετον· πᾶν γὰρ σῶμα ἐξ ὕλης καὶ εἴδους συνίσταται· ὁ δ' οἰωνὸς ἄϊριον, καὶ ἀπὸ τῆ οἴησ παράγεται, ὅθεν καὶ τὸ οἴεσθαι ὥστε τὸ τῆς ψυχῆς ἁπλοῦν τε καὶ ἄυλον διὰ τούτου αἰνίττεται· ὁρῶντες γὰρ οἱ ἀρχαῖοι ὄρνιν πετώμενον, ᾤοντο θεόθεν πεμφθέντα πρὸς θήλασιν· ὅθεν καὶ τὸ οἰονίζεσθαι εἴληπται.

V. 5. Διὸς δ' ἐτελείετο βουλή.

Digitized by Google

Τουτέστι τὸ κατὰ φύσιν ἀνεμποδίστως ἐγίγνετο· οὔποτε γὰρ τὸ κατὰ φύσιν ὑπὸ τοῦ θείου κωλύεται· εἰ μέν πω κατ' οἰκονομίαν τῇ ὑπὲρ φύσιν ὑποχωρήσει ἐνεργείᾳ μείζονος ἀγαθοῦ τινος ἕνεκα.

V. 6. – 8. Ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
Ἀτρείδης τε, ἄναξ ἀνδρῶν, καὶ δῖος Ἀχιλλεύς·
τίς τ' ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;

Δυεῖν ὁ ποιητὴς ἐχρήσατο ἐρωτήσεσι· ἡ μὲν πρώτη μόνου τοῦ σώματος τὸν Ἀχιλλέα γὰρ μόνον ἐν ἐκείνῃ παρέλαβεν· ᾧ τὸ σαρκῶδες σημαίνει καὶ γήϊνον· διά τε τὴν τοῦ ἀλόγου μάχην πρὸς τὸν λόγον, ἀπὸ τοῦ σώματος ἔχειν τὰς αἰτίας· τὸ γὰρ μὴ τὰς ποιότητας εὐκράτους ἔχον καὶ τὰς συμμετρίας καὶ κατὰ λόγον ἐθισμοὺς σῶμα, δειλοὺς ἢ ἀσθενεῖς, ἢ μαινομένους ποιεῖ· διὰ γοῦν τὸ ἀπὸ τοῦ σώματος τὰς πρακτικὰς ἀρετὰς μᾶλλον γίγνεσθαι, ἐκεῖνο πρῶτον προσέθηκε τὸν Ἀχιλλέα εἰπών· ἐπεὶ δὲ καὶ ψυχῆς γενναίας τὸ σύμμετρον καὶ ἀκέραιον καὶ εὔκρατον σῶμα δεῖται πρὸς κατόρθωσιν τῶν κατ' ἀρετὴν πράξεων, δευτέραν ἐρώτησιν ἐποιήσατο, τὸ ποιητικὸν ζητῶν αἴτιον τῆς τοῦ σώματος πρὸς τὸν λόγον μάχης· ἀεὶ γὰρ ὁ πρακτικὸς τοῖς σωματικοῖς καὶ ἀλόγοις κινήμασιν ἀντιτάττεται· καὶ τὸν μὲν Ἀγαμέμνονα ἀντὶ ψυχῶν λαμβάνει· τὸν δ' Ἀχιλλέα ἀντὶ σώματος· διὸ καὶ τὸ μένος ἄγαν τῆς ψυχῆς εἶναι εἴρηκεν· ἐκείνη γάρ ἐστιν ἡ κινοῦσα τὸ σῶμα· ταῦτα δὲ τὰ δύο τὴν ψυχήν φημι καὶ τὸ σῶμα, ἐν τῇ τοῦ Πριάμου πρὸς τὴν Ἑλένην πεύσει, ἀμφότερα ἐν τῷ τοῦ Ἀγαμέμνονος ὑποκειμένῳ συνέλαβε λέγων· (Il. γ'. 166. – 170.)

ὥς μοι καὶ τόν δ' ἄνδρα πελώριον ἐξονομήνης,
ὅστις ὅδ' ἐστὶν Ἀχαιὸς ἀνὴρ ἠΰστε μέγας τε,
ἤτοι μὲν κεφαλῇ καὶ μείζονες ἄλλοι ἔασιν·
καλὸν δ' οὕτω ἐγὼν οὔπω ἴδον ὀφθαλμοῖσιν;

Digitized by Google

οὐ δ' οὕτω γεραόν βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικεν.

Ἐνταῦθα γὰρ τὸν ἐν ταῖς πρακτικαῖς ἀρεταῖς ἐπιτήδειον ὑποῖον εἶναι ὑπέγραψεν· ἄνδρα δηλονότι καὶ οὐ γυναικοπρόσωπον, καὶ τοῦτον πελώριον, οἷον ἐξαίσιον ᾧ δηλοῖ τὸν εὐμήκη καὶ τὸ εἶδος ἀνδρεῖον, ἀλλ' οὐχ ὡς ὁ βουγάϊος ἐκεῖνος Ἶρος καὶ ἄναλκις εἴρηκε δὲ καὶ Ἀχαιὸν, ὅτι τὰ τοιαῦτα σημεῖα ἐκ τοῦ σώματος ἔλαβεν· τουτέστιν ἀπὸ τῆς συγκεχυμένης καὶ σωματικῆς εἰδήσεως· ὃν δὲ πρότερον ἄνδρα πελώριον εἴρηκε, τοῦτο ταῖς ἑπομέναις λέξεσιν ἐξηγήσατο· ἀνὴρ λέγων ἠΰς τε μέγας τε, ἀνδρεῖος δηλονότι καὶ ἀγαθὸς καὶ μέγας· οὐ γὰρ μόνον μέγαν εἶναι δεῖ, ἀλλὰ καὶ τῷ εἰδέσθαι ἡδύν· ἡδὺς δέ ἐστιν, ὅτε τὸ τῆς ψυχῆς κάλλος εὔρυθμον διὰ παντὸς τοῦ σώματος δείκνυται. Τὸ δὲ γεραρὸν, τὸ ἐξ ἔθους ἠσκημμένον κατὰ λόγον σεμνὸν, καὶ μή τε εὐτράπελον, μή τε ῥάθυμον φαίνεσθαι· μή τε γελοῖον ἢ σκυθρωπὸν, ἀλλὰ τὸ μέσον τηροῦν· ὁ γὰρ βραχὺς τὰ σῶμα, πρὸς τὰ ἀνδρεῖα οὐκ ἐπιτήδειος· ὁ δὲ λίαν μέγας, τῇ τοῦ μεγέθους ὑπερβολῇ τερατώδης· ὅ τ' αἰσχρὸς, φευκτός πω καὶ ὕποπτος· ὁ δ' εὐτράπελος καὶ γελοῖος, εὐκαταφρόνητος καὶ ὁ σκυθρωπὸς καὶ ῥάθυμος πρὸς, ὁμιλίαν καὶ συνανα-στροφὴν ἀηδής· ὥστε τὸν πολιτικὸν ἄνδρα τοιοῦτον εἶναι δεῖ, οἷον ὁ ποιητὴς τὸν Ἀγαμέμνονα ὑπογράφει· πᾶς δὲ πολιτικὸς τέλειος, ἱκανός ἐστιν εἰς βασιλείας ἀξίωμα. Ἀντίαν δέ φησι τῆς μάχης καὶ τῶν πράξεων τὴν τῶν ἐναντίων ἐγγύτητα, καὶ συγγένειαν, ἣν Διὸς καὶ Λητοῦς φησιν υἱόν· οἷον τὸν Ἀπόλλωνα· οὗτος γὰρ τοῦ τὰ στοιχεῖα εἰς ἄλληλα μεταβάλλεσθαι αἴτιος τῇ πορουσίᾳ καὶ ἀπουσίᾳ θερμαινόμενα καὶ ψυχόμενα· καὶ τὴν ζωὴν τοῖς ἀψύχοις δίδωσι καὶ τοὺς χυμοὺς ἀλλοιοῦσθαι καὶ τρέπεσθαι κατεργάζεται ὑπὸ τὸν Δῖα τεταγμένος καὶ ὑπὲρ τὴν σελήνην· τουτέστι τῆς πείσεως καὶ τῆς δράσεως μέσον καὶ μέτρον καθιστά-

μενον ἀμετρίας δὲ τῆς τοῦ ἀέρος ποιότητος ὑπὸ τοῦ ἡλίου γεγονυίας, φθορὰ τοῖς ζώοις ἐπικολουθεῖ καὶ λοιμός διὸ οὐ τὸν Ἀγαμέμνονα, ἀλλὰ τοὺς ὑπ' αὐτὸν, τουτέστι σῶμα, φθείρει ἄφθαρτος γὰρ ἡ λογικὴ ψυχὴ, νοῦν ἀθάνατον ἔχουσα· ἀφαιρεῖται δ' ὁ Ἀγαμέμνων, οἷον ὁ λόγος τὴν Βρισηΐδα, οἷον τὴν ἡδονὴν τοῦ Ἀχιλλέως, τουτέστι τῆς αἰσθητικῆς καὶ σωματικῆς ψυχῆς· διὸ ἡ μάχη τῆς ὀρέξεως πρὸς τὸν λόγον γίνεται, τοῦ μέσου καὶ μετρίου χολωμένου καὶ μὴ κατὰ φύσιν μένοντος. δεῖ γὰρ φύσει τὸν λόγον ἡγεῖσθαι τοῦ ἀλόγου. Ζητῶν δὲ καὶ ὁ Ἀχιλλεὺς, τουτέστιν ἡ σωματώδης ψυχὴ, τίνος ἕνεκα φθείρεται ὑπὸ τοῦ τὰ γήϊνα φθείροντος λοιμοῦ, καὶ τὰς ὀρέξεις τοῦ σώματος, εὑρίσκει τὸν Ἀγαμέμνονα αἴτιον· οἷον τὴν λόγῳ χρωμένην ψυχήν· ἢ τις οὐκ ἐᾷ τὸ σῶμα εἰς ἀχαλινώτους ὀρέξεις καὶ πολυσαρκίας ἐκτείνεσθαι· ἀλλὰ φθείρει τὸ ἐκείνου ἄμετρον, λαβοῦσα τὴν θυγατέρα, οἷον τὴν φρόνησιν τοῦ ἱερέως τοῦ Ἀπόλλωνος, τουτέστι τοῦ συμμέτρου τὴν ὄντως χρυσὴν καὶ χρυσηΐδα· διὰ τοῦτο τὸν Ἀγαμέμνονα κακίζει ὁ Ἀχιλλεὺς, ὅτι κατέχει τὴν φρόνησιν, ᾗ τὰς σωματικὰς ὀρέξεις ἀπαμβλύνει βούλεται γὰρ τὸ σῶμα στερῆσαι τὴν ψυχὴν τῆς φρονήσεως· διὸ καὶ ζητεῖ καὶ εὑρίσκει τὸ αἴτιον συμπράττοντα πλεῖστα μεθ' ἑαυτοῦ ἔχον πρὸς ἄφεσιν τῆς φρονήσεως· τοὔνεκα καὶ τοὺς Ἀχαιοὺς καὶ ἀλόγως βιοῦντας, οἷον τὰς σωματικὰς ὀρέξεις, ἐπευφημίσαι γε εἴρηκεν. ὥστε ἐν τῇ παρούσῃ προθέσει τὴν πρακτικὴν ἀρετὴν ὁ ποιητὴς καθυπέγραφε· πόλεμον αὐτὴν εἶναι τῆς ψυχῆς καὶ κάθαρσιν· ὀδύνην τε τῆς σαρκὸς καὶ τοῦ ἀλόγου. Τῆς γὰρ ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν ἀθάνατοι καθ' Ἡσίοδον· τὴν δὲ τῶν ἀρετῶν διαίρεσιν ἔστιν εἰδέναι ἐν τῇ προῤῥηθείσῃ πεύσει τοῦ Πριάμου· τὸ γὰρ ἄνδρα, τὴν ἀνδρείαν· τὸ δὲ πελώριον, τὴν μεγαλοπρέπειαν· τό, τε δεύτερον ἀνὴρ, τὴν σωφροσύνην· μᾶλλον γάρ

τισι φοβερὰ τὰ Ἀφροδίσια ἥπερ οἱ πόλεμοι· τὸ δ' Ἀχαιοὺς, τὴν φιλίαν· συγκεχυμένη γάρ ἐστι, καὶ ἀμυδρὰ πρὸς τοὺς φίλους ἡ τῶν φίλων γνῶσις τῶν ἁμαρτημάτων· καὶ τὸ ἠὺς, τὴν ἐπιείκειαν· τὸ δὲ, μέγας τὴν ἐλευθεριώτητα· τὸ δὲ καλὸν, τὴν δικαιοσύνην· καὶ τὸ γεραρὸν, τὴν φρόνησιν δηλοῦσιν. αὗται δ' εἰσὶν αἱ τῶν ἀρετῶν κυριώτεραι καὶ καθολικώτεραι.

Καὶ ταῦτα μὲν ἡμῖν, ἐξ αὐτῶν τῶν ῥημάτων τοῦ ποιητοῦ, καὶ τῶν πραγμάτων συναδόντων ἐν τῇ τῆς Ἰλιάδος προθέσει ἐπινενόηται.

---

## ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ ΠΡΟΘΕΣΙΝ.

Ἐπειδὴ, ὡς καὶ ἐν τῇ τῆς Ἰλιάδος προθέσει προείρηται, σκοπός ἐστι τῷ ποιητῇ ἐν ταύταις ταῖς δυσὶ τῶν πραγματειῶν, Ἰλιάδος δηλαδὴ καὶ Ὀδυσσείας, τὸν τῶν ἀνθρώπων ἄριστον βίον διαγράψαι· ὃς τῷ σώματι τελεῖται καὶ τῇ ψυχῇ, ταὐτὸν δ' εἰπεῖν τῇ πρακτικῇ καὶ θεωρητικῇ ἐνεργείᾳ καὶ ἐκ θνητοῦ ζώου ἀθάνατον ἀποδεῖξαι τὸν ἄνθρωπον· εἰπὼν ἐκεῖ τὰς σωματικὰς τουτέστι πρακτικὰς δυνάμεις, τὰς ψυχικὰς ἐνταῦθα εἰπεῖν προτίθεται. Εἰ γὰρ καὶ φύσει συνεχεῖς, τῷ πλεονεκτοῦντι δ' ὅμως χωρίζονται· ἐν μὲν γὰρ τῇ Ἰλιάδι τὸ σῶμα, ἐν δὲ τῇ Ὀδυσσείᾳ τὴν ψυχὴν πονεῖν μᾶλλον δείκνυσι· διὸ καὶ τοὺς ἀγῶνας, κατὰ τὴν τῶν ὑποκειμένων διαφορὰν, διαφόρους εἰσάγει· τὰ γὰρ ἀνδραγαθήματα τοῦ Ἀχιλλέως, θαυμαστὰ μὲν, οὐ μὴν ὑπὲρ ἄνθρωπον· τὰ δὲ τοῦ Ὀδυσσέως, ὑπερφυᾶ· οὐ γὰρ ἀνθρωπίνης δυνάμεως τὸ τρεῖς ἡμέρας καὶ νύκτας γυμνὸν ἐπὶ θαλάττης νήχεσθαι· καὶ αὖθις δέκα ἡμέρας καὶ νύκτας ὁμοίως τοῖς κύμασι φέρεσθαι· καὶ τοῦ τερατώδους Κύκλωπος τὸν κίν-

Digitized by Google

δυνον ἐκφυγεῖν· καὶ τὴν τῆς Καλυψοῦς ἀθανασίαν ξυνιέναι καὶ καταλιπεῖν· καὶ τὴν τῆς Κίρκης φυγεῖν μεταμόρφωσιν· καὶ τὴν εἰς ᾅδου ἄφιξιν· καὶ τἄλλα ἅπερ οὐκ ἀνθρώπου, ἀλλὰ θεοῦ ἐστι κατορθώματα. Ταῦτα γὰρ πάντα, οὐ θεωρίαι εἰσὶ καὶ μαθήματα· ὁ γὰρ θεωρῶν ἡσυχάζει· οὐ περᾷ πελάγη καὶ μάχεται· ἀλλὰ τὴν τοῦ θεωροῦντος ψυχὴν, ἐκ τῶν πράξεων ὁποίαν εἶναι δεῖ παριστάνει, τλήμονα δηλονότι καὶ καρτερικήν· ταὶ τὰ φοβερὰ τῶν σαρκικῶν καὶ γηΐνων παθῶν ὑπομένουσαν καὶ νικῶσαν· ὁ γὰρ ἐμπαθῶν ζῶν, οὐ θεωρεῖ· ἀλλὰ λογομαχεῖ καὶ πείθει τοὺς ὁμοίους μηδὲν εἰδὼς ἀληθὲς, καὶ βέβαιον· ὁ δὲ τὴν ψυχὴν καθαρθεὶς, οὐ συλλογισμοῖς καὶ ἀδολεσχίαις, ἀλλὰ καὶ σιωπῶν, πρὸς ἑαυτὸν ἕλκει τοὺς ἀξίους τῆς αὐτοῦ ὁμιλίας τῷ νεύματι· ἁ γὰρ θεωρεῖ, οὔτε νοῦς ἀνθρώπινος νοῆσαι, οὔτε γλῶσσα φθέγξασθαι δύναται· οὐ γὰρ ἐν βίβλοις, ἀλλ' ἐν τῷ θείῳ φωτὶ τῇ ψυχῇ ἑνούμενος ὁρᾷ τὴν ἀλήθειαν· καὶ σῶμα φορῶν, ἀσώματα θεᾶται, καὶ τὰ ὑπὲρ φύσιν ἐργάζεται· ἀλλ' ἰτέον ἡμῖν πρὸς τὰ τοῦ ποιητοῦ ῥήματα, καὶ ταῦτ' ἐξεταστέον.

Od. α'· v. 1. Ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον.

Δύο μάλιστα τὸν ὄντως ἄριστον καὶ εὐδαίμονα ἀπεργάζεται, πρᾶξις δηλονότι καὶ θεωρία· ὧν ἡ μὲν, τῷ σώματι, ἡ δε τῇ ψυχῇ κατορθοῦται· καὶ ἡ μὲν εὐπειθὲς, τὸ σῶμα τῷ λόγῳ διασκευάζει· ἡ δὲ, τὴν ψυχὴν καθαίρει, καὶ ὁρᾷν ποιεῖ τὴν ἀλήθειαν· οὐ πᾶν δὲ σῶμα καὶ πᾶσα ψυχὴ τὰς κατ' ἀρετὴν πράξεις καὶ τὰς τῆς ψυχῆς καθάρσεις ἐκτελέσαι δύναται, ἀλλ' ὁ σώματος ὑπὸ τῆς φύσεως εὐρώστου τυχὼν καὶ ψυχῆς γενναίας, ὃς καὶ ἀνὴρ εὐλόγως κληθήσεται. Πῶς γὰρ ἀνὴρ ὁ δειλὸς καὶ θηλυδρίας ῥηθήσεται μὴ ἔχων ἠνορέα, ὁ πρὸς τὸν πλοῦτον καὶ τὴν λιχνείαν καὶ τὰ Ἀφροδίσια καὶ τὴν κολακείαν ἐπτωημένος; ἄνδρα δεῖ

Digitized by Google

ἄρα περιοκέναι τὸν εὐδυμονίας τυχεῖν ἐφιέμενον, ἀλλ' ἔτι καὶ πράξαντα τοῦτον πολλὰ καὶ πονήσαντα ὁ, τῷ πολύτροπον εὐστόχως ἐδήλωσε τι δὲ τὸ, πολύτροπον, ταῖς ἐχομέναις λέξεσιν ἐξηγήσατο πολλὰ μᾶλα εἰπὼν, τὸ ποσὸν καὶ τὸ ποιὸν τοῦ πόνου σημαίνων τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ οὐ μόνον πολλοὺς καὶ πολυειδεῖς, ἀλλὰ καὶ πλανωμένους. Πολλοὶ γὰρ ἔμποροι, καὶ στρατιῶται πολλοὺς καὶ πολυειδεῖς τροπὰς τρέπονται, οὐ πλανῶνται δὲ, ἀλλ' ὡρισμένον τὸ τῆς αὐτῶν τροπῆς τέρμα τῇ διανοίᾳ κατέχουσιν· ὁ δὲ πολλὰ καὶ μάλα τρεπόμενος καὶ πλανώμενος, οὗτος καὶ τῷ ποσῷ, καὶ τῷ ποιῷ καὶ τῇ ἀγνοίᾳ μάχεσθαι βιάζεται· ἐν οἷς τὸ τῆς ψυχῆς γενναῖον καὶ τοῦ νοὸς τὸ ὀξύτατον πρὸς τὸ ἀπροώρατον αἱρεῖσθαι τὰ δέοντα δηλοῦται. Πότε δὲ ταῦτα τῇ ψυχῇ ἐγγίνεται; ὅταν τὸ τῆς Τροίης ἱερὸν πτολίεθρον πορθήσῃ, καὶ τοῦ τρεῖν καὶ δεσμένειν παύσηται, ταῖς πρακτικαῖς ἀρεταῖς ξυνήθης γενόμενος· ἱερὸν δὲ λέγει τὸ τῆς Τροίας πτολίεθρον, ὅτι παρ' Ἀπόλλωνος καὶ Ποσειδῶνος κασθῆναι φέρεται· τουτέστι παρὰ τῆς ξηρᾶς καὶ ὑγρᾶς ποιότητος, αἵ εἰσιν τῆς φύσεως ὄργανα· ἱερὰ δ' ἡ φύσις τῷ τοῦ δημιουργοῦ λειτουργοῦσα προστάγματι· αὗται δ' εἰσὶν αἱ παθητικαὶ τῶν στοιχείων ποιότητες, ἐξ ὧν καὶ τὸ ἀνθρώπινον σῶμα συνίσταται. Ὁ γοῦν ἐθισθεὶς πολεμεῖν καὶ νικᾶν τὰ φοβερὰ, ἐκεῖνος καὶ τὰ μᾶλλον τὸν λογισμὸν ταράττοντα πάθη ἱκανὸς νικῆσαι καὶ τὴν Πηνελόπην, τουτέστι τὴν ὑπερφυῆ μακαριότητα ἀνακτήσεσθαι· αὕτη γάρ ἐστιν ἡ τὰς τῶν μοιρῶν πήνας, οἷον τὰ κεκλασμένα κατὰ τὴν τῆς φύσεως ἀκολουθίαν, καὶ τάξιν λῖνα λαβοῦσα καὶ μὴ τούτοις ὑποκεῖσθαι θέλουσα· ἀνώτερα γὰρ ὑπάρχει τῆς φύσεως διὸ καὶ δι' αὐτὴν ἐνέργειαι, ὑπὲρ φύσιν τῷ ποιητῇ παρελήφθησαν. Ὁ γὰρ ταύτην κερδάναι βουλόμενος, τοὺς γιγαντώδεις Ἀαιστρυγόνας, αἱμοβόρους ὀργὰς δηλονότι, φεύ-

γεια δύνασθαι καὶ τοῦ τερπικέρωνος Καλλίοπης, εἶναι τῆς ῥαψῳδίας κατασκευάζεσθαι τοιαῦτα γάρ εἰσιν οἱ ῥαψῳδοῦμενοι ἐν ὄμμα τὴν πίστιν μόνην ἡγούμενον ἔχοντες οἱ τῇ φαντασίᾳ ὑπερμεγέθεις, τῇ δ' ἀληθείᾳ τῶν πάντων ἀσθενέστατοι πέλουσι· τὰ γὰρ ἀνήνυτα γάρ εἰσι καὶ γαυρώδεις καὶ πίονες καὶ ὑπὸ δεινῶν ἀνδρῶν ὡς ἀνδρεάντες λίθινοι ποδαρκέστατοι βαστάζονται· διὸ καὶ τὰ τῶν αἰσθήσεων ὅμοι ἀποβάλλουσιν. Ἐκεῖνος τὴν Καλυψὼ κενοδοξίαν τῆς αὐτὸς διαγωγῆς ἀνάξιον ἡγεῖτο, καὶ τὴν μακροπαθοῦσαν φιλήδονον Κίρκην βιάζεται καὶ τὴν τῶν Σειρήνων κηλητρίαν παρέρχεται· ἴγνω τὰ τοῦ ᾅδου κατάχθονια· ἴγνω τὰ τῆς θαλάττης βάθη καὶ τὰ Πρωτέως μαντεύματα· οὐ τὰ τοῦ λαοῦ λίχνον γαστρὶ χεῖν τοῦτον δύναται· τὰ τῆς Καρύβδεως πλουσιοξίας ἀπορεῖ γε ῥοφήματος· τῶν τῆς Σκύλλης σκυλλάκων ἀμάτητος καὶ ἄρπαγος καὶ ἀδηφαγίας ἀποδιίστατο· τὴν τάξιν ὑπερβαίνει τῆς φύσεως ἔστι θανεῖν ἀθάνατος γίγεται. Ἐς μὲν ἔτι δ' Ἀπόλλωνα καὶ Ποσειδῶνα κρεῖν τῶν ἐνεργητικῶν καὶ παθητικὴν ποιεῖται· ἐς δ' ἀρρενότητα καὶ θηλύτητα· ὁ γὰρ ἀνὴρ εἰς κατὰ λόγον ἐνεργεῖν καὶ πάσχειν πέφυκε, φύσις καὶ τὰ τῶν ἀλόγων πάθη νοεῖν εἰδώς τε. V. Ἐκ πολλῶν δ' ἀνθρώπων εἶδεν ἄστα καὶ ἤθεα ἔγνω.

Τὸν ἐν τούτῳ τῷ βίῳ πλανώμενον, οὐχ ὡς περ τὰ ναυάγια ἔνθεν κἀκεῖθεν ὑπὸ τῶν ἀνέμων καὶ κυμάτων δεῖ φέρεσθαι, μή τι παρὰ τὴν πλεόνων καὶ τὸν πόνον κέρδος νομίζοντα· ἀλλ' ἐκ ταύτης τὴν τῶν ἄστεων γνῶσιν καὶ τὴν καρτερίαν ὡς ἀθλητὴν γενναῖον ἐπαίσασθαι· ἵνα λαμπρῶς ἀναμάρψηται, κατατιτὴν αὐτῆ καραλῶν τὸν τῆς εὐδαιμονίας περιθήσεται στέφανον. Οὐ μόνον δὲ τὰς τειχήρεις πόλεις ἄστεα νοεῖν δεῖ, ἀλλὰ καὶ τὰ ἀνθρώπινα σώματα φημὶ δὴ τὰς διδασκάλους, ὧν καὶ τὴν γνῶσιν τῇ διδαχῇ ἐφανίσατο· δεῖ γὰρ εἰς πολλὰς φρενῶν διδασκάλους τὸν εἰς ἄκρον τῆς ἀρετῆς

ἀρκεῖσθαι βουλόμενον διὰ ἀνθρώπων ἦφι, οὐ βροτῶν ἢ ἀνητῶν, ἀλλὰ τῶν τὰ ἄνω καὶ ὑψηλὰ ὁρώντων καὶ θεῖα θεωρούντων, τῶν δὲ γειρῶν παροράντων.

V. 4. πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα· ὃν κατὰ θυμόν.

Πάντων φησὶ τὸν παρόντα βίον, ἄστατον ὄντα καὶ βραχὺν καὶ τῇ τύχῃ παίγνιον ὑποκείμενον. Πολλὰ δὲ πέπονθεν ὁ τοιοῦτος τῷ πηλίνῳ δεδεμένος σώματι· οὐ γὰρ σώφρονες καὶ σύνετοι ἐκ βρέφους ὑπάρχομεν· ἀλλὰ τῶν ἀλόγων κατ' ὀδὸν τοῖς πάθεσι διεφθάρημεν. Τὸν νοῦν δαμάσαι τὰς ἀλόγους ὁρμὰς βουλόμενον, πονῆσαι δεῖ καὶ ἱδρῶσαι καὶ ἀλγῆσαι πολλαχῶς καὶ πολλάκις· ἐν μεθορίῳ γὰρ τοῦ λογικοῦ καὶ ἀλόγου ἡμᾶς ἡ φύσις ἐνέθηκεν· καὶ ὁ τελέως λογικὸς γενέσθαι βουλόμενος, τῷ ἀλόγῳ πολλάκις μαχήσεται· ὁ δὲ μαχόμενος ἐδίῳ πόνῳ καὶ καθύλῳ μάχεται· διό φησιν, ὃν κατὰ θυμόν· οὐ γὰρ κατὰ τὸ σῶμα, ἀλλὰ κατὰ τὴν ψυχὴν τοῦ ἄλγους ἠσθάνετο, διαζόμενος χωρισθῆναι τοῦ σώματος, καὶ πρὸς τὸ πρῶτον ἀρετὴν ἀρκέσθαι· ἐπαίνῳ γάρ ἐστιν ἡ παθοῦσα καὶ λυπουμένη καὶ διὰ τῆτο τὸ ἀρνύμενος ἦν τε ψυχὴν κυρίως προσέθηκεν· ἀντὶ γὰρ τῶν σωματικῶν καὶ φθαρτῶν ἡδονῶν, τὴν τῆς ψυχῆς ἀφθαρσίαν ἄχραντον κατῆλαξε καὶ πάντα δοὺς καὶ πολλὰ μογήσας ἵνα τὴν ψυχὴν ἤδη προσανακτήσηται. Ὁ γὰρ τοῦ ἀγαθοῦ ἐραμένος, πάσας εἰ δύναιτο ἀγαθοὺς ἂν ἐποίησε διὸ ὁ τῆς ὀρθῆς καὶ θείας πολιτείας ἡμέτερος εἰσηγητὴς καὶ Θεοῦ λόγος, μεγάλων φησὶ χαρὰν γίνεσθαι ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· Πολλὰ τοίνυν πέπονθεν ὁ Ὀδυσσεύς, ὁ σεμνὸν καὶ δαίμονα τὰς ὀδύνας, τὴν ἰδίαν ἄραντον τηρῆσαι ψυχὴν τοῦ πολυταράχου τούτου βίου κλύδωνος βουλόμενος· καὶ τοὺς ἑταίρους ἀπὸ τῆς πεπλανημένης ὁδοῦ ἐπιστρέψαι ποιήσας.

V. 6. ἀλλ' οὐ δ' ὡς ἑτάρους ἐρύσατο, ἑὸν μένος περ.

Digitized by Google

Εἰ καὶ τῆς σωτηρίας πάντων ὡς τῆς ἰδίας ἐφίετο καὶ ὑπὲρ ταύτης ἦλγει, ἀλλ' οὐκ αὐτὴν μέχρι τέλους τηρῆσαι ἠδυνήθη· δεῖ γὰρ ἕκαστον παρ' αὐτῷ φέρειν καὶ τὸν ἴδιον πόνον ὑπὲρ τῆς ἰδίας σωτηρίας· καὶ μὴ ἄλλως προσδοκᾶν περιποιήσασθαι αὐτῷ ῥαθυμοῦντι τὴν μακαριότητα· ἀγὼν γὰρ ὁ παρὼν βίος καὶ θάλαττα περικίνδυνος· καὶ ὁ ῥαιωνευόμενος καὶ τρυφῶν, οὔτε σῴζεται, οὔτε φεύγει τὸν ἴδιον ὄλεθρον· οὐ γὰρ πανεῖ τινος αἴτιον τὸ θεῖον γίνεται πώποτε, παλῶ δ' ἀεί· οὐ βιάζει δ' ὅμως, ἀλλ' αὐτεξούσιον τῆς τοῦ ἰδίου ἀγαθῆ προαιρέσεως ἕκαστον ἀφίησι.

V. 8. - 9. νήπιοι οἱ κατὰ βοῦς ὑπερίονος ἠελίοιο
ἤρυσαν· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ

Νηπίους λέγει τοὺς ψαύλους· οἱ γὰρ πολλοὶ ὑπὸ τῶν πάθους τυφλώττοντες, τὸν σκοπὸν καὶ τὸ τέλος τῆς οἰκείας πράξεως καλῶς ὑποτίθενται· διὸ καὶ Ἀριστοτέλης ἐν τοῖς ἠθικοῖς φησιν· οὐδεὶς ἀπλῶς φρόνιμος. Πῶς γὰρ φρόνιμος, εἴ γε τὸ οἰκεῖον ἀγαθὸν οὐ γινώσκει; βοῦς δέ φησι τὰς ἡμέρας τοῦ βίου· ὁ γὰρ βοῦς γεωργικόν ἐστι ζῷον· καὶ πρὸς φορὰν καρπῶν αὐτῷ χρώμεθα· οὕτω καὶ ταῖς ἡμέραις τοῦ ὑπὲρ ἡμᾶς ἰόντος ἡλίου εἰς τὸ ἐνεργεῖν τὰς κατ' ἀρετὴν πράξεις, αἷς λαμπρυνόμεθα καὶ τῷ ἀΰλῳ φωτὶ προσεγγίζομεν, χρώμεθα· τούτου γὰρ ἕνεκα ἡμᾶς ἡ φύσις καὶ τὸ θεῖον ἐδημούργησεν· ἧν δὲ ταῖς τῶν ἀλόγων ὁρμαῖς καὶ τοῖς πάθεσι σπεδάζομεν, τὰς ἡμέρας ἡμῶν καὶ τὰς πράξεις ὡς λάχανα καὶ κρέατα βοῶν κατεσθίομεν· καὶ τὸ τοῦ ἡμετέρου βίου τέλος, κόπρος καὶ σαπρία γενήσεται, ἡμῖς τε σκώληκες τετυφλωμένοι μετὰ τὴν τοῦ σώματος ἀνάλυσιν μείνομεν· καὶ πρὸς τὴν ἄνω πατρίδα οὐκ ἀφιξόμεθα· οὐ δὲ τὸ νόστιμον ἦμαρ καὶ τὸ τηλαυγὲς οὐράνιον φῶς θεασόμεθα· τῶν γὰρ ἀναξίων ὡς ἀπὸ τῶν μὴ διαφανῶν λίθων ἀφαιρεῖται ἡ ἔλλαμψις.

Digitized by Google

Καὶ τοῦτα μὲν περὶ τῆς ἐν Ὀδυσσείᾳ προθέσεως τὸ κατὰ δύναμιν ἡμῖν εἴρηται· περιγράφει γὰρ ἐν ταύτῃ ὁποῖον εἶναι δεῖ τὴν ψυχὴν καὶ τὸ σῶμα, τὸν ὄντως ἐν θεωρίᾳ σχολάζοντα καὶ τὴν εὐδαιμονίαν κτησόμενον, ἀνδρεῖον δηλονότι καὶ γενναῖον πεφυκότα, ἵνα τὰ φοβερὰ καὶ πολύπονα τῶν ἄθλων ἐκτελέσῃ· καὶ τοῦτον ἠσκημένον τὰ μάλιστα ἐν πολλοῖς θεωρήμασι καὶ ἀκούσμασι, περιγενόμενόν τε τῆς ῥαστώνης καὶ τοῦ θυμοῦ· τῆς πλεονεξίας δυσμενῆ, καὶ τὴν ἁρπαγὴν καὶ ἀδικίαν καὶ βίαν ὡς φοβερώτατα φεύγοντα· τὴν κινοδοξίαν ἀποστρεφόμενον, καὶ τὴν φιλοδονίαν μισήσαντα· τὴν κολακείαν φυγόντα, καὶ τὴν λιχνείαν παρειδόντα· καὶ τὴν τῶν ὄντως ὄντων γνῶσιν κτησάμενον· καὶ οὕτω μνηστηροφόνος ὁ τοιοῦτος κληθήσεται· καὶ τὴν σωματικὴν φύσιν ὑπερβὰς, τὰ ὑπὲρ φύσιν θαυματουργεῖν τηνικαῦτα δυνήσεται, καὶ ἃ τῇ φύσει γενέσθαι ἀδύνατα, τούτου βουλομένου ῥᾶστα γενήσεται, καὶ τὸ λοιπὸν θεὸς ἀλλ' οὐκ ἄνθρωπος ἔτι κληθήσεται.

---

## ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΤΟΥ ΑΓΑΜΕΜΝΟΝΟΣ ΠΑΝΟΠΛΙΑΝ ΑΛΛΗΓΟΡΙΚΗ ΕΞΗΓΗΣΙΣ.

Ν. λ'. 17. - 18. Κνημῖδας μὲν πρῶτα περὶ κνήμησιν ἔθηκεν καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας.

Πᾶς ἀριθμὸς μονάδος κατέχει καὶ πᾶν τὸ παράγον τοῦ παραγομένου κρεῖττον· εἰ οὖν τὰ ἀριθμητὰ ἀπό τινος μονάδος παράγεται, δῆλον, ὅτι τούτων κρείσσων ἡ μονὰς, ἐξ ἧς παράγονται· ἐκείνη γὰρ ἑνοειδὴς, ταῦτα δ' ὁμοειδῆ· κἀκείνη μὲν τὸ ἀρχέτυπον· ταῦτα δ' ἐκείνης ἀπεικονίσματα. Ἐπεὶ οὖν καὶ αἱ ἡμέτεραι ψυχαὶ ἀριθμηταὶ καὶ ὁμοειδεῖς

τὰς μονάδες μετέχουσιν, ἐξ ἧς καὶ παράγονται, φημὶ δὴ τὰς νοερὰς ψυχὰς τὰς εἰς ἀριθμὸν καταχθείσας καὶ εἰς ὕφεσιν, ὥς ἐστιν ἐκείνη μέν ἐστιν ἀναιδὴς, αὗται δ' ἀμοιρεῖς ἐκείνης ἀσώματος, αὗται μετὰ σώματος καὶ αἱ παράγονται ἐκ δυνάμεώς τινος προστικῆς, εἰκότως παράγονται, καὶ ἐκ ἄνου νοητῆς πρόοδου τε καὶ κινήσεως. Ἐκ μὲν οὖν τῆ τῆς Ἰλιάδος προθέσει τὸν Ἀχαιμέμνονα ἀντὶ τῆς νοερᾶς ψυχῆς ἐλάβομεν· ἐνταῦθα δὲ, λαμβάνει τὴν αὐτὸν ὁ ποιητὴς, ἀντὶ παντὸς ἀνθρώπου τελείου καὶ βελτίστου· ταῦτα γὰρ ἔν τε τῆ Ἰλιάδι καὶ τῆ Ὀδυσσείᾳ προτίθησιν τετέχθαι τὸν ὄντως τέλειον καὶ ἀληθῶς ἄνθρωπον, ἔκ τε φθορᾶς εἰς ἀφθαρσίαν παραγινόμενον· ἐπεὶ δὲ τὸ τὸν ἄνθρωπον ποιοῦν ἡ νοερὰ ψυχή ἐστιν, ἐκ ταύτης ἄρχεται· αὕτη γὰρ ἐκ τῆς ἐνοειδῶς καὶ ἀσωμάτου παραγομένη, καὶ εἰς ἀριθμὸν καὶ σῶμα ἐρχομένη, κινητικὸν ἐξ ἀνάγκης προλαμβάνει δύναμιν· ἧν γὰρ αἱ κινήσεις σημαίνουσι· λέγω δὲ νοητικὴν καὶ ἁρμόδιον τῆ ἐν σώματι καταδύσῃ ψυχῆ νοερᾷ· ὃ σημαίνει τὰ ἐπισφήρια· οὖσα γὰρ μετὰ σώματος οὐ ταὐτὸν τῆ χωρὶς σώματος νοεῖν δύναται.

V. 19. – 29. δεύτερον αὖ θώρηκα περὶ στέθεσσιν ἔδυνε, τὸν ποτέ οἱ Κινύρας δῶκε ξεινήϊον εἶναι.

Μετὰ τὸ παραχθῆναι ἀπὸ τῆς ἑνάδος καὶ ἀσωμάτου νοερᾶς ψυχῆς τὴν μετὰ σώματος γενομένην, εἶδος ἕτερον παρὰ τὴν μονάδα ψυχῆς ἀναφαίνεται αἴσθησιν ὕφασμα· τετέχθαι σώματος συναφείας δύναμιν φέρον· ὅπερ ἐστὶν ὁ θώραξ· δηλοῖ γὰρ τὸ σύνθετον καὶ τὸ ἀριθμητὸν, καὶ τὸ ἔγκρυπτον· ἔστι τοίνυν ὁ θώραξ, αὐτὸ τὸ εἶδος τῆς ἀνθρωπίνης ψυχῆς. ὃ περ ὁ Κινύρας τετέχθαι ἡ πρακτικὴ δύναμις καὶ κινητικὴ ἐκ τῆς μονάδος εἰς ἀριθμὸν ἔδωκε καὶ ὕφεσιν· δεῖ οὐ μόνον τὴν πρακτικὴν καὶ κινητικὴν δύναμιν ὁ Κινύρας δηλοῖ, ἀλλὰ καὶ τὴν ὕφεσιν· τὸ γὰρ κινεῖσθαι, τὸ μετὰ πάχους κλάσεις σημαί-

νει. Οὗτος τοίνυν ὁ Κινύρας τῷ ἐκ ψυχῆς καὶ σώματος ἀνθρώπῳ, ὃν φησιν Ἀγαμέμνονα, τὸ τῆς λογικῆς ψυχῆς εἶδος ἐδωρήσατο· καὶ πῇ ἀνέθηκεν αὐτό; περὶ στήθεσιν οἷον περὶ τὰς φρένας· τὸ γὰρ λοιπὸν τοῦ ἡμετέρου σώματος, οἷον τὰ σκέλη, κατ' οὐδὲν τῶν ἀλόγων διαφέρει, διὸ καὶ Κένταυρον τὸν ἄνθρωπον ἀνέπλασαν οἱ ποιηταί, ἐξ ἀλόγου καὶ λογικῆ συνεζευγμένον· δέδωκεν ἓν τὸ εἶδος τῆς ψυχῆς ὡς ξένιον καὶ δῶρον· εὐ γὰρ τῇ ἡμετέρᾳ ἀρετῇ τοῦτο τοῦτε χαρίσματος γεγόναμεν ἄξιοι ὅπερ συνέδει τῷ τοῦ Μωϋσέως, ἐνεφύσησεν εἰς αὐτὸν πνοὴν ζωῆς· καὶ τῷ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν γενέσθαι τὸν ἄνθρωπον.

V. 21. - 2. πύθετο γὰρ Κύπρον δε μέγα κλέος, οὕνεκ' Ἀχαιοὶ
εἰς Τροίην, νήεσσιν ἀναπλέεσθαι ἔμελλον.

Αὕτη τοίνυν ἡ πρακτικὴ δύναμις τῆς ἐναιδοῦς ψυχῆς νοερᾶς ἦκουε καὶ ἐγίνωσκε τοῦτο τὸ εἶδος τῆς ἀνθρωπίνης ψυχῆς, μέγα κλέος οἰσόμενον τῇ ἀνθρωπίνῃ φύσει εἰς τὴν Κύπρον, τουτέστιν εἰς τὸν θεῖον ἔρωτα ἐρχόμενον· ἢν γάρ τις ἐν τούτῳ τῷ τρόμου καὶ φόβου κατάπλεῳ βίῳ μετ' ἀρετῆς βιώσῃ, μέγα κλέος καὶ δόξαν ἄφθαρτον εἰς τὴν τῶν μακάρων χώρας μετὰ τὴν τοῦ σώματος ἀπαλλαγὴν κομίσεται· διὸ τὸ Κύπρον δε, οὐχ ὡς τινες ἐξηγοῦνται ἀντὶ τοῦ, ἐκ Κύπρου ἐπαύθετο ὁ Κινύρας, ἀλλ' εἰς τὴν Κύπρον τουτέστιν ἐρχόμενον σημαίνει. Κύπρον τοίνυν νόει τὴν τῶν μακάρων εὐδαιμονίαν φιλτάτην οὖσαν καὶ ἐρασμιωτάτην ὄθεν καὶ Κυπρογενῆ τὴν Ἀφροδίτην ὠνόμασαν· γινώσκων τοίνυν ὁ Κινύρας τὴν ἀνθρωπίνην φύσιν χάος οὖσαν καὶ σύγχυσιν, ὃ δηλοῖ τὸ Ἀχαιοὶ, πλέουσαν καὶ βιώσουσαν ἐν ταῖς τραικυμίαις καὶ ζάλαις τῆς ἀβεβαίου καὶ δείματος καταπλέου τύχης, ἣν φασι Τροίην, δέδωκεν αὐτῇ τὸ εἶδος τῆς νοερᾶς ψυχῆς· ἵνα τούτῳ οἰκειωσαμένη ὁ ἄνθρωπος

Digitized by Google

V. 23. τούνεκά οἱ τὸν δῶκα χαριζόμενος βασιλῆϊ.

Τέτε ἕνεκα δέδωκε τὴν νοερὰν ψυχὴν τῷ ἀνθρώπῳ χάριν ποιῶν, ἵνα μὴ ὡς τὰ ἄλογα ὑπὸ τῆς τύχης τούτου τοῦ πολυταράχου βίε καταποντισθῇ, καὶ εἰς φθορὰν διπλάσιον τοῦ ἐν ζώῳ χρόνε λαμβάνῃ· φωτιζομένη τηνικαῦτα ἱκανὴ γίγνεται τῆς ἀπαθείας καὶ τῆς καθάρσεως· καὶ τρία ἔτη καθαρθεῖσα καὶ μυηθεῖσα τὰ ἀπόῤῥητα, ἀποδύεται πᾶν τὸ γῆϊνον ὡς ὄφις ἀνανεάζουσα· τοῦτο γὰρ δηλοῖ τὸ,

V. 26. - 8. κυάνεοι δὲ δράκοντες ἑρωρέχατο προτὶ δειρὸν
τρεῖς ἑκάτερθ', ἴρισσιν ἐοικότες, ἅς τε Κρονίων
ἐν νέφεϊ ςήριξε, τέρας μερόπων ἀνθρώπων·

Λέγει δὲ ταῦτα τὰ τρία ἔτη τῆς καθάρσεως κυάνεα, διὰ τὰ ἀπόῤῥητα καὶ ἄδυτα τοῖς πολλοῖς· ὡς τὸ, a) καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ· λέγει δὲ δράκοντας ὡς εἴρηται διὰ τὴν ἀπόδυσιν τοῦ ἀχθηροῦ, καὶ τὴν ἀνανέωσιν καὶ τὴν τελείαν φρόνησιν· ὁ γὰρ τρία ἀριθμὸς ἀρχὴν καὶ μέσον καὶ τέλος ἔχων, τέλειος κατὰ τοῦτο λέγεται· οὗτοι δὲ ταῖς ἴρισι παρεικάζονται, τὸ τρισσὸν ἄνθος τῆς ἀνθρωπίνης μαθήσεως καὶ τελειώσεως φέροντες· τά τε παρεληλυθότα ὁρῶντες καὶ τὰ ἐνεςῶτα καὶ μέλλοντα καὶ τέρας τοῖς ἀνθρώποις, οἱ οὕτω τελεσθέντες, ὑπάρχουσι. Σημείωσαι, ὅτι ἐν τῇ πρώτῃ ἡλικίᾳ, μετὰ τοῦ μέλανος τὸ κυάνεον ἔλαβεν· μετὰ δὲ τὸ μβ' ἔτος μόνον κυάνεον ἔφη· τουτέςιν αἰθέριον, καθαρόν· δεῖ δὲ εἰδέναι, ὅτι μόνον τὸ τῆς ψυχῆς εἶδος ἐνταῦθα λαμβάνει μηδὲν πρὸς τὸ σῶμα περισκοπῶν· δείκνυσι δὲ διὰ τοῦ θώρακος τὴν αὐτῆ προσήκουσαν ἐνέργειαν. Καὶ τίνος ἕνεκα τὸν ἐνταῦθα βίον παρὰ τῆς θείας φύσεως ἀπεληρώσατο μετὰ σώματος; ἵνα καθαρθῇ δηλονότι καμοῦσα πολλὰ διὰ τὴν πρὸς τὸ σῶμα ἔφεσιν καὶ ῥοπὴν τῶ χείρονος

a) Psal. 17. v. 12.



Digitized by Google

πλημμελήσας. Δύναται δὲ καὶ ἄλλως νοηθῆναι· ὁ τῷ Ἐμπεδοκλεῖ καὶ τοῖς Πυθαγορείοις παραλείπω· οἱ λόγῳ τινὶ καὶ συνθέσει ἢ ἀριθμῷ τὰ πάντα γεννῶσιν· ὥς φησιν Ἐμπεδοκλῆς a) περὶ τοῦ ὀς-ῦ·

ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐς-ίρνοις χαόνοισι
τὰ δύο τῶν ὀκτὼ μοιράων λάχε νής-τδος ἄγλης,
τέσσαρα δ' Ἡφαίς-οιο, τὰ δ' ὀς-έα λευκὰ γένοντο.

Οὕτω καὶ Ὅμηρος εἰς μ' μοῖρας ἢ λόγους διαιρῶν τὴν ἀνθρωπίνην ψυχὴν, τὰς μὲν δέκα τῇ φυτικῇ δίδωσιν, ἃς διὰ τὸ εἰδήσεως ἐς-ερεῖσθαι, μέλανος κυάνοιο ἔφη· τὰς δὲ δώδεκα τῇ αἰσθητικῇ· οὓς διὰ τὴν τῆς αἰσθήσεως εἴδησιν τῷ χρυσῷ, τουτέστι τῷ ἡλίῳ, ἀπονέμει· τοὺς δ' εἴκοσι τῷ κασσιτέρῳ, τουτές-ι τῇ λογικῇ, καὶ τῷ Διὶ ἀνήκοντας· τὰς δὲ τρεῖς ἐνεργείᾳ τῷ νῷ, ὡς χωρὶς τοῦ σώματος ἐνεργεῖ· διὸ καὶ τέρας αὐτοὺς φησι· Καὶ ταῦτα μὲν περὶ τῶν κνημίδων καὶ τῆ θώρακος.

V. 29. - 31. ἀρφὶ δ' ἄρ ὤμοισι βάλετο ξίφος· ἐν δέ οἱ ἧλοι
χρύσειοι πάμφαινον· ἀτὰρ περὶ κνημὶς ἦεν
ἀργύρεον, χυσέοισιν ἀρτῆρεσσιν ἀρηρός.

Ἐπεὶ οὖν δέδωκε τῷ ἀνθρώπῳ ὁ Κινύρας, τουτές-ιν ἡ πρακτικὴ δύναμις, τὴν νοερὰν ψυχὴν, δέδωκεν αὐτῷ καὶ τὸ προσῆκον αὐτῇ ὄργανον ὅπως δι' αὐτῆς ἐνεργῇ· ἔς-ι δὲ τῆτο ὁ προσφορικὸς λόγος, ᾧ μανθάνει καὶ διδάσκει· τῆτο γὰρ δηλοῖ τὸ ξίφος· ὥς περ γὰρ ἐκεῖνο τὰ συνεχῆ καὶ ἀδιόριςα διαιρεῖ καὶ διορίζει, οὕτω καὶ ὁ λόγος τὰ τῆς ψυχῆς νοήματα καὶ πάθη διόριζει διὰ τοῦ θώρακος καὶ τῆς τραχείας ἀρτηρίας φερόμενος· ἐν γὰρ ταῖς φρεσὶν ἐνδιαθέτως σχηματίζεται· ἄνευ δὲ πνεύματος οὐ προφέρεται· ἐνδύεται γὰρ ὡς περ κνημὶν, τὸ ὑγρὸν πνεῦμα εἰς προφορὰν, ὁ τῷ ἀργύρῳ

a) Cf. editionem Frid. Sturzii Lipsiae 1805. p. 522. v. 208. seqq.

Digitized by Google

τουτέστι τῇ σελήνῃ παρείκασε διὰ τὴν τιμὴν, καὶ τὴν χρῆσιν· οὐδὲν γὰρ λόγου χρησιμώτερον ἐν ἀνθρώποις καὶ τιμιώτερον, καὶ διὰ τὴν ὑγρότητα τοῦ πνεύματος, καὶ τὸ μεταβλητικὸν καὶ τρεπτὸν τῆς διαλέκτου· ἀεὶ γὰρ τῷ χρόνῳ κινεῖται καὶ ξένη γίγνεται πᾶσα διάλεκτος, καὶ διὰ τὸ φωτιστικὸν τοῦ λόγου· δείκνυσι γὰρ καὶ φαίνει τῆς ψυχῆς τὰ νοήματα. Ὁ δ' ἀορτὴρ καὶ ἡ ἧλος οἱ χρυσεῖοι, τὴν τῶν σημαινομένων σύνθεσιν καὶ αὐτὰ τὰ σημαινόμενα πράγματα θηλοῦσι διὸ καὶ χρυσοὺς ἐκάλεσε· πᾶς γὰρ προφορικὸς λόγος εἰ καὶ περὶ θεολογίας διδάσκει, ὡς περὶ φυσικῶν πραγμάτων τὰς ὁμοιώσεις καὶ τὰ παραδείγματα λαμβάνει ἀντὶ τῶν ὑφ' ἧλιον πραγμάτων, καὶ τῶν ὑπὲρ αὐτῶν νοημάτων· προφέροντες γὰρ, ἀνάγκη λαβεῖν τι σωματικὸν εἰς θήλωσιν τοῦ λεγομένου. Καὶ μέχρι τούτου τὰ περὶ τῆς ψυχῆς μόνης δίκαιε μὴ συλληφθέντος τοῦ σωματικοῦ πόνου, τουτέστι τῆς πρακτικῆς· ἐντεῦθεν δ' ἄρχεται τῆ συνθέτῳ οἷον τῆς ἠθικῆς, λέγω τῆς πολιτικῆς ἀρετῆς, ἡ δίχα σωματικῆ καμάτῳ οὐ κατορθῶται· οὐ μόνον γὰρ τῆ πράττοντος σώματος καμάτῳ δεῖται, ἀλλὰ καὶ τῶν ἐκτὸς σωμάτων, οἷον χρημάτων καὶ πειρασμῶν· διό φησι,

V. 22. - 3. ἀν δ' ἕλετ' ἀμφιβρότην, πολυδαίδαλον ἀσπίδα θοῦριν,
καλὴν, ἣν περὶ μὲν κύκλοι δέκα χάλκεοι ἦσαν·

Ἐπεὶ οὖν ἡ πρακτικὴ λέγω δ' ἠθικὴ ἀρετὴ οὐχ ἧττον τῶν ψυχικῶν ἀρετῶν δεῖται τῶν τοῦ σώματος, εἰκότως ἑκάτερον τὸ σῶμα φημὶ καὶ τὴν ψυχὴν εἰς τὸ πράττειν τὰς κατ' ἀρετὴν ἐνεργείας τῷ ἀνθρώπῳ δίδωσι· διὸ κυρίως τὸ ἀμφιβρότην προσέθηκεν· ἀμφότερον γὰρ τὸν ἄνθρωπον θηλοῖ τὸν ἐκ ψυχῆς καὶ σώματος συγκείμενον· καὶ ὅρα τὸ κατεστιβασμένον τῶν ἐπιθέτων ἁρμοδίων ὄντων ἁπάντων· τῷ πρακτικῷ, Πολυδαίδαλον· δεῖ γὰρ αὐτὸν ἐν τοῖς πράγμασιν

Digitized by Google

ἐμπειρότατον εἶναι· καὶ τὰ τοῦ Δαιδάλου μὴ ἀγνοεῖν· καταγινόμενος γὰρ ἐν τοῖς μερικοῖς καὶ μεταβαλλομένοις ὁ πρακτικὸς καὶ αὐτὸς συνεχῶς πρὸς τὸ κατὰ λόγον ἁρμόζον μεταβάλλεται· ποτὲ μὲν παρακαλῶν, ποτὲ δὲ διόμενος, ἄλλοτε ἀπειλῶν, ὀργιζόμενος, τιμωρῶν, οἰκτείρων, φεύγων, διώκων, ὑπερδαπανῶν, φειδόμενος. Θῆριν· ἀεὶ γὰρ μάχεται τοῖς ἀλόγως συμπίπτουσι τῶν πραγμάτων· διὸ δεῖ τοῦτον ὁρμητικὸν εἶναι καὶ ἄσκνον, καὶ ὀξύτατον ἐν τοῖς κατεπείγουσι. Καλήν· οὐ μὴν ἀλλὰ, καὶ ἔντιμον εἶναι δεῖ καὶ κόσμιον· ἵνα μᾶλλον ὑπείκωσιν αὐτῷ οἱ ὑπ' αὐτοῦ διοικούμενοι· εἰ γάρ ἐστιν αἴσχιστος καὶ κακοείμων, εὐκαταφρόνητος γίγνεται· εἰκεῖα τοίνυν τῷ πολιτικῷ τὸ, ἀμφιβρότην, πολυδαίδαλον, Θοῦριν, καλὴν τὰ ἐπίθετα προσελήφθησαν· - ἦν περὶ μὲν δίκα κύκλοι χάλκιοι ἦσαν· - τὸν χαλκὸν ἐνταῦθα ἀντὶ τοῦ σιδήρου λαμβάνει, ὡς καὶ μετ' ὀλίγον ἐρεῖ - δοῦρα κορυθμένα χαλκῷ.

V. 34. ἐν δέ οἱ ὀμφαλοὶ ἦσαν εἴκοσι κασσιτέροιο λευκοί·

Δίκα καὶ εἴκοσι τριάκοντα ὁμοῦ γίγνονται· τριάκοντα τοίνυν ἔτη τὸν πολιτικὸν ἀσκεῖν καὶ θεωρεῖν δεῖ· καὶ τὸ μὲν τρίτον τοῦ χρόνου ἐν τοῖς πολεμικοῖς καὶ πρακτικοῖς, τὸ δὲ λοιπὸν ἐν θεωρείᾳ μὴ συνεχεῖ, ἀλλ' ἐκ διαλείμματος· ἐ γὰρ ἐῶσι τὰ πολιτικὰ πράγματα καὶ οἱ θόρυβοι συνεχῶς ἡσυχάζειν καὶ θεωρεῖν· ἀλλ' ἐν αὐτῇ τῇ πράξει ὡς ὑποκειμένῳ καὶ οἱ χρόνοι τῆς θεωρίας ὡς κόσμος καὶ ποικίλματα κατεσίχθησαν· ἄνευ γὰρ θεωρίας οἱ πολιτικοὶ θηρία μᾶλλον ἢ πολῖται ῥηθεῖεν ἄν· δεῖ οὖν τὸν τοιοῦτον ἐν τοῖς ὅπλοις καὶ ταῖς πολιτικαῖς τῶν πράξεων, ἔν τε τῇ θεωρίᾳ τριάκοντα ἔτη συνεχῶς ἀσκοῦντ' ἀναλῶσαι, ἵνα τελείως τὴν πολιτικὴν καὶ βασιλικὴν ἕξιν κτήσηται· εἰθ' οὕτω τὸ λοιπὸν τῷ χρόνῳ αὐτῷ ἔστιν τοῖς μὴ ὁμοίως ἠσκημένοις σκότος· ἐ γὰρ δύναν-

Digitized by Google

τας κατανοῆσαι τὰ αὐτῆ βελεύματα· διὸ ὥς περ Γοργὼ βλοσυρῶπιν φρίττουσι καὶ δεμαίνουσι καὶ φοβοῦνται· ὁ δηλοῖ τὸ,

V. 36. – 7. τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο,
δεινὸν δερκομένη· περὶ δὲ δεῖμός τε φόβος τε.

Ὁ οὕτω τοίνυν ἐξησκημένος πολίτης τοῖς πολεμίοις καὶ φαύλοις φόβος ἐστὶ καὶ δεῖμος, καὶ τῇ ὁράσει δεινὸς ὠδεινὸς τοῦτον λανθάνοντος.

V. 38. – 40. τῆς δ' ἐξ ἀργύρεος τελαμὼν ἦν· αὐτὰρ ἐπ' αὐτῇ
κνάνεος ἐλέλικτο δράκων, κεφαλαὶ δέ οἱ ἦσαν
τρεῖς ἀμφισταφίες, ἑνὸς αὐχένος ἐκπεφυῦιαι·

Ἡ τιμή ἐστιν ἡ ἀνέχουσα τὸν πολιτικόν· τοῦτο γὰρ αὐτῷ μισθός· τὸς δὲ παρὰ τῦτο ζητῦντας, τυράννους φησὶν Ἀριστοτέλης· ἀντὶ τιμῆς οὖν ὁ ἀργύρεος τελαμὼν τῷ ποιητῇ προελήφθη· μᾶλλον γὰρ τοῦ χρυσοῦ τῷ πλήθει πολυχρηστότερος ἐστὶν ὁ ἄργυρος καὶ τιμιώτερος· ὡς καὶ ἡ σελήνη τοῦ ἡλίου ἡμῖν τιμιωτέρα· ἐκεῖνος γὰρ αὐκ ἐᾷ τὴν ὄψιν προσβάλλειν εἰς αὐτὸν, καὶ διὰ τὸ συνεχῶς κινεῖσθαι, ὥς περ ἡ σελήνη· τὰ γὰρ ἐν γενέσει καὶ φθορᾷ καὶ συνεχεῖ μεταβολῇ, τῇ γαλύκῃ δέδωται· ἀεὶ γὰρ κἀκείνη μεταβάλλεται· ἐν αὐτῷ οὖν τελαμῶνι ὁ δράκων ἐλέλικτο· τοῦτέστιν ἡ φρόνησις· φρόνιμος γὰρ ὁ δράκων ἀεὶ φυλάττων τὰ τοῦ σώματος κύρια καὶ εὔστροφον τὸ ἑρπετὸν κύκλωθεν καὶ λεῖον· νεάζει τε τὸ παλαιὸν τῆς κακίας δέρμα ἀποδυόμενον. Ἐν μὲν ἓν τῇ θεωρίᾳ τρεῖς ἔλαβε τελείους τοὺς δράκοντας, τὰ μέλλοντα, τὰ ἐνεστῶτα, τά τε παρεληλυθότα σαφῶς εἰδότας καὶ διακεκριμένως· ἐν δὲ τῇ πολιτικῇ οὐχ οὕτω τελείως, ἀλλ' ἤδη ὁρᾶν ἀρχόμενον τὸν πολίτην· διὸ ἓν μὲν τὸ σῶμα τοῦ δράκοντος, τρία δὲ τὰ κάρη· οὐ δ' ἔτι τὸ τῆς ἀρχῆς τοῦ βίου καὶ τοῦ μέσου καὶ τοῦ τελείου τέλειον ἄνθος ὡς τὴν ἶριδα φέροντα· ὅθεν ξυμβαλεῖν ἡμῖν δίδωσιν· ὅτι ὅπου ἡ πολιτικὴ τελευτᾷ ἡ θεωρία ἄρχεται· οὐ γὰρ τελείως θεω-

Digitized by Google

ρεῖν τις κατὰ τὴν τάξιν τῆς φύσεως δύναται, εἰ μὴ πρότερον τὴν ἠθικὴν ἀρετὴν ὀρθῶς καὶ μετὰ λόγου πράξας ἐξασκήσειε· τότε μὲν ὀρθῶς ἔγνω τὰ ἐν γενέσει καὶ φθορᾷ, τὰ οὐράνια σώματα καὶ τὰς ἀσωμάτους οὐσίας, ἤδη τῷ σώματος τῷ ἀφεπισῦς κατ' ὀλίγον ἀπαλλαττόμενος· καὶ ὄντως κεφαλὴ καὶ νοῦς κατὰ τὸ πρόσηκον τῇ ἀνθρωπίνῃ φύσει γεγονόμενος. Εἰ δὲ καὶ χριστιανικώτερόν τις τὸ λεγόμενον σκέψαιτο, τότε τῆς θεότητος τὰς τρεῖς ὑποστάσεις νοεῖν ὁ ἄνθρωπος δύναται· τὴν πρακτικὴν δηλονότι, τὴν δημιουργικὴν, καὶ τὴν τελειοτικήν. καὶ ταῦτα μὲν ἁρπεῖ περὶ τῆς ἀσπίδος.

V. 41. - 2. κρατί δ' ἐπ' ἀμφίφαλον κυνέην θέτο, τετραφάληρον,
ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευε.

Δεῖ τοίνυν τὸν ἀγαθὸν πολίτην τὸ προφυλακτικὸν ἔχειν καὶ τὸ φιλακόν· τοιοῦτον γὰρ τὸ ζῶον ὁ κύων, ἐξ οὗ ἡ κυνέη κατασκευάζεται· καὶ ὁρᾷν τὰ πρόσθε καὶ ὄπισθε, τὰ ἔσω καὶ τὰ ἔξω τοῦ ποιμνίου· τά τε τῆς σώματος καὶ τῆς ψυχῆς, καὶ τοὺς φίλους καὶ πολεμίους, καὶ σπουδαίους καὶ φαύλους, ὁ δηλοῖ ἀμφίφαλον· οὐ μὴν ἀλλὰ καὶ ἑδραῖον τὸν αὐτὸν εἶναι καὶ τέλειον· καὶ μὴ τὴν ψυχὴν καὶ τὸ σῶμα τι λελωβημένον· ὃ δηλοῖ τὸ τετραφάληρον. Ὁ γὰρ τέσσαρα ἀριθμὸς ἐν αὐτῷ συναριθμούμενος ἀποτελεῖ τὸν δέκα ὃς ἐστι πάντων τῶν ἀριθμῶν τὸ τέλος· μέχρι γὰρ δέκα πρόεισι πᾶς ἀριθμός, καὶ αὖθις ἄρχεται· ὡς τέλειον τοίνυν τὸ τετραφάληρον εἴρηκε· διὸ καὶ οἱ Πυθαγόρειοι τὸν τέσσαρα ἄμνυον - μὰ τὸν τετρακτὺν παγὰν ἀενάου φύσεως λέγοντες· ὁμοίως καὶ τὸν Ἑρμῆν τετράγωνον ἐποίουν τὸ πάλαι, δηλοῦντες τὸ ἑδραῖον τοῦ λόγου καὶ βέβαιον. Ἀλλὰ μὴν καὶ τὸ ἵππουριν ἐπίθετον, οὐ τυχόντως παρείληπται· δηλοῖ γὰρ τὸν αὐτὸν καὶ πολεμικὸν εἶναι, τουτέστιν ἀνδρεῖον περικότα

Digitized by Google

τῦτο γὰρ τὸ ζῶον ἐν πολέμῳ πάντων τῶν ἄλλων χρησιμώτερον· δηλοῖ δέ τι καὶ τὸ λέον ὁρᾶν· ὡς τὸ ἱππόσελῆνον τὸ μέγα σέλῆνον· καὶ βάπτας ὁ μέγας παῖς· τὸ δὲ δεινὸν δὲ λόφος καθύπερθεν ἔνευε· τὸ ἵεσθαι ἐπάνω τῶν πραγμάτων ἀεὶ καὶ σκοπιάζειν ἀγρυπνοῦντα· ῥέψει γὰρ ἀεὶ καὶ μεταβάλλονται· διὸ δεῖ προσέχειν ἀεὶ ἀναπληροῦντα τὸ ἐλλεῖπον, καὶ ἡμαρτημένον ἐπανορθοῦντα, καὶ εἰς πάντα τὰ δέοντα δεινῶς νεύειν καὶ τούτοις παρεῖναι.

V. 43. - 6. εἵλετο δ' ἄλκιμα δοῦρα δύω, κεκορυθμένα χαλχῷ,
ὀξέα· τῆλε δὲ χαλκὸς ἀπ' αὐτόφιν ὀρνυτο εἴσω
λάμπ'· ἐπὶ δ' ἐγάθησαν Ἀθηναίη τε καὶ Ἥρη
τιμῶσαι βασιλῆα πολυχρύσοιο Μυκήνης.

Δεῖ τὴν νοερὰν ψυχὴν τῷ ἀνθρώπῳ καὶ τὸν λόγον, καὶ τὴν πρᾶξιν καὶ θεωρίαν, οἷς ὁ πολιτικὸς καὶ βασιλικὸς τελεῖται, καὶ τιμώσας αὐτῶν τὴν ἡγεμονίαν δίδωσι ἄρχειν ἐμπειρία τε καὶ βουλῇ ταῦτα εἰσὶ τὰ δοῦρα, οἷς ἐν παντὶ πράγματι εὐμήχανος καὶ πολύτροπος καὶ ἄλκιμος γίνεται· ὁ γὰρ ἄλκιμος ὁ βουλῆς καὶ πείρας ἀμέτοχος, ἀλλ' ὁ θεῖος καὶ θρασύς τε καὶ βιοφεκίνθυνος· ὅταν δὲ τῇ ἀσκήσει καὶ μαθήσει τὸ σῶμα καὶ ἡ ψυχὴ ἱκανῶς ἀσκηθῇ, τηνικαῦτα πρὸς πᾶσαν πρᾶξιν τῆς πολιτείας ὁξύνεται καὶ εὐσχόλως βάλλει τὰ τῇ τύχῃ καὶ τῷ καιρῷ παρεμπίπτοντα. ἔστι καὶ ἐμπειρία καὶ ἡ βουλὴ διάδηλος πανταχῇ τῆς γῆς γίνεται· τοῦτον ἡ Ἀθηναίη, τουτέστιν αἱ σοφαὶ καὶ φρόνιμοι, καὶ ἡ Ἥρα, οἱ πλούσιοι καὶ ἄρχοντες δηλονότι, εὐφημοῦντες παραπέμπουσι τιμῶσαι τὸν βασιλέα τῆς εὐδαίμονος καὶ πολυχρύσου πολιτείας. Λέγεται γὰρ ὅτι ἐν ἐκείνῳ τῷ τόπῳ πεφύντος τοῦ μύκητος, τυτθὸν τῆς λαβῆς τοῦ ξίφους τοῦ Περσέως, κατὰ κέλευσιν Ἑρμοῦ τὴν πόλιν ἐκεῖ κτίσαι· ἢ ἀπὸ τοῦ μυκήσασθαι τὴν Ἰοῦν βοῦν ἐκεῖ γε-

Digitized by Google

γενημένου· ὁπότερον δ' ἂν εἴη, ἀντὶ τῆς εὐδαίμονος πολιτείας ταύτην λαμβάνει· καὶ ἴσως ἀπὸ τοῦ μύκητος τοῦ ἐδοδίμου καὶ βραχυβίου· ἵνα δηλώσῃ τὴν ἐν τῷδε τῷ βίῳ πολιτείαν, ἥ τις φθαρτὴ καὶ ὀλιγοχρόνιος μὲν, ἀλλ' οὐκ ἀρίστη τῶν ἐν τούτῳ τῷ βίῳ. Καὶ ταῦτα μὲν ἡμῖν περὶ τῆς τοῦ Ἀγαμέμνονος πανοπλίας ἐπινενόηται.

## (ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ a))

### ΠΡΟΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ ΕΙΣ ΤΗΝ ΟΔΥΣΣΕΙΑΝ ΤΟΥ ΟΜΗΡΟΥ ΔΙΑ ΒΡΑΧΕΩΝ ΧΑΡΑΚΤΗΡΙΖΩΝ ΤΟΥ ΠΟΙΗΤΟΥ ΤΗΝ ΔΙΑΝΟΙΑΝ.

Ἐγκώμιον εἰς τὴν βιβλίον τῆς Ὀδυσσείας Ὁμήρου.

Ποιηταὶ μὲν καὶ ῥήτορες, καὶ ὅσοι τὸν φιλόσοφον εἵλοντο βίον, οἱ μὲν πλέον, οἱ δ' ἔλαττον ἀρετῆς ἐφρόντισαν· καθ' ὅτι περ ἂν αὐτῆς ἐμέλησε μέρος· Ὁμήρῳ δὲ τῷ παντὸς σοφωτέρῳ τῶν ἡκόντων εἰς γένεσιν, τοσούτῳ διὰ σπουδῆς ὑπῆρξε τὸ πρᾶγμα, ὅσῳ μήδ' ἐστιν εὑρεῖν ὅπου τίς ἴδοι τῆς αὐτοῦ ποιήσεως, οὐκ ἀρετῆς λόγον τὸν ἄνδρα πεποιημένον· οὔκουν ἐπειδὰν σπουδάζῃ καὶ καθαρῶς ἑαυτῶν καθίστησιν εἰς ἀγῶνα, γνώμας ἀρέστας εἰσφέρειν, καὶ ἀνθρώπων ἤθη κοσμεῖν ἐκ παιδίας κρείττονας, ἀλλὰ καὶ ὁπηνίκα δοκεῖ τισι κατὰ παιδείαν τί ποιεῖν, ἢ μύθους λέγων, ἢ γενέσεις

a) De hac et sequenti Gregorae oratione, satis in praefatione dictum est pag. 24.

Digitized by Google

θεῶν, ἢ φιλίας αὐτῶν, ἢ ἔριδας, ἢ τινὰς ἔρωτας φαυλοτέρους καὶ ζηλοτύπους· τοὺς δ' αὐτοὺς καὶ ἐπιβούλους γνωριζομένους· ἃ καὶ εὐπερισκέπτως ὁρῶν τὶς μωμήσαιτ' ἂν ἐπιεικῶς τῷ ἀνδρί. Νοῦν γὰρ ὁ θεῖος οὗτος ἄνθρωπος προΐστησι τοῦ παντὸς ἡγεμόνα· μηδὲν φλαῦρον εἰπεῖν, μηδ' ἀλυσιτελὲς, εἰ καὶ τῆς ποιητικῆς ἐκείνου μανίας, οὐχ οἷοί τ' ἐς μὲν ἐκανῶς καθικέσθαι, ὅ τι ἂν βούλοιτο· νῦν μὲν γὰρ θεολογίας περιδιδάσκει, νῦν δὲ θεοσεβείας· ὁτὲ δὲ, γίνεσιν τοῦ παντὸς διέξεισιν· ἄλλοτε φυσικοὺς τινὰς ἐκδίδωσι λόγους· καὶ στοιχείων πρὸς ἄλληλα, νῦν μὲν κοινωνίαν, νῦν δ' ἐναντίωσιν φιλοσοφεῖ, εἰ καὶ ταῦτα γε δρᾷ ἐν προσχήματι φαυλοτέρῳ· αὖθις δὲ καταβαίνων ἐκεῖθεν ὡς ἀπό τινος περιωπῆς, πολιτεύεται μετὰ τῶν ὅποι δεήσει· καὶ τέχνας παντοίας καὶ ἐπιπηδεύματα μεθοδεύει καὶ διατάττεται, ὡς χρὴ γίνεσθαι ταῦτα καὶ ὡς γινομένων, ἄρις-ον ὡς εἰκὸς ἀπαντήσει καὶ τέλος, οὐ μὴν ἀλλὰ καὶ λαοὺς μετ' ἐπιστήμης κοσμεῖ, καὶ παιδαγωγεῖ τρόπους· καὶ ῥυθμίζει ψυχὰς, οὐ πρὸς ἑαυτὰς μόνον, ἀλλὰ καὶ πρὸς ἀλλήλας εὖ ἁρμοζόμενος. Ἐλέγχει δ' ἔσθ' ὅτε καὶ διασύρει σκαιότητα γνώμης, καὶ ἀμαθίαν καὶ ἀγνοίαν· καὶ πᾶν ὁτιοῦν εἰς κακίας ἀναφέρεται τρόπον, καὶ τῆς χείρονος μερίδος γνωρίζεται· ἐχθρὸν μὲν τῇ θείᾳ, ἐχθρὸν δὲ τῇ ἀνθρωπίνῃ φύσει τελοῦν. καθάπαξ δ' εἰπεῖν, κοινὸν ἑαυτὸν καθίστησι τοῖς ἀνθρώποις διδασκαλεῖον θείου καὶ ἀνθρωπίνου μαθήματος.

Ἀλλ' εἴ πέρ τις, ὁ μέγας οὗτος ἥρως τῇ ποιητικῇ μούσῃ ἐξείργασται, καὶ τόδε μάλα ἐξείργασται ὡς πέρ τι μάθημα θεῖον τοῖς ἀνθρώποις ἐνθεῖναι· ἵνα δηλονότι πρὸς τὰ συμπίπτοντα παρὰ τῆς ὕλης καὶ τῶν ἔξω πραγμάτων, ὅσα τύχῃ τινὶ καὶ πονηρίᾳ ἀνθρώπων, καὶ δὴ καὶ γνώμης φαυλότητι τῆς σφετέρας, καὶ ἀμαθίᾳ τουτὶ δεῖ ποιεῖν κακῶς μάλιστα πάσχομεν, φρονίμως μάλα καὶ μεγαλοψύχως καὶ

Digitized by Google

γενναίως ἀπαντῶμεν· ἀλλ' οὐμενουν ἐκδιδῶμεν, οὐδὲ καταπροδιδῶμεν τὸ τῆς φύσεως ἀξίωμα, συμμεταβαλλόμενοι τοῖς γινομένοις ἑκάστοτε, καὶ τούτων πλέον τοῖς ἀβουλήτοις· εἶδε γὰρ ἐκ τῆς πείρας, οἷον μάλιστα τῶν ἄλλων κακῶν τοῖς ἀνθρώποις ἐπηρεάζει, καὶ πρὸς ἑαυτὸ τὸν τρόπον ἐξίστησι, συχνὰ συμβαῖνον ἐκ πολυειδῶν τῶν αἰτίων, ὁποία ἡ πολύτροπος τῶν πραγμάτων κίνησις δαψιλῶς ἐπιχορηγεῖ· νῦν μὲν οὕτω πάσχειν ἡμᾶς· νῦν δὲ οὕτω· καὶ οἷς καὶ οὗ ταῦτα γένεται· ᾧ δὴ καὶ κρεῖττον τῆς ποιήσεως ἔνι μέρος, ὡς εἰς μάχην τινὰ μεγίστην ἀνδρείας ἀντικαταστάς, καὶ περιγενέσθαι φιλονεικήσας δεινοῦ τινὸς καὶ ἀμάχου πράγματος· οὐδὲν γὰρ ἐδόκει τοιοῦτον τῷ ποιητῇ, οἷον ψυχὰς ἀνθρώπων ὁπλίσαι εἰς καρτερίαν τῶν συμφορῶν, αἷς ἡμῖν ἑκάστοτε περιπίπτειν συμβαίνει.

Οὕτω δὲ πρὸς τοῦτο καλῶς παρασκευασμένος, οὐκ ἐκ τοῦ προφανὸς τὴν βούλησιν ἀνομολογεῖ, ὡς προκηρῦξαι τὸ πρᾶγμα καὶ ὅτου χάριν διαγωνίζεται προειπεῖν· ἀλλὰ καὶ τῆς τοῦ λόγου ἀξίας, καὶ μάλιστα τῆς ποιητικῆς ἀρετῆς φροντίδα τιθέμενος, τέως μὲν τὸν σκοπὸν προσωπείῳ τινὶ, οὐδὲ τοῦτο ἴσως ἀσχήμονι, συγκαλύπτει, καὶ τὸν Ὀδυσσέα προΐστησι κεφάλαιον τοῦ βιβλίου· ὅπως μετὰ τὴν ἅλωσιν τοῦ Ἰλίου, νόστου σὺν τοῖς ἑτέροις ἁψάμενος, πολλοῖς μάλα τοὐντεῦθεν καὶ μεγάλοις κακοῖς, καὶ μὴ δ' ἀριθμεῖν ἱκανοῖς οὖσιν ἴσως, οὐχ' ὅπως καὶ κατὰ μέγεθος καθάπαξ σκοπεῖν, ὁ πολὺς ἐκεῖνος τὰς τέχνας καὶ τὰ βουλεύματα περιέπεσεν. Εἰ γὰρ εὐθὺς οὕτω κατέστη ἐπὶ τὸ πρᾶγμα, ὕπτιος ἂν ἔδοξε καὶ ἄχρους τοῖς πολλοῖς, οὐκ ἔχων οὐμενουν τοσοῦτον, οὔτ' ἐξ ἱστορίας ἁπλῶς, οὔτ' ἐκ τῆς ἄλλης ποιητικῆς ἐξουσίας ἐλθεῖν ἐπὶ τὴν ὑπόθεσιν. Νῦν δ' ὅτι περ οὕτως ἐμεθόδευσε, τὸν σκοπὸν ἑκατέρῳ μέρει τὸ προσῆκον ἔνειμε· τῇ τε γὰρ ποιήσῃ τὴν συνήθη παρέσχετο χλιδὴν καὶ ἁβρῶς,

Digitized by Google

ὡς τε μηδαμῶς ἐκεῖθεν πολοῦεσθαι, καὶ τῷ πράγματι δ' αὐτῷ τὸ πάντη σῶν εἶναι, καὶ μηδενὸς γε λελεῖφθαι τῶν εἰς τοῦτο φερόντων· κἂν γὰρ ἱστορίας μάλα πολλαῖς καὶ μύθους ὅσοις ποικίλληται, ἀλλ' οὐ δ' οὕτως ἀφίεται πόρρω τῆς ὑποθέσεως, ὡς μὴ τὴν ταχίστην ἐπανιέναι, καὶ τὰ κατὰ τὸν Ὀδυσσέα πάθη δακέειναι, ὧν ἕνεκα πλαγίως ἐπ' ἐκεῖνα ἐλήλυθε· καὶ μή τις οἰηθείη, ὡς πλάσμα τὸ παράπαν ἐστὶν ᾧ ποίησις Ὁμήρῳ, ἄνδρα τινὰ προσπεσαμένῳ, ὃς μήτε τοιοῦτος γέγονε πώποτε μήτε γενήσεται, οἷον οὗτος φησί· τοιοῦτόν τε ἐκ ποιητικῆς ἀδείας ἐτόλμησεν, οὐδ' οὕτως ἂν ἐλυμήνατο τῷ σκοπῷ, εἰ τὰ εἰκότα κατὰ πολλὴν περιουσίαν ἐνῆδε τῷ πράγματι.

Ἴσασι πάντες καθ' ἓν καὶ σὺν δύο πολλάκις· καὶ πλέον ἢ σὺν δύο τοιαῦτα πάθη συμβαίνοντας τοῖς ἀνθρώποις· καὶ οὐδεὶς οὔτε τοῦ πάσχειν οὔτε τοῦ εἶναι χωρὶς γέγονεν, ὃς ταῦτ' ἀγνοεῖ· ἄλλως τε, τοῦτ' ἂν ἡ τῆς ποιητικῆς ἐλευθερίας ἦν ὅλως ἄξιον, ὡς τε τοιοῦτό τι περὶ αὐτοῦ λεγέσθαι, ἢ τῆς ἀληθείας ταύτης καὶ τοῦ πράγματος, ἐν ᾧ πάντες ἴσμεν Ὀδυσσέα τινὰ πολυμήχανον ἄνθρωπον γεγονέτα, βασιλέα Ἰθάκης καὶ Κεφαλλήνων, προσέτι καὶ πατέρα Σίσυφον, καὶ πάππον Αὐτόλυκον· οὓς καὶ δίκας τίνειν ἐν Ἅιδου φασὶ μοχθηρᾶς εἶναι γνώμης καὶ δὴ καὶ γυναῖκα Πηνελόπην, ἀρίστην γυναικῶν καὶ σώφρονα καὶ κοσμίαν· καὶ πατέρα ταύτης Ἰκάριον· καὶ υἱὸν δὲ μονογενῆ Τηλέμαχον. Εἰ τὸν Ὀδυσσέα πλάσμα δοίημεν εἶναι τῷ ποιητῇ, πῶς ταῦτα τούτῳ συμβήσεται, καὶ πολλῷ δὲ πλείονα τούτων ὀνόματά τε καὶ πράγματα; εἰ δὲ καὶ δοίημεν ὅλως, καὶ λῆρος ἐκεῖνα πάντ' εἴη Ὁμήρῳ, καὶ τοῖς ἄλλοις τῶν ποιητῶν, αἰδεσίμου μάλιστα ὁ ἀνὴρ, ὅτι μηδὲν ἔχων εἰπεῖν τινὰ τῶν ἁπάντων τοσαῦτα πεπονθότα πράγματα, ὅμως αὐτὸς τετόλμηκε πλάσασθαι, ἵν' ἐκ παραδείγ-

Digitized by Google

ματος τηλικούτου διδάξαι τοὺς ἀνθρώπους μὴ δυσχεραίνειν ταῖς συμφοραῖς, μὴ δὲ τοῖς δεινοῖς ὑποκλίνεσθαι, ἀλλ' ἀνδρείως ἐνίστασθαι κατὰ γοῦν δύναμιν ἀνθρωπίνην, πρὸς τοιαύτην βλέποντες σκήλην. Οὔτε γὰρ οἶμαι πενίαν ὀδύρετ' ἄν τις ἐνθάδε ὁρῶν, καὶ τὰ τῷ ἥρωϊ συμπεσόντα ἀτυχήματα, οὔτε μεμέμψατ', ἔτ' ἐξορίαν, ἢ ναυάγιον, οὐμένουν ἢ κινδύνους, ἢ πλάνην, ἢ ἐπιβουλὴν φίλων, οὐχ ἑταίρων ἀποβολήν, οὐ θάνατον αὐτὸν, ἢ παρὰ τῆς φύσεως ἢ παρὰ τῆς ἔξωθεν ἥκοντα βίας· οὐδὲ πάνθ' ὅσα συμπτώματα τοῖς ἀνθρώποις ὅπως ποτὲ γίνεται καὶ μεθ' οἵας γίγνεται τῆς αἰτίας ἠγήσαιτο δ' ἂν πάνθ' ὅσά τις ἂν πάθοι πολὺ δεύτερον τῶν ἐκείνου, καὶ γνησίως φιλοσοφήσειε καὶ χάριν τινὰ μεγίστην καὶ τῷδε σχοίη τῷ ποιητῇ, μὴ ὅτι πᾶν εἶδος ἀρετῆς καὶ γνώσεως ἀνθρωπίνης ἱκανῶς ταμάλις α ὄντι τούτῳ διδάξαι, ἀλλ' ὅτι κἀντῷδε τῷ μέρει ἐν ᾧ πάσχομεν τὰ δεινὰ, τῆς τοῦ ἀνδρὸς ἀπωνυματούσης κανόν γάρ ἐστιν ὡς ἀληθῶς παιδευτήριον ἡ κατὰ τὸν Ὀδυσσέα ποίησις αὕτη καὶ τὸν μήπω παθόντα, παθεῖν τι παρασκευάζουσα καὶ τὸν παθόντα ἢ πάσχοντα, πείθουσα καρτερεῖν. Οὕτω σοφῶς μάλα καὶ ποικίλως ὁ ποιητὴς προὐνόησε τῶν ἀνθρώπων· καὶ καινόν τι φάρμακον θεραπείας ἐκέρασε πᾶσι τοῖς τὰ δεινὰ πάσχουσι, τὰς πλάνας τοῦ Ὀδυσσέως συνθείς, καὶ ὅσα ἐκεῖνος πέπανθεν· ἔξεστι δὲ τοῖς συγγινομένοις αὐτῇ τῇ ποιήσει, ὁρᾶν εἰ οὕτω ταῦτ' ἔχει, καὶ εἰ ἐκεῖθεν ἥκει τί ἄφελος· οἷς αὐτοῦ δεῖ πρὸς τὸν κατὰ προαίρεσιν τῇ φιλοσοφίᾳ μελετώμενον θάνατον, ὡς ἐν τῷ παρόντι.

Digitized by Google

ΣΗΜΕΙΩΣΑΙ ΤΗΝ ΑΠΑΣΑΝ ΑΙΤΗΣΙΝ ΤΟΥ ΟΔΥΣΣΕΩΣ, ΗΝ ΠΕΡΙ ΑΥΤΟΥ ΑΙΤΗΣΕΙΤΑΙ Ο ΟΜΗΡΟΣ.

Μετὰ τὴν τῆς Ἰλίου πόρθησιν ὁ Ὀδυσσεὺς ἐξώσθη βιαίοις ἀνέμοις, κατάιρει πρὸς Κίκονας καὶ τὴν πόλιν αὐτῶν τὴν ἀδομένην Ἴσμαρον πορθεῖ, τὴν νῦν λεγομένην Μαρώνειαν, καὶ ἔμελλεν ἀποπλεῖν ἐκεῖνος· οἱ δὲ φίλοι αὐτοῦ ἐκ εἴων αὐτόν· τῇ ἐπαύριον δὲ οἱ ἠπειρῶται Κίκανες πανσύδην ἀθροισθέντες, πανημέρως ἐμάχοντο· περὶ δὲ ἑσπέραν οἱ τῆ Ὀδυσσέως ἡττῶνται, ἀποβαλόντες ἄνδρας ἑβδομήκοντα δύο· ἤτοι ἀφ' ἑκάστης νηὸς, ἄνδρας ἓξ· δώδεκα γὰρ ναῦς εἶχεν ὁ Ὀδυσσεύς· οὕτω δὲ ἡττηθέντες ἀκουσίως ἀπέπλεον· ἀνέμοις δὲ συσχεθέντες δεινοῖς καὶ μόλις ἐξελθόντες εἰς γῆν, δύο ὅλας ἡμέρας ἔκειντο πρὸς τὴν γῆν· τῇ τρίτῃ δὲ ἡμέρᾳ πλεῖν ἀρξάμενοι, μικρῷ δεῖν ἔμελλον ἀβλαβεῖς ἑκέσθαι πρὸς αὐτῶν πατρίδας. Ἀπὸ δὲ Μαλέας ἀκρωτηρίου Πελοποννήσου ἐξωσθέντες, ἐννέα νυχθημέροις δεινοῖς ἀνέμοις ἐφέροντο· τῇ δεκάτῃ δὲ ἡμέρᾳ τῇ γῆ τῶν Λωτοφάγων ἤτοι τῶν Καμαριναίων προσέδρασαν· ὑδρευσάμενοι δὲ, δειπνοῦσι περὶ τὰς ναῦς· εἶτα ἔπεμψαν τρεῖς ἰδεῖν τὴν χώραν· οἳ γευσάμενοι τοῦ λωτοῦ, ὑποστρέφειν οὐκ ἤθελον· δήσας δὲ αὐτοὺς ὁ Ὀδυσσεὺς, ἀπέπλει· καὶ ἦλθον νυκτὸς ἐκ εἰδότες εἰς νῆσον μικρὰν τῶν Κυκλώπων ἔρημον, αἶγας δὲ ἀγρίας πολλὰς ἔχουσαν· ὧν τῇ ἐπαύριον ἑκατὸν εἰκοσιεκτὼ θηρεύσαντες, εἵστιῶντο πανημερίως· περὶ δὲ ἑσπέραν πῦρ ἐθεώρουν ἐν τῇ γῇ τῶν Κυκλώπων· καὶ φωνῆς ἀμυδρᾶς ἤκουσον· τῇ ἐπαύριον δὲ τὰς μὲν ἕνδεκα ναῦς ὁ Ὀδυσσεὺς αὐτοῦ καταλιπὼν ἐν τῇ μακρᾷ νήσῳ, τῇ ἑαυτοῦ μόνῃ ἀποπλεῖ πρὸς τὴν γῆν τῶν Κυκλώπων, κωπηλασίᾳ χρησάμενος· καὶ περὶ τινα πετρώδη καὶ ἀπόκρυφον αἰγιαλὸν, καὶ ταύτην ἀποκρύπτει τὴν ναῦν σὺν τοῖς ἑταίροις, αὐτὸς δὲ δώδεκα μόνας

Digitized by Google

λαβὼν τῶν ἑταίρων, καὶ οἶνον Μαρωνείτου ἀσκὸν καὶ βρώματα, εἰσῆλθον εἰς τὸ τοῦ Κύκλωπος σπήλαιον, ἐκείνου περὶ νομὴν τῶν προβάτων ἠσχολημένου· ἱκετευόντων δὲ τῶν φίλων φαγεῖν τυροῦ καὶ γάλακτος, καὶ λαβεῖν ἐκ τῶν προβάτων καὶ ὑποχωρῆσαι, οὐκ ἤθελεν, ἕως ὁ Κύκλωψ περὶ ἑσπέραν ἐλθὼν, αὐτοὺς ἐκ τῷ σπηλαίῳ κατέσχε, καὶ ἠρώτα ποῦ τὲ ἡ ναῦς αὐτοῦ ἐστι, καὶ ὅπως αὐτὸς καλοῖτο· ὁ δὲ αὐτὸν ἀπατᾷ· τὴν ναῦν μὲν εἰπὼν ὑπὸ τοῦ κλύδωνος λυθῆναι. αὐτόν δὲ Οὔτινα καλεῖσθαι· ὁ δύο λαβὼν τῶν Ὀδυσσέως ἑταίρων κατέφαγεν· εἶτα ὁμοίως καὶ τῇ ἐπαύριον δύο φαγὼν, καὶ τοὺς λοιποὺς κλείσας, ἐξήλαυνε τὴν ἀγέλην ἐπὶ τὴν νομήν· οἱ δὲ περὶ τὸν Ὀδυσσέα εὐτρεπήσαντες ξύλον ἐπωξυμένον, ὑπὸ πυρκαϊὰν ἔθεντο, ὥς τε ξηρανθὲν στερεωθῆναι· καὶ συνέθεντο ἐκτυφλῶσαι αὐτόν· ὁ καὶ ἐποίησαν.

Ἐλθόντος δὲ αὐτοῦ περὶ τὴν ἑσπέραν, καὶ εἰσελάσαντος ἐπὶ τὸ σπήλαιον πάντα τὰ ποίμνια, καὶ πάλιν δύο τούτων φαγόντος, κιρνῶσιν αὐτῷ οἶνον προστάξει τοῦ Ὀδυσσέως καὶ μεθυσθέντα τυφλοῦσιν αὐτόν· τοῦ δὲ βοῶντος προσῆλθον πάντες οἱ Κύκλωπες· ἀκούσαντες βοῶντος αὐτοῦ, ὡς Οὔτις με ἐτύφλωσε, μεμηνέναι δοκήσαντες αὐτὸν, ὑπεχώρησαν· ὁ δὲ τῇ πρωΐᾳ τὰ ποίμνια ἐκβάλλει περὶ τὴν θύραν τοῦ σπηλαίου καθεσθείς· ὅπως ὕστερον κλείσας τὸ σπήλαιον, καὶ ἔνδον ἐντυχὼν αὐτοὺς ἀνέλῃ· οἱ δὲ προεξελθόντες ὑποκάτω τῶν προβάτων, καὶ πολλὰ ἐμβαλόντες τῷ πλείῳ, ἀπέπλεον· βοήσαντος δὲ τοῦ Ὀδυσσέως μετὰ τῶν ἑταίρων ὁ Κύκλωψ ἀκηκοὼς, λίθον παμμεγέθη ᾄρας, καὶ τοῦτον βαλὼν ἐν θαλάττῃ, ἔστρεψεν ὑπὸ τοῦ κλύδωνος αὐτῶν τὴν ναῦν εἰς τὴν γῆν· ὡς δὲ πάλιν ἀποπλέοντες ἐβόων ἀναβρυνόμενοι, ἠρᾶτο τῷ Ποσειδῶνι μὴ ἀπελθεῖν αὐτῶν εἰς τὰς ἑαυτῶν πατρίδας· καὶ πάλιν ὁμοίως λίθον βαλὼν εἰς τὴν θάλασσαν, ἤνεγκε τὴν ναῦν εἰς τὴν γῆν· εἶτα φοβηθέντες καὶ ἀπο-

Digitized by Google

πλεύσαντες, ἦλθον εἰς τὴν μακρὰν νῆσον ἔνθα καὶ αἱ λοιπαὶ νῆες αὐτῶν ἦσαν· εὗρον δὲ τοὺς ἑτέρους θαπτύοντας· καὶ τότε μὲν εὐωχηθέντες κοιμῶνται.

Τῇ ἐπαύριον δὲ κώπαις πλέοντες, ἦλθον εἰς Αἰολίαν καὶ διατρίψαντες ἐπῖσε μῆνα, λαβόντος τοῦ Ὀδυσσέως παρ' Αἰόλου τὸν τῶν ἀνέμων ἀσκὸν, ἀπέπλευσαν Ζεφύρῳ ἐννέα νυξὶν καὶ ἡμέραις· δεκάτῃ δὲ τὴν Ἰθάκην καὶ ἀνθρώπους καὶ πῦρ καὶ καπνὸν ἐθεώρουν· κεκμηκότος τοῦ Ὀδυσσέως καὶ καθευδήσαντος, λύουσι τὸν ἀσκὸν νομήσαντες χρήματα ἔχειν· καὶ ἐκχυθέντων τῶν ἀνέμων, ἁρπάσας αὐτοὺς ὁ κλύδων πάλιν ὑποφέρει πρὸς Αἰολίαν. Αἰολὸς δὲ αὐτοὺς ἰδὼν ἱκετεύοντας, ἀποπέμπει ὡς ἐχθροὺς θεοῖς· οἱ δὲ εἰρεσίᾳ ἡμέρας ἓξ πλέοντες, τῇ ἑβδόμῃ περὶ Λαιστρυγονίαν ἦλθον· κατελθόντες δὲ οἱ Λαιστρυγόνες, κατέαξαν τὰς δώδεκα ναῦς αὐτῶν πέτραις σὺν τοῖς λαοῖς πᾶσι· μόνος δὲ ὁ Ὀδυσσεὺς ἀποκόψας τῆς ἑαυτοῦ ναὸς τὰ πρημνήσια, ἀπέδρασε· κώπαις δὲ πλέοντες, ἦλθον εἰς τὴν Αἰαιὴν νῆσον τῆς Κίρκης, ἣ τις ἐθηριοποίη τοὺς ἀνθρώπους· καὶ δύο ἡμέρας ὅλας ἐπὶ γῆς ἔκειντο θεροῦντες· τῇ τρίτῃ δὲ ἡμέρᾳ διαιρεθέντες εἰς μέρη δύο, ἔσησαν, ἐν μὲν τῷ ἑνὶ, Εὐρύλοχος καὶ εἰκοσιδύο ἑταῖροι· ἐν δὲ τῷ ἑτέρῳ Ὀδυσσεὺς, καὶ ἕτεροι εἰκοσιδύο ἑταῖροι, ὥστε ἀνελθεῖν τοὺς μετ' αὐτοῦ ἐπὶ τὴν Κίρκην· ἀνελθὼν σὺν ἐκείνοις, εἶδον ἔξωθεν τῆς αὐλῆς τῆς Κίρκης, λύκους καὶ λέοντας ἡμέρους σαίνοντας αὐτοὺς ταῖς οὐραῖς· εἰσελθόντων δὲ τῶν φίλων, αὐτὸς ἔξω ἀπελείφθη· κἀκείνους μὲν ἡ Κίρκη χοίρους ποιεῖ· δοῦσα σὐτοῖς οἶνον μεμιγμένον τυρῷ, ἀλφίτοις καὶ μέλιτι. Εὐρύλοχος δὲ ἦλθε πρὸς τὸν Ὀδυσσέα καὶ τοὺς λοιποὺς· ἀφωνίᾳ μὲν συνεχόμενος, ἐξ ὀφθαλμῶν δὲ ἀσταχτὶ καταῤῥέων τὰ δάκρυα, μόλις δέ ποτε εἰς ἑαυτὸν γεγονὼς, τὸ πᾶν ἀφηγεῖται· καὶ ὁ Ὀδυσσεὺς

Digitized by Google

αἰτεῖ αὐτὸν τὴν ὁδὸν ἀποδεῖξαι· ὡς δ' οὐκ ἐπίθετο, μόνος ὁ Ὀδυσσεὺς τῆς πορείας ἀπάρχεται. Ἑρμῆς αὐτῷ συναντήσας, τὰ τῆς Κίρκης πάντα κατέλεξε καὶ δίδωσιν αὐτῷ τὸ μῶλυ· ὅ πέρ ἐστι βοτάνη ἀντιπαθοῦσα μαγίαις· καὶ οὕτω πρὸς τὴν Κίρκην ἐλθὼν οὐ μόνον οὐκ ἐθηριοποιήθη, ἀλλὰ καὶ τὸ ξίφος ἐπ' αὐτὴν ἐλκύσας, ἔπεισε καὶ τοὺς φίλους αὐτοῦ πάλιν ἐκ χοίρων ἀνθρώπους ποιῆσαι· κατελθὼν δὲ ὁ Ὀδυσσεὺς, ἀνήγαγε καὶ τοὺς ἑτέρους φίλους αὐτοῦ, τοὺς μετὰ Εὐρύλοχον· καὶ χρόνον ἐν περὶ τὴν Κίρκην διέτριψαν, συγκαθέζοντος τοῦ Ὀδυσσέως τῇ Κίρκῃ.

Μετὰ δὲ τὸ μέλλειν αὐτοὺς πλεῖν, εἶπεν αὐτοῖς μὴ ἄλλως εἶναι αὐτοῖς ἡμαρμένον ἀποπλεῖν, εἰ μὴ κατέλθωσιν πρὸς Ἅδην καὶ χρήσονται μαντείαις ἐκ τῆς Τειρεσίου ψυχῆς· καὶ δὴ δι' ὅλης ἡμέρας πλέοντες κατῆλθον διὰ τῶ Ἑσπερίω καὶ Κυμερίω ὠκεανῶ, καὶ πυγούσιον βόθρον ὀρύξαντες καὶ σφάξαντες κριὸν καὶ ὄρνιν θήλιαν, ἐξέχεαν εἰς τὸν βόθρον τὸ αἷμα, καὶ ἔθυσαν χοὴν τοῖς νεκροῖς, καὶ ἦλθον ψυχαὶ πιεῖν αἷμα· Ὁ Ὀδυσσεὺς δὲ κατέχων ξίφος, ἐκ εἶα πίνειν, πρὶν αὐτῷ καταλέξειαν ἅπερ βέλοιτο· καὶ πρώτη μὲν Ἐλπήνορος ἦλθε ψυχὴ, ὃς ἐν τῇ τῆς Κίρκης οἰκείᾳ ἔτι ἄθαπτος ἔκειτο· δευτέρα ἡ Ἀντίκλεια, ἡ μήτηρ τοῦ Ὀδυσσέως· εἶτα Τειρεσίας· ὃς πάντα μέλλοντα αὐτὸς καταλήψεσθαι ἐμαντεύετο· μετὰ ταῦτα πάντα ἦλθον καὶ αἱ τῶν ἡρώων γυναῖκες λέγοντες αὐτῶν ὁ καθ' ἕνας τίς εἴη καὶ ὅσα πεπόνθει· εἶτα φοβηθέντες μὴ ἡ Γοργὼ ἐξέλθῃ, ἐμβάντες πάλιν εἰς τὴν αὐτῶν ναῦν ὡς πρὸς τὴν Κίρκην νῆσον πρὸς αὐγὰς κειμένην, ἀπέπλευσαν· καὶ θάψαντες τὸν Ἐλπήνορα, ἀποπλέουσι παρὰ τῆς Κίρκης τὰ χρειώδη λαβόντες, καὶ τῷ Ὀδυσσέως μαθόντος παρ' αὐτῆς, ὡσανὶ παρὰ τῷ Τειρεσίᾳ, τὰς Σειρήνας, τὰς Πλάγκτας, τὴν Σκύλλαν, τὴν Χάρυβδιν, τὰς βόας ἠλίου καὶ πάντα ἁπλῶς.

Digitized by Google

Κηρῷ γοῦν ὁ Ὀδυσσεὺς ἐμφράξας τὰ ὦτα τῶν ἑταίρων, παρέπλει αὐτοὺς ἐπὶ τοῦ ἱστοῦ ἐκρεμὴς ὤν, καὶ ἀκατάληπτα ἔχων τὰ ὦτα· παρελάσαντες οὖν τὸν λειμῶνα τῶν Σειρήνων, καὶ τὰ μέλη ἐκείνων, ὑφ' ὧν θελγόμενοι ἀπέθνησκον οἱ ἀκούοντες, λύουσι τὸν Ὀδυσσέα τοῦ ἱστοῦ· ἔπειτα παραπλεύσαντες τὰς Πλαγκτὰς πέτρας, ἃς πρὸς ἀλλήλας συνεκρότουν καὶ φοβερὸν ἀπετέλουν τὸν κτύπον, αὗται δὲ καὶ Κυάνεαι λέγονται, κεῖνται δὲ μεταξὺ Κιλικίας καὶ Παμφυλίας, καθ' Ὅμηρον, καὶ τινὰς ἑτέρους, ἦλθον διὰ Χαρύβδεως καὶ πλησίον μᾶλλον τῆς Σκύλλης· ἁρπαγέντων δὲ παρὰ τῆς Σκύλλης ἓξ τῆς νεὼς ἀνδρῶν ἓξ, οἱ λοιποὶ, συντονώτερα τῇ εἰρεσίᾳ χρησάμενοι, ἔφυγον· πρὸς δὲ νύκτα τῇ Ἡλίου νήσῳ ἀδομένῃ Θρηνακίᾳ, προσπελάζουσι· καὶ ὁ Ὀδυσσεὺς παραπλεῖν αὐτὴν ἐκέλευσεν· οἱ δὲ μὴ πιθέντες ἐξῆλθον καὶ πρῶτα μὲν θηρεύσι καὶ ἀγκυρείᾳ διέζων.

Ὡς δὲ Νῶτος ἔπνει πρὸς μῆνα ὅλον, ἀνελθόντος τοῦ Ὀδυσσέως εἰς τὸ ἐνδότερον τῆς νήσου εὔξασθαι, καὶ κατακοιμηθέντος, σφάττουσιν οἱ μετ' Εὐρυλόχῃ βόας Ἡλίου, καὶ ἐσθίουσιν ἐπὶ ἓξ ὅλαις ἡμέραις· τῇ ἑβδόμῃ δὲ παυσομένου τοῦ δεινοῦ ἀνέμου ἐμβάντες ὡς τὸ πλεῖν, Ζεφύρου πρῶτον μεγάλῳ συνθραύονται· εἶτα κεραυνοῦνται· ὁ Ὀδυσσεὺς δὲ μόνος τὴν τροπὴν κατέχων, ὁλονυκτὶ ὡς ἐφέρετο· ἀνατέλλοντος δὲ τοῦ ἡλίου Νότῳ φερόμενος, ἦλθε περὶ τὴν Χάρυβδιν, καὶ δραξάμενος τῆς περὶ τὸν τόπον ἐκείνης ἐρώσης συκῆς, ἀπειρέματο περὶ αὐτήν· τὰ δὲ ξύλα κατέδυ πρὸς τὸν βυθόν. Ὀψὲ δὲ ἀναδυόντων αὐτῶν, καθεὶς ἑαυτὸν ἀπὸ τῆς συκῆς ἐπελάβετο τῶν ξύλων· καὶ ἐννέα μὲν οὕτω ἡμέραις ἐνήχετο· τῇ δεκάτῃ δὲ περὶ, Ὠγυγίαν νῆσον ἦλθε τῆς Καλυψοῦς· καὶ ἑπτὰ χρόνους ἐκείνῃ συνδιῆγε· τῷ δὲ ὀγδόῳ ἀπελύθη μετὰ σχεδίας Διὸς ἐρεσθέντος τῇ Καλυ-



Digitized by Google

ψῷ· καὶ οὕτω μετὰ τῆς σχεδίας Ὀδυσσεὺς δεκαεπτὰ ἡμέραις ἔπλεεν· ὀκτωκαιδεκάτῃ δὲ τὴν Φαιακίαν ἤτοι τὴν λεγομένην Κέρκυραν εἶδεν· ἀνέμων δὲ γενομένων ὀργῇ Ποσειδῶνος, κατεάγη ἡ σχεδία· δύο δὲ ὅλαις ἡμέραις ἐνήχετο. τρίτῃ δὲ ἡ Λευκοθέα ἐλεήσασα αὐτὸν, δέδωκε τὸ κρήδεμνον αὐτῆς, μεθ' οὗ ἐξῆλθεν εἰς τὴν γῆν τῶν Φαιάκων, καὶ καταπεσὼν ἐν ὕλῃ, ἐκάθευδε.

Τῆς δὲ Ἀλκινόου θυγατρὸς Ναυσικάας μετὰ τῶν θεραπαινίδων αὐτῆς, πλῦναι ἑαυτὴν καὶ τερφθῆναι παιδιαῖς σὺν ταῖς θεραπαινίσι, καὶ σφαιριζουσῶν πρὸς ἀλλήλας, βοῆς γενομένης, ἐγείρεται ὁ Ὀδυσσεύς, καὶ ἱκετεύει αὐτήν· ἡ δὲ τροφὰς καὶ εἵματα δοῦσα, κελεύει τοῦτον ἐλθεῖν πρὸς τὸν οἶκον τοῦ ταύτης πατρὸς, καὶ τὴν αὐτῆς μητέρα ἱκετεῦσαι Ἀρήτην, ὡς ἂν τύχοι οὗπερ δὴ καὶ βούλοιτο· ἐκεῖσε δ' ἐλθὼν, ἐρωτᾶται παρὰ Ἀλκινόου καὶ τῆς Ἀρήτης, καὶ τὴν πᾶσαν ἣν ἔφημεν διηγεῖται ὑπόθεσιν· καὶ δῶρα παρ' αὐτῶν ἱκανὰ λαβὼν εἰς τὴν Ἰθάκην πέμπεται.

Ἑσπέρᾳ μὲν ἐπιβὰς τῆς νεὼς ἐπὶ Φαιακίας, περὶ δὲ ἑωσφόρον πεφθακὼς ἐκεῖσε, καὶ εἰσελθὼν ὡς πένης περὶ τὸν Εὐμαῖον τὸν συβώτην, καὶ πρὸς τοὺς ἄλλους δηλαδὴ ποιμένας, παρεγένετο καὶ πρὸς τοὺς μνηστῆρας τῆς αὐτοῦ γυναικός· καὶ πλεῖστα περὶ πολλῶν παρ' αὐτῶν παροινηθεὶς, γνώριμον ποιεῖ ἑαυτὸν τῷ φιλτάτῳ υἱῷ αὐτοῦ Τηλεμάχῳ καὶ τοῖς οἰκέταις· πρότερον ἀναγνωρισθεὶς παρὰ κυνὸς, ἣν βραχυτάτην κατέλιπεν ὁπόταν ἀπέπλει μετὰ τῶν ἄλλων συμμάχων ἐπὶ τὴν Ἴλιον· σὺν γοῦν τῷ γνησίῳ υἱῷ καὶ τοῖς αὐτοῦ ποιμέσιν, ἀνελὼν ἅπαντας τοὺς μνηστῆρας, ἀναγνωρίζεται καὶ τῇ αὐτοῦ γυναικὶ καὶ συγκαθευδήσας αὐτῇ, πάντα κατὰ λεπτὸν διηγήσατο· τῇ ἐπαύριον δὲ, προΐᾳ, ἔξεισι περὶ τὸν ἀγρόν· οἱ δὲ τῶν μνηστήρων συγγενεῖς, μαθόντες τὸ γεγονὸς, πρῶτον μὲν εἰς τὴν Ὀδυσσέως οἰκείαν

Digitized by Google

ἐλθόντες, ἁπτουσι τοὺς νεκρούς· ἔπειτα δὴ ὁπλισθέντες, ἐξέρχονται καὶ αὐτοὶ πρὸς τὸν ἀγρὸν Ὀδυσσεῖ πολεμήσοντες· Ἀθηνᾶς δὲ βουλῇ φιλοῦνται, καὶ τὸ νεῖκος καταπαύουσιν· ὁ Ὀδυσσεὺς δὲ εἰς Εὐρυτάνας ἔθνος Ἠπείρου κατὰ χρησμὸν ἐλθών, θύει τὰ νενομισμένα· καὶ γραπτὸς ἄγαν ὑποτραφείς, πτείνεται παρὰ Τηλεγόνου, τῷ ἐκ Κίρκης αὐτῷ γενηθέντος υἱοῦ.

## ΛΕΟΝΤΟΣ ΤΟΥ ΑΛΛΑΤΙΟΥ

### ΙΔΙΟΥ ΕΙΚΩΝ.

Ἰλίου κρήδεμνα ταῦτα, ὦ παῖ· πεδία δ' ἐκεῖνα τὰ Τρωϊκά, καὶ πανελλήνων ὅλος στρατός· τόδ' ἐκεῖθεν ἐπιῤῥέον ὕδωρ καὶ ταῖς ὄχθαις στεφανούμενον ἐπὶ χλωρᾷ κόμῃ, Σκαμάνδρου ῥοαί· εἰ δὲ μεθύειν δοκεῖ τοῖς ῥεύμασι καὶ οἷον ἀνθη βέβαπται τῷ αἵματι, μηδέν μοι πτοηθῇς, μηδὲ φρίξῃς· ὁ γὰρ τῆς Θέτιδος τοῖς ὅπλοις κατάχαλκος, ἐδημιούργησε δὲ ταῦτα Ἡφαίστου χεὶρ ἐν ἴδει Θεῶν· ὅλος θυμοῦ καὶ ὀργῆς ἀναπλεως Ἑλληνικῆ παλάμῃ ταῦτα κατέφυρε, τὸν Πάτροκλον οἶμαι τιμῶν· ὦ κάλλους ἰσχύς; ὁ τοσοῦτον στορέσας στρατὸν, ὁ τοῖς Θεοῖς πολεμῶν, οὕτως ἐπεφρόνει τῇ ἀκμῇ τῶν μελῶν; ἥττων κάλλους ἐστὶ, καὶ τῷ καλλει δουλεύσει καὶ κάλλους ἑρᾷ· μή δ' ἀνανεύσῃς πρὸς τὰ ἔσχατα τῆς γραφῆς, ἄφραστόν ἐστι, καὶ ἀφόρητον ἐπὶ τοὺς ὀφθαλμοὺς σέλας ἔμπτυρσον, Ἡφαίστου τέχνασμα τῷ Ἀχιλλεῖ βοηθοῦντος· καὶ δὴ τῇ φλογὶ τὸ πλησίον ἕλος διερῥίπισαι, καὶ ὁ πολὺς κατ' αὐτὸ κάλαμος καὶ τὰ δένδρα καὶ αἱ πηγαί· τὰ μὲν κέκαυται, τὰ δ' ἀνάλωται, σποδιὰ δὲ μόνη καὶ

Digitized by Google

κόνις τοῖς ἀνέμοις φέρεσθαι, ὅπῃ ἂν αὐτοὶ ἐθέλοιεν, λέλεπται· φυσῶσι γὰρ καὶ τὸ κῦμα οἰδαίνουσι, ἐγείρουσι δὲ τὴν φλόγα ἀνάπτοντες· ὁ δὲ αἰγιαλὸς μετὰ πάντα σωμάτων νεοσφαγῶν· καὶ τὰ μὲν ἄρδην ἀπόλωλε, τὰ δὲ πνέει ἔτι καὶ οἷον ὅμορα τῷ Ἅδῃ ὑσπαίρει, οὐ δ' ὁλόκληρα· περιελθὼν γὰρ τοῖς ὄμμασι τοὺς μὲν εὐρήσεις χειρῶν ἄνευ, τοὺς δὲ ποδῶν, καὶ ἑτέρων μὲν οὖς, ἑτέρων δὲ κεφαλὰς ἀποτετμημένας τῶν ἄλλων σωμάτων, καθαρὸν πόλεμον ταῦτα κατηγορεῖ, καὶ ἐς τοῦτο ἐλεεινὰ λείψανα λῆξαντα καὶ ταῦτα μὲν Ὁμήρου φωνή.

Περιπολήσομεν δ', εἰ βούλει, τὴν πόλιν, καὶ τὰ περὶ ταύτην φιλοσοφήσομεν· ἀνάκτων γὰρ ἐνταυθοῖ δόμοι, καὶ μέγαρα καὶ ἀρχεῖα, καὶ θεῶν σηκοί, καὶ πεντηκοντάπαις πατὴρ, καὶ δι' ἧς ὁ πόλεμος, καὶ δι' οὗ ὁ πολυχρύσου Μυκήνης βασιλεὺς καὶ τὰ Ἑλλήνων φρονοῦντες τασαύτην καθοπλίζουσι χεῖρα· μηδ' ἐξαγέτω σε ἡ γραφὴ τῆς γραφῆς ταῖς ὥραις.

Ὁ τοῖς ἀνακτόροις ἐκείνοις συνὼν καὶ τοὺς ὀδόντας πλήττων καὶ οἷον ὑποχάσχων, ὁ ἐξ Ἰθάκης ἑ-ί· ῥάπτει γὰρ δόλους κἀνταῦθα, καὶ τὸ μὲν περιπλάττει τοῖς λόγοις, τὸ δὲ τῷ νεύματι, τὸ δὲ τοῖς σχήμασι, τὸ δὲ τῇ ψυχῇ μηχανᾶται, καὶ οὐδέποτε αὐτὸς αὐτῷ ὅμοιος· ς-ικὸς δὲ καὶ βαλιὸς καὶ ἐξαπατᾶν ἄριστος· εἰ δὲ καὶ νῦν τῷ χόλῳ πυράττεται, πραΰνει δ' ὅμως τὸ βλέμμα καὶ σέσηρε, καὶ δοκῶν μειδιᾷν, ὄλεθρον ὑφαίνει, καὶ δάκρυα, καὶ τῷ μέλιτι τῶ ἥδους τὸ πικρὸν περιέῤῥανε φάρμακον· μεταμορφοῦται γὰρ πρὸς οὓς διαλέγεται, καὶ τοῦτο εἶναι φαίνεται, ὅπερ οὖν καὶ πεφύκασιν ἐκεῖνοι. Εἰσῆλθε τὴν πόλιν ἤτος· καὶ δόλῳ τὰς φύλακας ἔφυγεν καὶ τὰς ἀγυιὰς γυμνασθεὶς καὶ τὰς ὁδοὺς, καὶ οὐ ἐγκαθίδρυται ὁ νεὼς τῆς Παλλάδος καταμαθὼν, εἶτα τὸν Πρίαμον καὶ τοὺς Τρῶας λαν-

Digitized by Google

θάνει· τὸ γὰρ τριβώνιον ἐκεῖνο καὶ ἡ ἐσθὴς ἡ διερρωγυῖα ἀλήτην τινὰ καὶ πονηρὸν ἄνδρα δηλοῖ, καὶ μηδὲν ἔχοντα καὶ τῶν θυμῶν ἀπόζοντα· μηδέ σε φύγῃ, ὦ παῖ, τὸ τῶν ὀμμάτων λοξὸν, καὶ τὸ διεγραμμένον· εἰ γάρ τι καὶ βαιὸν τι πνεύσας Ζέφυρος κινήσει τὰ πέταλα, εἴ τις οἱ ἐντύχῃ προσομιλῶν, εἴ τις ὄπισθε τρέχων λακήσει τοῖς ἴχνεσιν, εἴ τις βλέπων αὐτὸν μειδιᾷ, ὕποπτα πάντα αὐτῷ, καὶ ῥέποντα πρὸς μηδὲν ὑγιές. Ἐπάγει δὲ καὶ τὴν πειθὼ ἐν τοῖς χείλεσι, ἐκχεῖται καί τις ἡδονὴ γάζουσα νέκταρ τῷ γόματος· ἀκούεις οἶμαι καὶ σὺ τῆς φωνῆς, ἀττικίζει γὰρ κᾆν μὴ θέλων· αἰσθάνῃ δ' ἐκείνου, εἰ μέλλεις ἔτι, αἰσθάνῃ νή Δία· καὶ γὰρ ἐκείνῳ, σάφα οἶδα, συνεκινδύνευες· προσγέγραπταί τε αὐτῷ ἀνυποδησία, καὶ εὐκνημις ὢν λανθάνει ὅρα γὰρ ὡς ἁλμένως διαπρέπουσι, χιόνι λευκῇ ἐυμμένοι, καὶ τετορνευμένοι οὐ δ' ἀτεχνῶς, ἀλλ' οἷαι Ἀχαιῶν κνῆμαι καὶ πόδες.

Ἃ δ' ὁ ζωγράφος ἀπῴκισε τῆς γραφῆς, εἰρήσεται· ἔστι τις ὑδάτων ὀχετὸς, τοῖς θρίοις καὶ ταῖς μυρίκαις κομῶν, καὶ περὶ αὐτοῦ πολὺς διαῤῥεῖ λόγος πελαγίζων, καὶ ὡς ὠκεανὸν, τὸ ὕδωρ διαυγὲς καὶ ἰδεῖν ἥδιστον καὶ πίειν ἄριστον· φέρεται δ' ἐς τὴν πόλιν διὰ μυχῶν, ἄθηλον τοῖς ἀνδράσι πορίζων τὴν χύσιν καὶ τὸ χεῦμα περιπέττων τῇ γῇ, καὶ σκοτεινοῖς τοῖς διαύλοις κρυφθεὶς, κρυνὸς ὑδάτων ἀναβλύζει τῇ πόλει, τῇδε κἀκεῖσε χεόμενος καὶ σπειρόμενος πανταχῇ· νύκτωρ τοίνυν ὁ Λαέρτου ἐπὶ τὸ ὕδωρ ὁρμᾷ καὶ τοῖς χεύμασιν ἐνδοὺς αὐτὸν φέρεσθαι, ἦν γὰρ καὶ δεινὸς νεῖν, καὶ μικρὸν μελλήσας τοῖς ὕδασι μετωχετεύθη τῷ βασιλικῷ κήπῳ· ὅρα μοι δ' αὐτὸν ὡς ἀνανεύει, καὶ ἀχανὴς ἔστηκε καὶ θαυμάζει τὸν τόπον καὶ περισκοπεῖ· βλέπει δὲ πρὸς τὸν οὐρανὸν, τὸ βλέμμα προσαρτῶν ἐκεῖθεν· χάριν οἶμαι ἐκτινύει τῇ Ἀθηνᾷ τῇ συνερίθῳ, τῇ αὐτοῦ φίλῃ

Digitized by Google

ψυχῇ. Μηδὲ λάθῃ σε τὸ λαγαρὸν ἐκεῖνο μειδίαμα τοῖς χείλεσιν ἐπιτρέχον, ὃ καὶ κλέπτει αὐτός· ἐφορᾷ γὰρ τοὔργον ὅπερ ἐργάζεσθαι τετόλμηκεν ἤδη καὶ ταῖς ἐλπίσι γομφῦται· καὶ δῆλα αὐτῷ καὶ ὁ κῆπος καὶ τῶν σκυλάκων αἱ ἐπαύλεις, καὶ ἡ κλίμαξ ἡ πρὸς τὰ βασίλεια φέρουσα· ἐπρέσβευσε γὰρ καὶ πρώην ὑπὲρ Ἑλένης πρὸς Πρίαμον· καὶ δεινὸς τὸν νοῦν πάντα καταμεμάθηκε· τί νῦν ἡμῖν ἔςηκας, ὦ παῖ Λαέρτου; τί μέλλεις, ἔργων ἀκμή; μῶν τοὺς ὀδόντας προςκρούεις καὶ ἀθυμεῖς; οὐ γὰρ φέρεις σκῆπτρον, οὐδ' ἁλουργίδας, οὐδ' ἑπταβόειον ἀσπίδα, κόσμει τὰν σπάρταν, ἁν ἔλαχες, οὐρίῳ ἔβης Διὶ καὶ δαίμοσι φίλοις· διὰ τ' ἔντεα καὶ μέλαν αἷμα ἡ ὁδός σοι ποριςέα.

Ὦ παῖ, οἷον ἔπαθον; ἐξήχθην τῷ κάλλει τῆς γραφῆς, καὶ ὡς πρὸς παρόντα καὶ ἀκροώμενον ἐποισοίμην τοὺς λόγους· συνεξήχθης οἶμαι καὶ σύ· ἀκρίβεια τοῦτο ζωγράφου, καὶ πρὸς τὴν γραφὴν τὰς ὄψεις κατέσπασει, ἐπ' ἄλλα τε τῶν ὁρώντων τὸν νοῦν ἔφερεν. κάλλος Ἑλένης ἐκεῖνο τὸ τοῖς ὄμμασιν ἀπαντῶν, κάλλος ἐλεύθερον καὶ ὀλύμπιον, καὶ ἴυγξ ἐν ὄψει θηρατηρία· ἢ οὐκ αἰσθάνῃ τὴν ἰσχὺν ὡς εὐφραίνει μὲν βλεπόμενον, εὐφραίνει δὲ ἀκουόμενον; τέταται μὲν ἡ τῆς Ἑλένης ὄψις πρὸς τὸ ςρατόπεδον, πρὸς δὲ τὴν Ἑκάβην ἡ γλῶττα, καὶ περὶ τῶν νεῶν ὁ λόγος καὶ τοῦ ναυςάθμου.

Ἄθρει μοι τὸν Ὀδυσσέα, ὡς προςεγγίζει ταῖς γυναιξὶ, προσηνέσι τε τοῖς ὀφθαλμοῖς προςμειδιᾷ, οὐδ' ἡ φορὰ μία, πολυειδὴς δὲ καὶ πανεπίβολος· εἰ δὲ καὶ τοῖς σχήμασίν ἐςι τεκμήρασθαί τι, φράσω σοι ὅ τι καὶ δέδοικα· κατάδηλον ἐκείναις ποιεῖ, καὶ ὡς ἐξ Ἰθάκης καὶ ὡς Ὀδυσσεὺς καὶ ὡς νυκτὶ μὲν εἰσῆλθε τὴν πόλιν, ὡς ἐπλανᾶτο, ὡς ἐδυςφόρει· καὶ ταῦτα μὲν ἀληθῆ, τὰ δὲ πεπλασμένα ἐκεῖνα, ὡς δόλῳ τοὺς φύλακας ἐξηπάτησεν, ὡς ἥκει βοηθήσων τῇ

Digitized by Google

Τροίαν, ὡς βαρέως μὲν ἤνεγκεν ἀλλυμένων τῶν Τρώων, ὡς περὶ τῆς τῶν Ἑλλήνων ἥττης ἤκουσέ τι ἀπόῤῥητον, καὶ τουτοωὶ τὴν ἀλήθειαν μόνον παρὰ τὴν Ἀθηνᾶν κεῖσθαι, καὶ ὡς χρησιμασμένος βαδίζῃ καὶ ταῦτα μὲν πάντα σοφοῖς τοῖς ῥήμασι καὶ ἀπάταις καὶ κολακείαις καὶ θωπείαις· αἱ κάλλει, αἱ δὲ τῇ ἀγγελίᾳ χαίρουσι, καὶ τὰς κλεῖς ἐπέτρεψαν τοῦ νεὼ τῆς Παλλάδος, καὶ τῷ πόθῳ καὶ ταῖς χάρισι καταγεγαπτευμέναι, ἃς ὁ δολορράφος δέχεται· ὧδὲν μὲν ὧν εἶπεν, ὁ δὲ ταῖς φρεσὶ κέκρυφεν ἐπιτελέσων.

Γῆρας δ' ἤδη ἡμέρας καὶ οὐδ' ὑπὲρ γῆν, βαπτίζεται δὲ ἐν τῷ ὠκεανῷ καὶ κοιμᾶται, καὶ τὸν δρόμον τῆς ἡμέρας γλυκάζει τῷ κώματι· ὁ θηρευτὴς πετασσύει μὲν τοῦ νεὼ τὰς πύλας, κρατεῖ δὲ πάντων ἀργύρων, ἀγαλμάτων, ἐδάφους καὶ τῆς ςέγης αὐτῆς, καὶ οὐδενὸς μεταςχὼν ἀφαιρεῖται τὸ Παλλάδιον ἐπ' ἀγκῶνος, καὶ ταχὺς ἐπὶ τὴν ἐκφορὰν ἔρχεται γαυνούμενος τῷ ἄθλῳ, καὶ ἡγούμενος πάντα ἐλάττω τῆς δόξης· ἐκ τούτου γὰρ καὶ πτολιπόρθος ἀκέσει πολλάκις, ὁ σὺ δ' αὐτῷ ἐξῆν τῷ τῆς Θέτιδος, καὶ πρῶτος Ἑλλήνων κριθήσεται· εὖ γὰρ οἶδας τῇ Πυθίᾳ εἰρῆσθαί ποτε, τῇ τοῦ Παλλαδίου ἀφαιρέσει τὴν τῆς Τροίας ἅλωσιν ἐπανωλονθήσειν.

Σκόπει δέ μοι τὸν χειμάῤῥοον ἐκεῖνον τῶν τειχῶν ἐκχεόμενον· ὑδάτων ἐςὶ τῷ ἐν τῇ πόλει φορά· τρέχει μὲν ἐκεῖ ὁ ἀριςεὺς καὶ τῷ ἀνδρὶ ἐκείνῳ περιβεβλημένῳ τὰ πρόσωπα τῷ χιτῶνι καὶ φαιῷ, γνόφος γὰρ αὐτῷ περιχεῖται καὶ μόλις εἰκάσαι δίδωσιν αὐτὸν, ὁ Διομήδης ἐςὶν ὁ Τυδέως· ἀλλ' ἤδη διὰ τὸν ὀχετὸν ὀπάζει καταρτῶν μηρίνθῳ, ἵνα μὴ διαῤῥαγῇ πεσών, προσδεῖ δὲ τὴν μήρινθον ἐκείνῃ τῇ πέτρᾳ, κἄτα τῇ μὲν τῶν χειρῶν χαλῶν, τῇ δὲ πιέζων τῶ τείχους κατέβη, κἄν τοῖς πεδίοις τῷ φίλῳ συμπλέκεται καὶ καταφιλεῖ· βαιὸν δὲ αὐτῷ τὸ ἄσθμα ἀπιςεῖ· δ' ἔτι καὶ μέ-

Digitized by Google

σων τῶν βελῶν περιχορεύειν δοκεῖ, καὶ οὐδ' ἔξω κινδύνου τυγχάνειν· οἱ δ' ἀριστεῖς ἔχονται πρὸς ταῖς ναυσ, καὶ τῶν Ἑλλήνων ὀρόντων παιανίζουσι καὶ ἄλλονται καὶ πεπορθηκέναι νομίζουσιν ἤδη τὸ Ἴλιον.

## ΚΑΝΟΝΙΣΜΑΤΑ ΔΙΑΦΟΡΑ ΩΦΕΛΙΜΑ ΕΚ ΤΟΥ ΟΜΗΡΟΥ.

### Α

Ἄγερθεν· ἀγείρω τὸ θέμα· ἔ ὁ μέλλων ἀγερῶ· ὁ παρακείμενος, ἤγερκα, ὁ παθητικὸς ἤγερμαι· ὁ ἀόριστος, ἠγέρθην, ἠγέρθης, ἠγέρθη· τὸ τρίτον τῶν πληθυντικῶν, ἠγέρθησαν· καὶ τὸ Ἰωνικὸν ἄγερθεν· οἱ γὰρ Δωριεῖς τῶν παρωχημένων τὰ τρίτα πρόσωπα, ἀπὸ τῆς γενικῆς τῶν μετοχῶν ποιοῦσιν· οἷον ἐγερθείς, ἐγερθέντος, ἤγερθεν· καὶ κοσμηθείς, κοσμηθέντος, κόσμηθεν.

Αἱρείσθωσαν· ἐκ τοῦ αἱρέω αἱρῶ· καὶ τὸ παθητικὸν, αἱρέομαι αἱρῆμαι· ὁ παρατατικὸς, ἡρεόμην ἡρέμην· ἡρέου ἥρω· καὶ τὸ προστακτικὸν, αἱρέω αἱρῶ· τὸ τρίτον, αἱρέσθω εἱρείσθω· αἱρεέσθωσαν αἱρείσθωσαν·

Ἄμβροτον· παρὰ τὸ ἁμαρτῶ, ἁμαρτήσω, ἥμαρτον· καὶ ἐν ὑπερθέσει τοῦ ρ, καὶ πλεονασμῷ τοῦ β, καὶ τροπῇ τοῦ α εἰς ο, ἄμβροτον.

Ἄνεργε, καὶ ἐν διαιρέσει, ἔεργε· καὶ μετὰ τῆς ἀνα προθέσεως, ἀνάεργε, ἄνεργε.

Ἀνώγων· ἀόριστος β΄ κατὰ συγκοπὴν τοῦ η καὶ ἔστι πρώτης συζυγίας τῶν περισπωμένων· ἔστι γὰρ τὸ θέμα αὐτοῦ, ἀνωγῶ·

Digitized by Google

καὶ ὁ παρατατικὸς, ἠνώγεων· ὁ μέλλων, ἀνωγήσω· ὁ ἀόριστος, ἠνώγησα· ὁ δεύτερος, ἠνῶγον· ὡς τὸ ὀλισθῶ, ὄλισθον.

Ἄνωχθι· ἀνώγημι· καὶ τὸ προστακτικὸν, ἀνώγηθι· καὶ τροπῇ τοῦ γ εἰς χ, καὶ κατὰ συγκοπὴν, ἄνωχθι.

Ἀποπαλών· ἐκ τοῦ πάλλω, παλῶ, ἔπαλα· ὁ β΄ ἔπαλον· ἡ μετοχὴ, ὁ παλὼν, καὶ μετὰ τῆς προσθήκης γίνεται ἀποπαλών.

Ἀφέσθην· ἵημι τὸ συγχωρῶ· ὁ μέλλων, ἥσω· ὁ παρακείμενος, εἷκα· ὁ παθητικὸς, εἵμαι· ὁ ἀόριστος, εἵσθην, καὶ ἀφέσθην μετὰ τῆς ἀπο προθέσεως.

Ἀφέαντα· ἀφίημι· ὁ μέλλων, ἀφήσω· ὁ παρακείμενος, ἀφεῖκα· καὶ Ἀττικῶς, ἀφέωκα· οἱ γὰρ Ἀττικοὶ ἡνίκα πλεονασμὸν τοῦ ε κατὰ τὸν παρατατικὸν ποιοῦσι, τότε καὶ τὸ ἐπαγόμενον φωνῆεν τρέπουσιν εἰς ω μέγα· ὁ παθητικὸς, ἀφέωμαι· τὸ τρίτον τῶν πληθυντικῶν, ἀφέανται·

## Β

Βεβάασι· ἀπὸ τοῦ βῶ, βήσω, βέβηκα· τὸ τρίτον τῶν πληθυντικῶν, βεβήκασι· καὶ ἐκβολῇ τοῦ η, καὶ τροπῇ τοῦ η εἰς α, βεβάασι.

Βῆ· ἐκ τοῦ βάω βῶ, παράγωγον βίβημι· ὁ μέλλων, βήσω· ὁ β΄ ἀόριστος, ἔβην, ἔβης, ἔβη· καὶ Ἰωνικῶς βῆ· οὕτως ἦν καὶ τὸ ἔφη, φῆ· καὶ τὰ ἔστην, στῆ.

## Γ

## Δ

Δαίννυ· ἐκ τοῦ δαίνυμι, καὶ ὁ παρατατικὸς, ἐδαίννυν· εἰ μετοχὴ, ὁ δαινὺς, τοῦ δαινύντος· καὶ τὸ προστακτικὸν, δαίννυθι, καὶ ἀποβολῇ τῆς θι, δαίννυ.

Digitized by Google

Δείδηθι δείδω, καὶ μεταθέσει τῆ τόνου, δαιδῶ, δαιδήσω ἐξ ἧς καὶ δαιδήμων - ἀλλὰ μᾶλλα Τρῶες δαιδήμονες - ἐκ τῆ δαιδῶ ὁ παρατατικὸς, ἐδαίδην· τὸ πληθυντικὸν, ἐδαίδημεν, καὶ τὸ προστακτικὸν, δαίδηθι.

Δόσαν· δίδωμι, ὁ μέλλων δώσω· ὁ β΄ ἀόριστος, ἔδων· ὁ δεύτερος, ἔθως· τὸ τρίτον τῶν πληθυντικῶν, ἔδοσαν, καὶ κατὰ Ἰωνικὴν ἀφαίρεσιν τῆ ε, δόσαν.

Δύναμαι· ἀπὸ τοῦ δύνημι· σύ· τὸ παθητικὸν δύναμαι, καὶ τὸ ὑποτακτικὸν, ἐὰν δύνωμαι· τὰ τρίτον τῶν πληθυντικῶν, ἐὰν δύνωνται· καὶ ἄμαλον εἶναι ἐὰν δυνῶμαι, ὡς τεθῶμαι· ἀλλὰ κανών ἐστιν ὁ λέγων, ὅτε νενίκα εὑρεθῇ ὁ ἐνεστὼς τῶν εἰς μι ἐν χρήσει, τότε περισπᾶται τὸ ὑποτακτικόν· οἷον τίθημι, ἐὰν τιθῶμαι· ἵστημι, ἐὰν ἱστῶμαι· νενίκα δὲ ὁ ἐνεστὼς οὐχ' εὕρηται ἐν χρήσει, τότε παροξύνεται· οἷον δύνημι, ἐὰν δύνωμαι· τὸ γὰρ δύνημι οὐχ εὕρηται ἐν χρήσει.

## E

Ἔαδε, ὁ σημαίνει τὸ ἤρεσεν· ἥδω τὸ ἀρέσκω· ὁ μέλλων, ἥσω· ὁ β΄ ἀόριστος, ἧδον· τὸ τρίτον, ἧδε· καὶ ἐν διαλύσει τῆ η εἰς ε καὶ α, ἔαδε.

Ἑάλω· ἁλῶ, τὸ πορθῶ· ἅλωμι· ὁ μέλλων, ἁλώσω· ὁ β΄ ἀόριστος, ἥλων· καὶ τὸ ὑποτακτικὸν, ἐὰν ἁλῶ, ἐὰν ἁλῶς, ἐὰν ἁλῶ· καὶ πλεονασμῷ τῆ ε, ἑάλω.

Ἑάλω· ἁλῶ, τὸ κρατῶ καὶ πορθῶ· ὁ μέλλων, ἁλόσω· ὁ β΄ ἀόριστος ἥλων, ἥλως, ἥλω· καὶ κατὰ τροπὴν τοῦ η εἰς α, καὶ πλεονασμῷ τῆ ε, ἑάλω.

Ἔασιν· ἀπὸ τῆ εἰμὶ, τὸ τρίτον τῶν πληθυντικῶν εἰσὶ, καὶ Ἰωνικῶς ἐᾶσιν.

Ἔαται· ἐκ τοῦ ἕω, τὸ κάθημαι, γίνεται παράγωγον ῥῆμα ἵημι· τὸ παθητικὸν, ἵεμαι εἶμαι, ἵεται εἶται, καὶ Ἰωνικῶς ἕαται·

Digitized by Google

Ἐγήγορθα· ἐγείρω, ὁ μέλλων ἐγερῶ· ὁ παρακείμενος, ἤγερκα καὶ ἐγήγερκα· ὁ μέσος, ἤγορα καὶ ἐγήγορα· καὶ πλεοναστικῷ τῷ θ, ἐγήγορθα.

Ἐδεδόκει· ἔδω τὸ ἐσθίω, ἔσω, ἧκα· καὶ Ἀττικῶς ἔδηκα· καὶ πλεοναστικῷ τῆς δο συλλαβῆς, ἐδήδοκα· ὁ ὑπερσυντελικὸς, ἐδηδόκην, ἐδιδόκεις, ἐδιδόκει.

Ἐδίδωκα· ἀπὸ τῦ ἔδω· ὁ μέλλων, ἔσω· ὁ παρακείμενος ἔδωκα, καὶ Ἀττικῶς ἐδέδωκα.

Ἐδολιῦσαν· δολιῶ δολιῶ· ὁ παρατατικὸς, ἐδολίευν ὀδολίευν· τὸ γ΄ τῶν πληθυντικῶν, ἐδολιῦσαν Βοιωτικῶς.

Εἶεν· ἔω, τὸ ὑπάρχω· ὁ μέλλων, ἔσω· ὁ β΄ ἀόριστος, ἔην ἦν· ἡ μετοχὴ, εἷς ἔντος· καὶ τὸ ὠκτικὸν, εἶην, εἶης, εἴη· τῶν πληθυντικῶν τὸ πρῶτον, εἶμεν, εἶτε, εἶεν· καὶ κατὰ συγκοπὴν, εἶεν.

Ἐΐκτην· εἴκω, εἴσω, τὸ ὁμοιῶ· ὁ παρακείμενος, εἶκα· ὁ ὑπερσυντελικὸς, εἴκειν· τὸ τρίτον τῶν δυϊκῶν, εἰκείτην·

Εἰλήλυθα· ἔστι ῥῆμα λῶ τὸ θέλω καὶ προθυμοῦμαι· ἐκ τούτυ γίνεται λιλῶ, καὶ κατὰ παραγωγὴν λιλαίω· ἐκ δὲ τοῦ λιλῶ, ὁ παρακείμενος, λελίκακα· ὁ παθητικὸς, λελίλημαι, λελημένος· ἀποβολῇ τῦ λ ἐκ τῦ ἐλήλυθα γίνεται, καὶ πλεοναστικῷ τῦ ι καὶ ο, εἰλήλυθα.

Εἱμένος· ἕω τὸ ἐνδύομαι· ὁ μέλλων, ἕσω· ὁ παρακείμενος, εἷκα, ὡς τέθεικα διὰ τοῦ ει διφθόγγυ, Βοιωτικῶς· ὁ παθητικὸς, εἷμαι· ἡ μετοχὴ, ὁ εἱμένος·

Εἶπεσαν· ἔπω, τὸ λέγω· ὁ μέλλων, ἔψω· ὁ ἀόριστος, εἶπα· ἡ μετοχὴ, ὁ εἶπας τῦ εἴπαντος· καὶ τὸ εὐκτικὸν, εἴπαιμι, εἴπαις, εἴπαι· τὸ τρίτον τῶν πληθυντικῶν, εἶπεσαν Αἰολικῶς.

Εἰρύαται· ἐκ τῦ εἰρύω, εἴρυμι· τὸ παθητικὸν, εἴρυμαι· τὸ τρίτον, εἴρυται· καὶ Ἰακῶς, εἰρύαται.

Εἶσετε, καὶ ἔλθετε· εἶω, τὸ πορεύομαι· καὶ τὸ παθητικὸν, εἶσμαι· καὶ ἐν συγκοπῇ τῦ ο καὶ α, εἰμί· ὁ παρατατικὸς,

Digitized by Google

ἦν· ἡ μετοχή, εἷς, ἔντος· καὶ τὸ προστακτικὸν, ἔθι· καὶ τροπῇ τῆ ε εἰς ι, ἴθι, ἴτω· ἴτων ἴτω· ἴτε, καὶ μετὰ τῆς εἰς προθέσεως, καὶ ἐν ὑπερβιβασμῷ τῆ τόνῳ, εἶσιτε.

Εἴσθει· ἀντὶ τῆ εἶστρεχε δίφθογγα τὰ δύο· καὶ κανονίζεται οὕτως· θέω θῶ· τὸ δεύτερον, θέεις θεῖς· τὸ τρίτον, θέει θεῖ· καὶ μετὰ τῆς εἰς προθέσεως, καὶ ἀναβιβασμῷ τῆ τόνῳ, εἴσθει.

Εἰς-ήκει· ἐς-ήκω, ἐς-ήξω, ἔς-ηχα· ὁ μέσος, ἔς-ηκα· ὁ ὑπερσυντελικὸς, ἐς-ήκειν, ἐς-ήκεις, ἐς-ήκει· καὶ πλεονασμῷ τῆ ι, εἰς-ήκει.

Εἷς τι· δύο μέρη τῆ λόγῳ· εἰς πρόθεσις, τί ὄνομα ἐθέτερον, διφθόγγῳ ει· ἷς-η καὶ ἱς-άθη, ι καὶ η.

Εἰῶσιν· ἐάω ἐῶ, τὸ συγχωρῶ· τὸ τρίτον τῶν πληθυντικῶν, ἐῶσιν· καὶ πλεονασμῷ τῆ ι, εἰῶσιν.

Ἔκηα· καίω· ὁ μέλλων, καύσω· ὁ ἀόρις-ος, ἔκαυσα· καὶ ἀποβολῇ τῆ υ καὶ σ, καὶ ἐκτάσει τῆ α εἰς η, ἔκηα·

Ἐκρέμω· κρέημι· ὁ μέλλων, κρεμάσω· ὁ παρακείμενος, κεκρέμηκα· καὶ ἀφαιρέσει, κρέμαμαι· ὁ ὑπερσυντελικὸς, ἐκρεμάμην, ἐκρέμασω· καὶ ἐκβολῇ τῆ σ καὶ κράσει τῆ α καὶ ο εἰς ω μέγα, ἐκρέμω.

Ἔκταν· κτῆμι· ὁ δεύτερος ἀόρις-ος, ἔκτην, καὶ τροπῇ τῆ η εἰς α, ἔκταν.

Ἔκχεον· χέω· ὁ μέλλων, χεύσω· ὁ ἀόρις-ος, ἔχευσα, καὶ κατὰ συγκοπὴν, ἔχεα· καὶ τὸ προστακτικὸν, χέον καὶ ἔκχεον· καὶ ἐκχέαι τὸ ἀπαρέμφατον.

Ἐκχεῶ· χέω, χεύσω, ἔχευσα καὶ ἔχεα ἐκβολῇ τῆ υ καὶ σ· ὁ β΄ ἀόρις-ος ἔχεον· ὁ μέλλων δεύτερος χεῶ, καὶ ἐκχεῶ.

Ἔμμορε· ἐκ τοῦ μείρω, τὸ μερίζω· ὁ μέλλων, μερῶ· ὁ παρακείμενος, μέμαρκα· ὁ μέσος, μέμορα· καὶ καθ' ὑπερβιβασμὸν, ἔμμορα, ἔμμορες, ἔμμορε. Ἔς-τι δὲ καὶ ἀπὸ τῆ μορῶ, τὸ τυγχάνω· ὁ μέλλων, μορήσω· ὁ παρακείμενος,

Digitized by Google

μεμόρηκα· ὁ μέσος, μέμορα· ὁ β′ ἀόριστος, ἔμορον· καὶ πλεονασμῷ ἑτέρου μ, ἔμμορον, ἔμμορες, ἔμμορε.

Ἐνηθῆναι· ἐνίημι, τὸ ἐκβάλλω· ὁ μέλλων, ἐνήσω· ὁ παρακείμενος, ἐνῆκα· ὁ παθητικὸς, ἐνῆμαι· ὁ ἀόριστος, ἐνήθην, ἐνήθης, ἐνήθη· καὶ τὸ ἀπαρέμφατον, ἐνηθῆναι.

Ἐνήνοθα· ἔστι μέσος παρακείμενος, ὡς δηλοῖ τὸ θ· οὐδὲ γὰρ ὁ ἐνεργετικὸς παρακείμενος διὰ τούτου ἐκφαίνεται. Ἔστιν οὖν θέω ῥῆμα· καὶ ἐν συνθέσει ἀναθέω, καὶ ἀνθέω· καὶ ὑπερβιβασμῷ τοῦ ε, καὶ Ἀττικῷ ἀναδιπλασιασμῷ, ἐνήνοθα· ἢ ἐκ τοῦ θέω τὸ τρέχω, ἀναθέω· ἢ ἀπὸ τοῦ ἐνέθω, ἐνέσω, ἤνεκα· ὁ μέσος, ἤνεθα Ἀττικῶς· καὶ τροπῇ τοῦ ε εἰς ο, καὶ πλεονασμῷ τοῦ ε καὶ ν, ἐνήνοθα.

Ἔντο· ἵημι, ἥσω, τὸ πέμπω· ὁ β′ ἀόριστος, ἦν· ὁ μέσος, ἔμην· τὸ πληθυντικὸν τὸ πρῶτον ἔμεθα, ἔσθε, ἔντο·

Ἐξώκειλα· ὀκέλλω, ὀκελῶ, ὤκειλα καὶ ἐξώκειλα. Πᾶς ὁριστικὸς ἢ ὑποτακτικὸς μονοσύλλαβος εἰς ω λήγων, ἔχων τὴν μετοχὴν εἰς σ ὀξύτονον, τὸν αὐτὸν τόνον φυλάσσει καὶ ἐν τῇ συνθέσει· οἷον, βῶ, ἀναβῶ· θῶ, καταθῶ· δῶ, ἀναδῶ· εἰ δὲ μὴ εἰς σ ὀξύτονον ἔχει τὴν μετοχὴν, ἀναβιβάζει τὸν τόνον· οἷον, σχῶ, κατάσχω· ἐξ οὗ καὶ τὸ πληθυντικὸν, κατάσχωμεν, πρόσχωμεν.

Ἔοικας· εἴκω, τὸ ὁμοιῶ· ὁ μέλλων, εἴξω· ὁ παρακείμενος, εἶχα· ὁ μέσος, οἶκα· καὶ πλεονασμῷ τοῦ ε, ἔοικα·

Ἔολπα· ἔλπω, ὁ μέλλων ἔλψω· ὁ παρακείμενος, ἦλφα· ὁ μέσος, ἤλπα· καὶ πλεονασμῷ τοῦ ο, ἤολπα· καὶ τροπῇ τοῦ η εἰς ε, ἔολπα.

Ἔοργα· ἀπὸ τοῦ ῥέζω, τὸ πράττω· ὁ μέλλων, ῥέξω· ὁ παρακείμενος, ἔῤῥεχα· ὁ μέσος, ἔῤῥεγα· καὶ ἀποβολῇ τοῦ ἐνὸς ρ, καὶ ἐν ὑπερβιβασμῷ, καὶ τροπῇ τοῦ ε εἰς ο, ἔοργα.

Ἔπεφνον· ἐκ τοῦ φῶ, ὃ σημαίνει τὸ φονεύω, γίνεται πα-

Digitized by Google

ράγωγον φένω· ὁ δεύτερος ἄορις, ἔφενον, καὶ ἐν συγκοπῇ καὶ μετὰ τῆς ἐπι προθέσεως, ἔπεφνον·

Ἐπιπτέσθαι πτῆμι, πτήσω, πέπτηκα, πέπτημαι, ἐπεπτάμην, ἐπέπταμαι, ἐπέπτασο, ἐπέπτατο, καὶ τὸ ἀπαρέμφατον, πτᾶσθαι, καὶ τροπῇ τοῦ α εἰς ε πτέσθαι, καὶ ἐπιπτέσθαι.

Ἐπροσήκαντο· ἵημι, τὸ προσλαμβάνω· καὶ μετὰ τῆς πρὸς προθέσεως, προσίημι· ὁ μέλλων, προσήσω· ὁ ἄορις, προσῆκα, καὶ οὐ προσῆσα διὰ τὸ σύμφωνον τῷ μέλλοντος· ὁ μέσος, ἐπροσηκάμην· τὸ τρίτον τῶν πληθυντικῶν, ἐπροσήκαντο.

Ἔπορον· πορῶ, τὸ παρέχω· ὁ μέλλων πορήσω· ὁ β΄ ἄορις, ἔπορον.

Ἐρέρπτο· ἐκ τοῦ ἐρίπτω· οὗ γίνεται τὸ παθητικὸν, ἐρίπτομαι· ὁ ὑπερσυντέλικος, ἠρίμην, ἤριψο, ἤριπτο· καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ ἐν συνολῇ, ἐρέρπτο.

Ἐσεῖται· ἔω τὸ ὑπάρχω· ὁ μέλλων ἔσομαι· καὶ ὁ μέσος μέλλων πρῶτος, ἔσομαι, ἔσῃ, ἔσται· οἱ δὲ Δωριεῖς ἐν τοῖς παθητικοῖς, προτιθέασι τὸ ε, καὶ περισπῶσι· πλεύσεται, πλευσεῖται· ἕσεται, ἐσεῖται.

Ἔσο· ἐκ τοῦ εἶμι· ὁ μέλλων, ἔσω· ὁ παρακείμενος, εἶκα καὶ Ἀττικῶς, ἔηκα· ὁ παθητικὸς, ἔημαι· ὁ ὑπερσυντελικὸς, ἐήμην, ἔησο· καὶ Ἀττικῶς ἔσο.

Ἐτετύκοντο· τεύχω· ὁ β΄ ἄορις, ἔτυχον· ὁ μέσος, ἐτυχόμην· τὸ τρίτον τῶν πληθυντικῶν, ἐτύχυντο· καὶ κατὰ ἀναδιπλασιασμὸν, καὶ προπῇ τοῦ χ εἰς κ, ἐτετύκοντο.

Εὔαδον· ἐκ τοῦ ἥδω τὸ εὐφραίνομαι, γίνεται ὁ β΄ ἄορις ἧδον· καὶ κατὰ διάλυσιν τῆ η εἰς ε γίνεται ἔαδον, καὶ πλεονασμῷ τῆ υ, εὔαδον.

Digitized by Google

H

Ἤδεα· εἰδέω τὸ γινώσκω, εἴσω, εἶκα· ὁ μέσος, οἶδα, καὶ ἐν διαλύσει ὄϊδα, καὶ τροπῇ τοῦ ο εἰς η, ᾔδα, μένοντος καὶ τοῦ ι προσγεγραμμένου καὶ πλεονασμῷ τοῦ ε, ᾔδεα.

Ἤδει, ἀντ' ἠπίστατο· εἴδω, γινώσκω· ὁ μέλλων, εἴσω· ὁ παρακείμενος, εἶκα· ὁ μέσος, οἶδα· ὁ ὑπερσυντελικὸς, οἴδειν, ᾔδεις, οἴδει καὶ τροπῇ τοῦ ο εἰς η, ᾔδει μένοντος τοῦ ε προσγεγραμμένου.

Ἧε· παρὰ τὸ εἶω, ὃ σημαίνει τὸ ὁρμῶ· ὁ μέλλων, εἴσω· ὁ παρακείμενος, εἶκα· ὁ μέσος, εἶα, καὶ ἐν διαλύσει, ἔϊα καὶ τροπῇ τοῦ ε εἰς η, ἤϊα, ἤϊας, ἤϊε.

Ἧλα· παρὰ τὸ ἄλω· ὁ μέλλων, ἀλῶ· ὁ ἀόριστος, ἦλα.

Ἥμην· ὅταν δασύνεται σημαίνει τὸ ἧσθημαι· ὅταν δὲ ψιλῶται, τὸ ὑπῆρχον ἀπὸ τοῦ εἶμι τὸ ὑπάρχω τὸ παθητικὸν, ἔσμαι καὶ κράσει τῶν δύο εε εἰς η, ἧμαι· ὁ παρατατικὸς, ἥμην, ἢ ὁ ὑπερσυντελικὸς· ἥμην δὲ ἀντὶ τοῦ κάθημαι· ἕζω, τὸ κάθημαι· ὁ μέλλων, ἥσω· ὁ παρακείμενος, ἧκα· ὁ παθητικὸς, ἧμαι· ὁ ὑπερσυντελικὸς, ἥμην.

Ἥντετο· ἔω, τὸ ἐνδύομαι, παράγωγον ἔημι, ὁ μέλλων, ἥσω· ὁ ἀόριστος, ἧν· ὁ μέσος, ἕσο, ἔντο· καὶ μετὰ τῆς εν προθέσεως ἐν συνθέσει καὶ ἐκτάσει, καὶ πλεονασμῷ τοῦ τ, ἥντετο· διὸ καὶ ψιλῶται.

Ἤρθη· αἴρω, τὸ ἐπαίρω· ὁ μέλλων, ἐρῶ· ὁ παρακείμενος, ἦρκα· ὁ παθητικὸς, ἦρμαι· ὁ ἀόριστος, ἤρθην, ἤρθης, ἤρθη.

Ἥσθη, ἀντὶ ἐλέχθη, καὶ ηὐφράνθη, η τὰ δύο· καὶ τὸ μὲν ἥσθη ἀντὶ ἐλέχθη, κανονίζεται οὕτως· ἄδω, ὁ μέλλων, ἄσω· ὁ παρακείμενος, ᾖκα· ὁ παθητικὸς, ᾖσμαι· ὁ ἀόριστος, ἥσθην, ἥσθης, ἥσθη· ἐπὶ δὲ τοῦ ηὐφράνθη, ᾐδω· ὁ μέλλων, ᾄσω· ὁ παρακείμενος, ᾖκα· ὁ παθητικὸς, ᾖσμαι· ὁ ἀόριστος, ἥσθην, ἥσθης, ἥσθη.

Digitized by Google

Ἠτήκει· αἰτῶ, τὸ ζητῶ· ὁ μέλλων, αἰτήσω· ὁ παρακείμενος, ἤτηκα· ὁ ὑπερσυντελικὸς, ἠτήκην, ἠτήκεις, ἠτήκει.

Ἔτω· ἔω τὸ ὑπάρχω, ὁ μέλλων ἔσω· ὁ ἀόριστος, ἔην ἦν· ἡ μετοχὴ, εἷς ἔντος· καὶ τὸ προστακτικὸν, ἔσθη ἔτω· καὶ τροπῷ τῦ ε εἰς η, ἤτω.

Θ

Θαρσίσθωσαν· ἴημι τὸ συγχωρῶ· ὁ μέλλων, ἥσω· ὁ παρακείμενος, εἶκα, ὡς τὸ τέθεικα· ὁ παθητικὸς, εἶσμαι· ὁ ὑπερσυντελικὸς, εἴσμην, εἶσο· καὶ προστακτικὸν, εἶσο εἴσθω· εἶσθον εἴσθων, εἶσθε εἴσθωσαν· ὡσαύτως καὶ τὸ ἀφείτωσαν.

Θηεῦντο· ἔστι ῥῆμα θεάω, θεῶ· θεάσομαι, θεάσμαι· ἐθεάσαντο, ἐθεῶντο· καὶ οἱ Δωριεῖς τρέπουσι τὸ ω μέγα εἰς τὴν ου δίφθογγον, καὶ γίνεται ἐθεῦντο· καὶ συνολῇ τῆς ἀρχέσης καὶ τροπῇ τῦ ε εἰς η, καὶ κατὰ συναίρεσιν τῦ ε, καὶ ο εἰς τὴν ευ δίφθογγον, θηεῦντο.

I

Ἰᾶσιν· ἐκ τῦ ἴημι, τὸ πέμπω· τὸ δεύτερον, ἷς· τὸ τρίτον, ἵησι· τὸ πληθυντικὸν τὸ πρῶτον, ἵεμεν, τὸ δεύτερον ἵετε· τὸ τρίτον ἱεῖσι· καὶ τὸ Ἰωνικὸν, ἱέασι· καὶ κράσει Ἀττικῇ τῦ ε καὶ α εἰς α μακρὸν, ἰᾶσιν·

Ἴδμεν· εἴδω τὸ γινώσκω· ὁ β΄ ἀόριστος, ἴδον· τὸ πληθυντικὸν τὸ πρῶσον, ἴδαμεν· καὶ ἐκβολῇ τῦ ο, ἴδμεν.

Ἴηλα· ἔστι ῥῆμα ἰάλλω, τὸ πέμπω· ἴαλῶ· ὁ ἀόριστος ἴαλα, καὶ ἴηλα.

Ἴσθι, ἀντὶ γίνωσκε· ι τὰ δύο· καὶ ἔστι τὸ θέμα ἴσημι τὸ γινώσκω· καὶ ὁ παρατατικὸς, ἴσην· ἡ μετοχὴ, ὁ ἴσας τῦ ἴσαντος, καὶ τὸ προστακτικὸν, ἴσαθι· καὶ ἐν συγκοπῇ ἴσθι.

Digitized by Google

K

Καίω· ὁ μέλλων, καύσω. Διατί ἐπὶ μὲν τῆ κλαίω, κλαύσω, καίω, καύσω, ἐπλεόνασε τὸ υ. Ἐπαθὴ οἱ Ἀθηναῖοι ἀποβάλλουσι κατὰ τὸν ἐνεστῶτα τὸ ι, πλεονάζουσι δὲ τὸ υ κατὰ τὸν μέλλοντα· ἐπὶ μὲν γὰρ τοῦ ἐνεστῶτος κλάω καὶ κάω λέγουσιν ἀποβάλλοντες τὸ ι, τούτῳ χάριν πλεονάζουσι τὸ υ κατὰ τὸν μέλλοντα.

Κάθη· ἐκ τῆ ἔω, τὸ καθέζομαι, γίνεται παράγωγον ῥῆμα εἰς μι, ἔημι· καὶ τὸ παθητικὸν, ἕεμαι ἧμαι, ἕεσαι ἧσαι· καὶ μετὰ τῆς κατα προθέσεως, κάθησαι· ἀναβιβασμῷ τοῦ τόνε καὶ ἀποβολῇ τῆ σ, κάθηαι· καὶ κράσει τοῦ ι καὶ α εἰς η, κάθη.

Κάθημαι· παρὰ τὸ ἔω· καὶ ἐξ αὐτῆ παράγωγον ῥῆμα εἰς μι, ἔημι· καὶ τὸ παθητικὸν, ἕεμαι, καὶ κράσει τῶν δύο ε εἰς η, ἧμαι· καὶ μετὰ τῆς κατὰ προθέσεως καὶ ἀναβιβασμῷ τῆ τόνε, κάθημαι.

Καθῆ·ο· ἕω, ἥσω, ἧκα, ἧσμαι· ὁ ὑπερσυντελικὸς, ἥσμην, ἧσο, ἧ·ο· καὶ ἐν συνθέσει, καθῆ·ο.

Κεκάδοντο· χάζω· ὁ μέλλων, χάσω· ὁ παρακείμενος, κέχασκα· ὁ μέσος, κέχαδα· ἐ-β΄ ἀόρι·ος, ἔχαδον· καὶ τροπῇ τῆ χ εἰς η, καὶ κατὰ ἀναδιπλασιασμὸν, κέκαδον· ὁ μέσος δεύτερος, κεκαδόμην· τὸ τρίτον τῶν πληθυντικῶν, κεκάδοντο.

Κέλεαι· κέλω, καὶ τὸ παθητικὸν, κέλομαι· καὶ τροπῇ τοῦ βραχέος εἰς βραχὺ, καὶ ἐνδείᾳ τῆ μ, κέλεαι.

Κεχαρηότος· ἀπὸ τῆ χαίρω, χαρῶ, μετάγεται εἰς ενε·ῶτα ὁ μέλλων· καὶ ἐξ αὐτῆ χαρήσω, κεχάρηκα· ἡ μετοχὴ, ὁ κεχαρηκὼς τῆ κεχαρηκότος, καὶ ἐκβολῇ τῆ κ, κεχαρηότος.

Κεχαροίατο· χαίρω, χαρῶ, ἔχαρον, ἐχαρόμην· καὶ τὸ εὐκτικὸν, χαροίμην, χάροιο, χάροιτο· καὶ τὸ Ἰωνικὸν, κεχαροίατο·



Digitized by Google

Κιχεῖται· ἐκ τȣ̃ κιχῶ, κιχήσω· ὁ β′ ἀόριςος, ἐκίχην· ἡ μετοχὴ, ὁ κιχεὶς τοῦ κιχέντος· καὶ τὸ εὐκτικὸν, κιχείην, κιχείης· τὸ πληθυντικὸν τὸ πρῶτον, κιχείημεν, κιχείητε· καὶ κατὰ συγκοπὴν, κιχεῖμεν, κιχεῖτε· Ἀττικῶς δὲ γίνεται ἡ τοιαύτη συγκοπὴ, ἐπὶ τοῦ πρώτȣ καὶ δευτέρȣ προσώπȣ τῶν πληθυντικῶν· οἷον, δοίημεν, δοῖμεν· δοίητε, δοῖτε.

Κύρσας· κυρῶ, κύρσω· Αἰολικῶς· ὁ ἀόριςος ἔκυρσα· ἡ μετοχὴ, ὁ κύρσας.

## Λ

Λάβῃσι· λάβω τὸ λαμβάνω· ὁ μέλλων, λήψω· ὁ ἀόριςος, ἔληψα· ὁ β′, ἔλαβον· καὶ τὸ ὑποτακτικὸν, ἐὰν λάβω, ἐὰν λάβῃς· καὶ κατὰ πλεονασμὸν τȣ̃ ι, λάβῃσι.

Λάζετο· λήβω τὸ λαμβάνω· ὁ β′ ἀόριςος, ἔλαβον, καὶ ἐξ αὐτȣ̃ λαβάζω, καὶ κατὰ συγκοπὴν, λάζω· καὶ τὸ παθητικὸν, λάζομαι· ὁ παρατατικὸς, ἐλαζόμην, ἐλάζȣ, ἐλάζετο.

## Μ

Μεμαυῖα· μῶ τὸ προθυμȣ̃μαι, μήσω, μέμηκα, μεμηκὼς, καὶ τὸ Ἀττικὸν μεμαώς· τὸ θηλυκὸν, ἡ μεμαυῖα· Οἱ γὰρ Ἴωνες ἀφαιρȣ̃σι τὸ μ τῶν τοιούτων, καὶ τὴν παραλήγȣσαν συςέλλȣσιν· οἷον, χαρῶ, χαρήσω, κεχάρηκα, κεχάρημαι· κεχαρὼς παρακείμενος Ἰακῶς· ἔςι κοινὸν ἦγον, καὶ πολλάκις τοιαῦτα· οἱ γὰρ Ἴωνες τὴν κλητικὴν ἔκτασιν ἀποβάλλονται· ἥψατο, ἅψατο· ἤκȣσαν, ἄκȣσαν.

Μετέησιν· εἶμι τὸ ἔρχομαι, ὁ παρατατικὸς ἦν· ἡ μετοχὴ, εἰς ἔντος· καὶ τὸ ὑποτακτικὸν, ἐὰν ᾧ, ἐὰν ᾖς· καὶ πλεονασμῷ τῆς σι συλλαβῆς, ᾖσι, καὶ τοῦ ε ποιητικῶς ἔησι καὶ μετέησι.

Digitized by Google

## N

Νέαται· ἀπὸ τῦ νῶ· ὁ μέλλων, νήσω· ὁ παθητικὸς παρακείμενος, νένημαι, νένηται, νενημένοι εἰσί· καὶ Ἰακῶς, νενέαται· καὶ ἀφαιρέσει τῦ ἀναδιπλασιασμῦ, νέαται.

## Ξ

Ξυνέηκα· ἐκ τῦ ἵημι, ἥσω, εἷκα· καὶ προθέσει τοῦ ε, ἔεικα· οἱ γὰρ μέλλοντες ἐν τοῖς εἰς μι τὴν πλεονάζουσαν συλλαβὴν ἀποβάλλουσιν. οἷον τίθημι, θήσω· οὕτως καὶ τὸ ἵημι, ἥσω, ἕεικα, ὡς τὸ τέθεικα, καὶ ἐν διαλύσει ἐέϊκα· καὶ κράσει τοῦ ἑνὸς ε εἰς η, καὶ πλεονασμῷ τοῦ η, ἔηκα· μένοντος τῦ ε προγεγραμμένυ.

## O

Ὀδυνᾶσθαι· ὀδυνάω, ὀδυνῶ· ὀδυνάομαι, ὀδυνῶμαι· τὸ τρίτον, ὀδυνάεται ὀδυνᾶται· καὶ τροπῇ τῦ τ εἰς θ, καὶ πλεονασμῷ τῦ σ, ὀδυνᾶσθαι.

Οἶσθα· εἶδω τὸ γινώσκω· ὁ μέλλων, εἴσω· ὁ παρακείμενος, εἶκα· ὁ μέσος, οἶδα· καὶ πλεονασμῷ τῦ σ, καὶ τροπῇ τῦ δ εἰς θ, οἶσθα.

Ὄρσεο· ὄρρω, ἐρρώ (sic) τὸ διεγείρω, καὶ Αἰολικῶς ὄρσω· ὁ ἀόριστος, ὦρσα· ὁ μέσος, ὡρσάμην, ὦρσω· καὶ τὸ προστακτικὸν, ὄρσω καὶ ὄρσεο· ὁ κανών· οἱ Ἴωνες τὴν ω δέφθογγον εἰς ε καὶ ο μεταβάλλουσιν· ὡς τὸ ἐμῦ, ἐμέο· ἔτως ὗν καὶ ὄρσω, ὄρσεο.

Ὀρώρει· ὄρρω τὸ διεγείρω· ὁ μέλλων, ὀρρώω (sic)· ὁ παρακείμενος, ὦρκα· ὁ μέσος, ὦρα· καὶ Ἀττικῶς, ὄρωρα· ὁ

Digitized by Google

μέσος ὑπερσυντελικὸς, ὠρώρειν, ὠρώρεις, ὠρώρει· Ἰωνικῶς δὲ γράφεται καὶ μικρὸν τὸ ο.

## Π

Πατρακυξ-ὴς, πατρακυξ-ῦ, ὄνομα μετοχικόν· τὸ θέμα ἀκούω, ἀκούσω, ἤκυσμαι, ἤκυξ-αι, ἠκυξ-ής· καὶ μετὰ τῦ πατὴρ πατρὸς, πατρακυξ-ής· ὁ τῦ πατρὸς ἀκύσας.

Πεπίθμεν· πείθω, καὶ ὁ β′ ἀόριστος, ἔπιθον, καὶ κατὰ ἀναδιπλασιασμὸν, ἐπέπιθον· τὸ πληθυντικὸν, ἐπεπίθομεν, καὶ ἐν συγκοπῇ, ἐπεπίθμεν.

Πέπονθα· πονῶ, πονήσω, πεπόνηκα· ὁ μέσος παρακείμενος, πέπονα, καὶ πλεονασμῷ τῦ θ πέπονθα.

Πέποσθε· πήθω τὸ πάσχω, πήσω, πέπησμαι· τὸ πληθυντικὸν, πεπήσμεθα· ὥσπερ νήθω, νήσω, νένησμαι, τὸ πληθυντικὸν τὸ πρῶτον, νενήσμεθα, νένησθε, ὕτω καὶ πέπησθε, καὶ τροπῇ τῦ η εἰς ο, πέποσθε· Ἰστέον ὅτι πολλάκις οἱ Ἴωνες τρέπουσι τὸ α εἰς η, οἷον ἐμίανα, ἐμίηνα· ἐσήμανα, ἐσήμηνα· ἔχανα, ἔχηνα· ἐκάθαρα, ἐκάθηρα.

Πεπτηχώς· πτήχω, πτήξω, πέπτηχα, πεπτηχώς.

Πεφήσεται· φῶ, φήσω, τὸ φαίνω· πέφηκα, πέφημαι, πέφησαι· ὁ μετ' ὀλίγον μέλλων, πεφήσομαι, πεφήση, πεφήσεται.

Πρήσασα· παρὰ τὸ περῶ, πρῶ· ὡς τορῶ, τρῶ· βοῶ, βῶ· ὁ παρακείμενος, πέπρακα· καὶ τὸ, πωλούμενος πράθι, ἀπὸ τῦ πωλῦντος εἰς τὸν ἀγοράζοντα· ἐκ δὲ τῦ πρῶ, ὁ μέλλων πρήσω· καὶ ἡ μετοχὴ, ὁ πρήσων τῦ πρήσαντος, τὸ θηλυκὸν ἡ πρήσασα.

Πρόσ· ἕω τὸ καθέζομαι· ὁ μέλλων, ἕσω· ὁ β′ ἀόριστος, ἕον· ὁ μέσος, ἑόμην, ἕσ· καὶ κράσει, ἕ· καὶ τὸ προστακτικὸν, ἕ· καὶ μετὰ τῆς προ προθέσεως, πρόσ· ὡς τὸ - δὸς, πρόσ, τὸν πάντα κτήσαι μόνον.

Digitized by Google

## T

Ταφών· θάπτω, ὁ μέλλων, θάψω· ὁ α′ ἀόριστος, ἔθαψα· ὁ β′ ἔθαπον· ἡ μετοχὴ, ὁ θαπών, καὶ κατὰ ἐναλλαγὴν τῶν στοιχείων, ταφών.

Τεθναίη· τίθνημι, θνήσω, τέθνηκα· τέθνημαι· ἐτέθνην· ἡ μετοχὴ, ὁ τεθνεὶς, τοῦ τεθνέντος· καὶ τὸ εὐκτικὸν, τεθναίην, τεθναίης, τεθναίη.

Τετρηγὼς, ἐκ τοῦ ταράσσω· ὁ παρακείμενος, τετάραχα· καὶ κατὰ συγκοπὴν καὶ αὔξησιν Ἰωνικὴν τοῦ α εἰς η, τέτρηχα· ὁ μέσος τέτρηγα· ἡ μετοχὴ, ὁ τετρηγώς.

Τεταγών· τάζω τὸ τείνω· ὁ μέλλων, τάξω· ὁ β′ ἀόριστος, ἔταγον· ἡ μετοχὴ, ταγών· καὶ κατὰ ἀναδιπλασιασμὸν, τεταγών.

Τέτλαθι· ἐκ τοῦ τλῶ, τοῦ σημαίνοντος τὸ ὑπομένω· ὁ μέλλων, τλήσω· ὁ παρακείμενος, τέτληκα· ὁ παθητικὸς, τέτλημαι· τὸ πληθυντικὸν τὸ πρῶτον, τέτλαμεν· καὶ τὸ προστακτικὸν, τέτλαθι.

Τέτυκται· τεύχω, τεύξω, τέτευχα, τέτυγμαι, τέτευξαι, τέτευκται, καὶ ἀποβολῇ τοῦ ε, τέτυκται.

Τλῆτε· τλῆμι· καὶ ὁ παρατατικὸς, ἔτλην· ἡ μετοχὴ, ὁ τλὰς τοῦ τλάντος· καὶ τὸ προστακτικὸν, τλᾶθι, καὶ τροπῇ τοῦ α εἰς η, τλῆθι τλήτω· καὶ τὸ δεύτερον τῶν πληθυντικῶν, τλῆτε.

## Φ

Φάγομαι· φάγω τὸ τρώγω· ὁ β′ ἀόριστος, ἔφαγον· ὁ μέλλων δεύτερος, φαγῶ· καὶ ὁ μέσος μέλλων β′, φάγομαι· καὶ ὤφειλεν εἶναι φαγεῦμαι, ὡς ποιεῦμαι· ἀλλὰ σεσημείωται φάγομαι, πίομαι, ἔδομαι· τὸ β′ προσωπον φάγη, πίη, ἔδη.

Digitized by Google

Φάο· φημὶ, ὁ μέλλων, φήσω· ὁ ἀόριστος ἔφησα· ὁ δεύτερος, ἔφην· ὁ μέσος, ἐφάμην, ἔφασο· καὶ ἀποβολῇ τῆς σ, ἔφαο· καὶ τὸ προσακτικὸν, φάο.

Φᾶσθαι· φημί· ὁ μέλλων, φήσω· ὁ β' ἀόριστος, ἔφην· ὁ μέσος, ἐφάμην, ἔφασο, ἔφατο· καὶ τὸ ἀπαρέμφατον, φᾶσθαι.

## X

Χώμενος· χέω χῶ, καὶ τὸ παθητικὸν, χόομαι χῶμαι· ἡ μετοχὴ ὁ χόομενος, ὁ χεόμενος· καὶ Δωρικῶς, χώμενος· ὡς μῶσα, μώσω· καὶ ἄλλως· χολόω χολῶ· καὶ τὸ παθητικὸν, χολόομαι χολῶμαι· καὶ ἡ μετοχὴ, ὁ χολούμενος, ὁ χολεόμενος· καὶ συγκοπῇ τοῦ λ καὶ υ, καὶ τροπῇ τῶν δύο οο εἰς ω, χώμενος.

## Ω

Ὠδημένος· οἰδῶ, τὸ ἐξογκῶ· ὁ μέλλων, οἰδήσω· ὁ παρακείμενος, ὤδηκα· ὁ παθητικὸς, ὤδημαι· ἡ μετοχὴ, ὠδημένος.

Ὡρορέχατο· ὀρεύω, ὀρέξω, ὤρεχα, ὤρευμαι· τὸ τρίτον, ὤρευκται, καὶ Ἰακῶς, ὡρέχατο· ὁ ὑπερσυντελικὸς, ὡρεχόμην, καὶ ὡρωρεχάμην· τὸ δεύτερον, ὠρέχω, ὡρωρέχω· τὸ τρίτον, ὡρέχατο, καὶ ὡρωρέχατο. καὶ κατὰ συνολκὴν γράφεται τὸ ρο μικρόν.

Ὦχα· οἴγω, ὁ μέλλων οἴξω· ὁ παρακείμενος, οἶχα· καὶ ἐκτάσει τοῦ ο μικροῦ εἰς ω μέγα, μένοντος καὶ τοῦ ι προσγεγραμμένου, γίνεται ᾠχα.

* Οἱ Δωριεῖς τὰ εἰς ευ ἀπαρέμφατα, εἰς εμεν ποιοῦσιν· οἱ Αἰολοῖς δὲ εἰς εμεναι· χολόω, χολῶ, χολώσω, τὸ ὀργίζομαι· χολάσειν τὸ ἀπαρέμφατον, χολωσέμεν, τύπτειν

Digitized by Google

τυπτέμεν Αἰολικῶς· Δωρικῶς δὲ χολωσέμεναι καὶ τυπτέμεναι.

* Δεῖ γινώσκειν, ὅτι τὰ εὐκτικὰ τῦ ἀορίς-υ ἐνεργετικῦ οἱ Αἰολεῖς διὰ τῦ εια προφέρυσιν· τύψαιμι τύψια, ποιήσαιμι ποιήσεια, λέξαιμι λέξεια, τίσαιμι τίσεια, ὑποῤῥέψαιμι ὑποῤῥέψεια· τῷ μὲν πρώτῳ προσώπῳ κέχρηνται οἱ Αἰολεῖς· τῷ δὲ δευτέρῳ καὶ τρίτῳ οἱ Ἀθηναῖοι· οἷον τύψεια τύψειε, καὶ τύψειαν τὸ τρίτον τῶν πληθυντικῶν, ὕτω καὶ ἀκύσειαν καὶ τίσειαν.

Digitized by Google

## ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ

## ΣΤΙΧΟΙ ΕΙΣΙΤΗΡΙΟΙ ΕΠΙ ΤΗ ΝΥΜΦΕΥΘΗΣΗ ΕΞ ΑΛΑΜΑΝΩΝ ΤΩ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΩ ΚΥΡΩ ΜΑΝΟΥΗΛ ΚΑΙ ΣΕΒΑΣΤΟΚΡΑΤΟΡΙ.

Οὐκ ἔστιν, οὐδὲ γέγονεν ἄλλος αὐτοκρατόρων,
καθάπερ σὺ μεγαλεργέ, Ῥωμαίων πολιοῦχε,
φιλευσεβὴς τὰ πρὸς Θεὸν, φιλάνθρωπος εἰς δούλους,
εἰς ἔθνη φιλοπόλεμος, φιλότεκνος εἰς παῖδας,
Θεῷ ναοὺς καθιερεῖς παμπόλλους καὶ μεγάλους,
καὶ πλῆθος ἄλλων εὐαγῶν λαμπρῶν ἀναθημάτων·
τοῖς δούλοις χεῖρα πάντοτε προτείνεις πλουτοδότην,
τοῖς ἔθνεσι τὰς σκυλευμὰς ἀρτύεις καὶ τὰς φόρους,
καὶ τοῖς παισὶ νυμφαγωγεῖς τὰς γυναικῶν βελτίστας,
ὥσπερ καὶ νῦν τῷ Μανουὴλ τῷ ποθεινῷ παιδί σου,
τὴν ἐκ δυσμῶν βασιλικὴν ταύτην ἡρμόσω κόρην,
ἐφ' ᾗ τελοῦμεν σήμερον τὰ τῶν εἰσιτηρίων.
Χαῖρέ μοι, Ῥώμη νεαρὰ, τοῖς νῦν εἰσιτηρίοις,
δι' ὧν ἐδείχθης κεφαλὴ τῆς πρεσβυτέρας Ῥώμης·

*N.* De hoc poëmatio confer praefationem. Optandum tamen est, ut demum in lucem prodeant Leonis Allatii *diatribae* aliquae, inter quas, aliunde notas, quasque inspexi in bibliotheca Vallicelliana, est etiam illa *de Theodoris*. Ibi multa de nostro Prodromo disputantur. Quin etiam mihi per otium romanas bibliothecas investiganti, ut inde eruerem, quae maxime spectant ad Allatii vitam, quam, Deo iuvante, sum editurus, in bibl. Barberiniana eadem *diatriba* de *Theodoris* occurrit, manu ipsius Allatii conscripta, ut sunt plurima pretiosissima adversaria.

Digitized by Google

εἰ γὰρ ἐκείνη δίδωσι νύμφην καὶ σὺ νυμφίον,
ἴσμεν δὲ πάντες κεφαλὴν τῆς γυναικὸς τὸν ἄνδρα,
εὔθηλον· ὡς συνάγετο καὶ συνομολογεῖν σοι,
καὶ γίνε ταύτης κεφαλὴ καὶ μέλος σὸν ἐκείνη·
κἀντεῦθεν τῷ Κομνηνικῷ πάντα λατρεύει κράτει,
τοσοῦτον ἔχεις ἄνακτα, Ῥώμη κυδίστη νέα·
ἔτω τὰ μὲν ταῖς νίκαις σε τῶν κατ' ἐχθρῶν λαμβάνει,
τὰ δὲ καὶ τῷ φρονήματι κοσμεῖ τῷ βαθυβούλῳ.
Ὡς γένοιτό σοι, βασιλεῦ, τὸ δρόμημα τῶ βίῳ
σύνδρομον τοῖς δρομήμασι τῶ γίγαντος ἡλίου,
ὦ νέα κλάδε, Μανουήλ, τῆς ἱερᾶς πορφύρας,
καὶ κόσμε τῆς πανευτυχοῦς σεβαστοκρατορίας,
σκύμνε παντόλμου λέοντος, ὃς ὁ βρυχηθμὸς καὶ μόνος
Πέρσην σοβεῖ τὸν σοβαρὸν, ἄρχει τὴν Βαβυλῶνα,
καὶ τὰς ῥοὰς τῶν ποταμῶν ἴσχει τῶ πρόσω δρόμου,
ἄρον τὸν μέγαν ὀφθαλμὸν ἐξ Ἰσαυρίας μέσης,
καὶ θέασαι τὴν Βύζαντος λαμπρῶς ἐξολισμένην
ἐπὶ τῇ νέᾳ τελετῇ τῶν ἐπιβατηρίων
τῆς εὐγενοῦς νεάνιδος καὶ περικαλλεστάτης,
ἣν ὁ πατὴρ καὶ βασιλεὺς ἐνυμφαγώγησέ σοι,
καὶ προπομπεύουσαν αὐτῇ μετὰ δορυφορίας,
καὶ διαχύδην τρανῶς ἐπὶ τοῖς τελουμένοις.
Ὦ μέγα Ῥηξ τῆς παλαιᾶς καὶ πρεσβυτέρας Ῥώμης,
βαθύτατε τὴν φρόνησιν, δεινὲ τὴν στρατηγίαν,
τὸ γένος εὐγενέστατε, περίδοξε Κονράδε,
καὶ κηδεστὰ λαμπρότατε τῶν δορυφορουμένων,
νῦν ὑπερῆρας τῇ τιμῇ, νῦν εὐγενίσθης πλέον,
ὅτι καὶ τῷ Κομνηνικῷ συνεκεντρίσθης γένει,
καὶ καθωράθης ἀγχιστεὺς τοσούτου βασιλέως,
ὅθεν καὶ χαῖρε μεθ' ἡμῶν καὶ σύναδε τῇ κόρῃ·
νῦν μὲν παιάνας μυστικοὺς τοὺς ἐπιβατηρίους,

Digitized by Google

μετ' ὐ πολύ δε σὺν Θεῷ τὺς ἐπιθαλαμίυς,
ἐπαναζεύξαντος ἡμῖν σὺν νίκαις τῦ δεσπότου.
Ἴδε, βελτίςη γυναικῶν, ἐκ τῆς παρύσης δόξης
τῶν προπεμπόντων σοι λαῶν καὶ τῶν δορυφορύντων,
καὶ τῆς λαμπρᾶς παρασκευῆς καὶ τῆς χρυσοφορίας,
τῆς συμμιγῦς ἀλαλαγῆς τῶν μουσικῶν ὀργάνων,
τῶν ξύλων τῶν Ἀραβικῶν τῆς μυροβροχυσίας·
καὶ ςόχασαι τὰ μέλλοντα, κρῖνον αὐτὺς τὺς γάμους,
καὶ πληρωθεῖσα τὴν ψυχὴν ἀφάτου χαρμοσύνης,
τὰς μὲν ἀνάσσας πρόςπτυσσε τὰς σοὶ προσυπαντώσας,
προσκύνει δε, κἂν ἄπεςι, τὸν κράτιστον δεσπότην,
ὅςγε μετῇρεν ἄμπελον ἀπὸ δυσμῶν ὡραῖαν,
καὶ κατεφύτευσεν αὐτὴν τοῖς βασιλείοις κήποις,
ὡς συμπλακεὶς καὶ συμφυὴς τῷ κλήματι τῷ τύτου.

Digitized by Google

# ΣΤΙΧΟΙ ΗΡΩΪΚΟΙ ΚΑΙ ΕΛΕΓΕΙΑΚΟΙ

## ΕΙΣ ΛΕΟΝΤΑ ΦΙΛΟΣΟΦΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΜΑΘΗΤΟΥ ΑΥΤΟΥ a).

### I.

Μυρία μὲν δεδάηκας, ὅσα προγενέστεροι ἄνδρες
φάντο ποθ' ὑψαγόραι τῆς Θύραθεν σοφίης·
ἀλλ' ὁ σὸς ὤλετο θυμός, ἐπεὶ πίες ἁλμυρὸν ὕδωρ,
σχέτλιε, δυσσεβίης κύματα νηξάμενος·
ὃς ῥὰ πανσυγλήεσσαν ἀγακλέα δόξαν ἰάσας
Χριστιανῶν μετά γε φαίδιμα λαιτρὰ, τάλαν,
καὶ μετὰ φρικαλέην γε Θυηπολίην, μεγάλην τε,
καὶ βύβλων ἱερῶν θαύματ' ἐρασθενέα,
Ἑλλήνων ὀλέθρῳ μεγακήτεα βυθὸν ὀρέσας,
θηρσὶν ἕλωρ ἐγένῳ θυμοβόροισι, Λέον·
τίς σε βαρυστενάχων τῷ πτώματος οὐκ ἐλεαίρει,
ἢ σὲ τίς ὐ δακρύει τοῖον ἐπισάμενος;
οὐκ ἐπὶ πέτραν ἐρείσας ἐὼς πόδας ἀνδρανέοντας,
ἦ ἔνι πᾶς βεβαὼς ἔμπεδος ἐστὶ λίαν,
ἀλλ' ἐσεβάσθης, μωρὲ, θεῶν ἀπερείσιον ὄχλον,
ἔξαρνος γεγαὼς φωτοβόλῳ Τριάδος·
τοὔνεκα σε Χριστός γ' ἀπὸ μὲν σθένος ἄσχετον ἔρσε,
τιτάνῳ ᾗδ' ὄξει σὸν στόμα πλησάμενος,
οἷς ἐθέλεσκε τρόποις· ἔδει γὰρ ἑ ταῦτα ὑποῖσαι,
οἷα θεῷ μεγάλῳ πολλ' ἐπικερτομέοντι.

a) De his Constantini et sqq. Leonis philosophi versibus confer quae in praefatione concinnavi, et quae digna observatione ibi notavi pag. 25. sq.

Digitized by Google

## II.

Κλῦτε γοναὶ μερόπων, Χριστῷ περιώνυμον ἔθνος,
οἱ πέλετ' ἀγνῶτες κείνῳ ἀποστασίης·
Ζεὺς μὲν ἔην θεὸς αὐτῷ, ἔχων ὁμοδέμνιον Ἥρην,
Ζεὺς ἀμέτρως ἐράων παρθενικῶν λεχέων·
Ζεὺς ἦδ' ἄλλος ὅμιλος ἀπείριτος ἠρανιώνων,
οἷά τε ὠκείνῳ φησὶ Μελητιάδης.
ἀλλ' ἴτε δεῦτε ἅπαντες ἀολλέες a) ἐσθλοὶ ἑταῖροι,
τοῖα προσείπωμεν αὐτὸν ὁμοφρονέως·
ἔρρε κακὴ κεφαλὴ δνοφερὸν δόμον Ἄϊδος εἴσω,
ἔρρ' αὐτῇ σοφίῃ κάμμορε κ' ἀσεβίῃ,
ἀμφὶ Πυριφλεγέθοντ' ὀλοὸν, τ' ἀνὰ Τάρταρον εὐρὺν,
ἦχι Χρυσίππους Σωκράτεάς τε ἴδοις,
Πρόκλους τ' ἠδὲ Πλάτωνας, Ἀριστοτέλεις, Ἐπικούρους,
Εὐκλείδας τὲ φίλους· καὶ Πτολεμαγρονόμους,
πὰρ δέ γε τοῖσι σοφὰν b), ἑτεὸν βασιλεύτατον ἄλλων,
μοῦσαν Ὁμηρείην, Ἡσιόδους τ' Ἀράτους.

## III.

Οὐ νέμεσις σέο πῦρ αἰώνιον ἀμφιπολεύειν
ἄμμιγα θαυμασίῃ τῇδε χοροστασίῃ,
ὃς ἀπειθείαζες μέγ' ὑπερβολάδην ἀγαπάζων,
καὶ φρονέων τ' αὐτῶν κρυπταδίαις ἀπάταις·
ταῦτα δὲ Κωνσταντῖνος, ὁ σῆς γάλα Καλλιοπίης
καλὸν ἀμελξάμενος, ἦσεν ἐπισταμένως,
ὃς ῥὰ τεῆς κραδίης μυσήρια λεπτολογήσας,
ὀψὲ μόγις κακίην κευθομένην ἐδάην.

a) C. videtur ἀωλίες. b) C. videtur σοφᾶν.

Digitized by Google

## ΑΠΟΛΟΓΙΑ ΛΕΟΝΤΟΣ ΦΙΛΟΣΟΦΟΥ

ΚΑΘ' ΗΝ ΧΡΙΣΤΟΝ ΜΕΝ ΣΕΒΕΙ, ΤΑ ΕΛΛΗΝΩΝ ΔΕ ΦΑΥΛΙΖΕΙ.

Πολλοί με τωθάζουσι γλώσσῃ κερτόμῳ
τοιαῦτα χλευάζοντες· εὖγε τὼ λόγω,
ὡς ἐσθλὰ τίνεις τῶν μαθημάτων γέρα,
καλὰ τροφεῖα πατρί σω a) τῷ δευτέρῳ,
παρέσχες, ὦ βέλτιστε, τῶν διδαγμάτων
σήλην βοῶσαν εἰς τὸν αἰῶνα χρόνον·
ὡς μωρὸς, ὡς βλάσφημος, ὡς ἀποστάτης
τῆς Χριστιανῶν ἑστὶ πίστεως Λέων.
Ἄλλοι δέ με σκώπτουσιν, ἀγνῶτες τάχα
τῶν ἀρρήτων μυστῶν καὶ βεβηκότων τρόπων·
τολμῶσι τ' εἰπεῖν ψεῦδος εἶναι τὸν λόγον
ἐκ δυσμενῶν ῥαφέντα βασκάνῳ τρόπῳ,
ὑφ' ὧν μ' ὑποφθαρέντα τῷ διδασκάλῳ
μάτην κατειπεῖν ἐκλιπόντος τὸν βίον.
Ἐγὼ δ' ἀκούων τῶνδε τῶν ληρημάτων,
ἕως ἐνῆν μὲν εὐλαβῶς ἐκαρτέρουν·
καὶ πρός γε τούτοις ἐκραγῆναι μὴ θέλων,
τὴν Ἱπποκλείδου b) ῥῆσιν ἀντεφθεγγόμην·
λαλῶν μάλιστα τὴν ἀλήθειαν φίλει,
ὡς φησι Δαβὶδ c), ἔνδον ἐν τῇ καρδίᾳ,
ἧς περ τὰ νεῦρα τῶν λαλούντων ὀργάνων
ῥέων ὁ μακρὸς ὑ διαφθείρει χρόνος.
Ἐπεί δε μαργαίνουσιν ἐκ πονηρίας
πέτρυς ὁλοιτρόχους τὲ μεστὺς πικρίας,
λόγους καθ' ἡμῶν σφενδονοῦσι μακρόθεν,
τέττιγος ἑδράξαντο τῷ πτερῷ d) τάχα,

a) Photio fortasse praeceptori olim favebat Leon, vide infra v. 13. sq., et sq. epigramma p. 158. b) De Hippoclide cf. praef. p. 26. c) Ps. XIV-2. d) C. videtur πτέρους.

Digitized by Google

νύξαντες ἡμᾶς, εἴ τι δεῖ καὶ κομπάσαι,
κακὸν κακῷ μὲν ἐξιέμενος πάλαι,
ὁ μητροραίς-ης a) φησὶν Ἀτρείδᾳ γόνος,
ἄχρης-ον εὗρεν ἐν βίῳ παροιμίαν·
ἐγὼ δε καλῷ καλὸν ἐγγράγων λόγον,
τὸν εὐσεβῆ λείπω γε μῦθον ἐν βίῳ
ὁ πατροραίς-ης δυσσεβῶς διδασκάλε,
κἂν εἰ διαῤῥαγεῖεν Ἕλληνες μέσον,
μανέντες ἐν λόγοισι Τελχίνων μέτα.
Καὶ πρῶτα μὲν ζήλῳ γε ῥωσθεὶς ἐνθέῳ
Χρις-ὸν κρατὴν τίθημι τὸν Θεὸν Λόγον,
ὡς ὄντα πηγὴν τῆς ἀληθείας μόνον·
καὶ τῷ Λόγῳ θρόνον τε καὶ βῆμα γράφω
τάξεις παρες-ώτων γε σεπτῶν Ἀγγέλων,
καὶ συγκαλῶ θέατρον ἀνθρώπων μέγα,
καὶ προσκαλοῦμαι τοὺς ἐμοὺς κατηγόρους,
μέσον παρελθὼν ὥς τις ἁπλίτης νέος,
οὐκ εἰς ἀγῶνα φημὶ τῶν Ὀλυμπίων,
ἐκκλησιῶν δὲ τῶν ἄνω καὶ τῶν κάτω,
μέτειμι λοιπὸν ἐν κονίς-ρᾳ τῶν λόγων.
Ἔῤῥωσθε οἱ τὸ θεῖον ἐξηρνημένοι,
μανοῖεν οἱ Μάνεντι συμμεμηνότες,
φθαρεῖεν οἱ σέβοντες Ἑλλήνων θεούς,
θεοὺς ἔρωτι καὶ πάθει συνημμένους,
θεοὺς ὑπ' ἀνδρῶν εὐτελῶν τετρωμένους,
θεοὺς τε μοιχοὺς καὶ θεὰς κασσωρίδας,
θεὰς ὑπ' ἀνδρῶν βυκόλων γαμεμένας,
θεούς τε χωλοὺς, καὶ παραβλῶπας θεάς.

a) Sic cod. cum simplici ρ, ut infra v. 33., ubi sane de Photio in exilium misso loquitur, graecorum schismaticorum insania despecta.

Digitized by Google

Πέσοιεν οἱ μὴ προσκυνοῦντες ἐμφρόνως
Θεῷ προσώποις ἐν τρισὶ νοουμένῳ,
ὑμνουμένῳ δὲ τῇ μιᾷ μόνῃ φύσει·
Θάνοιεν οἱ τὴν σάρκα τοῦ Θεοῦ Λόγου
μὴ σὺν φόβῳ σέβοντες ἐκ ψυχῆς ὅλης·
Χριστὸς καταφυγήσειε τὰς βλασφημίας,
Σωτὴρ ὀλοθρεύσειε πάσας αἱρέσεις,
Χριστὸς δ' ἀμερδύνειε καὶ τῶν σχισμάτων
βλάβην ἅπασαν καὶ πονηρίαν φθόνου·
Σωτὴρ ἀϊστώσειε τὰς δόξης χάριν
ἐκκλησίαν τέμνουσας εἰς διαιρέσεις.
Ταῦτα φρονῶ ζῶν, καὶ θανὼν ἐκεῖ πάλιν
καυχώμενος λέξαιμι πρόσθεν Ἀγγέλων·
τί σοι χρεωστῶ τοῦ νοὸς κατὰ πλέον,
ὦ παντεπόπτα, καὶ νεφρῶν * καὶ καρδίας, * C. vid. νεφρῶν
ὦ τὰς λογισμὰς ἐξερευνῶν ἐννόμως;

Οἷον δὴ καὶ τοῦτο τὸ ἡρωϊκοελεγεῖον αὐτῷ.

Ἔρρε μοι, ὦ τρικάλαινα Πολύμνια, ἔρρετε μοῦσαι,
αὐτὰρ ἐγὼν ἄπο νῦν ῥητορικῆς ἔραμαι·
Φώτιον Ἀρχιερῆα γεροντοδιδάσκαλον εὑρών,
ὅς με a) γάλακτι ἔθρεψε θείων ναμάτων·

a) Sic omnino habet codex et quidem valde mendose, nam frustra iisdem verbis pentametrum effinges.

Digitized by Google

Ἕτεροι ἰαμβεῖοι τέτε στίχοι a).

---

Ἐρρέι τὰ σεμνὰ τῷ χρόνῳ τῷ παμφάγῳ;
διέφθορε τὰ χρηστὰ καὶ τὰ τίμια,
ὄλωλεν ἡ παίδευσις, ἔσβη καὶ λόγος,
φρῦδος δὲ καὶ νῦς, σῖχεται θεωρία,
λέλοιπεν εὐσέβεια, καὶ τελεστική
θέμις δ' ἀπέστη καὶ δίκη καὶ πᾶν καλὸν,
παῤῥησιάζεται δὲ νῦν πανουργία,
καὶ ψεῦδος ἄρχει, καὶ τυραννὶς, καὶ βία·
ἕρπει δὲ πρὸς πᾶν θεῖον ἔργον ὁ φθόνος,
τῆς δυσσεβείας ἠνέῳκται τὸ στόμα·
ῥοιβδεῖ δὲ χανδὸν ἡ Χάρυβδις τῆς πλάνης,
ἐμεῖ δὲ πᾶς τις δόγματα βλασφημίας.

a) Allatius hos iambos de misero Graeciae statu in eruditissimo opere *de Ecclesiae Occidentalis et Orientalis consens.* lib. II. p. 854. edidit.

Digitized by Google

## I.

## ΛΕΟΝΤΟΣ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ ΕΠΙΤΥΜΒΙΟΝ

Εἰς Θεοκτίστην τὴν θυγατέρα αὐτοῦ.

* * * * * * * * * * * *

ἀργυρόπεζα Θέτις, χάρμα τεκόντων,
ποῦ κατέδυς λέγε μοι; ναὶ λέγε, τέκνον·
κάλυκας παρθενίδας, καὶ κρῖνα θεῖα,
ῥόδα νάρκισσον ἔχων, πῶς κόνιν ἔσχον;
ἡ πάρος ἀνθοφόρος, σῆψιν ἐφεῦρες,
εἴδεσι λαμπομένη νύκτα βαρεῖαν·
ἑλκεσίπεπλον ἔχεις παρθένον, Ἅδη,
ἐρατήν, σεμνοτάτην, παμφάγε τέρπου·
ὑψιμέδον, κατέχαις νῦν Θεοκτίστην
καλλίχορον σκιόεν θεῖον ἐπ' ἄλσος·
ἀθανάτους στεφάνους ἄθλα παράσχοις,
ὑψιμέλαθρα πόλου, δέσποτα, δείξας·
φάσμασι μὴ φθονερῆς νυκτοροφύτοις,
θυμὸν ἐμὸν βαλέειν ἡδὺ γελῶσα·
βαλσαμόπνευστον ἔαρ, ναρδοροδόπνουν,
πῶς δυσώπνουν ἐφάνης; εἰπέ τί τοῦτο;
κινναμόβλαστον ἔχων ὄρπηκα κούρην,
σαπρστάτην ὁρόω τήνδε πρὸς οὖδας·
τὰ δίκης παντεφόρου κέντρα με τύπτει,
διόπερ δακρυπόνους νύκτας ὑφέλκω·

## II.

Εἰς τὸν γάμον τοῦ αὐτοκράτορος Λέοντος.

Ἀπὸ πασσάλου καθεῖλον
λύραν εὐστόχως λαλοῦσαν,



Digitized by Google

δροσερὰν κόρην νοήσας
ὑπὸ παστάδα γλυκεῖαν.
Ἀμ' ἂρ ἓν τοὺς στεφάνους πλέξατε πάντες,
ὀργανόφωνον ἔπος μέλψατε, κοῦροι.
Βλέπε τοῦ ῥόδου τὸ κέντρον,
βλέπε τοῦ πόθου τὸ πλῆκτρον,
θέλε τὴν φλόγα δροσίζειν,
δροσερὸν πόθον φλογίζειν.
Δαφνοφόρους θαλάμους καὶ ῥοδοπλόκμους,
ἐλκεσίπεπλον, ἄναξ, δέχνυσο νύμφην.
Δότε μοι ῥόδον φορῆσαι,
δότε μοι νάβλαν δονῆσαι,
ἄφες ὡς φιλῶ κροτήσω,
ἄφες ὡς θέλω χορεύσω.
Ἱμερόφωνε κόρη, χρύσεον ἔρνος,
κυμβαλόφωνα μέλη δέχνυσο ταῦτα.
Μάθε πῶς πόθος ποθεῖται,
μάθε πῶς ἔρως ἐρᾶται·
Χαρίτων χάριν λαβοῦσα,
χάριν ἀντίδος μεγίστην.
Ἥλιε, φωτοφόρον σύζυγον εὗρες,
κρυσόλυρον παρέχω νῦν ὅθεν ᾄσμα.
Ἐθέλω, θέλω χορεύειν,
ἐθέλω κρότους ἐγείρειν,
γαμικὸν μέλος προσᾴδειν,
ἵνα πᾶς βλέπων συνᾴδῃ.
Εὔχροος ἀγλαΐη, χρώματος ἄνθος,
ἄνθεϊ μαργαρέῳ σώματος ἀίγλη.
Λογικοῖς μέτροισι μέλψω
σοφίης ἄγαλμα θεῖον,
λογίων σοφῶν γὰρ ἄρτι

Digitized by Google

Χάριτες πάλιν γελῶσιν.
'Ροδόεις, ἱμερόεις, λευκοκρίνοχροὺς,
Θαλέθων θάμβος ἔχων νυμφίος ἔστιν.
Κεφαλὴν ῥόδοις ἀνάφας
λύραν 'Ορφέως τινάσσω,
στεφάνοις ἄνακτα βάλλων,
ὅτι καλόν ἐστι θαῦμα.
Μειλιχόθυμον ἔαρ, κάλλος ἐῶον,
ξυνοτέρπεσι φάος πᾶσι φαάνθης.
Παλάμαις ῥόδον λαβοῦσα
ποτὲ σὰς κόμιζε κοίτας,
ὁ ἔρως ὅπως συνών σοι
νομίμοις πόθοις θαμάσσῃ.
Ξανθόκομος, ῥοδόχρους παῖς ἀνεδείχθης,
τῶν χαριτοβλεφάρων ὡς ὑπερήρθης.
Γλυκερὴν ὅλην χορείην
φιλόμολπον εὗρον ἄρτι,
διὸ καὶ κλάδους γελῶντας
κατέχων, τρίχας τινάσσω.
'Ερατὴ Πηνελόπη, δώματος ἄστρον,
νεκταρέοις * ἐνίοις παστάδα ῥαίνων * Sic Cod.
'Ο ἔρως βέλη τιταίνων,
ὁ πόθος φύσεις συνάπτων,
καλύκων χάριν παρέξει
ῥοδοδακτύλου λοχείαις.
Εἴσιθι, βαῖνε, κρότει, χαῖρε χορεῖα,
χρυσοφόροις θαλάμοις ἀμφιπολοῦσα.
Φλογερὰν ἔχεις φαρέτρην,
φλογέοις τύπηθι κέντροις,
ἵνα σὰς φρένας λιπαίνοις,
ἵνα πᾶν μέλος γλυκαίνοις.

Digitized by Google

Ἐπέων ἡδυτάτων ἵδμονες ἄνδρες,
τὰ ποσίκρουστα μέλη ῥυθμονομεῖτε·
Μακάρων ἄνασσα τέκνων
Χαρίτων ἔχεις τὸ κάλλος·
εἴ τις οὐκ ἔχει σε, θαῦμα,
λιθίνας φρένας κηρίζει.

## III.

Εἰς τὸν αὐτὸν γάμον τῷ αὐτοκράτορος Λέοντος.

Ἀνὰ τὴν πόλιν, πολῖται,
βροτέη χάρις κεχύσθω·
γαμικὸν μέλος δονείσθω,
δροσερὰ κόρη ξεφέσθω.
Δαφνοφόρους θαλάμους, καὶ ῥοδοπλόκμους,
ἑλκεσίπεπλον, ἄναξ, δέχνυσο νύμφην.
Ἐπὶ χρυσόπαστον οἶκον
ζαθέη κόρη βαδίζει,
χαριτοβλέφαρος ἄρτι
θαλερῷ νέῳ πλακεῖσα.
Ἱμερόφωνε κόρη, χρύσιον ἄστρον,
εὐγενόφωνα μέλη δέχνυσο ταῦτα.
Ἴδε πῶς ἅπαντα χαίρει,
καλὸν ὡς ἔαρ δὲ λάμπει·
λοιγάδος γάμῳ φερίστης
μετὰ κυμβάλων προθύμως.
Ἐπέων ἡδυτάτων ἵδμονες ἄνδρες,
τὰ ποσίκρουστα μέλη δεῦτε τελεῖτε.
Νομίμως Λέων ποθήσας
ξεναγεῖ γάμῳ πολίτας,
ὅθεν, ὦ φίλοι, παρόντες

Digitized by Google

παρὰ πας-άδα τρυφᾶτε.
Εἴσιθι, χαῖρε, κρότει ξανθόπαις φῦλον,
ἀργυρόπας-α κύκλῳ δόματα βαῖνε.
Ῥοδέην φύσιν συνεύνου
σὺ, Λέον, παραγαλίζει,
τὰ πόθου βέλεμνα τοίνυν
ὑποδὺς, τρύγα τὰ μῆλα.
Ἥλιε, φωτοφόρον σύζυγον εὗρες,
ἀς-έρας εὐς-εφέας παῖδος ἐνέγκοις.
Φέρε λαμπάδος κομίζων
χαρίεν μέλος προσοίσω;
ψόγος σύδαμῶς γάρ ἐς-τ
νομίμους γάμους λεγαίνειν.

## IV.

Εἰς τὸ λοετρὸν τὸ ἐν τῇ βασιλείῳ αὐλῇ ὑπὸ Λέοντος τοῦ αὐτοκράτορος οἰκοδομηθὲν.

Ἀνὰ τὴν πόλιν θοεῖτε
μέλος ὀργάνων· τί ταῦτο;
λεγέτω τις ὅς διέγνω,
φρασάτω τις εἴπερ οἶδεν.
Βασιλεὺς Λέων ἐπ' ἔργοις
φρένα Λαιδάλου παρῆλθε·
λιγυρὰν χέλυν τινάξω
παταγοσφύρῳ χορείᾳ·
Γαγανωμένοι πολῖται
περὶ τὴν θέαν μολεῖτε,
λοετρῶν δόμους ἐράτε,
μέλος ὀργάνων κροτεῖτε.
Δόμος ὡς πόλος φαάνθη,
ἀκροβλας-οχρυσομβρφους

κυκλικῶς λάϊγγας ὄφει
μετ' ἀγαλμάτων γὰρ ἄρτι.
Ὁ φρεσὶ καὶ σαφίῃ κῦδος ἀφύσσας,
ἐσθλοπόνους καμάτους ἐκτολυπεύει.
Ἐπὶ τὰς πύλας δὲ βέντι
πρόδρομος μακρὸς σὲ κρύφει,
ὅθι δὴ χάρις προλάμπει
γλυφοσῆς τέχνης τὸ θαῦμα.
Ζαθέων ἐκεῖ γερόντων
ἀπίδων * θέας θεάσει, * Sic Cod.
ζαμενεῖς κλόνους, σφαγὰς τε
πολέμων ἀγερσιθύμων.
Θολοκογχόχρυσον ἔργαν
ἐν ἀπος-όοις διαύλοις
ἐρατεῖς ἐδὼν, καλύψεις
φαέων βολὰς σαόζων.
Ὑδάτων θερμοβόλων ῥεῖθρα προχεῖται
καθαρὰ, προῖκα πόλις θεῦρ' γενοῦ ρος.
Ἰδίως θέαν Γεσύχου
ἐπὶ τὴν πρόκογχον ὄφει,
ῥοδέην φύσιν φορεῦσαν,
ξίφος ἐν χεροῖν κρατοῦσάν.
Καλύκων χάριν προπέμπει
Βασίλισσα κεῖθεν αὖθις,
γλυκαρωτάτοις προσώποις
ῥοδέην φυὴν φοροῦσα.
Λόγος σὺ γράφει τὸ κάλλος
φιλάδελφε, τίς σι γράφας
ἐριθηλὲς ὥσπερ ἔρνος
ἀνέθηκεν εἰσοράσθαι;
Μετὰ τὴν θέαν δὲ τήνδε,

ποταμῶν θέας χαράξας,
φοβεροστρόφοις προσώποις
μετρικοὺς ἔγραψεν αἴνους.
Δόγματα θειολόγα γράψατε, κοῦροι,
ζαθέων ἐκ στομάτων ὄμβρος ἐπέστη.
Νεπόδων ἄγραν θεάσῃ
καλάμῳ, βρόχῳ τε, κύρτῳ
ἐπὶ νῆσον αὖ ἑκάστην
ἐρατὴν τράπεζαν ἄψει.
Ξενοτερπὲς ἄλλο θαῦμα,
ὅτι πηγόρειθρα κάλλη
πολύμορφον εἶδος ἔσχεν
κορικὴν χάριν φοροῦντα.
Ὁ θυρῶν ψόφος δὲ τέχνῃ
πολύμουσον ᾆσμα πέμπει,
τὸ δ' ἔπος λέγει τὸ, δόξα
βασιλεῦ ἄναξ μεδόντων.
Παρὰ Δεσπότου ποσίν δε
χλοεροῖς κλάδοισι νίζει,
μελοτραυλόφωνος ὄρνις,
λυροκαλλίμολπα τρύζων.
Ψευδαλέων ἐπέων ῥίψατε λέσχην,
τεχνικῶν νῦν λογίων δράξατο Λέων.
Ῥόος ὑδάτων ἀπείρων
μέλος ὀργάνων προπέμπει,
ἀφανῶς, ἄνευ κρατοῦντος,
βασιλεῖ πλέκων τὸν αἶνον.
Σοφίῃ δράκων ἀνέρπει,
ὁ λέων μέγα βρυχᾶται,
γέρανος δὲ σαπφιρόχρους
ἐπικλαγκάσασα τέρπει.

Digitized by Google

Τανύιρνος αὖθις ὄρπηξ
φορέει γένει λυρώδει
λιγυρὸν περικροταῦντα
ἀπὸ χρυσέων πετήλων.
Ὑπὸ τὴν μέσην δὲ λάμπει
ὑδάτων ἐν ὀκτακόγχῳ
πολύθερμον οἶδμα ῥεῦμα,
ἄκος οὐ μικρὸν νοσοῦσιν.
Πῶλος ὁ κυκλοφόρος γῆθ', ὅτι Λέων
ἄτροπα φωτοφόρων νήματα δέρκει.
Φοβερὸν θέαμα, φίλοι,
γυπὸς ἄσθμα νάμα βάλλει
πυριλαμπές, ἐκφοβῶν περ
βροτέην φύσιν παρόντων.
Χάριν ἁπλέτου δ' ὑγείας
πολύλουτρον ἔσχε κάλλος,
μερόπων νόσους ἀλεύων,
δυνάμεις ἐπιβραβεύων
Ψεκάδων ἀφ' ὑγροθέρμων,
μελίων τόνος παρίλαων;
παλίνορσον εὗρε ῥῶσιν
μακρὸν εἰς χρόνον νεάζων.
Μεδέων ῥητορίης ἦλθεν ἐς ἔαρον,
ἀτέχνων ὦ λογίων φαίνεται πελάζειν.

## V.

### Εἰς τὴν Αὐγούσταν Ἑλένην Κωνσταντίνου τοῦ νέου σύζυγον.

Ἡδύκομον, ῥοδόχρουν, χρύσιον ἄνθος,
παρθενόφρονα μέλη δέχνυσο ταῦτα.

Digitized by Google

Ἀπ' ἐμῶν δόμων κατέσχον
λύραν εὐςόχως λαλοῦσαν,
δροσερὰν κόρην νοήσας
ὑπὸ παςάδος γλυκεῖαν.
Δαιδαλέους θαλάμους ἠδ' ὑμεναίους
νυμφιδίους ὁρόω καὶ ῥόδα ῥαίνω.
Δότε μοι ῥόδον φορῆσαι,
δότε μοι ναῦλαν δονῆσαι,
ἄφες ὡς θέλω χορεύσω,
ἄφες ὡς θέλω κροτήσω.
Ἀμαράντους ςεφάνους πλέξατε πάντες,
ὀργανόφωνον ἔπος μέλψατε κοῦροι.
Ἐθέλω, θέλω χορεύειν,
ἐθέλω μέλη λυγίζειν,
γαμικὸν μέλος προςάδειν
ἵνα πᾶς βλέπων συνᾴδῃ.
Εἴςιθι, βαῖνε, κρότει, χαῖρε χορεῖα,
χρυσοφόροις θαλάμοις ἀμφιπολοῦσα.
Γλυκερὴν ἐφευρὼν ἄρτι
φιλόμολπον ᾧδε τάξιν,
διὸ καὶ κλάδους γελῶντας
κατέχων, τρίχας τινάσσω.
Ἐπέων ἡδυτάτων ἴδμονες ἄνδρες,
τὰ ποσίκρουςα μέλη ῥυθμονομεῖτε.
Κεφαλὴν ῥόδοις ἀνάψας,
λύραν Ὀρφέως κροτήσας,
στεφάνοις ἄνακτα βάλλων
ὅτι καλόν ἐςιν ἔρνος.
Νεκταρέοις ἐνίοις ςέψατε νύμφην,
ἐρατὴν νῦν Ἑλένην χάρμα τεκόντων.
Βλέπε τοῦ ῥόδον τὸ κέντρον,

βλέπε τοῦ πόθου τὸ πλῆκτρον,
θέλε τὴν φλογα δροσίζειν,
δροσερὸν πόθον φλογίζειν.
Πας-άσιν ἀργυραίοις καὶ ῥοδοπλόχμοις
ἐλκεσίπεπλον, ἄναξ, δέξαι νύμφην.
Μάθε πῶς πόθος ποθεῖται,
μάθε πῶς ἔρως ἐρᾶται,
Χαρίτων χάριν λαβοῦσα
χάριν ἀντίδος γλυκείαν,
Ἥλιε, φωτοφόρον σύζυγον ὥρας,
χρυσόλυρον παρέχω νῦν δῶμα.
Ἀπαλὴν κόρην λαβών γε
ποτὲ σὰς κόμιζε κοίτας,
ὁ ἔρως ὅπως συνών σοι
νομίμους πόθους διδάξει.
Ἱμερόφωνε κόρη, ποικίλον ἄνθος,
κυμβαλόφωνα μίλη προσφέρω, δίχου.
Φλογέην ἔχεις τὴν φύσιν,
φλογέοις τύπηθι φίλτροις,
ἵνα σὰς φρένας γλυκαίνοις,
ἵνα πᾶν μέλος ἰαίνοις.
Ξυνοτερπὴς τι φάος πᾶσι φαάνθης,
μειλίχοθυμον ἔαρ, κάλλος ἑῶον.
Ὁ ἔρως βέλη τιταίνων,
ὁ πόθος φύσις συνάπτων,
καλύκων χάριν παρέξει
ῥοδοδακτύλου λοχείας.
Ξανθότριχος, ἀνθόπνους παῖς ἐφαάνθης,
τῶν χαριτοβλεφάρων ὡς ὑπερήρθης.
Μακάρων τέκνον τοκέων
Χαρίτων ἔχεις τὸ κάλλος,

Digitized by Google

ὃς τις σὺκ ἔχει σε, θεῦμα,
λιθίνας φρένας κομίζει.
Ῥοδόεις, ἱμερόεις, λευκοπρινόχρους
Θαλέθων Κωνσταντῖνος νύμφιος λάμπει.

## ἈΚΟΛΟΥΘΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

### εἰς τὰ Βρουμάλια.

Σοφίης ἔλαμψεν ὥρη,
χρόνιαι λόγοι δονεῦνται,
ὅθεν ὡς χρόνος πλανᾶται
πάλιν ἐν λόγοις χορεύω.
Ἑλικῶνα νῦν ἀμείψας
φαέθων ἄναξ Ἀπόλλων,
Ἑλικῶνα τοῦτον ἔγνω
σοφίης φάος κομίζων.
Ἐπὶ σοὶ, σοφὴ Κυθήρη,
μετὰ Παλλάδος χορεύει,
ἔριδος τρόπους παπτοῦσαι,
φιλίης νόμους κραταιοῦσι.
Σοφὲ, γραμμάτων ἀνάσσεις,
ἔλαχες λόγων τὰ πρῶτα,
μετὰ γὰρ σὸν οὖν τὸ πάππα,
τότε τῶν λόγων τὸ γράμμα.
Χάριτες λόγοις γελῶσιν,
ὅτε γράμμα σὸν προλάμπει.
Φάος ἐκ λόγων προῆλθε
σκοτέον νέφος καλύπτον,
ὅτι τοῦ σοφοῦ τὸ γράμμα
Χαρίτων χορὸς ἐγείρει.
Σοφίης ἄναξ Ἀπόλλων
καλέεν κύκνον δοκεῖ μοι,

Digitized by Google

ἵνα τὸν σοφὸν προσείπῃ
λιγυραῖς φάραγξι κύκνος.
Κρατέων, Ὅμηρε, μύθων,
ἐπέων δὲ Μοῦσα, τέχνη
σοφίης ἄνακτα μέλψον,
ὅτι σὸν πέφυκεν ἄνθος.
Στέφανον φέρουσιν ἄνθος,
Χάριτες λόγοις γελῶσιν.
Θρασὺς ὡς νέος προῆλθον
νόον Ὀρφέως λιγαίνων
Φάεθοντι φῶς κομίζων,
ὅτε σοὶ λόγους κομίζω.
Δότε μοι κρότους τὸ θάρσος,
ἀφόβως θέλω χορεύειν.
ἵνα τὸν λόγων κρατοῦντα
λογικοῖς μέλεσσι μέλψω.
Ὅτε σὸν πάρεστιν ἦμαρ
λογικαὶ πάρεισι Μοῦσαι,
στέφος ἐκ λόγων κρατοῦσαι,
λογικοὺς στέφουσι πάντας.
Λογικὴν πᾶσαν ἔχεις ἄφθονε νίκην,
φθονερῷ ἐξελάσας εὔστοχα βάλλων.
Δότε μοι, φίλοι, τὸ θάρσος,
ὁ λόγων ἔρως γὰρ ἄρτι
κραδίην ἐμὴν προσεῖπε
σοφίης φίλον γεραίρειν.
Μέλος Ὀρφέως με βάλλει,
τάχα μητέρος τὸ γράμμα,
ἅμα καὶ σοφοῦ λιγαῖνον
λογικὴν λύρην τινάσσει.
Φαέθων ὁδοὺς σελήνης

Digitized by Google

πεθέει τὰ νῦν ὀθνείην,
Φαέθοντα γὰρ δοκεύει
σὲ τὸν ἐν λόγοις φανέντα.
Ὁ λέγων ὅτι πρεπόντως
δύναμαι σοφοῦ τὸ γράμμα
λογικοῖς μέλεσσι μέλψαι,
πέλαγος λόγων περήσει.
Ἀπορῶ μὰ τὴν Ἀθήνην
ἀρετὰς σοφοῦ βοῆσαι.
Ἀπὸ σῶν λόγων προῆλθον,
ἵνα σοὶ τεοὺς προσάξω,
σοφίην ὅλην γεραίρων,
σοφίης μόνος γὰρ ἄρχεις.
Παφίη τὰ νῦν χορεύει,
ὅτι καὶ Κύπρις καλεῖται,
ὁμογράμματος γὰρ οὖσα
λογικῶς τὰ νῦν χορεύει.
Ὅθεν εἰκότως χορεύει
χρέος ἐξ ἔθους νομίζων.

* * * * * * * * *

## ΓΕΩΡΓΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

### Ἐπιθαλάμια.

Γάμιαι πνέουσιν αὖραι,
μέλος ὀργάνων δονεῖται,
τάχα πας-ὸν Ἀφροδίτῃ
Χαρίτων πλέκουσι κῶμοι.
Ὁ δ' ἔρως ὁ πάντα παίζων,
ὁ γένος γένει συνάπτων
ἀπ' ἐλευθέρας φαρέτρας
βέλος ἡμέρας τινάσσει.
Ὁ γέρων πάρες-ι Νεῖλος

Digitized by Google

κεφαλὴν ῥόδοις πυκάσσας,
ἵνα σὺν νέοις χορεύσῃ
πολιοὺς πόδας τινάσσων.
Κιθάρης ἄναξ Ἀπόλλων
γάμιον μέλος λιγαίνει·
γλυκεραὶ πάρεισι Μοῦσαι
Βρομίῳ γάμους τελοῦσαι.
Ὅθεν ἄσμενος προῆλθον
ἐπέων μέλος χαράξας,
ἵνα σὺν νέοις χορεύσω
γαμίους νόμους τελέσσας.

Ἐπιθαλάμια.

Ἀναβάλλομαι χορεύειν
λιγυροῖς μίτοισι κρούων
γαμικὸν μέλισμα σεμνὸν,
βιοτῆς χάρισμα πρῶτον.
Τί γὰρ, εἰπέ μοι, τίς ὤφθης
κιθάρης μαθὼν ἀταρπὸν,
τόσον εἰς χρόνον μεθῆκας
ἀγέρας-α κέντρα πλήκτροις;
Ἑλέτω πόθος δ' ἐκείνης,
ἑλέτω μάκαρ λιγαίνειν,
φίλον εἰς λέχος κίοντα
μετὰ σώφρονος συνεύνου.
Ἀπὸ πασσάλου δ' ἀκούσας
χέλυν ὡς τάχος καθεῖλον,
ἐθέλω δὲ ταῦτα πέλπειν
ὅσα μοι βίος κελεύει.
Πόθεν οὖν γένοιτο βαλβὶς
Ἑλικώνιδος μερίμνης;
τίνα δ' ὡς θέμις προσειπῶν *. * Deest versus.

Digitized by Google

Ἀγ' ἴλασσον ἢ τεκόντας
γενέτην σὸν ἢ τεκοῦσαν,
ἐπέων φοροῦσαν εὖχος,
γεραροῖς νόμοις κομῶσαν.
Χρόνος ἐς-ὶ ταῦτα βάζειν,
κόρον ἐκ χρόνου δὲ φεύγω,
ὅτι θ' ἥματος μι' ὥρα
χρόνος ἐς-ὶ τοῖς ποθοῦσιν.
Μικρὸν οὖν κόρην προσειπών,
μελέων ἐμῶν ἀφορμὴν,
θαλίης μέλισμα πάσης
ἀποπαύσομαι λιγαίνειν.
Ἐρατὴ πέλουσα νύμφη,
ἐρατοῦ δὲ καὶ γραφεῖσα
φιλοσώφρονος συνεύνου,
πόσιν ἄξιον μετέρχῃ.
Ὅθεν, ὦ μάκαιρα, χαίροις
γεραροῖς ζυγεῖσα λέκτροις
τετελεσμένας δ' ἐς ὥρας
πάϊν ἀγκάλαισι φέρβοις

## ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΓΑΖΗΣ

### Ἐπιβατήριος.

Ὦ φίλοι, ἤτοι κλῆρος ἐμὸς, χαίρω δὲ καὶ αὐτὸς
Πιερικὴν πλάς-ιγγα πολύτροπον ὄμμασι λεύσσων·
Μοῦσα με νῦν θώρηξεν ἐκήβολα, οὐδ' ἐπὶ χάρμην
οὐκ ἐπὶ δυσμενέων νίφα βάρβαρον· ἀλλὰ μενοινὴν
ὑμετέρην σκοπὸν οἶδα τανύσκοπον, ἣν ῥα θοκεύων
εἴσομαι αἶκε τύχοιμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων.
Ὁ χορὸς τίς ἐς-ιν οὗτος,
ὁ σοφῆς βρύων μελίσσης;
ἔλαθον πόδες με μᾶλλον

Digitized by Google

μεμεθυσμένον, λαβόντες
Ἑλικῶνος εἰς τὸ μέσσον.
Ὁ δ' ἄναξ λόγων Ἀπόλλων
Ἑλικωνίδες τε Μοῦσαι,
τροχαλὸν λαβόντες Ἑρμῆν
κρίσιν εἰσφέρουσι τόλμῃ·
τί πάθω φίλοι; τί ῥέξω;
Κραδίη, φύγοις τὸ τάρβος,
ἔχε θάρσος εἰσδραμοῦσα,
φιλίης πνέουσι Μούσης,
νοερῶν λόγων κρατοῦσι,
νοεροὺς λόγους κομίζοις.
Ὁ καλὸς γέρων ὁ κύκνος,
Ζεφύρου πνέοντος, ἔγνω
λιγυρὸν μέλπος τί μέλπειν·
ὁ δὲ δῆμος ἐς-ὶν οὗτος,
γλυκερὴν χέων ἔερσην.
Γέρανοι τρέχουσι πᾶσαι
σπόρον αὔλακος διώκειν,
φιλοτερπέως δὲ Γάζης
σπόρον ἤλυθεν λιγαίνειν,
ὁ δὲ δῆμος ἐς-ὶν οὗτος.
Δότε βάρβιτον δονήσω,
ὁ καλλίμολπος Ὀρφεὺς
σὺν ἐμοὶ μέλος λιγαίνοι·
ὁ δὲ δῆμος ἐς-ὶν οὗτος,
γλυκερὴ ῥέουσα Μοῦσα.
Περί με πνέων ὁ Φοῖβος
χέλυν ἤλυθε τινάσσειν
παλάμῃ σοφῇ μελίζων,
ὁ δὲ δῆμος ἐς-ὶ Φοῖβος
νοερῆς γέμων μελίσσης.

Digitized by Google

# ’ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

## ΠΟΙΗΜΑ ’ΑΥΘΩΡΟΝ ΚΑΙ ΠΑΝΥ ’ΑΜΕΛΕΤΗΤΟΝ ΔΙΑ ΣΤΙΧΩΝ ΠΟΛΙΤΙΚΩΝ ΠΕΡΙΕΧΟΝ ΠΑΣΑΝ ΘΕΟΓΟΝΙΑΝ ’ΕΝ ΒΡΑΧΕΙ ΜΕΤΑ ΠΡΟΣΘΗΚΗΣ ΚΑΙ ΚΑΤΑΛΟΓΟΥ ΤΩΝ ’ΕΠΙ ΤΗΝ ’ΙΛΙΟΝ ’ΑΡΙΣΤΩΝ ’ΕΛΛΗΝΩΝ ΤΕ ΚΑΙ ΤΡΩΩΝ.

### ΠΡΟΛΟΓΟΣ ΠΡΟΣ ΤΗΝ ΣΕΒΑΣΤΟΚΡΑΤΟΡΙΣΣΑΝ.

Φέρε, ψυχὴ βασίλισσα, ψυχὴ φιλοϛοργοῦσα,
ψυχὴ λαμπρὰ, φιλόκαλε καὶ φιλοσοφωτάτη,
ἐπεί σε κατελάμπρυνε Θεὸς ταῖς ἀγλαΐαις,
ἀϛέρα δείξας σε λαμπρὸν μαρμαρυγοῦντα ξένως,
ὑπερτεροῦσαν καλλοναῖς, ἀϛράπτουσαν τῷ γένει,
καὶ πρὸς ἀξίαν τέθηκε τὴν ἄγαν ὑπερτάτην·
σὺ δὲ φαιδρύνειν θέλουσα τὸ δώρημα καὶ πλέον
τὴν καλλονὴν τὴν ἔκκριτον, τὸ γένος, τὴν ἀξίαν,
ὡς μὴ δ’ ὁ μῶμος ἐφευρεῖν τὶ μωμητὸν ἰσχύσῃ,
φιλεῖς τοὺς λόγους καὶ ποθεῖς ἐπεντρυφῶσα τούτοις,
καὶ τούτοις πλέον ἐπαυχεῖς ἤπερ ταῖς τύχαις ἄλλοι,
ἤπερ ὁ Κροῖσος θησαυροῖς, καὶ Μίδας τῷ χρυσίῳ,
ἤπερ ὁ Γύγης τῇ ϛροφῇ πάλαι τοῦ δακτυλίου,
ὡς φρόνημα βασίλειον ἐν λόγοις κεκτημένη·
φέρε, φυτὸν χρυσόπρεμνον ἐκ ῥίζης εὐϛελέχου,
φυτὸν ἀριπρεπέϛατον, ἐριθαλὲς, ὡραῖον,
ὑψιτενὲς, ὑψίκομον, καλλίκομον εἰς ἄγαν,
σκιάζον πᾶν ἀνάκτορον, σοῖς τε φαιδρύνον κλάδοις·

V. 1. Fortasse βασιλική, aut βασίλειος, ut infra v. 22. V. 2 Alius cod. φιλολογωτάτη. V. 5. ὑπερτεροῦσα . . . . ἀϛράπτουσα. V. 16 ἐπιπρ . . . . ἐριθηλές.



Digitized by Google

φέρε, ψυχὴ χαρίεσσα, φιλίστορ, φιλολόγε,
ἐπεὶ πρὸς ἄλλοις ἐκζητεῖς, λύχνος πρὸς λόγους ἔσα,
Θεῶν τε τὸν κατάλογον καὶ γένος τῶν ἡρώων,
σὺ μὲν ἐμοὶ τὰς ἀκοὰς τὰς βασιλείους δίδε,
ἐγὼ δὲ πάντα σοι σαφῶς ἐπιδρομάδην λέξω
ἀμελετήτως, αὐθωρὸν καὶ κατασκενωμένως·
εἰ δέ ποτε θελήσειας μαθεῖν καὶ πλατυτέρως,
κἀγώ σοι ταῦτα βεληθῶ μετὰ μελέτης γράφειν,
κομπάζω τολμηρότερον καὶ λέγω παρρησίᾳ,
ὡς ὅ δ' ἂν ἦσαν ἑκατὸν Ὅμηροι καὶ Μουσαῖοι,
Ὀρφέες καὶ Ἡσίοδοι, Ἀντίμαχοι καὶ Λῖνοι,
καὶ πάντες δ' ἄλλοι ποιηταὶ καὶ θεογονογράφοι,
κρεῖττον ἂν ἔγραψαν ἐμοῦ τὰ περὶ τούτων πάντα·
ἀλλ' ὅ δ' ἂν ἦσαν οἱ Θεοὶ καὶ ἥρωες ἐκεῖνοι,
τὸ γένος ἴσχυσαν αὐτῶν ὥσπερ ἐγὼ διδάξαι·
ὕτω παρρῶν ἐπεύχομαι καὶ λέγω παρρησίᾳ,
σύν τε Θεῷ δεσπόζοντι, κρατοῦντι τῶν ἁπάντων,
κἂν νῦν ἀδίκων ὑπ' ἀνδρῶν, ἀθέων, ἀθεμίτων,
ἄδικον ὀδυρόμενος ἀπάνθρωπον πενίαν,
δεσμοῖς δεσμῶσαι σιωπῆς τὴν λαλίστεραν γλῶσσαν,
καὶ παντελῶς ἂν ἄφωνος ἐκ τούτων ἐγενόμην,
εἰ μήπω σὺ διέρρηξας δεσμὰ τῆς ἀφωνίας,
θερμῷ φαρμάκῳ τῷ χρυσῷ θάλπουσα τὴν πενίαν,
ὑφ' ἧς τὰ κατατείνοντα νεῦρα περὶ τὴν γλῶτταν
καταψυχθέντα περισσῶς καὶ τὴν φωνὴν ἐπεῖχον,
δεινῶς ἐς τὸν ἐγκέφαλον ἡλίθιον ἐποίουν·
ἃ σὺ καλῶς ἐνθάλπουσα τοῖς τρόποις, οἷσπερ εἶπον,
δίδως μικρόν τι με λελεῖν, μὴ δὲ ἡλεωθῆναι·
καὶ δὴ λοιπὸν πετάσασα τὰς ἀκοάς σε πρόσχες,

V. 23. ἐπιδρομάδεν. V. 36. ἀνθρώπων ἀθεμ.... V. 38. λαλιστάτην. V. 43. ἠλιθιᾶν.

Digitized by Google

πλὴν μυθικῶς σοι λέξομεν, ἐδ' ἠλληγορημένως.
Τίνες Θεοὶ πρῶτοι καὶ τὸ γένος αὐτῶν.
Θεοὺς μὲν πρώτους λέγουσιν οἱ πάλαι μυθογράφοι
τὸν Οὐρανόν τε καὶ τὴν Γῆν· σχεῖν δὲ καὶ παῖδας τούτους
Τιτᾶνας ἑκατόγχειρας, καὶ Κύκλωπας σὺν τούτοις,
καὶ Θυγατέρας σὺν αὐτοῖς ἑπτὰ κατὰ τὸ μέτρον,
πάντας ἐννεακαίδεκα· καὶ μάθε τούτων κλήσεις·
πρῶτος υἱὸς Ὠκεανός· δεύτερος ἦν ὁ Κοῖος·
Κριὸς τρίτος, καὶ τέταρτος σὺν τούτοις Ὑπερίων·
Ἰαπετὸς ἦν ἐπ' αὐτοῖς πέμπτος υἱὸς ἐκείνων·
Θείας δὲ τούτοις ἕκτος παῖς· ἕβδομος Εὐρυβίη·
Ῥέα καὶ Θέμις σὺν αὐτοῖς, δεκάτη Μνημοσύνη·
ἐνδέκατος ἡ Φοίβη δε· Τηθὺς δε δωδεκάτη·
ὁ Κρόνος τρισκαιδέκατος καὶ μετὰ τούτων πάλιν,
(Κυκλώπων ὀνόματα Οὐρανῷ καὶ Γῆς παίδων)
τοὺς τρεῖς γεννῶσι Κύκλωπας τὴν φύσιν μονοφθάλμους,
πρὸς ἕνα μόνον ὀφθαλμὸν ἔχοντας τοῖς μετώποις,
τὸν Βρόντην, τὸν Στερόπην τε, σὺν τούτοις καὶ τὸν Ἄργην·
τοὺς τρεῖς τοὺς ἑκατόγχειρας γεννῶσι τε σὺν τούτοις
τὸν Κόττον, τὸν Βριάρεων, τὸν Γύγην τε τὸν μέγαν,
ἕκαστον τούτων ἑκατὸν τὰς χεῖρας κεκτημένον,
γαστέρας τε πεντήκοντα καὶ κεφαλὰς ὁμοίως·
τούτους ἐννεακαίδεκα τοὺς παῖδας, ὥσπερ εἶπον,
ἡ Γῆ γεννᾷ καὶ Οὐρανὸς ἀλλήλοις συναφθέντες·
ὡς δ' ἦν ὠμὸς ὁ Οὐρανός, πατὴρ πικρὸς τὴν φύσιν,
τούτους τοὺς παῖδας ἔκρυπτε τῆς Γῆς μητρὸς λαγόσι,
μὴ θέλων τούτους κατιδεῖν φωτὸς λαμπτηροχίαν·
ἀγανακτήσαντες δεινῶς οἱ παῖδες τε καὶ μήτηρ,
δρέπανον κατεσκεύασαν· συνέθεντο δὲ λόγους,
ὡς ὅταν Οὐρανὸς ἔλθῃ τῇ Γῇ μιγῆναι θέλων,
τὰ παιδογόνα μόρια τοῦτο τεμεῖν· ἐν τούτῳ

Digitized by Google

καὶ δὴ κατῆλθεν Οὐρανὸς τῇ Γῇ μιγῆναι χρήζων,
ὁ Κρόνος δὲ τὰ μόρια τέτυε τεμὼν δρεπάνῳ,
τινάξας εἰς τὸ πέλαγος ἔρριψε τῆς θαλάσσης.

Περὶ Ἐριννύων καὶ Τελχίνων.

Ἐκ δὲ τῶ καταῤῥέοντος αἵματος τῶν μορίων,
ἐν μὲν τῇ γῇ γεγόνασι τρεῖς Ἐριννύες πρῶτον,
ἡ Τισιφόνη, Μέγαιρα, καὶ Ἀληκτὼ σὺν τέτοις·
καὶ σὺν αὐταῖς οἱ τέσσαρες ὀνομαζοὶ Τελχῖνες
Ἀκταῖος, Μεγαλήσιος, Ὀρμενός τε καὶ Λύκος·
ὡς Βακχυλίδης μέν φησι Νεμέσεως; Ταρτάρῳ,
ἄλλοι τινὲς δε λέγυσι τῆς Γῆς τε καὶ τῶ Πόντυ,
οἵπερ Στυγὸς τῷ ὕδατι ῥαίνοντες γῆν ἡκάρπευν.

Περὶ Γιγάντων καὶ πόσοι εἰσίν.

Καὶ Γίγαντες ὡς ἑκατὸν γεγόνασιν ἐκ τέτων,
ὧνπερ τὺς κρείττυς λέξομεν, τὺς δ' ἄλλυς ἐατέον·
Ἀλκυονεὺς, Ἐγκέλαδος, Βρίμης καὶ Πορφυρίων,
Ὦτος καὶ Μίμας σὺν αὐτοῖς, σὺν τέτοις Ἐφιάλτης,
Τυφὼν ὁμῶ καὶ Παλλαντεὺς, Αἰγεὺς σὺν Ἱπολύτῳ,
Εὐρύβατος καὶ Ἄσβολος, Νηρεὺς ὁμῶ καὶ Τρίτων·
Ἀργεῖος, Μῶλος, Μηκιζεὺς, Ἀνταῖος καὶ Παλόπτης,
Εὔτλης, Καινεύς τε καὶ Πηλεὺς, Ἀγχίλαος, Μεσαῖος,
Αἰγαίων, Γλαῦκος καὶ Ἀλκεὺς, Κλυτίος τε καὶ Βώτης,
Ἀλάζωρ, Ὑπερείδης τε καὶ Λάδωρ, Ἀγαμήζωρ,
ἕτοι μὲν παῖδες αἵματος τῶν Οὐρανῶ μορίων.

Περὶ Μελίων Νυμφῶν.

Ὁμοίως δὲ τοῖς Γίγασιν ἐκ τῶν ῥανίδων τέτων,
καὶ Νύμφαι δὴ γεγόνασιν, ἃς λέγυσι Μελίας.
Ἑλίκη, Κυνοσῦρα τε, Ἀρέθυσα καὶ Ἴδη,
Κρόμνη, Κρηθὼ καὶ Κελαινὼ, Ἀδράζη τε καὶ Γλαύκη·

V. 95. Ἄτλης pro Εὔτλης. V. 96. Ταλμεὶς pro Ἀλκεύς.

Digitized by Google

καὶ σὺν αὐταῖς Φιλόη τε, Φιλίς-η σὺν Δωρίδι·
ἕτοι μὲν παῖδες Οὐρανῷ τοιάτως γεννηθέντες
ἐκ τῶν ς-αγόνων τῶν εἰς γῆν τῶν ἐκ μορίων τάτε.

Περὶ Ἀφροδίτης καὶ Ἔρωτος.

Ὡς δὲ τὰ τάτε μόρια προσέπλει τῇ θαλάσσῃ
ἀφρὸν ἐκ τῆς κινήσεως ἐσάρευσαν ἀρκοῦντα,
ἐξ ἧπερ πάλιν τᾷ ἀφρᾷ γέγονεν Ἀφροδίτη,
ὡραῖα καὶ νεάζυσα, πατέπιν ταύτης Ἔρως·
τᾶτο μὲν γένος Οὐρανῷ καὶ Γᾶς τυγχάνει σύμπαν.

Γένος τᾷ Χάους.

Ἐπεὶ δὲ πρῶτον τᾷ παντὸς καὶ πρὸ τᾶς Γᾶς ἦν Χάος,
καὶ Πόντος κυματέμενος, λέξω καὶ παῖδας τάτων·
τὸ Χάος Ἔρεβος γεννᾷ, Νύκτα καὶ τὸν Αἰθέρα,
καὶ τὴν Ἡμέραν σὺν αὐτοῖς· ἕτοι τᾷ Χαέϊ παῖδες·
ἡ Νὺξ γεννᾷ τὸν Θάνατον, Ὕπνον, Ὀνείρους, Μῶμον,
Κλωθώ, Λάχεσιν, Ἄτροπον, ἅσπερ καλῦσι Μοίρας,

(Περὶ Ἐσπερίδων)

τὰς Ἐσπερίδας σὺν αὐτοῖς ἑτέρας θεὰς πάλιν
Ἐσπέρην καὶ Ἐρεύθυιαν, καὶ Αἴθουσαν καὶ Αἴγλην·
κατὰ δὲ τὸν Ἡσίοδον αἱ Ἐσπερίδες αὗται,
Ἀπάτη καὶ Φιλότης τε καὶ Νέμεσις καὶ Ἔρις·
Ἔρις γεννᾷ τὰς Μάχας δε, τὰς Λύπας καὶ τὲς Φόνους,
Λήθην καὶ Πόνον καὶ Λιμόν, σὺν τέτοις καὶ τὲς Ὅρκους·
αὗτη σειρὰ τᾶς γενεᾶς Χάους, Νυκτὸς, Ἐρέβων.

Γένος Πόντου.

Τᾷ Πόντου τᾷ συγχρόνου δὲ τᾷ Χάους μάθε γένος·
ὁ Πόντος πάλιν συμμιγεὶς τᾷ Γᾷ γεννᾷ Νηρέα,
καὶ Θαύμαντα καὶ Φόρκυνα, Κητώ τε Θυγατέρα.

Γένος Νηρέως· περὶ Ἔριδος καὶ Ἁρπυίων
καὶ τίνα τάτων ὀνόματα.

Ὁ δὲ Νηρεὺς Ὠκεανῷ γήμας Δωρίδα παῖδα

Digitized by Google

πάσας πεντήκοντα γεννᾷ παῖδας τὰς Νηρηΐδας,
ὧν τὰς πολλὰς ἐάσομεν, λέξομεν δὲ τὰς κρείττους·
αὗται δ' εἰσὶ μὲν τέσσαρες, γνώριμοι δὲ τοῖς πᾶσι,
ἡ Ἀμφιτρίτη, Θέτις τε, Γαλάθεια, Ψαμάθη·
ὁ τῷ Νηρέως ἀδελφὸς τέτου δὲ πάλιν Θαύμας
γήμας Ἠλέκτραν καὶ αὐτὸς Ὠκεανίδα κόρην,
πρῶτον γεννᾷ τὴν Ἔριδα, σὺν ταύτῃ τὰς Ἁρπυίας,
ὧν κλήσις ἔστιν Ἀελλὼ μετὰ τῆς Ὠκυπέτης·
ὁ τρίτος τέτων ἀδελφὸς, τὸν Φόρκυνά σοι λέγω,
Λητοῖ μιγεὶς τῇ ἀδελφῇ γεννᾷ μὲν τὰς Φορκύδας,
τὴν Ἐνυὼ, καὶ Περφιδὼ, γεννᾷ καὶ τὰς Γοργόνας
Σθενὼ καὶ Εὐρυάλειαν, τὴν Μέδουσαν τε τρίτην,
ξένον τι γέρας καὶ κενὸν ὄσας τὰς πέντε κόρας·
εἷς γὰρ ὑπῆρχεν ὀφθαλμὸς ταῖς ἀδελφαῖς ταῖς δύο,
τῇ Περφιδοῖ καὶ Ἐνυοῖ, καὶ ταῖς Γοργόσιν ἄλλος,
ἑτέρα παρ' ἑτέρας δὲ τὸν ὀφθαλμὸν λαβοῦσα,
ἔβλεπεν ὅταν ἤθελε καὶ πάλιν ἀπεδίδου,
κυκλοειδεῖς, μονόδοντες πλὴν ἦσαν αἱ Φορκύδες.

Περὶ Γοργόνων. τίνας γεννᾷ
ἡ Γοργὼν ἡ Μέδουσα.

Αἱ δὲ Γοργόνες πτερωταὶ καὶ δρακοντοτραχῆσαι,
ὧν ἡ Γοργὼν ἡ Μέδουσα τὴν κεφαλὴν τμηθεῖσα
ἐκ τοῦ Περσέως, τοῦ Διὸς υἱοῦ καὶ τῆς Δανάης,
ὡς ὕστερον πλατύτερον ἐρῶμεν περὶ τέτων,
Χρυσάορα καὶ Πήγασον ἐκ τοῦ τραχήλου τίκτει,
ἄνθρωπον τὸν Χρυσάορα, χρυσοῦν κρατοῦντα ξίφος,
τὸν ἵππον δὲ τὸν Πήγασον, ἵππον ἐπτερωμένον·
ἄνθρωπον δὲ τρικέφαλον γεννᾷ τὸν Γηρυόνην·
ὁ τῆς Μεδούσης ὕστος παῖς, ὃν εἶπον, ὁ Χρυσάωρ,

V. 139. Μενὼ .... Μένδυσεν.

Digitized by Google

ἐκ δυγατρὸς Ὠκεανῆ τῆς Καλλιρρόης λέγω,
ὃν Ἡρακλῆς ἀπέκτεινε, φημὶ τὸν Γηρυόνην·
σὺν δὲ Φορκύσι δὲ λοιπὸν καὶ ταῖς τρισσαῖς Γοργόσι
γεννῶσι καὶ τὴν Ἔχιδναν ὁ Φόρκυς, ἡ Κητώ τε,
ὄφιν τε τὸν φυλάσσοντα τὰ χρύσεα τὰ μῆλα·
τὸν δὲ ἑκατογκέφαλον τὸν Γίγαντα Τυφῶνα
Ἔχιδνα σχοῦσα σύνευνον ἐν τοῖς ἐρήμοις τόποις,
Ὄρθρον γεννᾷ μὲν πρώτιστον τὸν Γηρυόνου κύνα,
καὶ δεύτερον τὸν Κέρβερον, τὸν Ἅιδου πάλιν κύνα
τὸν πεντηκοντακέφαλον, τὴν Ὕδραν τε σὺν τέτῳ.

Περὶ τῆς Ὕδρας καὶ Χιμαίρας.

Τὴν πεντηκοντακέφαλον ὁμοίως τῷ Κερβέρῳ
Ὕδραν γεννᾷ, τὴν Χίμαιραν τρικέφαλον θηρίον,
τὴν ἐμπροσθέαν κεφαλὴν λέοντος κεκτημένην,
τὴν ὀπισθέαν δράκοντος, αἰγὸς τὴν μεσαιτάτην·
ἡ Χίμαιρα δ' ἐγέννησεν τὴν Σφίγγα τὴν Θηβαίαν,
καὶ λέοντα τὸν ἄτρωτον ἐκεῖνον τῆς Νεμέας,
ὃν Ἡρακλῆς συνέθλασε χερσὶ γυμναῖς καὶ μόναις·

Περὶ τῆς Σφιγγός.

Καὶ τῆς Σφιγγὸς δὲ μάνθανε τὴν φύσιν, εἴπερ θέλεις·
ἄνω μὲν ἦν αὕτη γυνή· κάτω θηρίον λέων·
πτέρυγας εἶχεν ἀετῶ· τὼς ὄνυχας γρυπός δε·
τὰ περὶ τέτων δὲ λοιπὸν ὁπότερον δέον μάθῃς
πῶ τε καὶ πῶς τεθνήκασι καὶ μᾶλλον παρὰ τίνων·
ἤ δε καὶ πάλιν μάνθανε λοιπὸν τὰς ἑρανίδας.

Ἀνακεφαλαίωσις πάλιν τῶ γένους
τῶ Οὐρανῶ καὶ τῆς Γῆς.

Ὠκεανὸς τῷ Οὐρανῶ καὶ Γῆς υἱὸς ὁ πρῶτος,
γήμας Τηθὺν τὴν ἀδελφὴν τάδε γεννᾷ τὰ τέκνα·

CC. v. 160. τὸν δ' ἑκατοντακέφαλον, ut infra V. 286.

Digitized by Google

τὰς ποταμοὺς καὶ τὰς πηγὰς τὰς ὅσας ἐν τῷ κόσμῳ,
ὧν καὶ Πλουτὼ, καὶ Περσηΐς, καὶ Μῆτις καὶ Ἀδία,
καὶ Στὺξ ὁμοῦ καὶ Καλυψὼ, τὰς δ' ἄλλας ἑατέον·
ὁ δ' ἄλλος παῖς τοῦ Οὐρανοῦ ὁ Ὑπερίων πάλιν,
Σελήνην, Ἥλιον ὁμοῦ γεννᾷ καὶ τὴν Ἡμέραν,
γήμας τὴν ἀδελφὴν αὐτοῦ τὴν καλουμένην Θείαν·
ἡ δ' Εὐρυβίη ἀδελφῷ τῷ Κοίῳ συμμιγεῖσα,
Ἀστραῖον τε καὶ Πάλλαντα, ναὶ μὴν καὶ Πέρσην τίκτει·
Ἀστραῖος δὲ πάλιν γήμας τὴν ἀδελφὴν Ἡμέραν,
τὸν Ἑωσφόρον τε γεννᾷ καὶ φύσιν τῶν Ἀνέμων·
ὁ Πάλλας ἔπειτα λαβὼν τὴν Στύγα συνευνέτην,
γεννᾷ Ζῆλον καὶ Νίκην τε, καὶ Κράτος τε καὶ Βίαν·
ὁ Κοῖος παῖς τοῦ Οὐρανοῦ πάλιν τὴν Φοίβην γήμας,
τὴν ἀδελφὴν τὴν ἑαυτοῦ, τέκνα λοχεύει τάδε,
τὴν Ἀστερίαν καὶ Λητὼ πᾶσι γνωρίμους ὅσας·
τῇ Ἀστερίᾳ δὲ μιγεὶς, Ἑκάτην γεννᾷ Πέρσης.

Κρόνου καὶ Ῥέας παῖδες.

Ὁ Κρόνος ἔπειτα μιγεὶς τῇ ἀδελφῇ τῇ Ῥέᾳ,
Ἑστίαν τε καὶ Δήμητραν ἐγέννησε καὶ Ἥραν,
Ἅδην καὶ Ποσειδάωνα, σὺν τούτοις καὶ τὸν Δία·
ὡς δ' ἦν ὁ Κρόνος ἀστηνὴς τρώγων ἰδίους παῖδας,
ἐξ Οὐρανοῦ γὰρ τοῦ πατρὸς καὶ Γῆς ἐμεμαθήκει
ὅτι τῶν παίδων τις αὐτῶν ῥίψει τῆς βασιλείας,
ἡ Ῥέα κατετήκετο περιπλάγχνα καὶ τὴν καρδίαν·
ὡς δὲ σὺν ἄλλοις ἔτεκε τὸν, ὅνπερ εἶπον, Δία,
Κέρκοισι τοῦτον δίδωσιν, ἀνδράσιν ἀπὸ Κρήτης·
οἵτινες ἔκρυψαν αὐτὸν Αἰγαίῳ Κρήτης ὄρει·
αὐτὴ δὲ σπαργανώσασα λίθον ἀντὶ τοῦ βρέφους,
ἐν λίκνῳ τοῦτον τίθησι, βρεφέῳ κλινιδίῳ·
ἐλθὼν δ' ὁ Κρόνος ἐκφορᾷ τὸν λίθον ἀντὶ βρέφους,

V. 199. ἀστηνός.

Digitized by Google

καπαπτὰν δ' ἐξήμησεν ὃς ἐβεβρώκει πάλαι,
καὶ λίθον τὸν πελώριον ἐξήμησε σὺν ἄλλοις·
ὁ Ζεὺς δ' ἐλθὼν εἰς αὔξησιν, λαβὼν τὴν βασιλείαν,
τὸν Κρόνον μὲν εἰς Τάρταρον ἐμβάλλει τὸν πατέρα·
τὼς πατραδέλφως δὲ τὼς τρεῖς τὼς Κύκλωπας ἀνάγει,
ὑπὸ τῷ Κρόνῳ πρὶν αὐτὼς ἐκεῖσε δεδεμένως,
ὡς καὶ τὼς Ἑκατόγχειρας ὄντας ἐν τῷ Ταρτάρῳ,
καὶ συνεργὼς καὶ βοηθὼς ἐσχήκει τῶν πραγμάτων,
τὼς μὲν Βροντὴν καὶ Ἀστραπὴν αὐτῷ μηχανωμένως,
τὼς δὲ λοιπὼς εἰς πτόησιν Θεῶν τῶν ἐπιβώλων·
τὸν λίθον δ' ὃν κατέπιεν ὁ Κρόνος ἀντ' ἐκείνου,
εἰς τὸ μεσόμφαλον τῆς γῆς ἔθηκε τῆς Φωκίδος,
τιμᾷ δὲ πάντας τὼς Θεὼς τὼς τότῳ συνεργοῦντας,
τὴν Στύγα δὲ καὶ μάλιστα Θεῶν ὅρκον ποιήσας,
πρώτη γὰρ ἦλθε συνεργὸς σὺν τοῖς ἰδίοις τέκνοις·
Ἰαπετὸς δ' ὢν ἀδελφὸς ἄλλος, ὡς εἶπον, Κρόνου,
ἐκ Θυγατρὸς Ὠκεανοῦ Κλυμένης καλουμένης,
Ἄτλαντα, καὶ Μενοίτιον γεννᾷ καὶ Προμηθέα,
καὶ τὸν Ἐπιμηθέα τε τὸν σχόντα τὴν Πανδώραν·
ἣν πρώτην ἔπλασαν Θεοὶ γυναῖκα τοῖς ἀνθρώποις,
τοῦ Προμηθέως δ' ἦν γυνὴ κλῆσιν Ἀξιοθέα,
κατὰ δ' Αἰσχύλον τὸν σοφὸν τὴν κλῆσιν Ἡσιόνη,
ἣν δὲ γυνὴ καὶ ἀδελφὴ κατὰ ταὐτὸν τὰ δύο·
πάντας τιμήσας τοιγαροῦν ὁ Ζεὺς τὼς συνεργοῦντας,
Ἰαπετοῦ λελύπηκε παῖδας τοῦ πατραδέλφου,
ἐχθρὼς, ἀπατεῶνας τε τότῳ κακοῖς φανέντας·
καὶ τὸν μὲν Ἄτλαντα ποιεῖ τὸν Οὐρανὸν βαστάζειν,
καὶ κεραυνοῖ Μενοίτιον, δεσμεῖ τὸν Προμηθέα
εἰς ὄρος τὸ Καυκάσιον, κίονος δήσας μέσον,
ἦπαρ δὲ τότου ἀετὸς ἔτρωγε κατεσθίων·
πλὴν δὲ σῶον ἐν τῇ νυκτὶ γενόμενον τὸ ἦπαρ,

Digitized by Google

ἔργον προεῖχεν ἀετῷ τὸ τράγειν καὶ σπαράττειν,
ἕως αὐτὸν ὁ Ἡρακλῆς ἀπέκτεινε τοξεύσας,
τὸν Προμηθέα δὲ κακῆς ἀπέλυσε μερίμνης,
ταῦτα δ' ἦν πάσχων Προμηθεὺς ὑπὸ Διὸς τοιῷδε·
βῶν μέγαν (ποτὲ) θύσαντες περὶ τὴν συκιγόνην, Cod. σικιγ...
τὸν Προμηθέα μεριζῆν ποιοῦσι τῶν κρεάτων·
ἕτος δ' ὃς τὰ πιμελῆ δολίως συγκαλύψας,
εἰς τὰς ἑτέρας τῶν μοιρῶν ἕγκατα θεὶς τὰς σάρκας,
τὸν Δία παρηπάτησε, παρέσχε τὰ ὀστέα,
ὁ δὲ καὶ γνοὺς ἐδέξατο τοῦτον λυπῆσαι θέλων·
καὶ πρῶτον ἕτος μὲν τὸ πῦρ ἀπέκρυψε τελείως·
ὡς δὲ καὶ τοῦτο Προμηθεὺς δολίως ὑποκλέψας
ἐν νάρθηκι κατήγαγεν, ἔδωκε τοῖς ἀνθρώποις,
δεσμεῖ μὲν ὥσπερ εἴπομεν τοῦτον ὁ Ζεὺς Καυκάσῳ·
συμπλάσας καὶ γυναῖκα δὲ πρὸς βλάβην τῶν ἀνθρώπων,
πέπομφε ταύτην ὑφ' Ἑρμοῦ πρὸς τὸν Ἐπιμηθέα,
ἐξ ἧς ἐπλήσθη τῶν κακῶν ὡς λέγουσιν ὁ βίος.
Ἐγὼ νομίζω δὲ καλὰς ἁπάσας τὰς γυναῖκας,
πλὴν ὅσαι μελαγχίτωσιν αἰσχροῖς γαμοκλοπῦσι,
ὥσπερ ἡ νῦν ἡ Ἐρινὺς ἄλλη Γοργὼν θρασεῖα,
μονόπους καὶ μονόφθαλμος, ὥσπερ αἱ πρὶν Γοργόνες.
Οὕτως ὁ Ζεὺς παραλαβὼν τὴν Κρόνου βασιλείαν,
τιμὰς δορεῖται τοῖς Θεοῖς τοῖς τότῳ συνεργοῦσιν,
Ἰαπετὸν δὲ τιμωρεῖ τοὺς παῖδας ὥσπερ εἶπον·
ἐπεὶ δὲ τοῦτο πόλεμον ἀντῆραν οἱ Τιτᾶνες
δεκαετῶς μαχόμενοι καὶ λύσις ἐκ ἦν τότου,
ἀλλ' ἴσως ἦν τοῖς μέρεσι Θεῶν τε καὶ Τιτάνων,
ὁ Ζεὺς τοὺς Ἑκατόγχειρας καὶ Κύκλωπας σὺν τέτοις
ἔχων εἰς μάχην συνεργοὺς τῆς μάμμης Γῆς εἰπόσης,
νέκταρ κεράσας ηὔφρανε προπέμπων τρὸς τὴν μάχην,
καὶ συναράξας πόλεμον μετὰ μεγάλου κρότου,

Digitized by Google

τροπῦται καὶ τὺς Γίγαντας, τροπῦται τὺς Τιτᾶνας·
οἱ τρεῖς γὰρ Ἑκατόγχειρις δίχα τῶν ἄλλων πάντων
τριακοσίυς ἔρριπτον πέτρας εἰς τὺς Τιτᾶνας·
ὕτω περιγενόμενος τῇ μάχῃ τῶν Τιτάνων,
δεσμεῖ μὲν ἅπαντας αὐτὺς τῇ Γῇ καὶ τῷ Ταρτάρῳ,
Θύρας δ' ἐπέθηκεν αὐτοῖς ὁ Ποσειδῶν ἀῤῥήκτυς,
τὺς Ἑκατόγχειρας αὐτοῖς φύλακας ἐπισ-ήσας,
τὸν Κόττον καὶ τὸν Γύγην τε, τὸν δ' ἄλλον γαμβὸν ἔσχε
εἰς παῖδα Κυμοπόλειαν, τὴν ἐκ τῆς Ἀμφιτρίτης·
ἔμπροσθεν τέτων δὲ κινεῖ τὸν Οὐρανὸν ὁ Ἄτλας,
ὅπυ καὶ Νὺξ, Ἡμέρα τε ἀλλήλαις συναντῶσιν,
ὅπυ καὶ Θάλαμος ἐσ-ὶν Ἄδυ καὶ Περσεφόνης·
ὁ Κέρβερος φυλάσσει δὲ καὶ Στὺξ ἐκεῖσι ῥέει.
Ἐπεὶ δ' ὁ Ζεὺς ἐνίκησεν ὕσπερ Τιτᾶνας εἶπον,
ἡ Γῆ μιγεῖσα πρὸς ἰυνὴν ἔκτοτε τῷ Ταρτάρῳ,
τὸν ἑκατοντακέφαλον ἐγέννησε Τυφῶνα,
Θηρῶν ἁπάντων κεφαλὰς ἀγρίων κεκτημένον,
τέρας δεινὸν καὶ παμμιγὲς, ἵν' εἶπω κατ' Αἰσχύλον (a),
» δαναῖσι γαμφηλαῖσι συρίζον φόνυ,
» ἐξ ὀμμάτων δ' ἥσ-ραπτε γοργωπὸν σέλας·
ὕτος σονάπτει τῷ Διῒ πάλιν ἑτέραν μάχην,
κερυνωθεὶς δὲ καὶ αὐτὸς ἐκρύβη τῷ Ταρτάρῳ,
ἐξ ὕπερ πάντες οἱ σφοδροὶ γενυῶνται τῶν Ἀνέμων,
δίχα Ζεφύρυ καὶ Βορᾶ, Θιογενεῖς γὰρ ὕτοι.
Ὡς δὲ καθεῖλε κερυνοῖς πάντας ὁ Ζεὺς Τιτᾶνας,
καὶ μοναρχεῖν ἀπήρξατο πατρῷον λαβὼν κράτος,
τιμὰς πρεπύσας δὲ Θεοῖς νείμας τοῖς ὑρανίοις,
γυναῖκα πρώτην ἔσχηκε τὴν πατραδέλφην Μῆτιν·
σχῦσαν δὲ ταύτην ἐν γασ-ρὶ τὴν Ἀθηνᾶν ἐκ τύτυ,
φοβύμενος κατέπιε, τῆς μάμμης Γῆς εἰπύσης

(a) Prometh. v. 355., 356. et nota variantem in δαναῖσι.

Digitized by Google

τὸν ἐκ τῆς Μήτιδος υἱὸν λαβεῖν τὴν βασιλείαν·
χρόνῳ παραῤῥυέντος δὲ τῷ πρέποντος λοχείᾳ,
τὴν Ἀθηνᾶν ἐκ κορυφῆς γεννᾷ τοιαυτοτρόπως·
ὁ Ζεὺς συνὼν πρὶν τῷ πατρὶ λάθρα τῶν φυτοσπόρων,
τῇ ἀδελφῇ μιγνύμενος Ἥρᾳ μυχίῳ τρόπῳ,
Ἥφαιστον ἐχ ὀλόκληρον, ἀλλὰ χωλὸν λοχεύει,
ὃς τῷ Διὸς τὴν κεφαλὴν σχίσας ἐν τῷ πελέκει,
τὴν Ἀθηνᾶν ἐξήνεγκεν ἔνοπλον, οἰμωμένην,
ἕτως ὁ Ζεὺς ἐκ Μήτιδος τὴν Ἀθηνᾶν λοχεύει·
δευτέραν Θέμιν ἔγημε τὴν ἄλλην πατραδέλφην,
ἐξ ἧς Εἰρήνην, Δίκην τε γεννᾷ σὺν Εὐνομίᾳ,
τὰς τρεῖς ταύτας ἐγέννησεν ἐκ Θέμιδος τὰς Ὥρας,
τὴν Εὐρυνόμην ἔσχηκε τρίτην γυναῖκα πάλιν
Ὠκεανῷ τυγχάνουσαν τῷ πατραδέλφῳ κόρην·
ἐξ ἧς γεννᾷ τὰς Χάριτας τὰς πᾶσι θρυλλουμένας,
τὴν Ἀγλαΐαν, Θάλειαν, μετὰ τῆς Εὐφροσύνης·
τετάρτην δὲ τὴν Δήμητραν τὴν ἀδελφὴν λαμβάνει,
ἐξ ἧς τὴν Ἅδῃ σύνευνον γεννᾷ τὴν Περσεφόνην.

Γέννησις Μουσῶν καὶ τὰ ὀνόματα.

Ἐννέα δὲ μιγνύμενος νύκτας τῇ Μνημοσύνῃ,
τῇ πατραδέλφῃ τῇ αὐτῷ, καθὰ καὶ ταῖς ἑταίραις,
ἐν Πιερίᾳ τέτοκε τὰς Μούσας τὰς ἐννέα·
Κλειὼ καὶ τὴν Πολύμνιαν, τὴν Ἐρατὼ σὺν ταύταις,
Εὐτέρπην, Τερψιχόρην τε μετὰ τῆς Μελπομένης,
τὴν Οὐρανίαν, Θάλειαν, σύν γε τῇ Καλλιόπῃ·
Λητοῖ τῷ Κοίου θυγατρὶ μιγεὶς τῷ πατραδέλφῳ,
Ἀπόλλωνα καὶ Ἄρτεμιν παῖδας ἰδίους τίκτει·
ὕστερον σχὼν τὴν Ἥραν δὲ νομίμην συνευνέτην,
τὰς Εἰλειμένας (a) τε γεννᾷ, τὴν Ἥβην καὶ τὸν Ἄρην.

(a) Sic CC., at Hes. v. 297. εἱλείθυιαν. Vellem potius εἱλυμένας, cf. Lil. Gir. 341. 45.

Digitized by Google

Γέννησις Ἑρμοῦ.

Μαίᾳ τῇ Ἄτλαντος μιγεὶς πάλιν τῷ πατραδέλφῳ,
Ἑρμῆν γεννᾷ τὸν λόγιον ὄρει τῆς Ἀρκαδίας,
τὰς ἠρωΐδας δ' εἴποιμεν ὁπότε δέον λέγειν·
ὁ Ποσειδὼν δὲ τῷ Διὸς ὁ ἀδελφὸς πρὸς γάμον
τὴν Ἀμφιτρίτην ἐσχηκὼς Ὠκεανῷ τὴν παῖδα,
τὸν Εὐρυβίην ἔτεκεν κληρῦχον τῆς θαλάσσης,
σὺν τέτῳ Κυμοπόλειαν, ἣν εἶπον ἀνωτέρω.

Τίνας ἐξ Ἄρεος ἐγέννησεν Ἥφαιστος γυνὴ Ἀφροδίτη.

Τὴν Ἀφροδίτην Ἥφαιστος λαμβάνει δὲ γυναῖκα·
Ἄρης δ' αὐτῷ μιγνύμενος λαθραίᾳ συνουσίᾳ
Φόβον καὶ Δῆμον ἔτεκεν, ναὶ μὴν καὶ Ἁρμονίαν·
τῦτο μὲν γένος τῶν Θεῶν πῶν πάλαι θρυλλεμένων.
Ἀλλ' ἤδη καὶ σαφέστερα ἐν κεφαλαίῳ λέξω·
ἡ Γῆ τὸ πρὶν σὺν Οὐρανῷ Θεῶν ἐκυριάρχευν·
Κρόνος καὶ Ῥέα δεύτερον κατά τινας ἐκράτευν,
τὰ παιδαγόνα τῷ πατρὸς τεμόντες ἐν δρεπάνῳ,
κατὰ δὲ τὸν Λυκόφρονα καί τινας τῶν ἑτέρων,
μετὰ τὴν πτῶσιν Οὐρανοῦ καὶ τιμῆσιν τῶν μορίων,
Ὀφίων, Εὐρυνόμη τε λαμβάνουσι τὰ σκῆπτρα·
καὶ τέτους εἰς τὸν Τάρταρον πάλιν βαλὼν ὁ Κρόνος,
τρίτος τὸ σκῆπτρον ἔλαβεν, ἦρχε μετὰ τῆς Ῥέας·
ὁ Ζεὺς δὲ πάλιν τέταρτος τὸν Κρόνον ταρταρώσας,
μετὰ τῆς Ἥρας ἔσχηκε Θεῶν ἀρχὴν καὶ κράτος,
ἐξ ἧς καὶ παῖδας παιδεργεῖ τὸν Ἥφαιστον μοιχείως,
γάμοις νομίμοις πάλιν δὲ τὴν Ἥβην καὶ τὸν Ἄρην·
ἀλλὰ τὲς δώδεκα Θεὲς πρῶτον καλῶς σοι φράσω,
καὶ μετ' αὐτὲς τὲς ἀριστεῖς Ἑλλήνων τε καὶ Τρώων,
τίνων εἰσὶ πατέρων τε καὶ γενεᾶς ὁποίας,
καὶ τὶς ἐκ τέτων τῶν Θεῶν ἔσχηκε βιοχίαν,

Digitized by Google

καὶ πρῶτα μάθε τῶν Θεῶν τῶν δώδεκα τὴν κλῆσιν,
ἃς ἄλλως ἄλλοι λέγουσιν ὡς ϑεμιτὸν ἐκείνοις,
σὺ δέ μοι πρόσχες ἀκριβῶς καὶ μάθε τίνες ἔτοι.
Ζεύς, Ἀφροδίτη, Ποσειδὼν σὺν τούτοις καὶ Δημήτηρ,
Ἥρα Διὸς ἡ σύνευνος, καὶ παῖδες πάλιν τούτων,
Ἥβη καὶ Ἥφαιστος ὁμῶ, καὶ Ἄρης σὺν ἐκείνοις,
Λητὼ, Ἀπόλλων, Ἄρτεμις καὶ Ἀθηνᾶ σὺν τούτοις·
τούτους μοι γίνωσκε θεοὺς καλεῖν τῆς δωδεκάδος·
τῶν οὐρανίων τῶν Θεῶν Ἑρμῆν δε καὶ τὴν Ἶριν
ἀγγέλους γίνωσκε Θεῶν, μὴ δὲ θεοὺς τυγχάνειν.
τὴν Ῥέαν καὶ τὸν Κρόνον δε, τὸν Ἅδην, τοὺς Τιτᾶνας,
τὴν Θέτιδα καὶ τὰς λοιπὰς γίνωσκε Νηρηΐδας·
ἄλλας δὲ πάλιν γίνωσκε Δρυάδας καλουμένας,
ἄλλους δὲ κλήσεις ἔχοντας ἑτέρας πάλιν νόει·
τὸν Ἡρακλῆν, Διόνυσον, καὶ τοὺς τοιούτους πάντας,
ἥρωας γίνωσκε καλεῖν, μὴ δὲ θεούς μοι νόει,
τοὺς δώδεκα δ' οὓς εἴπομεν, ἔχε τῶν οὐρανίων·
ἐπεὶ Τιτᾶνας, Κύκλωπας, Ἑκατογχείρων γένος,
Κενταύρους τε καὶ Γίγαντας καὶ δαίμονας ἑτέρους,
ἀπειρομέτρους εὕρῃς ἄν, ἂν ἀριθμεῖν ἐϑέλῃς·
τούτους δὲ μόνους γίνωσκε εἶναι τῆς δωδεκάδος.
Ἀλλ' ἐπειδή περ εἴπομεν περὶ Θεῶν σοι ταῦτα,
φέρε μικρὸν διδάξωμεν καὶ περὶ τῶν ἡρώων
τῶν ἀριστέων στρατηγῶν Ἑλλήνων τε καὶ Τρώων,
καὶ τὸ ποσὸν τῆς στρατιᾶς εἴπωμεν ἀμφοτέρων.
Οἱ Τρῶες μὲν οἱ κάτοικοι χωρὶς τῶν συμμαχούντων,
σκευοποιῶν, ὑπηρετῶν καὶ τῶν μὴ μαχομένων,
πολεμισταὶ πεντήκοντα παρῆσαν χιλιάδες,
σύμμαχοι τριπλασίονες τῶν ἐγχωρίων ἦσαν·
Ἑλληνικὴν τε στρατιὰν τίς κατ' ἀξίαν γράψει;
τὸ πᾶν αὐτῶν τῆς στρατιᾶς τῆς τότε κινηθείσης,

Digitized by Google

ἀπόμαχον καὶ μάχιμον μετὰ τῶν σκευοφόρων,
ὑπηρετῶν καὶ τῶν λοιπῶν, καὶ τῶν ἀργῶν ἁπάντων,
εἰς χιλιάδας ἵστατο τὸ μέτρον δισχιλίας,
διακοσίοις δ' ἄλλοι τε πεντήκοντα πρὸς ταύταις·
οὗτος μὲν οὖν ὁ πληθυσμὸς Ἑλλήνων τε καὶ Τρώων.
Ἤδη δὲ λέξωμεν καλῶς περὶ τῶν βασιλέων,
καὶ τῶν ἀρίστων παρ' αὐτοῖς τίνες καὶ ποῖα γένη.
Πρίαμος Τρώων βασιλεὺς ἦν ἐν τοῖς τότε χρόνοις,
Ἑκάβην ἔχων σύζυγον, πεντήκοντα δὲ παῖδας·
ἀλλὰ πολλοὺς μὲν ἔσχηκεν ἀπὸ τῶν παλλακίδων,
μόνους ἐννεακαίδεκα γεννήσας ἐξ Ἑκάβης·
τὸν Ἕκτορα τὸν πρόμαχον, τὸν πῦργον τὸν τῆς Τροίας,
τὸν ἀστραφῆ τὸν κίονα Πίνδαρος (a) ὥς πε λέγει·
Ἀλέξανδρον τὸν ἅρπαγα τῆς δολερῆς Ἑλένης,
Ἕλενον καὶ Δηΐφοβον, Ἀγάθωνα, Πολίτην,
τὸν Αὐαγὸν, τὸν Αἰσακὸν, τὸν Πάμμονα σὺν τούτοις·
Τρώϊλον καὶ Ἀντίμαχον, Ἀντίφονον, Ἱππόθων,
Ἀλάστορα, Πολύδωρον, νεώτερον ἁπάντων·
καὶ θυγατέρας τέσσαρας σὺν τούτοις ἐκλοχεύει,
Κασάνδραν· Λαοδίκειαν· Κρέουσαν· Πολυξένην·
τοὺς νόθους παρεάσωμεν καὶ πάντων τοὺς προγόνους,
κἂν ὑπεσχέθην κατ' ἀρχὰς εἰπεῖν καὶ τοὺς προγόνους,
μήπως σε συνθολώσωμεν ἐκ τῆς πολυπληθείας·
σὺ γὰρ τῶν Τρώων στρατηγοὺς ζητεῖς καὶ τῶν Ἑλλήνων,
καὶ τούτων τὸν κατάλογον ποθεῖς ἀκοῦσαι μόνον·
ἂν δὲ καὶ τοὺς προπάτορας ἄρξωμαι τούτων λέγειν,
θολώσω πᾶσαν ἀκοὴν ἐκ τῆς πολυπληθείας,
καὶ Πτολεμαίου δέημα τότε βιβλιοθήκης,
ὡς ἂν τὰ γεννησόμενα τεθήσηται βιβλία·

(a) Olymp. II. v. 146., ubi ἀστραφῆ.

Digitized by Google

ἡμᾶς δὲ δαίμων Ἐρεννὺς μονόπους καὶ καπρόδους (a),
ἡ φύσις ἡ φιλόβρωμος, ἡ φίλαιμος καρδία (b),
ἡ θολερὰ καὶ σκοτεινὴ καὶ φιλομελαγχίτων,
τιμῶσα κατ' Αἰθίοπας μᾶλλον λευκοῦ τὸ μέλαν,
καὶ φῶς τὸ σκότος ὡς τυφλὴ κακῶς λογιζομένη,
ἐπιδεεῖς ἐποίησε μέχρι καὶ τῶν χαρτίων·
εἰ δέ τις με λαβρεύεσθαι ταῦτα νομίζῃ μάτην,
ὡς μὴ γινώσκοντα λελεῖν ἡρώων τοὺς προγόνους,
ἀπὸ τοῦ Χάους ἄρξομαι Πριάμου γένος λέγειν,
καὶ καταντήσας εἰς αὐτὰς τὰς ῥίζας τὰς ἐσχάτας,
παύσω τὸν λόγον τὸ λοιπόν, λέγω σοι τὰ χρειώδη·
εἰ δέ τις θέλει με μαθεῖν οἷος εἰμὶ τὴν φύσιν,
ὁπόταν τούτῳ βουλητόν, καλῶς μοι, πειρασάτω·
καὶ δὴ λαλεῖν ἀπάρχομαι τὸ γένος τοῦ Πριάμου.

Γένος Πριάμου.

Τὸ Χάος μὲν ἦν πρώτιστον πάντοσε κεχυμένον,
τοῦτο τὴν Γῆν ἐγέννησε, τὸν Οὐρανὸν ἡ Γῆ δὲ·
ᾧ καὶ μιγεῖσα περισσοὺς γεννᾷ μὲν ἄλλους παῖδας·
καὶ Κρόνον δὲ γεγέννηκεν ὅστις γεννᾷ τὸν Δία·
ὁ Ζεύς, Ἠλέκτρα συμμιγεὶς Ἄτλαντος καὶ Πλειόνης,
τὸν Δάρδανον ἐγέννησεν, ὃς Δαρδανίαν κτίζει·
ἐκ Θυγατρὸς Ἀρίσβας δὲ τοῦ Κρητικοῦ (sic) Σκαλάνδρου,
γεννᾷ τὸν Ἐριχθόνιον ἄνθρωπον ἱπποτρόφον,
ὃς τρισχιλίας μόνας μὲν εἶχε τοκάδας ἵππους,
πλὴν τῶν ζειρῶν καὶ τῶν λοιπῶν τῶν ἵππων τῶν ἀῤῥένων,
τῶν ὄνων, ἡμιόνων τε, καὶ τῶν λοιπῶν τῶν ζώων·
ὁ δ' Ἐριχθόνιος λαβὼν τὴν σύγγονον Ἰδέαν
τῶν Τρώων τὸν ὁμώνυμον ἐγέννησε τὸν Τρῶα·
Τρὼς Ἶλον, καὶ Ἀσάραγκον γεννᾷ καὶ Γανυμήδην,
καὶ Γανυμήδην μὲν ὁ Ζεὺς ἁρπάζει διὰ κάλλος,
πυγκέρνην τοῦτον τῶν Θεῶν μᾶλλον αὐτῷ ποιήσας·

(a) C. καμπρόδους. (b) C. φίλεκος, al. φίλεικος.

Digitized by Google

Ἴλος λαβὼν τὴν Ἴλιον πρὸς γάμου συνευσίαν,
γεννᾷ τὸν Λαομέδοντα καὶ δίδωσι τὸ κράτος·
τὴν Εἰρομένην (sic) δὲ λαβὼν Ἀσάραγκος γυναῖκα,
Κάπυν ἐκ ταύτης τέτοκεν Ἀγχίσου τὸν πατέρα·
ὁ Λαομέδων δὲ λαβὼν διπλᾶς γυναῖκας ταύτας
Λευκίππην ἅμα καὶ Στρυμνῶν, γεννᾷ καὶ τέκνα τάδε·
ἐκ τῆς Λευκίππης, ὥς φησιν ὁ (sic) Σύρος Φερεκύδης,
γεννᾷ τὸν Πρίαμον αὐτὸν μετὰ τῆς Ἡσιόνης,
τὸν Λάμπην, Ἱκετάονα συνάμα τῷ Κλυτίῳ,
ἐκ δὲ Ῥοιῆς (sic) τὸν Τιθωνὸν τὸν σύνευνον Ἠμέρας,
ὁ Κάπυς τὸν Ἀγχίσην τε· Ἀγχίσης τὸν Αἰνείαν
ἐξ Ἀφροδίτης τῆς Θεᾶς, ἐν Ἴδῃ μεγεὶς ταύτῃ·
ἐκ τῆς Ἑκάβης Πρίαμος τῆς Θυγατρὸς Κισσέως,
τὸν Ἕκτορα γεγέννηκε καὶ τὲς λοιπὲς ὡς εἶπον·
Ἕκτωρ πρὸς Ἀνδρομάχην δὲ πάλιν λαβὼν γυναῖκα
τὴν παῖδα Ἠετίωνος Κιλίκων βασιλέως,
γεννᾷ τὸν Ἀστυάνακτα, Λαόδαμον σὺν τούτῳ·
Αἰνείας δὲ τὴν Κρέουσαν λαβὼν τὴν τῦ Πριάμου,
ἐκ ταύτης τὸν Ἀσκάνιον φίλον υἱὸν ἐσχήκει·
εἰς δὲ Λατίνους ἀπελθὼν, μετὰ τὰ κατὰ Τροίαν,
Λαβινοῖαν ἔλαβε Λατίνου Θυγατέρα,
ἥτις τὸν Σίλβιον γεννᾷ· καὶ Σίλβιος Αἰνείαν·
Λατίνου παῖς Ἀρώνυμος· καὶ τούτου πάλιν ἄλλος·
ὗτος δὲ πάλιν ἔτεκε Λατῖνον ὁ Αἰνείας·
ἐκ τούτου τις ὀνομαστὸς γέγονε Τιβερῖνος,
ὅστις πεσὼν εἰς ποταμὸν Ἀλβῶνον κυνηγίαις,
Τίβεριν ὄνομα ποιεῖ τὸν ποταμὸν καλεῖσθαι·
τῦ Τιβερίνου δὲ υἱὸς Ἀμύλιος γεννᾶται,
ὅστις ἐναποπνίγεται μέσον τῶν βασιλέων,
ἐπικλυσάσης ἀρνηδὸν τῆς λίμνης τῆς ἐκεῖσε·
υἱὸς δὲ τούτων γέγονεν γενναῖος Ἀβεντῖνος,



Digitized by Google

ὃς ἀνῃρέθη πολεμῶν τῷ δ' Ἀβεντένου παῖδες
Νομήτωρ καὶ Ἀμύλιος· πρότερος δ' ἦν Νομήτωρ,
ὃν ἐξελὼν Ἀμύλιος, κρατεῖ τῆς βασιλείας,
φονεύσας τέτου τὸν υἱὸν ἐν τοῖς κυνηγεσίοις·
καὶ θυγατέρα δὲ αὐτῷ τὴν Σίλουιαν ἡ Ῥέαν,
εἴτε κατ' ἄλλους δέ τινας Ἰλίαν καλουμένην,
ἱέρειαν ἐποίησεν ὅπως παρθένος μένῃ·
ἡ δὲ, τὸ πρῶτον, ἔγγυος, ἐκ οἶδα, γενομένη,
Ῥώμῳ, Ῥωμύλον τε γεννᾷ, δύο τῆς Ῥώμης πύργους·
οἳ πρῶτον τὸν Ἀμύλιον κτείναντες τὸν κρατοῦντα,
τὸν πάππον τὸν Νομήτορα παῖσι βασιλέα·
καὶ τὴν μητέρα ταῖς τιμαῖς τιμήσαντες αἷς δέον,
τὴν Ῥώμην τὴν ἐξάκουστον κτίζουσι καὶ βαθρῶσι·
Ῥῶμος δὲ θνήσκει παρευθὺ τῆς Ῥώμης κτιζομένης,
Ῥώμυλος πάλιν ὕστερον ἐν θέλαις ἀναιρεῖται,
ἑπτά τε καὶ τριάκοντα τοῖς χρόνοις βασιλεύσας·
παιδίον δ' ἐκ ἠφίετο Ῥωμύλῳ τῷ γενναίῳ,
ἀλλ' ἅπαις ἐτελεύτησε καὶ Νουμᾶς βασιλεύει.

Θέλεις σαὶ παρελπύσομεν ἔτω τὸ γένος σύμπαν;
ἀλλ' ἀπρεπές σε καὶ βαρὺ φανήσεται τελείως·
σὺ γὰρ τὰς στρατηγὰς ζητεῖς Ἑλλήνων τε καὶ Τρώων,
τὰ δ' ἄλλα τὰ περίεργα, κόπου καὶ πόνου πλέα,
καὶ τοῖς ἀκροωμένοις μὲν, τοῖς γράφουσι δὲ πλέον,
καὶ μᾶλλον πατγνιώδεσι τοῖς στίχοις γεγραφότ·
ναρκᾷν γὰρ εἴωθε ψυχὴ πρᾶγμα ποιοῦσα μέγα,
ὅταν, ἐν οἷς πέφυκεν, ἐπαίνων ἐπαξία
μᾶλλον θοκῇ τι μωμητὸν ποιεῖν τοῖς μωμοσκόποις,
μὴ πρὸς αὐτὸ προσβλέψασι τὸ τῆς οἰκονομίας·
καὶ δὴ λοιπὸν τὰ περιττὰ τῆς ὑφηγησίας
ἐάσας γράφειν ἀπρεπῶς συγγράμμασι παθόντων,
τὰ καιριώτατα σαφῶς ἐν τούτοις διαγράφω

Digitized by Google

τὰ δ' ἄλλα δέονται καιρῷ καὶ ἐίχων τῶν ἠρώων,
καὶ μᾶλλον περισσότερον καὶ γλώσσης εὐθυμούσης,
καὶ δὴ χωρῶ πρὸς τὸν εἰρμὸν, σὺ δὲ καλῶς μοι πρόσχες
Ἦν μὲν τῶν Τρώων βασιλεὺς ὁ Πρίαμος, ὃν εἶπον,
Ἑκάβην ἔχων σύνευνον, καὶ παῖδας τοὺς ῥηθέντας·
τὸν Ἕκτορα δὲ μάλιστα πύργον τῆς Τροίας εἶχεν,
καὶ τὸν Αἰνείαν μετ' αὐτὸν γαμβρὸν ἐπὶ Κρείσῃ,
εἶχε τὸν Ἑλικάονα γαμβρὸν εἰς Λασθένην,
εἶχε τὲς Ἑλικάονας τέτως συναίμους τούσδε,
Ἀρχέλοχον, Ἀκάμαντα καὶ Κύωνα σὺν τέτοις,
μεθ' ὧν τὸν Ἰφιδάμαντα, τῆς Θεανῦς τὲς παῖδας
τῆς γυναικὸς Ἀντήνορος Ἑκάβης ἀδελφῆς τε,
ἦν ὁ Λυκάονος υἱὸς, ὁ Πάνδαρος τοξότης,
ἦν Ἄδραστος καὶ Ἄμφιος σύμμαχος φίλος Τρώων·
ἦν σὺν αὐτοῖς καὶ Ἄσιος υἱὸς ὁ τῆ Ὑτάκε·
Ἱππόθοος καὶ Πύλαιος Εὔφημος καὶ Ἀκάμας·
ὁ Δῖος καὶ Ἐπίστροφος Πυραίχμης, Πυλαιμένης·
ὁ Χρόμις, καὶ ὁ Ἔννομος Ἀσκάνιος καὶ Φόρκυς·
ὁ Μέθλης τε καὶ Ἄντιφος Ἀμφίμαχος καὶ Νάστης·
ἀλλ' οὗτοι μὲν ἀνώνυμοι καὶ τῶν σὺ χρειωδῶν σοι.
Τοὺς Πριαμίδας γίνωσκε καὶ τοὺς γαμβροὺς ἐκείνε,
καὶ τὸν τοξότην Πάνδαρον ὃν εἶπον ἀνωτέρω,
ὀνομαστοὶ γὰρ ἅπαντες οὗτοι καὶ σοὶ χρειώδεις·
καὶ σὺν αὐτοῖς μοι γίνωσκε Γλαῦκον καὶ Σαρπηδόνα,
τὸν Γλαῦκον ἔχοντα χρυσῆν πᾶσαν τὴν πανοπλίαν,
τὸν Σαρπηδόνα δὲ Διὸς ὄντα γενναῖον παῖδα,
ἀπὸ Πατάρων βοηθοὺς ἐλθόντας τῷ Πριάμῳ·
ἦν δὲ καὶ μάντις τοῖς Τρωσὶν Ἕλενος παῖς Πριάμε,
καὶ Πολυδάμας σύγχρονος τοῦ Ἕκτορος ὑπάρχων,
καὶ μὴν Κασσάνδρα σὺν αὐτοῖς ἡ παῖς ἡ τῆ Πριάμε,
ἀλλ' εἶχον ἅπαντες αὐτὴν ὥσπερ ἐξεστηκυῖαν·

Digitized by Google

τῆς Ἀθηνᾶς ἱέρεια ἡ Θεανὼ ὑπῆρχεν,
Ἡφαίστου πάλιν ἱερεὺς ἦν ἐν Τρωσὶν ὁ Δάρης·
καὶ Παντερπής τις ἰατρὸς ἦν ἐν τῇ Τροίᾳ τότε·
ἦσαν ἐν τούτοις ἄριστοι γέροντες βελτηρόροι,
οἱ τρεῖς Πριάμου ἀδελφοί, οὕστερ καὶ πρώην εἶπον,
ὁ Λάμπης, Ἱκετάων τε, συνάμα τῷ Κλυτίῳ,
καὶ τῷ Πριάμου σύγγαμβροι Θυμοίτης καὶ Ἀντήνωρ,
Κίλλαν Ἑκάβης ἀδελφὴν εἶχε γὰρ ὁ Θυμοίτης·
ὁ δ' αὖ Ἀντήνωρ, Θεανώ, καθὼς καὶ πρώην ἔφην,
καὶ Οἰκαλέγων σὺν αὐτοῖς ἦν ἄλλος δημογέρων,
καὶ Πάνθους Πολυδάμαντος πατὴρ καὶ τοῦ Εὐφόρβου,
ὃς χρυσοκόμος Εὔφορβος ὑπάρχων ὑπὲρ φύσιν,
καὶ χρυσοκαταδέσμητον εἶχεν αὐτῷ τὴν κόμην,
καὶ πολεμῶν καὶ καρτερῶν πόνους ἐν τοῖς πολέμοις,
ὡς Ὅμηρος παρίστησι τὸν νέον διαγράφων·
ὁ δὲ σοφότατος Ὀρφεὺς τοῦτον ὑπερεξαίρων,
λέγων ποθεῖν τοὺς σύμπαντας πορεύεσθαι σὺν τούτῳ.
Οὗτοι μὲν ἦσαν σύμμαχοι τῶν Τρώων τοῖς πρὶν χρόνοις,
καὶ τῶν Ἑκάβης ἀδελφῶν Ὀτρέως καὶ Μυγδόνης,
καὶ τῶν Πριάμου ἀδελφῶν ἦσαν οἱ παῖδες πάντες,
Κόρυβος καὶ Μελάνετος, καὶ Δόλωψ καὶ Καλήτως.
ἐν τοῖς ὑστέροις χρόνοις δὲ καὶ Ῥῆσος ἀπὸ Θράκης
ἦλθε τῶν Τρώων σύμμαχος, πολὺν στρατὸν ἐπάγων,
χρυσῆν μὲν ἔχων ἅπασαν αὐτῷ τὴν πανοπλίαν,
ἵππους δὲ χιονόχροας κώδωσι κροτουμένους,
τὸ δ' ἅρμα τούτου παντερπνὲς χρυσῷ κεκολλημένος·
ἦλθε καί τις Ὀθρυονεὺς ὑποσχεθεὶς Πριάμῳ
ἅκοντας πάντας Ἕλληνας τῆς Τροίας ἐξελάσαι,
ἂν τὴν Κασσάνδραν Πρίαμος τούτῳ πρὸς γάμον δώσει·
ἦλθεν ἡ Πενθεσίλεια, τοῦ Ἕκτορος θανόντος,
τῶν Ἀμαζόνων δέσποινα, παρθένος οὖσα κόρη·

Digitized by Google

μικρὰ μετὰ τὸν Θάνατον φὸν τῆς Πενθεσιλείας
ἦλθε Πριάμῳ συμμαχῶν ἀνεψιὸς ὁ Μέμνων,
υἱὸς ὑπάρχων Τιθωνοῦ τοῦ ἀδελφοῦ Πριάμου,
ἦν οὗτος μὲν γὰρ βασιλεὺς ἀνδρῶν τῶν Αἰθιόπων·
ἦλθε σὺν τούτῳ βασιλεὺς Ἰνδῶν ὁ Πολυδάμας,
καὶ Αἰθιόπων καὶ Ἰνδῶν πληρῶσι πᾶν πεδίον·
καὶ μετ' αὐτοὺς Εὐρύπυλος ἦλθε υἱὸς Τηλέφου·
οὗτοι μὲν ἦσαν σύμμαχοι καὶ Τρώων ἡγεμόνες.
Νῦν δὲ καὶ πρὸς τοὺς Ἕλληνας μετάξωμεν τὸν λόγον·
ἦν Ἀγαμέμνων βασιλεὺς ἁπάντων τῶν Ἑλλήνων·
ἦν ἀδελφὸς Μενέλαως τῆ τούτου βασιλέως·
ἦν τῷ μὲν Ἀγαμέμνονι σύνευνος Κλυτεμνήστρα,
ἐξ ἧς παῖδες γεγόνασι τρεῖς τούτῳ θυγατέρες,
Χρυσόθεμις, Λαοδίκη, καὶ ἡ Ἰφιάνασσα,
Ὀρέστης μόνος δὲ υἱὸς σὺν ταῖς τρισὶν ἐκείναις·
τῷ Μενελάῳ δὲ πικρὰ σύνευνος ἦν Ἑλένη,
τῆς Κλυτεμνήστρας ἀδελφὴ καὶ σύννυμφος κακίστη,
δι' ἧς ὁ μέγας πόλεμος Ἕλλησιν ἀνερράγη,
ἐκ ταύτης μόνην ἔσχηκε παῖδα τὴν Ἑρμιόνην·
ἄλλοι δὲ καὶ Νικόστρατον φασὶ καὶ Αἰθιόλον·
ἐκ δούλης πάλιν δέ τινος γεννᾷ τὴν Μεγαπένθην·
ἐξ Ἀλεξάνδρᾳ δ' ἔτεκεν Ἑλένη τούσδε παῖδας,
τὸν Βούνικον καὶ Κόρυθον, Ἄγανον καὶ Ἰδαῖον.
Ἀλλ' ἄρτι νῦν κατέλεξα περὶ τῶν βασιλέων,
ἤδη (νῦν) γράφειν ἄρχομαι καὶ περὶ τῶν ἀρίστων.
Ἦν Ἀχιλεὺς ὁ κράτιστος ἁπάντων τῶν Ἑλλήνων,
υἱὸς θεᾶς τῆς Θέτιδος, ἀνθρώπῳ δὲ Πηλέως,
καὶ γὰρ πρῶτον σοὶ μυθικῶς εἶπον σοὶ γεγραφέναι,
ὃν Χείρων ἐξεπαίδευσεν ὁ Κένταυρος καλλίστως,
ἄνθρωπος ὢν ἱππομιγείς, ἄγριος, δασυχαίτης·
παιδαγωγὸς ἦν Ἀχιλεῖ Φοῖνιξ Ἀμυντορίδης·

Digitized by Google

στρατάρχης δ' ἦν ὁ Πάτροκλος ὁ συγγενὴς καὶ φίλος,
τοῦ Μενοιτίου δ' ἦν υἱὸς, μητρὸς δὲ Φιλομήλας,
στρατοπεδεύων τὸν στρατὸν πάντα τὸν Ἀχιλέως·
παῖς ἦν ὡραῖος Ἀχιλεῖ ἐκ τῆς Δηϊδαμείης
ὁ Πύρρος Νεοπτόλεμος, ὅστις πορθεῖ τὴν Τροίαν·
ἦσαν ἕτεροι σύμμαχοι κράτιστοι τῶν Ἑλλήνων,
Αἴας ὁ Τελαμώνιος πύργος ἐμψυχωμένος,
καὶ τούτου Τεῦκρος ἀδελφὸς, υἱοὶ τοῦ Τελαμῶνος,
καὶ Ἀχιλέως συγγενὴς ἐκ τῶν ἀδελφοπαίδων·
ὁ γὰρ Πηλεὺς ἦν ἀδελφὸς καὶ Τελαμὼν καὶ Φῶκος,
καὶ Φῶκος μὲν ἐγέννησεν υἱὸν τὸν Πανοπέα,
τοῦ Πανοπέως Ἐπειὸς ἀνὴρ ἁρμοστίχνης,
ὅστις τοῖς Ἕλλησι ποιεῖ τὸν δούρειον τὸν ἵππον·
ὁ δὲ Πηλεὺς ὡς εἴπομεν γεννᾷ τὸ Ἀχιλέα,
καὶ Νεοπτόλεμον αὐτὸς ἐκ τῆς Δηϊδαμείας·
ὁ Τελαμὼν τὸν Αἴαντα τοῦτον γεννᾷ τὸν μέγαν
ἐξ Ἐριβοίας γυναικὸς, Τεῦκρον ἐξ Ἡσιόνης.

Digitized by Google

Vers. 1. Τὸ προοίμιον πρὸς τὸ κελεῦσαν πρόσωπον ἄψασθαι ταύτης τῆς συγγραφῆς.

V. 12. Διὰ τὸ εἶναι Χρύσην ἀστρολόγου καὶ μάγου, ἱερέα τῆ 'Απόλλωνος, ἤτοι τῆ Διὸς ἔλεγον.

V. 32. 'Απόδοσις, ἣν ψευδῶς τινὲς καὶ ἀξίωσιν καλοῦσιν.

V. 35. 'Αξίωσις.

V. 37. Βάσις.

V. 41. Ἡ κατὰ ῥήτορας προέκθεσις τῶν κεφαλαίων καὶ προκατάστασις λεγομένη, καὶ ὑπόσχισις· κατὰ δὲ ποιητὰς προθεωρία καὶ προϋφήγησις, ἤτοι προδιήγησις· κἂν οἱ ῥήτορες ἄλλως φασὶ τὴν προδιήγησιν.

V. 58. Ὅτι περὶ μόνῃ τῇ Σμύρνῃ καλεῖται Μέλης ποταμὸς, ὃν οἱ πλείους φασὶν εἶναι 'Ομήρου πατέρα.

V. 64. Δηροῦσιν εἶπον, ὅτι ὁ 'Οδυσσέως Τηλέμαχος ὕστερος ἦν 'Ομήρου, ὡς δῆλον ἐκ τῆ χρόνου Προναπίδου τῆ 'Ομήρου διδασκάλε, ὃς ἦν τρίτος ἀπὸ Κάδμου· Ὅμηρος δὲ τέταρτος· ὁ Θάμυρις δὲ πάλιν παλαιὸς, ἦν ἰσόχρονος Κάδμου, πάππος Ὀρφέως, Ὀρφεὺς δὲ Μενίππου υἱὸς ἦν τῆς Θαμυρίδος θυγατρός· κἂν ἀλληγορικῶς τῆς Καλλιόπης υἱὸς λέγεται.

V. 107. Ad voc. Ἐπὶ τῶν δύο - Τετέσι ἀπὸ τοῦ χρόνου τοῦ Προναπίδου τοῦ 'Ομήρου διδασκάλου· τρίτος γὰρ ἦν ἀπὸ Κάδμου Προναπίδης· Ὅμηρος δὲ τέταρτος. ἦγεν ἐπὶ Λαΐου καὶ Οἰδίποδος, ἐξαρκέσας μέχρι τῶν Τροϊκῶν καὶ κατωτέρω.

V. 109. Ad voc. Τοῦτο (ὁ κυκλογάφος) - Τὸ ὅτι ἐπὶ τῶν δύο ἦν στρατειῶν· τὰ γὰρ περὶ Προναπίδου ὁ Σκελὸς Διόδωρος ἱστορεῖ.

Digitized by Google

V. 217. Ad voc. Ψευδές - Ψευδὲς τοῦτο μόνον ἐστὶ, ὅτι Ἀλέξανδρος ἐν τοῖς Ἀχιλέως πατρὸς γάμοις Πηλέως ἔκρινε τὰς Θεάς.

V. 219. Ad voc. Ἀχιλέως - Τὸ Ἀχιλεὺς δι' ἑνὸς λάμβδα ἔγωγε γράφω.

V. 246. Ad voc. Ἰωάννης - Τοὐπίκλην ὁ Μαλέλας.

V. 274. Ad voc. Παντεργάτην - Σημείωσαι ὅτι τὸ πῦρ Ἥφαιστος λέγεται παντεργάτης· καὶ τὸ πῦρ υἱὸς Ἥρας, ἤτοι τοῦ αἰθερώδους καὶ λεπτοτέρους ἀέρος, ὡς Τρυφιόδωρος ἐν τῇ ἀλώσει φησί - (v. 234.) Μῆτερ ἀθανάτοιο πυρὸς φαεσίμβροτος Ἥρη.

V. 284. Ad voc. Διὶ - Ζεὺς, ὁ καθαρὸς ἀὴρ, καὶ τὸ ἄνω ἡμισφαίριον· Κρόνος δὲ ὁ ζοφώδης ἀὴρ, καὶ τὸ κάτω ἡμισφαίριον.

V. 314. Ἐπεὶ δὲ περὶ Διὸς καὶ τῶν λοιπῶν ἀλληγορῆμεν, δεῖ πρῶτον εἰπεῖν ποσαχῶς τὸ Θεὸς λαμβάνεται. Τὸ Θεὸς ἀνονύμως κείμενον ἐπὶ πέντε σημαινομένων λαμβάνεται· σημαίνει γὰρ σοφοὺς, βασιλεῖς, τὰ στοιχεῖα, πῦρ, ὕδωρ, γῆν, καὶ ἀέρα, τὴν ἐξ ἀστέρων εἱμαρμένην· ἤγεν αὐτὲς τοὺς ἀστέρας· καὶ πέμπτον τὰς ψυχικὰς δυνάμεις καὶ τὰ πάθη, οἷον φρόνησιν, γνῶσιν, ἀνδρείαν, ἤτοι τόλμαν· πάθη δὲ, οἷον ὀργὴν, ἐπιθυμίαν, καὶ τὰ τοιαῦτα σημαίνει· καὶ ἔκτον, τὴν φύσιν· αλλ' ἐγὼ οκ ἐθέλω διαμάχεσθαι Ἐμπεδοκλεῖ τῷ φυσικῷ λέγοντι (v. 107.) μὴ εἶναι φύσιν τὸ παράπαν, ἀλλὰ μίξιν διάλλαξίν τε μιγέντων· πέντε μὲν οὕτως ἀνωνύμως κείμενον τὸ Θεὸς σημαίνει· ἓν δὲ ἕκαστον ὄνομα τῶν Θεῶν κείμενον ὡς ἐπὶ τὸ πλεῖστον, τρία σημαίνει· ἢ πραγματικῶς γὰρ, ἢ ψυχικῶς, ἢ στοιχειακῶς νοεῖται, οἷον Ἥρα, Ἀθηνᾶ, Ἀφροδίτη, Ἑρμῆς, Ζεὺς, Κρόνος, Ἀπόλλων, Ποσειδῶν, Ἥφαιστος, καὶ τὰ λοιπὰ τῶν ὀνομάτων· πραγματικῶς μὲν βασιλεῖς, εἰ ἁπλῶς ἀνθρώπους τὲς αὐτὲς

Digitized by Google

τινὲς δηλοῦσι ψυχικῶς δὲ, Ἥρα μὲν νοεῖται ψυχὴ, ἢ ἀνδρεία· Ἀθηνᾶ, φρόνησις· Ἀφροδίτη, ἐπιθυμία· Ἑρμῆς, ὁ προφορικὸς λόγος· Ζεὺς, ὁ νοῦς· Κρόνος, ἡ ἀνοησία. καὶ τοῦ νοῦ συνθόλωσις· Ἀπόλλων, ὁ ἡλιοειδὴς (ἡλιώδης) καὶ τεχνασμένος, καὶ λαμπρὸς, καὶ ῥητορικώτατος, ἢ φιλόσοφος λόγος· Ποσειδῶν, ὁ ἐπιγενόμενος ἁρμοδίως θυμὸς, ὥσπερ ἡ θάλασσα ὅταν ὑπὸ πνευμάτων ταράττηται· Ἄρης δὲ, ὁ διάπυρος θυμὸς, καὶ ἀλόγιστος, καὶ φονικός· Ἥφαιστος, ἡ ἐκ τοῦ αἵματος ἀναθυμίασις ἡ θερώδης καὶ καθαρωτάτη· ἥτις ἀνεχομένη διὰ τῶν καρωτίδων ἀρτηριῶν, πελέκει πλήττει τὴν κορυφὴν τοῦ Διὸς, καὶ τὴν Ἀθηνᾶν παρασκευάζει γεννᾶν· τουτέστι συγκερανῦσα τὸν ἐγκέφαλον ἐξάγειν ποιεῖ τὰ φρονήματα· στοιχειακῶς δὲ Ἥρα νοεῖται ὁ λεπτομερὴς ἀὴρ, ἤγουν αἰθήρ· Ἀθηνᾶ, ὁ προσγειότερος καὶ παχύτερος ἀὴρ, ὁ ἀπὸ σελήνης μέχρι γῆς διῆκνούμενος· Ἀφροδίτη, ἡ στοιχειακὴ εὐκρασία· Ἑρμῆς καὶ Ἄρης, τὰ ἐν τῷ ἀέρι διατρέχοντα πυρώδη σέλα· οἷον κομῆται καὶ τὰ τοιαῦτα· Ζεὺς, ὁ καθαρὸς ἀὴρ, καὶ τὸ ἄνω ἡμισφαίριον· Κρόνος, ὁ ζοφώδης ἀὴρ, καὶ τὸ κάτω ἡμισφαίριον· Ἀπόλλων, ὁ ἥλιος· Ποσειδῶν, ἡ θάλασσα, ὡς καὶ Θέτις, καὶ Νηρεὺς καὶ Φόρκυς, καὶ Τρίτων, καὶ Ἀμφιτρίτη, καὶ Τηθῦς καὶ ἕτερα (Τηθῦς κατά τινας ἡ γῆ ἐστιν)· Ἥφαιστος δὲ, τὸ καθαρτικὸν, καὶ καθαρὸν πῦρ, καὶ κερασικὸν τῆς τῶν στοιχείων συγχύσεως· ὃ καὶ ἔρως καλεῖται· καὶ τούτων τὰ πλείονα οὕτως ὡς εἶπον τρία σημαίνει· τινὰ δὲ καὶ πλεοναχῶς νοεῖται· ὁ Ζεὺς γὰρ σημαίνει πρὸς τοῖς τρισὶν οἷς εἶπον καὶ τὸν ἀστέρα τὸν πλανήτην, καὶ αὐτὸν τὸν ἥλιον, καὶ τὸν ὅλον οὐρανὸν, καὶ τὸν αἰθέρα μόνον, καὶ τὸν ἀέρα ποτὲ καὶ τὸ νεφῶδες κατάστημα, καὶ αὐτὴν τὴν εἱμαρμένην, ὡς ἀρέσκει τοῖς Στωϊκοῖς. Δέον οὖν ταῦτα καλῶς εἰδέναι σε

Digitized by Google

πόσα τούτοις τὰ σημαινόμενα, καὶ πρὸς τὸ οἰκεῖον ἀλληγορεῖν τὸ καθέκαστον· καὶ οὐκ ἂν διαμάρτοις, πραγματικῶς μὲν τὸ πραγματικόν· ψυχικῶς δὲ ψυχικόν· καὶ τὸ στοιχειακὸν πάλιν στοιχειακῶς· ἀρκεῖ γὰρ τοῦτο καὶ μόνον διδάξαι σοι τὸ χωρίον, τὰ περὶ θεῶν ἀλληγορεῖν· εἰ προσεκτικώτερον ἐπισήσεις τούτῳ τὸν νοῦν, καὶ μὴ παρέργως αὐτὸ παραδράμῃς ὡς περιττόν.

V. 341. Ad voc. Τρωϊκήν - Ἤγουν τὸν Ἀλέξανδρον ἀπὸ Παρίδα.

V. 354. Ad voc. Κατρεΐ - Τῆς Μενελάου καὶ Ἀγαμέμνονος μητρὸς Ἀερόπης καὶ Κλυμένης τῆς μητρὸς Παλαμήδα, πατὴρ ἦν ὁ Κατρεὺς ἐκ Κρήτης τῆς νήσου.

V. 365. Ad voc. Ἀκανθυλίδας - Τὰς στραγγαλίνας, παρὰ τὸ ἐν ἀκάνθαις διάγειν· στραγγαλῖνοι δὲ διὰ τὸ ποικίλον λέγονται ἀπὸ Ῥωμαϊκῆς ἐσθῆτος λεγομένης στραγγαλίας· ἢ μᾶλλον τοὐναντίον ἡ ἐσθὴς ἀπὸ τῶν ζώων (al. τοῦ ζῳ) ἐκλήθη.

V. 384. Ad voc. Αἴθρας - Ἡ Αἴθρα τῷ Θησέως ἦν μήτηρ, τοῦ πρώην ἐπταετῆ τὴν Ἑλένην ἁρπάξαντος· ὅτε δὲ καὶ Κάστωρ καὶ Πολυδεύκης οἱ τῆς Ἑλένης ἐστράτευσαν ἀδελφοὶ κατὰ Θησέως, σὺδένα τῶν Ἀθηναίων ἐλυμήναντο· μόνην δὲ τὴν ἑαυτῶν ἀδελφὴν Ἑλένην ἐπανεσώσαντο· καὶ ταύτην τὴν Αἴθραν σὺν αὐτῇ ᾐχμαλώτευσαν· ἥτις Αἴθρα τὴν μετ' Ἀλεξάνδρου φυγὴν τῆς Ἑλένης εἰς Τροίαν ἐπραγματεύσατο.

V. 388. Ad voc. Σιδωνίας - Σημείωσαι ὅτι ἥρπαξεν Ἀλέξανδρος καὶ ἀπὸ Σιδῶνος γυναῖκας· περὶ ὧν Ὅμηρος ἐν ζ' ῥαψῳδίᾳ λόγον ποιεῖται λέγων, (Il. VI. v. 289, 92).

Ἔνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν
Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς

Digitized by Google

ἤγαγε Σιδονίηθεν, ἐπιπλὼς εὐρέα πόντον,
τὴν ὁδὸν, ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν.

V. 405. Ad voc. Οὓς τίς - Σημείωσαι πῶς οἱ μετὰ Μενελάου πρεσβεύοντες τοῖς Τρωσὶν, ὑπ' Ἀντιμάχου ἔμελλον ἀναιρεθῆναι. ὡς καὶ ὁ Ὅμηρος ἐν τῇ λάμβδα μέμνηται ῥαψῳδίᾳ λέγων, (Il. XI. v. 138, 42).

Εἰ μὲν δὴ Ἀντιμάχοιο δαΐφρονος υἱέες ἐσὸν,
ὅς ποτ' ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν,
ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσσῆϊ,
αὖθι κατακτεῖναι, μὴ δ' ἐξέμεν ἆψ ἐς Ἀχαιάς·
νῦν μὲν δὴ τῶ πατρὸς ἀεικέα τίσετε λώβην.

V. 407. Ad voc. Ἀντήνωρ - Ὅτι Ἀντήνωρ τὸς μετὰ Μενελάου πρέσβεις ἐδέξατο, καὶ Ὅμηρος τῇ γάμμα ῥαψῳδίᾳ φησὶ, (Il. III. v. 203, 7).

Τὴν δ' αὖτ' Ἀντήνωρ πεπνυμένος ἀντίον ηὔδα·
ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος νεμερτὲς ἔειπας·
ἤδη γὰρ καὶ δεῦρο ποτ' ἦλυθε δῖος Ὀδυσσεὺς,
σεῦ ἕνεκ' ἀγγελίης σὺν Ἀρηϊφίλῳ Μενελάῳ·
τοὺς δ' ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα.

Οὕτως ἐγὼ ἀπὸ ςήθους πάντα εἰδὼς, καὶ τὰ διεσπαρμένα διαφόροις τέχναις συνάγων, καὶ τοῖς οἰκείοις προσφυῶς προσκαλῶν καὶ εὐκρινῆ τὸν λόγον ποιῶν, τοὺς ἀκροατὰς οὐ συγχέω, καθάπερ τινὲς τὰ πρῶτα ὑςέρως καὶ πρώτως τὰ ὕςερα λέγοντες· τινὰ δὲ μόνον ἀποφθεγγόμενοι ἀμυδρῶς καθάπερ αἰνίγματα.

V. 415. Ad voc. Ὅρκους - Ὅρκοι γὰρ προέβησαν τῶν Ἑλλήνων, μνηςευομένων τὴν Ἑλένην πρὸς Τυνδάρεων τὸν αὐτῆς πατέρα, ἐκςρατεύειν πάντας, εἰ ἀδικοῖτο παρά τινος ὁ ταύτην λαβὼν γαμετήν.

V. 416. Ad voc. Βορᾶ - Βορᾶς τινὲς διὰ δύο ρ γράφουσι· τὸ δὲ Βορέας δι' ἑνός· ἐγὼ δὲ ἀπὸ τῆ Βορέας Βορᾶς

Digitized by Google

εἰδὼς τοῦτο γεγονὸς, ὡς τὸ Βορέας, δι' ἑνὸς ῥ καὶ τοῦτο γράφω καὶ γράφειν οὐ παύσομαι.

V. 424. Ad voc. Ἀχιλεύς.

Ἐν τοῖς φρονοῦσι μᾶλλον ἁρμόζει γράφειν,
ἄχος γὰρ ὡς λέγουσιν ἦν Ἰλιέων·
εἶτ' οὖν τροφῆς ἄμοιρος ὡς Εὐφορίων,
καὶ πῶς διπλοῖς γράφοιτο τοῖς λάμβδα λέγε.

V. 425. Ad voc. Θέτιδος - Θέτις ἡ Θάλασσα τῷ Νηρέως Θυγατὴρ ἐτύγχανε· Θέτις δὲ ἡ σοφὴ καὶ λεκανομάντις ἡ μήτηρ Ἀχιλέως, Θυγάτηρ ἦν Χείρωνος φιλοσόφου· ἀλλὰ καὶ ἡ Θέτις Θάλασσα μήτηρ τοῦ Ἀχιλέως εἶναι λέγεται, ὡς Θυμικοῦ καὶ δυσόργου ὄντος τοῦ ἥρωος, ὡς καὶ Ὅμηρος γράφει, (Il. XVI. v. 33, 35).

Σχέτλιε, (nota var.) ἐκ ἄρα σοίγε πατὴρ ἦν ἱππότα Πηλεύς
οὐδὲ Θέτις μήτηρ, γλαυκὴ δέ σ' ἔτικτε Θάλασσα·
πέτραι τ' ἠλίβατοι· ὅτι τοι νόος ἐς-ὶν ἀπηνής·

V. 432. Ad voc. Πολλαῖς - Νέος γὰρ ὢν Ἀχιλεὺς, ἐκ ἦν καὶ αὐτὸς ἐν τοῖς πρστέροις ὅρκοις ὁρκωμοτήσας.

V. 436. Ad voc Πεφλυάρηνται - Ἀλληγορία τῷ ὅτι Ἀχιλεὺς ἐνεδέδυτο γυναικεῖα, ἐξελέγχθη δὲ παρ' Ὀδυσσέως, ξίφη καὶ ἀτράκτους ἀποῤῥήψαντος ἐν τῷ παρθενῶνι, λαβὼν αὐτὸς ξίφος καὶ οὐκ ἀτράκτους ὡς οἱ παρθένοι καὶ λοιπαὶ γυναῖκες.

V. 458. Ad voc Σκυρώνιος - Σκυρὼν ἐς-ὶν ἡ χώρα Ἑλλαδικῶν Βλάχων.

V. 467. Ad voc. Πᾶν τὸ ς-ράτευμα. - Σημείωσαι πόσος ἦν ὁ ἀριθμὸς τῆς Ἑλλήνων ς-ρατιᾶς· φέρεται ποῦ τῶν Ὁμηρικῶν βίβλων ἡ τῆς ς-ρατιᾶς ἐπαρίθμησις, οὕτω κατ' ἔπος ἔχουσα·

Digitized by Google

Πεντήκοντ' ἦσαν (a) πυρὸς ἐσχάραι· ἐν δὲ ἑκάστῃ
πεντήκοντ' ὀβελοί, περὶ δὲ κρέα πεντήκοντα·
τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας ἦσαν Ἀχαιοί.

V. 495. Ad voc. Μικροῖς, μεγάλοις - Παραδοξολογία τὸ σχῆμα.

V. 510. Ad voc. Πλεισθένους - Ὅμηρος καὶ οἱ πλείους Ἀτρέως φασὶ τούτους. Ἡσίοδος δὲ Πλεισθένους, καὶ Αἰσχύλος λέγων (b) - Ἀρᾷ τ' ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.

V. 514. Ad voc. Ἀμυκλίαους - Ἀμύκλαι πόλισμα Ἑλλάδος, τὸ παρ' ἰδιώταις λεγόμενον Νίκλιν.

V. 519. Ad voc. Ἀχιλεὺς - Τὸν Ἀχιλέα ληροῦσι τινὲς πέντε καὶ δέκα ἐτῶν ἔοντα ναυαρχεῖν· φαίνεται δὲ καὶ ὁ Ὅμηρος ἐν τῇ ι΄ ῥαψῳδίᾳ τούτοις συνῳδῶν· φησὶ γὰρ ὡς ἀπὸ τοῦ Φοίνικος (Il. IX. v. 437, 41)·

Πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην
οἷος; σοὶ δέ μ' ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺς
ἤματι τῷ, ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε
νήπιον, οὔπω εἰδόθ' ὁμοιίῃ πολέμοιο,
οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθωσιν.

V. 529. Ad voc. Θηβαίων - Αἱ Θῆβαι γὰρ τότε ὑπὸ τῶν Ἐπιγόνων ἐπορθήθησαν· ἦρχον δὲ οὗτοι Βοιωτῶν τῶν ἐκ χωρίων Θηβαϊκῶν.

V. 532. Ad voc. Ἀδελφοί - Ἕτεροι δὲ Ἀρκεσιλάου Προθήνορα καὶ Κλόνιον μόνους φασὶν εἶναι ἀδελφοὺς, υἱοὺς Ἀερόπης καὶ Ἀρηϊλύκου· ὡς καὶ ἡμεῖς ἐν ἑτέρῳ γυναικείᾳ βίβλῳ ἐγράψαμεν·

Καὶ Προθοήνωρ, Κλόνιος, σὺν τῷ Ἀρκεσιλάῳ
τῆς Ἀερόπης οἱ υἱοὶ καὶ τοῦ Ἀρηϊλύκου·

. . . . . .

(a) Homeri locum diutius, sed frustra perquisivi.
(b) Agam. v. 1602., ubi vulgo editiones habent οὕτω, pro ἀρᾷ.

Digitized by Google

V. 532. Ad voc. Ἀλέκτορος - Ὅμηρος δὲ Ἀλεκτρύονος τοῦτον φησὶ λέγων, (Il. XVII. v. 601, 602).

Λήϊτον αὐτ' Ἕκτωρ σχεδὸν οὔτα χεῖρ' ἐπὶ καρπῷ,
υἱὸν Ἀλεκτρυόνος μεγαθύμου· παῦσε δὲ χάρμη.

V. 545. Ad voc. Ἐριώπιδος - Ἡ Ἐριώπις θυγάτηρ ἦν Φέρεκτος· ἀδελφὴ δὲ Ἀδμήτου.

V. 548. Ad voc. Εὐβοέων - Εὔβοια, ὁ Εὔριπος ἐστίν·

V. 559. Ad voc. Θεόκριτον - Οὕτω γάρ φησι (Id. XVII. v. 54, 5).

Ἄργεια, κυάνοφρυ· σὺ δὲ λασφόνον Διομήδεα
μισγομένη Τυδῆϊ τέκες Καλυδώνιον ἄνδρα.

V. 624. Ad voc. Γορτύνης - Οὐχὶ τῶν ἐκ Γορτύνης τῆς Κρητικῆς, ἀλλὰ τῆς Ἀργείας.

V. 900. Ad voc. Λυρνησσός - Ἡ νῦν Τένεδρος.

V. 951. Ad voc. Ξανθότριχος - Ἔστι καὶ ἡ ξανθόθριξ, καὶ ἡ ξανθότριχος· ὡς παρὰ Πινδάρῳ (P. IV. 87, al. 155).

Οὐ μὰν χαλκάρματος - Οὕτος Ἄρης· - Εἰ μὴ γὰρ ἦν, εἶπεν ἂν χαλκάρμας, καὶ οὐ χαλκάρματος.

V. 959. ad voc. Ἣν ἀποκρύψας - Δι' ἣν αἰτίαν ἀνεπαύθη Ἀχιλεὺς τοῦ πολεμεῖν καὶ στρατηγεῖν Ἑλλήνων, ὡς ἔχει τὸ ἀληθές.

V. 975. Ad voc. Ὡς εὐγενὴς - Ἀερόπη γὰρ ἡ τῆ βασιλέως μήτηρ Ἀγαμέμνονος καὶ Μενελάου, καὶ ἡ τῆ Παλαμήδης μήτηρ Κλυμένη, ἀδελφαὶ ἦσαν· θυγατέρες οὖσαι Κατρέως (sic) τοῦ Κρητῶν βασιλέως.

V. 994. Ad voc. Γράφοντες τοῖς οἰκείοις - Ἀποστείλαντες ἕνα καὶ δύο κατὰ χώρας τοὺς ἑρμηνεύοντας ταῦτα.

V. 1003. Ad voc. Κεῖκω - Μέμνηται τούτου Πίνδαρος οὕτω γράφων· (I. V. v. 47, al. 52, 3).

Τίς γὰρ ἐσλὸν Τήλεφον
τρῶσε δορὶ, Κεῖκα παρ' ὀχθαῖς.

Digitized by Google

V. 1006. Ad voc. Θέρσανδρος - ὑπ' αὐτῆ τῆ Τηλέφῳ Θέρσανδρος ἀνηρέθη.

V. 1086. Ad voc. Λέσβου - Ἄπιλην γὰρ ὅπω τελείως αἱ εἴκοσι τρεῖς ἐπορθήθησαν πόλεις· ἀλλ' ἔτι περὶ τὴν τούτων διέτριβον πόρθησιν.

V. 1173. Ad voc. Παρακαλίνει - Πῶς ὁ Ὅμηρος ὁμολογῶν τὸ τὴν μῆνιν θεὰ γυναικὸς τῆς αὐτῆς γενέσθαι, ἅσπερ πάντες φασί, μετατρέπει πρὸς τὸ συμφέρον αὐτῷ τὸν λόγον;

In I. Iliadis.

V. 10. Ad voc. Ὁ τῆς Λητῦς - Λητὼ τὸ σκότος τὸ ἀρχέγονον καὶ ἡ νύξ· Ζεὺς νῦν, ὁ οὐρανός· τῷ χάει ἐκεῖνα γὰρ ῥαγέντος, ὁ ἥλιος ἐν οὐρανῷ ἐφάνη.

V. 65. Ad voc. Ἐπῳδαῖς - Ἀποτρεπτικοῖς καὶ ἐπῳδαῖς ἠδύναντο οἱ μάγοι καὶ λοιμικὰ καὶ ἕτερα μετατρέπειν νοσήματα, ὡς Ὀρφεὺς γράφων παραδεικνύει, Πυθαγόρας τε καὶ Ἐμπεδοκλῆς, πολλὰ τοιαῦτα μετατρέψαντες καὶ αὐτοί· ὥσπερ καὶ ἐν τοῖς Ἀντιόχου χρόνοις ἐν Ἀντιοχείᾳ ὁ Λαΐος (Λαίϊος) νόσημα λοιμικὸν ἐξελάσας, οὗ καὶ αὐτὸς ἐγὼ ἐν ἐπιταφίῳ (al. ἐπιτυμβίοις) ἐμνησθην εἰπών.

Οὐκ ἦν σοφιστὴς ἱκανὸς τίς ἐν λόγοις,
ἐκ τῶν τελεστῶν μυστικῶν τελεσμάτων,
ὡς ὅσιος εἰρεῖν μυστικωτάτας τέχνας
εἰς ἐξέλασιν λοιμικῶν τάξευμάτων,
ὡς πρὶν Λαΐος ἐν χρόνοις Ἀντιόχου,
χαρώσιον (al. χανὼν δὲ) πρόσωπον ἐγκύψας πέτρας.

Τοιαῦτα πολλὰ καὶ Ἀπολλώνιος ὁ Τυανεύς, ἐν ἐπῳδαῖς (al. τέχναις) ἀπέπαυσεν, ἐν τοῖς Δομετιανοῦ χρόνοις ὑπάρχων.

V. 106. Σημείωσαι τί δηλοῖ τὸ, θεᾶς παῖς ὑπάρχεις· ὅτι τὴν προσηκοῦσαν ἔχεις τὴν ἀρετήν· ὁπόσαι γὰρ ἥρωες,

Digitized by Google

ἦγεν ἀρετὴν ἔχοντες; ἄνδρες ἡμίθεοι· οἱ τεθνήκασι μὲν τοῖς σώμασι, ζῶσι δὲ ταῖς ἀρεταῖς, τὴν πρακτικὴν ἔχοντες ἀρετήν, ἦγεν τὴν διὰ χερῶν, θεανῶν παῖδες λέγονται· εἰ δὲ τὴν θεωρητικὴν ἔχεσαν ἀρετήν, ἦγεν τὴν διὰ λογισμῶν καὶ φρονήσεως, θεὸς ἔχειν πατέρας λέγονται.

V. 215. Ad voc. Ἀναθυμίασιν· Τὸ ὕδωρ παχυνόμενον, ποιεῖ γῆν· αὕτη ἀραιουμένη, ποιεῖ πῦρ· τοῦτο δὲ λεπτυνόμενον, ποιεῖ ἀέρα.

V. 281. Ad voc. Αἰὲν ἐόντα· Τέσσαρες δόξαι τῶν φιλοσόφων περὶ τοῦ κόσμου· οἱ μὲν αὐτὸν λέγουσιν ἀγέννητον καὶ ἄφθαρτον· οἱ δὲ γεννητὸν καὶ φθαρτόν· οἱ δὲ γεννητὸν μὲν, ἄφθαρτον δέ· οἱ δὲ ἀγέννητον μὲν, φθαρτὸν δέ· ὁ δὲ Ὅμηρος ἀγέννητον καὶ ἄφθαρτον· λέγει ἔν ᾧ ἔπει ᾧ ἔργῳ ὤνησα· τυτέσιν εἴτε ἀγέννητός ἐστι καὶ ἄφθαρτος, εἴτε καὶ ἄλλως· περὶ γὰρ αὐτοῦ οὐδεὶς τῶν παλαιῶν ἐγίνωσκε.

In II. Iliadis.

V. 5. Ad voc. Ὕπνος· Τὸ σχῆμα κατ' ἄλλας μὲν κλιμακωτὸν, κατ' ἐμὲ δὲ κλίμαξ· διαφέρει γὰρ κλίμαξ καὶ κλιμακωτόν· ὡς τροπὴ καὶ τροπικόν· διήγημα καὶ διηγηματικόν· τινὲς δὲ τὸ κλιμακωτὸν, ἀτελῆ κλίμακα ἐκάλεσαν.

In IV. Iliadis.

V. 38. Ad voc. Κόρσην· Κόρσης νῦν ὁ μηνιγξ· παρ' Ἐμπεδοκλεῖ δὲ καὶ ἡ ὅλη κεφαλὴ· φησὶ γάρ· (v. 219.) ὡς πολλῶν μὲν κόρσαι ἀνακύχενες ἐβλάστησαν· ὁ κόρσης δέ ἐστιν ἀρσενικῶς.

V. 87. Ad voc. Ἠλείων· Ἠλείων καὶ ψίλιε καὶ δάσυλε. ψίλου μὲν κατὰ τὸν κανόνα τὸν λέγοντα, τὸ η πρὸ τοῦ λ ψιλοῦται· Ἠλίβατος, Ἠλιαία, δικαστήριον ἐν ταῖς Ἀθήναις· ἐγὼ δὲ καὶ τὴν Ἠλιαίαν δασύνω· διὰ γὰρ τὸ ἐν ἡλίῳ καὶ ὕπαιθρος εἶναι, ἡλιαία ἐκαλεῖτο· ἡλιτόμηνος, ὁ ἀμβλωθρίδιος τόκος καὶ διημαρτημένος τῆς ἐννεαμη-

Digitized by Google

νηαίᾳ κυήσεως· πλὴν τῇ, ἥλιος. Δάσυνε δὲ ἀπὸ τοῦ ἁλίζω, τὸ συναθροίζω· τὸ γὰρ ἀθροικὸν α δασύνεται· ὅθεν καὶ ἅλς, τὸ συνηθροισμένον ὕδωρ, καὶ Ἥλις ἡ πόλις καὶ χώρα, οὕτω δασύνεται· κατὰ μὲν ἑτέρους ὅτι ἐν τῷ ἐπὶ Δευκαλίωνος κατακλυσμῷ, ἐκεῖ συνηθροίσθησαν οἱ λαοί· κατ' ἐμὲ δὲ ὅτι ἐκεῖ συναθροίσεις ἐγίνοντο πενταετηρικῶς διὰ τὴν Ὀλυμπίαν· ὅθεν καὶ ἁλέαι αἱ ἐκκλησίαι καλοῦνται, ἀπὸ τῆ συναθροίζεσθαι ἐκεῖ, ὡς καὶ Καλλίμαχος (a) φησί·

Εἰς τὸ πρωτείχευς ἱερὸν ἁλέες δεῦτε,
ᾗ τὸν πάλαι χάλκιον ὁ πλάσας Ζᾶνα
γέρων (b) ἀλαζὼν ἄδικα βιβλία ψύχει·

Καὶ οὕτω μὲν ὀφείλει ἡ Ἥλις δασύνεσθαι· ψιλοῦται δὲ καὶ καθ' ἕτερον κανόνα λέγοντα, τὸ η ἐν τροχαϊκῇ λέξει ψιλᾶται.

Δάσυνε λοιπὸν ἀδεῶς τε καὶ ψίλω,
Τζέτζου πεποιθὼς συγγραφαῖς ἰσχνογράφοις.

V. 67. Ad voc. Πολέμων - Καλῶς εἶπον καὶ πολέμων· οὐ μόνον γὰρ πολέμων σημεῖόν ἐστιν, ἀλλὰ καὶ αὐχμῶν καὶ ναυαγίας, καὶ κτηνῶν ἀπωλείας, καὶ πνευμάτων καὶ γάμων δηλωτικὸς, ὥσπερ καὶ ὁ Τζέτζης προεπὼν περὶ τοῦ βασιλέως γάμου, ὅτι μετὰ ἑπτὰ μῆνας γενήσεται, Ἰανουάριος μὴν οὐκ ἀδόκιμος ἐφάνη περὶ τὴν πρόρρησιν· καὶ ἑτέρων πλειόνων ὁ κομήτης ἐστὶ δηλωτικὸς, καθὼς ὁ μαθηματικὸς ἀνώνυμος περὶ κομητῶν ἀκριβέστατα διέλαβε (al. μετέλαβε τὸν κόμητα).

V. 88. Ad voc. Πλανήτην - Ἔστι καὶ πλάνης λεγόμενος καὶ πλανήτης.

(a) Cf. Callimachi editionem Graevii - Ultraiecti 1697. p. 340.; ubi de hisce versibus disputatur, et variantes invenies.

(b) Γέρων ἐστὶν ὁ ἅλως; Εὐθύμιος. Scholion in cod. margine.



Digitized by Google

In V. Iliadis.

V. 26. Ad voc. Δάρης - Τὸν δὲ Ἰδαῖον τὸν τῆ Δάρητος ἔσωσεν Ἥφαιστος· ἐπεὶ γὰρ ἡ μὴν τὸ πῦρ Ἥφαιστος λέγεται, ἀλλὰ καὶ ἡ ὕλη ἡ συνεργὸς αὐτῷ· ἐκεῖνος δὲ προσδραμὼν τῇ ὕλῃ τῆ ὄρυς ἐσώθη, διὰ τῆτο φησὶ ὅτι ἐσώθη ὁ Ἰδαῖος παρὰ τῆ Ἡφαίστυ.

V. 34. Ad voc. Μετάφρενον - Μετάφρενον τὸ μετὰ τὸν τράχηλον μέρος, μεταξὺ τῶν ὤμων, τὴν ῥάχην, τὰς δησωμίας.

V. 36. Ad voc. Γλετόν - Γλετὸς τὸ ὄπισθε μέρος τοῦ ἰσχίυ.

Circa V. 38. (Iliad. V. v. 35.) - Αὕτη τὸν Ἄρην ἐκ τῆς χειρὸς λαβοῦσα, ἐξήγαγεν τοῦ πολέμυ· τουτέστιν τίς τῶν περὶ τοῖς Τρωσὶν φρονίμων λαβὼν ἐκ τῆς χειρὸς τὸν ἰσχυρὸν Ἕκτορα ἐξήγαγεν ἐκ τῆ πολέμυ ἐπὶ τὸν ποταμὸν Σκάμανδρον ἀγαγών· ὡς ἂν ἴδω σιν ἀμφότεροι τὸ μέλλον.

V. 44. Ad voc. Πάνδαρος - Ὁ δὲ Πάνδαρος ἐβόησεν, οὐ μὴ καρτερήσοι ὁ Τυδεὺς ἐὰν ἐμὲ διήγειρεν ὁ Ἀπόλλων, ὅτε τῆς Λυκίης ἐξῆλθον. τουτέστιν ἐὰν ἐν καλῷ ἡλίῳ καὶ ἡμέρᾳ ἐξῆλθον ἐκ τῆς πατρίδος μυ. Ἡ Ἀθηνᾶ παρήνει τῷ Διομήδει μή τινα τῶν θεῶν τρώσειν ἢ τὴν Ἀφροδίτην· ἦγεν, ἡ φρόνησις αὐτοῦ συνεβούλευσεν, εἰ μὴ εὕρῃ τινὰ τῶν ἀνδρείων, μὴ ἐρίζειν ἐκείνῳ, ἢ τιτρώσκειν· εἴ τινα δὲ εὕρῃ τῶν ἐρωτικῶν καὶ καλὰ ὑποδήματα φορύντων, καὶ καλὰ μάλα ἐχόντων, καὶ τὰ λοιπὰ ἀκόλεθα τῶν ἀνάνδρων, τιτρώσκειν.

V. 53. Ad voc. Αἰνείαν - Ὁ Αἰνείας εἶχεν μητέρα τὴν Ἀδροδίτην· ἐπεὶ γὰρ ἐμίγη ἡ μήτηρ αὐτῆ τῷ Ἀγχίσῃ ἐν τῇ Ἰδῃ, διὰ τῆτο λέγει ἡ Ἴδη Ἀφροδίτη καὶ μήτηρ αὐτῆ.

V. 59. (Iliad. V. v. 385.) Ὅ Ὦτος καὶ ὁ Ἐφιάλτης ἔδησαν τὸν Ἄρην· ἡ δὲ Ἐρίβοια ἀπέστειλε τὸν Ἑρμῆν καὶ

Digitized by Google

ἔλυσεν τῶν δεσμῶν τὸν Ἄρην. Ὅτος καὶ Ἐφιάλτης οἱ λόγοι εἰσίν· ὁ μὲν Ὅτος ὁ μαθηματικὸς, ὁ διὰ τῶν ὤτων εἰσερχόμενος· ὁ Ἐφιάλτης δὲ, ὁ οἰκεῖος, ὁ ἐφ' ἑαυτῷ ἀλλόμενος· οὗτοι τοίνυν οἱ λόγοι ἐδέσμησαν τὸν Ἄρην ἤτοι τὸν Θυμόν· ἡ δὲ Ἐρίβοια, ἡ φάσις καὶ ἡ φιλονεικία, ἔλυσαν αὐτὸν διὰ τοῦ Ἑρμοῦ, τοῦ προφορικοῦ λόγου· ὅταν γάρ τις κρατῶν τοῦ Θυμοῦ καὶ ἀκέστῃ τινὸς, τοῖς συγγενέσιν αὐτοῦ καὶ ἁπλῶς οἰκείοις ἐρίζοιτο, πρὸς Θυμὸν περὶ τῆς φάσεως καὶ τοῦ λόγου τοῖς φιλονεικοῦσι λεγόμενον, διεγείρετο.

V. 67. Ad voc. Ὅθεν τὴν χεῖρα - Τὴν Ἥρην (Iliad V. v. 393. 4.) ἐτάξευσεν ὁ Ἡρακλῆς κατὰ τὸν δεξιὸν μαζὸν ᾧ οἷς ᾧ τριγλώχινι, ἤγουν ὁ ἥλιος τοξεύει τὴν ἡμέραν διὰ τῶν τριῶν ὡρῶν, ἔαρος, χειμῶνος καὶ φθινοπώρου· κατὰ τὸν δεξιὸν μαζὸν, ἤγουν τὸ ἀνατολικὸν μέρος· τῶν γὰρ τεσσάρων μερῶν (τοῦ κόσμου) τοῦτο ἐστὶ τὸ δεξιόν.

V. 80. Ad voc. Οὗτοι et seqq. - Σχῆμα τὸ κατὰ ἄθροισιν καὶ μερισμόν· ἄθροισις μὲν γὰρ τὸ, οὗτοι· μερισμὸς δὲ, τὸ ὁ μὲν, τὸν Ἀντίλοχος δὲ, τὸν δεῖνα.

V. 95. Ad voc. Τῷ Ἡρακλέος - Τοξεύει (Iliad V. v. 395. seq.) ὁ Ἡρακλῆς καὶ τὸν Ἅδην κατὰ τὸν ὦμον· ὃς ἀνερχόμενος ἐγκαλεῖ τῷ Διΐ· ὁ γὰρ ἥλιος κατὰ τὴν νύκτα πρὸς τὰ κατώτερα μέρη κατερχόμενος, ὡς οἱ φιλόσοφοι λέγουσι, τὴν νύκτα τοξεύει, ἤτοι τὸν Ἅδην, καὶ ἀνέρχεται ἐνταῦθα ἡ νύξ· κατερχομένη δὲ πάλιν ἐάται, τετέσταται εἰς ὃν τόπον ἦν καὶ πρίν.

V. 98. Ad voc. Ἦκαν ἅμα - Ἐπεμφαν δηλονότι τὰ δόρατα· τὸ σχῆμα ἔλλειψις, ὅπερ ἐστὶ τῆς συντομίας.

## In VI. Iliadis

V. 7. Ad voc. Δόλοι - Ἐγκώσθη γὰρ Διομήδης, ὅτι κατόπτρῳ μηχανικῷ πυρὰς φαντασίαν παρεπέμπετο· Ἕκτωρ δὲ

τῷ πάθει θέμενος μάθος, ἐπαθη τοῦ σὺν ἀλογίστῳ καὶ ἀπερισκέπτῳ θυμῷ μάχεσθαι.

V. 29. ad voc. Μυρίκην - Μυρίκη εἶδος δένδρου, μεταξὺ ἐρείκης καὶ κυπαρίσσου τὴν ἰδέαν τῶν φύλλων ἔχοντος.

V. 39. Ad voc. Τῆς Ἀθηνᾶς - τῆς φρονήσεως· ἐν τοῖς ἀγροῖς γὰρ οἱ πολαιοὶ Ἄρεως ἱστῶν καὶ ἐζωγράφουν ἀγάλματα· ἐν δὲ ταῖς πύλαις τῶν πόλεων καὶ οἰκιῶν, Ἀθηνᾶς· συμβολικῶς λέγοντες καὶ προτρεπόμενοι, ὡς ἐν τοῖς ἐκτὸς δεῖ θυμοῦ καὶ πολέμων· ἐν δὲ ταῖς ἐντὸς καὶ ταῖς οἰκίαις καὶ πόλεσιν, εὐβουλίας τε καὶ φρονήσεως.

V. 59. Circa - (Il. VI. v. 130. seqq.) Ὁ Λυκόεργος ὁ υἱὸς τοῦ Δρύαντος ἐτυφλώθη διότι τὰς τιθήνας τοῦ Διονύσου ἀπέσφαζεν· ὁ Διόνυσος δὲ ἐκρύβη εἰς τὸν κόλπον τῆς Θέτιδος, τὸν Δρύαντα πτοέμενος· ὁ Δυκόεργος οὗτος τῷ οἴνῳ τὰς θρέπτειρας ἀμπέλους ἀπέκοψε μετὰ πελέκεως· ἡ δὲ τοῦ οἴνου χρῆσις ἀπέλειψε, καὶ ἦν ἡ τοῦ ὕδατος· τοῦτον δὲ λέγουσι τυφλωθῆναι, διὰ τὸ ποτὲ ἀῤῥωστήσαντα μὴ χρήσασθαι οἴνῳ· ἔλεγον γὰρ αὐτῷ οἱ ἰατροὶ μὴ ἄλλως ἰαθῆναι, εἰ μὴ οἴνου ἀπογεύσηται· οὗτος δὲ μὴ γευσάμενος οἴνου, οὐ γὰρ παρῆν, τοῦ φωτὸς τῶν ὀμμάτων τὸν φωτεινὸν Ἀδην ἀντήλλαξε.

V. 64. seq. - Σημείωσαι πῶς δεῖ νοεῖν σε τὸ παρ' Ὁμήρῳ (Il. VI. v. 234 - 6),

ἐνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς,
ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε' ἀμείβε,
χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων·

τὸ ἐξέλετο, ἀντὶ τοῦ ἐξαιρέτους καὶ δεδοξασμένας ἐποίησεν· οὐ μὴν ἄφρονας, ὥσπερ ἂν ἕτερος εἶπε φιλόχρυσος καὶ ἀγεννὴς ποιητῶν Ἡσίοδος, ἢ καὶ Σιμωνίδης, ἢ Πίνδαρος· Ὅμηρος δὲ ψυχὴν προτιθέναι τῶν φίλων παιδεύων, πῶς μικρολογεῖσθαι καὶ φειδωλεύεσθαι περὶ τοιαῦτα ἐπίσταται; ἄπαγε· δεύτερα τὰ τοιαῦτα πάντα φιλίας νομίζει καὶ πολ-

Digitized by Google

λος· ἀ· καὶ τὸν Γλαῦκον ὡς μεγαλόφρονα καὶ λίαν φιλότιμον διὰ φιλίαν φανέντα, γεραίρει τοῖς ἔπεσιν.

In VII. Iliadis.

V. 5. Ad voc. Κορυνήτην - Ῥοπαλᾶν, ἤτοι ματζικᾶν.

V. 16. Ad voc. Καθιδρυνθέντων - Γράφεται καὶ ἱδρυνθέντων, καὶ ἰδρυθέντων· Ἰωνικῶς μὲν ἱδρυνθέντων μετὰ τοῦ νῦ, ὡς τὸ, κλινθέντων· Ἀττικῶς δὲ ἄνευ τοῦ νῦ, ὡς τὸ κλιθέντον καὶ τὰ ὅμοια.

V. 126. Ad voc. Ἄμμων - Ἐκ τῶν Ἄμμωνος καταρχῶν·

Ἐν τροπικοῖς οὐτ' αὖ γαμέειν καλὸν, οὔτε γάμοιο
μνης-είην ἐρατὴν τελέειν ὃ κτήσιος (al. ἐκ ἐτήσιος) ὠνήν,
μήτε δαημοσύνην τέχνης τινὸς ἄρχεο τῆμος·
εἰ δὲ καὶ ἄλλό τι πρᾶγμα θέλεις μίμνειν ἐπὶ δηρὸν,
μὴ σύγε τοῦτ' ἔρξεις τροπικοῖς, μήνης ἐνεούσης·
πάντα γὰρ ἐν τροπικοῖσι παλίντονα ἐκτελέεσι,
καὶ χρησμοὶ καὶ ὄνειροι ψεύδοντ' ἐν τροπικοῖσι,
ῥηϊδίως ὁ λαβὼν καὶ ἀσπασίως ἀποτίσει·
εἰ δὲ ξένην πλώειν καὶ ὁδεύειν, ἣν ἐθέλησθα,
ἐν τροπικοῖς κέλομαι, νοῦσος δέ σοι ἔσσεται ὠκύς,
καὶ εἰς οἶκον ἴθι τῆμος ξείνης ἀπὸ γαίης·
ἢν δὲ φύγῃ θεράπων κακομήχανος ἐν τροπικοῖσιν,
ἄψ εἰς οἶκον ἄνακτος ἐλεύσεται, οὐδ' ὑπαλύξει·
κλέψας δ' ἐν τροπικοῖσιν, ἁλίσκεται οὐ δέ τε λήσει.

In VIII. Iliadis.

V. 42. Ad voc. Ζυγὸν - Τὸ ζυγὸν, νῦν τὸ ζύγιον, ἀλλὰ καὶ ᾧ ζευγνύουσιν ὑποζύγια· παρ' Ὁμήρῳ καὶ τοῖς ἀρχαίοις οὐδετέρως λέγεται.

V. 45. Ad voc. Ἀργῆς - Εἴδη κεραυνῶν ἓξ· ψολόεντες· πυρόεντες· σκηπτοί· καταβάται, καὶ ἑλικίαι· μετ' αὐτοὺς καὶ σὺν αὐτοῖς ἀργῆται· λέγεται δὲ καὶ ἀργὴς καὶ ἀργήτης.

Digitized by Google

V. 76. Ad voc. Τέσσαρας - Ἐπωχοῦντο γὰρ τινὲς τῶν ὑπερόχων τὸ παλαιὸν καὶ τέτρασιν ἵπποις, ὡς Ἀβραδάτης ὕστερον τετραρρύμῳ ἅρματι ἐποχούμενος, ἐξ ἵππων ὀκτὼ συνεστηκότι.

V. 82. Ad voc. Θώρακα - Θώρακα τὸν περὶ τὸ στῆθος πολεμικὸν σιδηροῦν χιτῶνα· ὁ Διομήδης δὲ Θώραξ, λωρίκιον ἦν καὶ οὐ σωσάνιον· ἀλυσειδωτὸν γὰρ Ὅμηρος τοῦτο φησὶ ἔτω (Il. V. v. 113).

αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος·

στρεπτὸς δὲ ὁ ἀλυσειδωτὸς λέγεται· ἔδειξα καὶ ὄπισθε περὶ αὐτοῦ λέγων εὑρεθέντος ἐν Λογγιβαρδίᾳ, ὅτι τὸ τῶν ζαβῶν (a) πάχος ἰσοπαχὲς εἶχε μεσοπαχεῖ κονδύλῳ· ὁ Μασσίης δὲ Θώραξ ἐν τοῖς Περσικοῖς, σωσάνιον ἦν· ὀλόχρυσον γὰρ αὐτὸν λεπιδωτὸν Ἡρόδοτος καὶ ἕτεροι φησὶν ἱστορικοί, δι' ὅνπερ Θώρακα τοῦ ἀνδρὸς ἀναρρυμένης, μάχη τοῖς Ἕλλησι πρὸς ἀλλήλους γέγονε καρτερά.

V. 89. Ad voc. Πωμήριον - Πωμήριον λατινικῶς λέγεται τὸ ἀπὸ τῆς τάφρου μέχρι τοῦ τείχους διάστημα, καὶ τὸ ἐντὸς ἀπὸ τοῦ τείχους μέχρι τοῦν οἰκιῶν.

V. 119. Ad voc. Κωδεία - Κωδεία τὸ ὑπνωτικὸν φύτρον, παροξύνεται, παρὰ τὸ κώματι, ἤγειν δέειν καὶ δεσμεῖν· κώδεια δὲ ἡ κεφαλὴ προπαροξύνεται, παρὰ τὸ κεῖσθαι τὰ δέοντα ἐν αὐτῇ, ἤγειν τὸ λογιστικόν.

V. 133. Ad voc. Νηρηΐδος - Ἡ Σθενώ, ἡ Εὐρυάλη, καὶ ἡ Μέδουσα ἦσαν ἀδελφαὶ Νηρηΐδος· αἱ μὲν δύο, ἤγουν ἡ Σθενὼ καὶ ἡ Εὐρυάλη, ἀθάνατοι· ἡ δὲ Μέδουσα θνητή· αὕτη γοῦν εὐμορφωτάτη οὖσα, ἤριζε τῇ Ἀθηνᾷ περὶ εὐμορφίας· χολωθεῖσα δὲ ἡ Ἀθηνᾶ παρασχοῦσα τῷ Περσεῖ τὴν Ἄϊδος κυνῆν καὶ ὑποδήματα πτερωτὰ, καὶ ξίφος λοξοδρέ-

(a) Sic Codd., ut etiam in Prooem. pag. 23. v. 699., ubi in hac edit. legitur λαβῶν.

Digitized by Google

πανον καὶ κάτοπτρον, ἐπέταξεν ἀνελεῖν τὴν Μέδουσαν· ὃς τις δὲ πρὸς ταύτην ἔβλεπε, ἀπελιθοῦτο· ἵνα δὲ μὴ καὶ αὐτὸς ἀπολιθωθῇ, δέδωκεν αὐτῷ κάτοπτρον, ἵνα πρὸς αὐτὸ βλέπων, φονεύσῃ αὐτήν· κατελθὼν οὖν ὁ Περσεὺς, ἀνεῖλε τὴν Μέδουσαν. Περσεὺς ἐστὶν ὁ ἥλιος· Ἀθηνᾶ ὁ ἀὴρ· Σθενὼ τὸ βάθος τῆς θαλάσσης· Εὐρυάλη τὸ πλάτος· Μέδουσα τὸ μέδον καὶ ὑπερέχον ἄνωθεν ὕδωρ· ὁ ἀὴρ κινῶν τὸν ἥλιον ἐξ ἀναθυμιάσεων· δεῖ γὰρ κινεῖσθαι, ἀνέρχεται ἀπὸ τῶν τῦ ἅδυ μερῶν· ταῦτα καὶ κυνῆν ἅδυ λέγει· καὶ ἀνεμᾶται τὴν Μέδουσαν, ἤγουν τὸ λεπτότερον μέρος τῆς θαλάσσης· εἰ γὰρ μὴ ἀνιμᾶτο αὐτὸ, κατέκαυσεν ἂν τὸν κόσμον· ὃν τινα λέγουσιν, ἔχειν πτερωτὰ ὑποδήματα διὰ τὸ σύντομον· καὶ κάτοπτρον, διὰ τὸ κυκλοειδὴ καὶ λαμπρὸν εἶναι (ὀφθαλμόν)· τῇ Μεδούσῃ λέγουσι γεγονέναι ἐκ τοῦ αἵματος Χρυσάρτα καὶ Πήγασον· ταῦ γὰρ ἡλίου ἀνεμιῶντος τὸ ἄνωθεν ὕδωρ τῆς θαλάσσης, χαυσοειδεῖς ἀκτῖνες γεννῶνται, καὶ πηγάζει πάλιν καὶ χέει ἐν τῷ κόσμῳ, ὅπερ ἀνίμησε· λέγεται δὲ ἕνα ὀφθαλμὸν ἔχειν τὰς τρεῖς ἀδελφάς· μίαν γὰρ θεωρίαν ἔχουσι ταῦτα τὰ τρία μέρη τῆς θαλάσσης· ξίφος δὲ λέγεται ἔχειν λοξοδρέπανον, παρόσον λοξὰς ποιεῖται ὁ ἥλιος τὰς αἰκείας πορείας· ἥρπασε τῷ ἀέρι τὸ τῆς θαλάσσης λεπτότερον, ἅτε κατὰ τὴν τῶν Ἑλλήνων δόξαν ἐν ἀρχῇ καὶ ὁ ἔρεβος καὶ χάος, κατὰ τὴν χροιὰν δὲ ὅμοιος ἦν ὁ ἀὴρ τῇ θαλάσσῃ· ἢ καὶ οὕτως, ὁ ἀὴρ καὶ ἡ θάλασσα ὅμοιοι τὸ εἶδος εἰσὶ καθὰ καὶ Ὅμηρος φησί (a),

ἤτε καθαλλομένη πάροιθεν πόντον ὀρίνει·

ἐνταῦθα δεικνύει τὸν ἀέρα κατὰ τὸ εἶδος ὅμοιον τῇ θαλάσσῃ.

V. 136. Ad voc. Ἡρακλῆν. — Ὁ Ἡρακλῆς ὡς κλέος Ἥρας καὶ τῆς γῆς· τὸ σχῆμα παρετυμολογία καλεῖται.

(a) Versum Homero adsignatum dixi, sed frustra perquisivi.

Digitized by Google

V. 158. Ad voc. Ἀργῆτας - Λέγεται καὶ ἀργὴς, καὶ ἀργάτης, ὅθεν ἀργῆτας· τὸ γη καὶ ὄξύνειν δεῖ καὶ περισπᾶν.

V. 208. Ad voc. Μίμνων - Μετὰ τῶ Αἰθίοπος Μέμνονος, ὕστερον σύμμαχος ἦλθε τῇ Τροίᾳ Πολυδάμας ὁ Ἰνδός· ὁ γὰρ Τρωϊκὸς Πολυδάμας ὁ Πάνθε υἱὸς μιᾷ νυκτὶ γεννηθεὶς, ὅτε καὶ Ἕκτωρ ὁ καὶ Τρωϊκὸς βουλιφόρος, ἀεὶ τῇ Τροίᾳ παρὴν· τέως σημείωσαι ὅτι Ἕκτωρ νυκτὸς γεννηθεὶς, Ἀρεϊκὸς ἦν καὶ τὸν γενέθλιον Ἄρην ἔχων αἱρέτην καὶ οὐ παραιρέτην, γενναῖος ἦν τὰ πολεμικὰ διὰ τοῦτο.

In. IX. Iliadis.

V. 50. Ad voc. Τρίποδας - ὑδροδόχα δοχεῖα· τινὰ μὲν εἰς μαντείας χρησιμεύοντα, τινὰ δὲ εἰς ἐπίχυσιν θερμῶν λουτρῶν· οὕπω γὰρ λουτρῶνες τοῖς παλαιοῖς ἐγνωρίζοντο, ἀλλὰ τοῖς τρίποσι τούτοις τὸ ὕδωρ θερμαίνοντες, ἐλούοντο· ὡς Ὅμηρος δείκνυσι διὰ Ἀνδρομάχην λέγων, (Il. XXII. v. 442 - 4.)

κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα
ἀμφὶ πυρὶ τρίποδα στῆσαι μέγαν, ὄφρα πέλοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκνοστήσαντι

Ἐκ γὰρ τῶν περὶ Ἑλλήνων λεγομένων, οὐκ ἔστι ῥαδίως τοῦτο τινὰ συμβαλεῖν· ἴσως γὰρ ἄν τις ἐρεῖ, ἀπεξενωμένοι τῆς πατρίδος καὶ μὴ εὑρίσκοντες λουτρῶνας, οὕτω τοῖς τρίποσιν ἐλούοντο· ἐκ δὲ οὗ εἴπομεν περὶ Ἕκτορος βασιλέως τε ὄντος καὶ ἐν τῇ οἰκείᾳ πατρίδι ὑπάρχοντος, κατάδηλον γίνεται ὅτι οὐκ ἦσαν λουτρῶνες τοῖς παλαιοῖς.

V. 52. Ad. voc. Λουτρά - Ὁ λουτρὼν λέγεται τὸ βαλανεῖον ἀρσενικῶς· τὸ λουτρὸν δὲ, τὸ θερμὸν ὕδωρ, ᾧ λεόμεθα, καὶ τὸ ψυχρόν.

V. 71. Ad voc. Κήρυκας - Μανδάτωρας· μᾶλλον δὲ τοὺς νῦν λεγομένους Τζαουσίους (al. Τζατσίους).

Digitized by Google

V. 85. Ad voc. Κλημακτῆρας - Μετατρέπονται γὰρ αἱ ψυσικαὶ εἱμαρμέναι καθάπερ καὶ οἱ κλημακτῆρες.

In X. Iliadis.

V. 36. Ad voc. Νέστορος υἱός - Ὁ Θρασυμήδης, ὡς τῶν φυλάκων ἡγεμόνες.

V. 48. Ad voc. Οὗτοι δ' ἐχώρησαν (sic enim habent codd.) - Εἰρωνικὸν τὸ σχῆμα· ἔστι δὲ τῆς τῶ ἤθους ἰδέας.

V. 50. Ad voc. Φάμουσα - Φάμουσα, φλυαρίαι καὶ ὕβρεις ἔγγραφοι.

In XI. Iliadis

V. 12. Ad voc. Κνημίδας - Καλτίους σιδηρεῖς, τὰς φραγγικῶς, καὶ καρτζικῶς λεγομένους καλτζας.

V. 16. Ad voc. Ὀρειχάλκω - Ὁ κύμινος (sic), ὁ καὶ ὀρείχαλκος, εἶδος χυμεύσεώς ἐστιν.

V. 23. Ad voc. Μανδύα - Ὁ μανδύας, τῶ μανδύω· ἵνα δὲ μὴ νομίσῃ τις σύδέτερον εἶναι, μανδύα ἔκλινα, καὶ ὁ μανδύου· τὸ δὲ, μανδύα δίκην, ἑρμηνευτικόν ἐστι τοῦ, ἀμφιβρότη.

V. 34. Ad voc. Βροντή - Εἶπον γὰρ ὄπισθεν περὶ βροντῆς, ὅτι ὑγρῷ νέφει καὶ ξηρῷ καὶ λεπτῷ ἀέρι γίνεται.

In XII. Iliadis.

V. 111. Ad voc. Κρόσσας - Σειμήωσαι ὅτι καὶ κρόσσαι, καὶ γρόμφαι, καὶ σκρόφαι, αἱ προμαχῶνες καλοῦνται.

V. 186. Ad voc. Θεῶν - Τινὸς τῶν στοίχων, ἢ κραυνὸς, ἢ θάλασσα, ἢ ῥυγεὶς πῦργος, καὶ τούτου ἐπιπεσών, ἢ καὶ γῆ δεξαμένη αὐτόν.

In XIII. Iliadis.

V. 178 Ad voc. Στίχιος - Κοινῶς Στιχίος. Ἀττικῶς καὶ Αἰολικῶς Στίχιος.

In XIV. Iliadis.

V. 36. Ad voc. Στρόμβον - Στρόμβον, στρόμβιλον (al.

Digitized by Google

ς ρόβυλον), ἢ τὸ τῶν παίδων παίγνιον, ὃ νῦν βέμβικα (al. βέμβυκα) καλοῦσι.

In XVI. Iliadis.

V. 71. Ad voc. Πηνελέου - Ἀπὸ εὐθείας τῆς ὁ Πηνέλεος, τὸ ος μικρὸν Ἰωνικῶς.

V. 372. Ad voc. Ἀς-εῖος - Σημειώσαι τὴν γραφὴν Ὁμήρου ἀς-εῖαι· ὁ Φαληρεὺς δὲ χάρεν ὀνομάζει τὸ ἀς-εῖον.

In XX. Iliadis.

V. 172. Ad voc. Νῦν - Πάλιν τὸ νῦν ἀπὸ κοινοῦ· νῦν γὰρ ἡ τῶν ἄστρων καὶ ἀστέρων κρᾶσις, ἐστὶν ἡ Ἀφροδίτη ἀλλαχοῦ δὲ ἡ τῶν στοιχείων εὐκρασία.

In XXIV. Iliadis.

V. 37. Ad voc. Ἀργαφόντην - Ἀργαφόντης ὁ Ἑρμῆς ἀστὴρ, παρὰ τὸ ἀργῶς καὶ καθαρῶς φαίνειν.

---

In IV. Odysseae.

V. 88. Ad voc. Πεισάνδρου - Χαριέντως ὁ Τζέτζης τὸ τοῦ Πεισάνδρου φησὶν ἕνεκα τοῦ γελοίου· οὐδὲ γὰρ σαφῶς τὸν Πείσανδρον τῶν Τρωϊκῶν ὑστερογενέστερον ὄντα ἑπτακοσίοις καὶ πλείοσιν ἔτεσιν.

In XI. Odysseae.

V. 94. Ad voc. Ἐπιάλτης - Τὸν Ἐπιάλτην Ἐφιάλτην φασὶν οἱ Ἀττικοὶ, καὶ ἕτεροι ἐκφέρουσιν ἀπίσης λέγοντες καὶ λίσφοι, ἀντὶ τοῦ λίσποι.

---

Digitized by Google

# ΣΤΙΧΟΙ ΤΟΥ ΤΖΕΤΖΟΥ ΙΑΜΒΟΙ ΚΑΙΜΑΚΩΤΟΙ

## ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΚΥΡΙΝ ΜΑΝΟΥΗΛ

## ΕΠΙΤΑΦΙΟΙ.

Ἄναξ βασιλεῦ, σὲ πεσόντος οὐ φέρω,
καὶ μὴ φέρων, τὸ πάθος αὐτὸς δακρύω,
καὶ δακρύων, τὸ φίλτρον εἰς σὲ δεικνύω,
καὶ δεικνύων, τὴν πίστιν αὖ ἐκτυννύω,
ἐκτυννύων, τὴν πίστιν εἰς πόθον τρέφω,
τρέφων δὲ, τὸν ποθοῦντα κράζων ὐ βλέπω,
καὶ μὴ βλέπων, τῷ τάφῳ σε προσρέχω,
καὶ προσρέχων, δάκρυσιν αὐτὸν ἐκπλύνω,
πλύνων δὲ, τότε τὴν κεφαλὴν προσρίβω,
καὶ προσρίβων, ὄμματα πικρῶς συνθλίβω,
καὶ συνθλίβων, πίδακας αἱμάτων χέω,
χέων δὲ ταύτας, καὶ ψυχὴν συνεκπτύω·
συνεκπτύων ἓν, ἐκτέτυκα τὸ χρέος.

Οἴμοι γὰρ, οἴμοι, καὶ σὺ τὴν γῆν εἰσέδυς,
εἰσδὺς καθάπερ φωσφόρος συνετρίβης,
καὶ συντριβεὶς, ὡς ἄστρον αὖ συνεσάλης,
καὶ συσαλεὶς, κράτιστε, θᾶττον ἐρρύης,
ῥυεὶς δ' ἀπεζόφωσας ἡμῖν αἰθρίαν.

Τὸν σὸν μόρον, κύδιστε, φεῦ κατεπλάγην,
καταπλαγεὶς, ἄφωνος αἰφνης ἐφάνην,
φανεὶς ἄφωνος, τοὺς λίθους ὑπεκρίθην,
ὑποκριθεὶς τὸν λίθον, οὐκ ἐκαρτέρουν,
μὴ καρτερῶν δὲ καὶ πάλιν ἐδυσφόρουν,
καὶ δυσφορῶν ἤσχαλον· ὦ καινὰ πάθη.

Digitized by Google

Τὸν ἡλιόν με τίς ὀμίχλη συγχέει,
καὶ συγχέουσα συνθροεῖ τὴν εὐδίαν,
καὶ συνθολοῦσα τὸ φαεινὸν συμπνίγει,
καὶ συμπνίγουσα συνζοφεῖ τὴν ἡμέραν,
καὶ συνζοφοῦσα τὴν ἀβλεψίαν κύει·
κατασβολῶμαι συμφορῶν κονισσάλοις.
Τὸν ἄνθρακά με τίς σποδιὰ σβεννύει,
καὶ σβεννύουσα πρὸς βάθος συγχωννύει,
συγχωννύουσα δυσμενῶς ὑπσμύχει,
ὑποσμύχουσα καὶ τὰ φῶτα σμικρύνει,
καὶ σμικρύνουσα τῇ κόνει παρεισφέρει·
κόνις γενοίμην εἰ φέρω ταῦτα κάτω.
Τὸν μαργαρίτην σφῦρα συνθλάττει μόρε,
θλάττουσα δ' αὖθις μανιωδῶς λεπτύνει,
καὶ λεπτύνουσα συναχρειοῖ καιρίως·
συνθάπτεταί με καὶ κεφαλή, παντάναξ.
Τὴν ἄμπελόν με λυμεὼν σῦς συντέμνει,
καὶ συντέμνων τὸν κλάδον ἐκσπᾷ ῥιζόθεν,
ἐκσπῶν δὲ πάλιν ἀποδενδρεῖ τὸ πλέον·
ἐκσπᾷ τὸ πάθος καρδίας, στεφηφόρε.
Τὴν κυπάριττον ἡ καταιγὶς συγρέφει,
καὶ συγρέφουσα συγκυκᾷ πολλῇ ῥύμῃ,
καὶ συγκυκῶσα συγκλονεῖ καὶ συγχέει,
καὶ συγκλονοῦσα πρὸς βίαν ῥίπτει κάτω,
καὶ πίπτω κἀγὼ, τὸ πάθος ἃ φέρω κάτω.
Τὴν ὁλκάδα μὲ κῦμα σάλου σκληρύνει,
καὶ σκληρῦνον φεῦ κίνδυνον προμηνύει,
προμηνῦον δὲ ποικίλως περιστρέφει,
περιστρέφον δὲ καὶ τέλως καταπίνει·
ἄλις δὲ κἀγὼ συμφορῶν καταπίνω
Τὸν βότρυν ἡ χάλαζα δεινῶς συντρίβει,

Digitized by Google

καὶ συντρίβουσα τῷ χοῒ προσεμφύρει,
προσεμφύρων καί τι νέκταρ ἐκθλίβει,
θλίβουσα καὶ τὸν κόσμον ἐκκείρει τάχα.
Τὸν ἄσ-αχυν τὸ καῦσος ἀθρῶων φρύγει,
φρύγων δ' ἀμαυροῖ καὶ τυφὼν συνεκπνέει,
συνεκπνέων δὲ κακίαν ἐπιχέει,
ἐπιχέων δὲ τὸ ς-υγνὸν ἐνδύει νέφος,
μελανδετοῦντι, φωσφόρε, ς-ύγναζέ μοι.
Τὸν ἀετόν μου τὶς ὄφις περιθέει,
περιθέων δὲ πλευτάναις συγκατέχει,
συγκατέχων δὲ τῷ καλῷ κατισχύει,
κατισχύων δὲ πρὸς θάνατον ἀπάγει,
ἀπάγομαι δέσμιος αὐτὸς τῷ πάθει.
Τὸν ἱέρακά μου τὶς λέων κατεσθίει,
κατεσθίων δὲ τοῖς γηάθοις περισύρει,
περισύρων δὲ καταβιβρώσκει πάλιν,
καταβιβρώσκων ἐκροφᾷ τὰ σαρκία
ὀδοῦσι δαρδάπτει με θλίψεως δράκων.
Περις-ερά μου, τίς σε δράκων ἐνδάκνει,
δάκνων δὲ μυζᾷ βλαβερῶς τὴν καρδίαν,
μυζῶν δὲ συνθλᾷ τὴν καλὴν διαρτίαν,
συνθλῶν δαπανᾷ τὸ πλέον τῆς ὐσίας,
καὶ δαπανᾷ τὸ κάλλος· ὐ φέρω κόρον.
Τὴν πέρδικά μου σκορπίος περιβλέπει,
περιβλέπων δὲ καὶ τὸ κέντρον ὀξύνει,
παροξύνων δὲ κρυφίως βάλλειν θέλει,
βάλλων τιτρώσκει καὶ βλάβην ὑπεκκινεῖ· cod. ὑπεκκύνει
κέντροις βάλλει με πικρίας ὁ σκορπίος.
Ὁ πύργος ἀκλόνητος, πῶς παρετράπης;
παρατραπεὶς δὲ, πῶς τὸν ὅλβον ἐκλάπης;
κλαπεὶς δὲ μάλις-α, πῶς παρεβλάβης;

Digitized by Google

καὶ ἐκλαπεὶς ἔγωγε τὸν νοῦν ἐβλάβην.
Ὁ πτηνὸς ὢν μάκιστε πῶς συνεσχέθης;
συνεσχεθεὶς ἅπασι πῶς κατεσχέθης;
κατασχεθεὶς δὲ πῶς ἀπέπτης ἀκέτι;
ὡς οὐκ ἀπέπτης, ἵπταταί μου τὸ κλέος.

## ΣΤΙΧΟΙ ΙΑΜΒΟΙ

### ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

Ἀγροικος, Σοφὸς, Χορὸς, Μῦσαι.

Α. Ὦ χαῖρε, τύχη πότνια, τρισολβία,
τοιάνδε σὲ ξύμμαχον ἐννοεῖν θέλω,
ἀεὶ ποδηγὸν τοῦ βίου παρεσσάμαι.
Σ. Ἄγροικε, τί φῄς; τί δὲ μέλπεις τὴν θεάν,
πότνιον αὐτὴν καὶ τρισολβίαν λέγων,
τὴν ὡς ἀληθῶς βαθέλυρον, τρισαθλίαν,
τὴν ἐς ἀεὶ σφαλλουσαν ὀρθυίας τρέβους;
Α. Σίγα, σιώπα, σφίγγε τὸ λαῦρον στόμα,
καὶ μὴ θελήσῃς τὴν θεὰν πορροργίσαι,
ἅπασι γὰρ παρεστὶ καὶ πάντα βλέπει.
Σ. Τυφλὴν θεὰν τὶς νοῦν ἔχουσα σεβάζεται;
Α. Παρετράπης νοῦν, ἐξυδερικὸς ἐσί μοι.
Σ. Καὶ πῶς περὶ σὰς ἦλθεν ἀγροίκως θύρας;
Α. Κατεῖδεν αὐτὰς εἰς ἑαυτὴν ἀξίας.
Σ. Πρὸς τὰς ἐμὰς ἦλαυσεν ἐλθεῖν οἰκίας
ἡ πέμπελος γραῦς, ἡ βραδύπους ἀθλία
πεσοῦσα δ' ἄφνω τοῖς λίθοις προσερρίφη,
κἀν τοῖς ποσὶν ἔσχηκεν ἀγροίαν νόσον.

Digitized by Google

ἀφῆκεν ἓν τὸ τραῦμα ταύτην ἐκ ἔτι
δραμεῖν πρὸς ἡμᾶς, ἢ προκύψαι τῆς θύρας·
ἰδοῦσα δ' ἐγγὺς ἀνεῳγμένας θύρας,
ἦλθεν εἰς αὐτὰς καὶ συνεκρύβη ἔσω.
Χ. Ὦ δέσποτα, ῥᾴδιον ὀψὲ τῶν νόσων,
καὶ πρὸς λαλιὰν τὰς σοφὰς μόσας δίδε·
πάρεισι γὰρ, πάρεισιν ἐξολισμέναι.
Μ. Ὦ χαῖρε φως-ηφ, τῷ λόγῳ τὸ χωρίον.
Σ. Οὐ λαμβάνουσι τοὺς λόγους εἰς ἀγοράν.
Μ. Οὐ τοὺς ἐπαίνους ἀντὶ τοῦ πλούτου φέρεις;
Σ. Καὶ πῶς ἔπαινος οἶδε γας-έρα τρέφειν;
Μ. Ἡ γῆ βοτάνας οἶδε καὶ χλόην φύειν.
Σ. Τὰς καταράτους· ἀ ῥαπίζετε ξύλοις,
ὄνῳ παροικάσατε τὸν τάλανά με·
ἄνθρωπος εἰμὶ, πῶς δὲ φάγω τὴν χλόην;
Μ. Οὐ πάνσοφος σὺ τῶν σοφῶν βουλευμάτων.
Σ. Βουλεύομαι πῶς ἐκφύγω βίᾳ βίαν,
ἀλλ' ἀ τὸ τέρμα τῆσδ' ἐγὼ προσλαμβάνω·
Μ. Φιλεῖς μεθῦσαι τὴν πολύχρυσον μέθην.
Σ. Μέθη δέ τις πέφυκεν ἐκδιδάσκεται,
καὶ μὴ δ' ἄδηλα τοῖς ἀδήλοις βάζετε.
Μ. Μέθυσιν ἀ κατεῖδες ἐξ οἴνου ποτέ;
Σ. Οἶνος δέ τις πέφυκεν ἐκδεδάσκεται,
ἐμοῦ γὰρ ὕδωρ ἔξυδαρῶς γας-έρα.
Μ. Ποθεῖς τ' ἄσοφος ἐκ σοφῶν καθες-άναι,
καὶ μὴ γινώσκειν τοὺς σοφῶν ἀνδρῶν λόγους;
Σ. Ποθῶ γενέσθαι βυρσοδέψης, λατόμος,
εἰ καί τις ἄλλος καὶ τῆς βαναυσίδος τέχνης·
καὶ γὰρ σκυτεύς τις, ὀψοπώλης, ἄσοφος,
ὃς μηδὲ τὸ γρῦ προσλαλῶν εἰδὼς ἔτι,
ἐν τῷ λαλεῖν δὲ σιέλων χέει πίθους,

Digitized by Google

σόλοικος αἰσχρὸς, πάμπαν ἠγροικισμένος,
προέρχεται μὲν τῆς λαοφόρου μέσον,
ὑπὸ προπομπῆς ἀρχικῶς ἐξαλμένος,
γαύρως δὲ πολλὰς ἐξερεύγεται λόγους·
ἄλλος δὲ σοφὸς, εὐγενὴς τὰ πρὸς λόγους,
ἀνέξιος πρόεισιν, ἄθλιος, πένης·
χρυσὸς γὰρ ἄρτι καὶ λαλεῖ καὶ σπένδεται.

---

## ΤΟΥ 'ΡΟΔΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ

### ΠΡΟΣ ΤΟΝ ΧΟΙΡΟΣΦΑΚΤΗΝ ΛΕΟΝΤΑ.

'Αλλ' ὡς μακελλεὺς καὶ σφαγεὺς χοίρων πέλων,
κλήσεις ἄκρας σῶν καλῶν σπεθασμάτων,
ὧν ἄξιος πέφυκας δύσμορε κλύειν,
ἐκ σπαργάνων τέτοισιν ἐντεθραμμένος·
ἀλλαντοχορδοκοιλιεντεροπλύτα·
ὀρνιθοχηνονηττοπερδικοπράτα·
λακτεντοχοιροκριοβυτραγοσφάγε·
πλαγγυζυγοκαμπανοσφαιρωτά·
καπηλομηνομετροκαυκαλογλύφε·
λαρυγγοφλασκοξεσχανδοεκπότα·
κασαλβοπορνομαχλοπροικτεπεμβάτα·
ὀλεθροβιβλοφαλσογραμματοφθόρε·
σολοικοβαττοβαρβαροσκυτογράφε·
καὶ ψευδομυθοσαθροπλασματοπλόκε·
'Ελληνοθρησκοχριστοβλασφημοτρόπε·
καὶ παντοτολμοψευδομηχανορράφε·
καὶ τρωκτοφερνοπρεσκοχρηματοφθόρε·
ἀρρητοποιονυκτεροσκοτεργάτα·
καὶ νεκροτυμβοκλεπτολωποεκδύτα·

Digitized by Google

καὶ ταβλοπεττοβολοπυργοσυνθέτα·
βαρβιτοναβλοπλινθοκυμβαλοκτύπε·
καὶ ψαλτοχορδοσαμβυκοργανοκρότα·
κορνητοπαρθενοτριβοφυχοφθόρε·
καὶ μοιχοπαιδοθηλοσκανδαλεργάτα·
πρεσβευτοκερδοσυγχυτοσπονδοφθόρε·
καὶ κοσμολεθροσυμφοροπλανοσπόρε·
λεκανομαντοψευδορηματεκφόρε·
καὶ ζωοθυτοκαρδιηπατοσκόπε·
κακῆ τε παντὸς ἐργεπιστήμων ξένε·
ῥύπασμα κόσμου καὶ γέλως Βυζαντίων·
κοινὸν κάθαρμα τῆς ὅλης οἰκουμένης·
τέκνων ἐραστά, τῶνπερ ἔπειρας τάλας·
φθορεῦ γυνάνδρων, καὶ νέων ἀσωτία·
κακῶν ἁπάντων συμμιγὴς ἀῤῥωστία.

---

Τῆ αὐτῆ πρὸς Θεόδωρον Εὐνῆχον Παφλαγόνα.

---

Οὐ γάρ τις αὐτῶν ἀξιόχρεως πέλει,
οὐ χειρὸς ἔργοις, οὐ λόγων κομψεύμασιν,
οὐκ ἐν ποιηταῖς, οὐ τραγῳδιογράφοις·
οὐ τοῖς πλέκουσι τὰς σοφὰς κωμῳδίας·
οὐ δεινότητι ῥητόρων γαυρουμένοις·
οὐ πεζολέκταις, οὐχ ἁπλῶς λογογράφοις·
οὐ πεντάθλοισιν, οὐκ ὀλυμπιονίκαις·
οὐκ ἐν στρατηγοῖς καὶ δοκίμοις ἀνδράσιν·
οὐκ ἐν παλαισταῖς ἢ ποσὶ ταχυδρόμοις,
ἀλλ' ἔντ' ἀγύρταις, ἔντ' ἐπιτρίπτοις μόνον·
ἐν ὀστρακοθρύπταισιν, ἐν λιθοξόοις.
ἐν τοῖς προσαίταις, ἐν πενήτων ὁρμαθῷ·



Digitized by Google

ἐν ἀρτοχανδοψωμολεθροπαμφάγοις·
ἐν ὀψοποιολαρδοκαπηλεμπόροις·
ἐν χοιροκριοταυροβιτραγοσφάγοις·
ἐν σκομβροθυνορκυνοδελφιναγρέταις·
ἐν λεπτοσαυριδος-ρεκτενοπράταις·
ἐν σειροπλεκτοκρομμυοσκορδοπλόκοις·
ἐν τορνομυοσκυφοβαυκαλογλύφοις·
ἐν ἀμπελεργοταφρολισκαρεργάταις·
ἐν μηλολεπτοκαροκας-ανοπράταις·
ἐν σμερδοσαπρολαρδοταριχεμπόλοις·
ἐν κοπροκαλαυοπλυτοσκατεκφόροις·
ἐν ἀρκοπαικτολωποχιτωνεκδύταις·
ἐν κλεπτοτυμβωνυκτιροσκοτεργάταις·
ἐν πᾶσιν οἷς ἔνεστι συρφετὸς βίος,
ἐν τοῖσιν ἐς-ὶν εὐδόκιμον σὸν γένος,
ὦ βυρσοδεψοπαφλαγὸν κακὸν τέρας·
λοιπὸν παλεγκάπηλε, φράττε σὸν στόμα·
καὶ χοῖρος ὢν ἄνωθεν ἐκ μακρῆ γένους,
κἀυτῆς δε πάτρας χοιροβαλανοτρόφε,
τρανῶς ἄκουε χειροπαφλάγων νέε,
καὶ βόσκε χοίρους, ὡς γένος χοίρων πέλων,
καὶ τρῶγ' ἄκυλον καὶ διαιτᾶ κανθάρους,
καὶ γας-έρ' ἐξόγκωσον εἰς ἄσον σθένεις,
καὶ μὴ λόγους μάταζε χοιρώδεις γράφων,
ἀλλ' ὡς συὸς γέννημα, γρυλλίζειν μάθε,
καὶ σκῶρ μασᾶσθαι καὶ δυσώδη καπρίαν,
ἔπου τε μητρὶ πυκνὰ πυκνὰ γρυλλίζων·
ὅταν δὲ καιρὸς τῆς σφαγῆς χοίρων φθάσῃ,
τότε σφαγήσῃ κἀυτὸς, ὡς χοίρων γένος.

---

Digitized by Google

Κωνσταντίνου Ῥοδίου ἐν σκωπτικοῖς ἰάμβοις εἰς Θεόδωρον Εὐνέχον Παφλαγόνα, τὸν ἐπονομαζόμενον Βρέφος, λαβόντες ἀρχὴν ἀπὸ ταύτης αἰτίας· γράψαντος γὰρ Κωνσταντίνου ἔν τινι βίβλῳ περιεχούσῃ βίβλους τῶν παλαιῶν φιλοσόφων, γνώμην τοιαύτην, δι' ἰάμβων ἔχουσαν οὕτως

---

Σοφὸς μὲν οὐδεὶς εὑρεθήσετ' ὡς θέμις,
ἐν τῷ καθ' ἡμᾶς δυσχερεστάτῳ χρόνῳ,
σκάζουσι γάρ πως οἱ δοκοῦντες ἐξέχειν·
μωροί δὲ πλεῖνες εὐτυχοῦσιν ἀρτίως,
φορὰ γὰρ αὐτῶν ἦλθε πάντῃ που ξένη.

Ἀντέγραψε δὲ πρὸς ταῦτα Θεόδωρος ὁ Παφλαγὼν οὕτως.

Οὐ πάντες εἰσὶ τῶν φρενῶν ἠττημένοι,
ὡς εἶπας, ὡς ἔγραψας, ὦ μωρῶν πέρα·
σοφοὶ δὲ πολλοί· δεῖ δὲ καὶ παραφρόνων·
ὧν αὐτὸς ἦσθα πάντα κωμῳδῶν μάτην.

Πρὸς ταῦτα προοιμιάσατο Κωνσταντῖνος Ῥόδιος οὕτως.

Ἐγὼ, μὰ τὸν φύσαντα τὸ βροτὸν γένος,
καὶ τὴν ὅλην σύμπηξιν εἰς τὸ νῦν φάος
τῷ τῇδε κόσμῳ τῷ παναθλιωτάτῳ,
ὃν βάσκανος νοῦς καὶ πονηρὰ καρδία
τῷ πρὶν πεσόντος ὕψοθεν, Σατὰν λέγω,
εἰς προῦπτον ἐξώθησε Ταρτάρου ζόφον,
οὐ σκωπτικῶς προσεῖπον ἄσχετον λόγον,
φθονῶν σοφοῖσι μὴ σοφὸς πέλων τάχα·
ἀλλ' οὖν γε πέζων, μετριάζων τοῖς φίλοις,
εἶπον προσηνῶς καὶ φθόνῳ παντὸς δίχα·
ἐπεί δ' ὁ παγκάκιστος οὑτωσὶ φθόνος,

Digitized by Google

ὁ σοῖς κατοικῶν ἐγκάτοις ἀποκρύφοις,
ἔτυψε τὴν σὴν βάσκανον, τάλαν, φρένα,
σκώπτειν περ ἄνδρα μηδὲν ἠδικηκότα,
χαίρων πρὸς αὐτὴν ἔρχομαι, ψυχοφθόρε,
τὴν ἥνπερ αὐτὸς ἔσησας πάλιν λόγων,
βάψας χερῶν μου δακτύλους πολυρρόφους
ἐν τῇ κονίρρᾳ, τῇπερ ἔσκαψας, τάλαν·
ἔρχου τὸ λοιπὸν εἰς μεταίχμιον μάχης,
ὡς ἄνπερ ὄψει σώματος παναθλίᾳ
ὤκυρον αὐτῇ καὶ πανοίκτιρον μόρον·
ἄρχε τὸ λοιπὸν τῆς μάχης ὡπλισμένος,
εἴτε τριμέτροις τῶν ἰάμβων τοξόταις,
εἴτ' αὖ μελιχραῖς συλλαβαῖς πεζοδρόμοις·
ἠρωϊκῶν γὰρ, γύνις ὢν θηλυδρίας,
οὐδ' εἰς ὄναρ τὸ μέτρον ἔδρακες ποτέ.

Ἕτερον προοίμιον τοῦ αὐτοῦ.

Ἐπεὶ πτερῶν τέττιγος ἐδράξω, τάλαν,
τέμῃ στιγῶντος, καὶ λαλεῖν πεπαυμένου,
ὦ Παφλαγὼν πανοῦργε, παντεφθαρμένε·
ἐπεί τ' ἐγαργάλιξας αὐτῷ δακτύλῳ
καὶ μὴ θέλοντα προσλαλεῖν σκώπτεις μάτην·
αὖθις τὸ τοῦτον ἐκβιάζει πρὸς μάχην,
εἰρηνικὸν τελοῦντα καὶ πρᾷον βίον,
ἄκυρε λοιπὸν ᾠδικὰς μουσουργίας,
ἃς ἦσεν ὡς μάλιστα τῆς σῆς ἐκ βίας,
μέλπων ἄριστα σὸν γένος καὶ πατρίδα·
Μοῦσαι γὰρ ἐξέθρεψαν αὐτὸν ἐν λόγοις,
Μοῦσαι γλυκεραὶ, Χάριτές τε παρθένοι,
ἐξ ὧν πεπωκὼς ἀφθόνως γλυκὺ γάλα,
γοργῶν ἰάμβων ἐξερεύγεται κρότους,

Digitized by Google

ἄλλως μὲν ἄλλοις ἡδονῆς παραιτίως,
σοὶ δ' αὖ κέρασμα πικρίας πεπλησμένον,
ὑπὲρ χολὴν τῆς ὕδρας, ὑπὲρ ἀσπίδων·
ὅπερ πιὼν τὲ καὶ κατασχὼν ἐγκάτοις,
εὐθὺς ῥαγήσῃ τὴν νηδὺν τὴν ἀθλίαν·
ὡς ἂν μάθῃς, κακοῦργε, μὴ κινεῖν μάτην
εὖδοντ' ἐμὸν τέττιγα τὸν Μούσαις φίλον·
μὴ δ' εἰς σπέος λέοντος ἐμβαλεῖν πόδας,
ἄνανδρος ὢν μάλις-α καὶ θηλυδρίας.

Εἶτα ἀπεκρίθη πρὸς τὴν τῶ Παφλαγόνος γνώμην οὕτως.

Οὐ πάντας, ἄφρον, ἀφρονες-άτως γράφω·
οὐ δ' αὖ σοφὺς, ἄπαγε τῆς πονηρίας,
τοῦ νῦν διώκω παντελῶς ἔξω χρόνω·
ἀλλ' οὖν πιφάσκω, μὴ σοφὺς εἶν' ὡς δέον,
πληθὺν σκοπῶν ἄμετρον οὖσαν ἀφρόνων.

Εἶτα Θεόδωρος ὁ Παγλαγών.

Εἰ πάντες, ἄφρον, ἄφρονες καθὼς γράφεις,
πρῶτος, κακοπρόσωπε, μορμωτὸν τέρας,
καὶ δυσθέατον καὶ τρόμω παντὸς γέμον,
μωρῶν πέφυνας αὐτὸς ὁ γράφων τάδε.

Εἶτα Κων-αντῖνος ὁ Ῥόδιος.

Οὐ τῦτ' ἔλεξα, παντορέκτα καὶ πλάνε,
καὶ παμβέβηλε Παφλαγὼν πεπαρμένε,
ὡς ἄφρονες πέλωσι πάντες ἐν βίῳ,
κἀκ' ἔ-ιν οὐδεὶς τῶν φρονέντων εἰς ἄπαξ,
βρόχοις ἁλόντος μωρίας βροτῶν γένως·
ἀλλ' οὔτις ἐ-ὶν ἄρτι τῶν σοφῶν, τάλαν,
τυχὼν περισπέδας-ος ἄξιος λόγω,

Digitized by Google

καθὼς τὸ μωρῶν εὐτυχεῖ ϛίφος, πλάνε·
πρὸς ταῦθ' ὑπάντα καὶ γράφε, κακὸν κάρα,
καὶ μὴ πρὸς ὕβρεις γλῶτταν ἄϛεγον τρέπε.

Εἶτα Θεόδωρος ὁ Παφλαγών.

Εἰ τῶν σοφῶν λέλοιπε τάξις ἐν βίῳ,
μωρῶν δὲ πλήθη πανταχῇ βροτῶν πέλει,
τούτοις ἀρίθμει σαυτὸν εὐήθως γράφων·
πῇ γὰρ ϛαθήσῃ, μὴ διδὲς σοφοῖς τόπον;

Εἶτα Κωνϛαντῖνος ὁ Ῥόδιος.

Οὐ πάντας ἁπλῶς τοὺς βροτοὺς μωροὺς γράφω,
οὐ δ' αὖ πλάτος γῆς ἀφρόνων μεϛὸν πέλειν
εἶπον, μολοβρέ, μὴ θρασύνε παμφάγε·
ἀλλ' εἶπον, ὦ κάκιϛε, μὴ σοφοὺς πέλειν,
καθὼς ἄμετρός ἐϛιν ὄχλος ἀφρόνων.

Εἶτα Θεόδωρος ὁ Παφλαγών.

Ἅπαξ σοφοὺς ἅπαντας ἐκβαλὼν χρόνε,
μὴ σεμνομύθα, μηδ' ἐριϛικῶς γράφε·
πρὸς σῦ γὰρ ὄντως, ἄφρον, ἄφρονας βίος
μόνους λοχεύει, καὶ γένη μωρῶν τρέφει.

Εἶτα Ῥόδιος.

Σοφῶν μὲν οὐδεὶς εἶπον ἐν τῷ νῦν χρόνῳ,
ὦ Παφλαγὼν νήκουϛε τῆς Μουσῶν λύρας·
μωροὺς δὲ πλεύνας τῶν σοφῶν πεφυκέναι,
ἀλλ' οὐχ ἅπαντας ἄφρονας βροτοὺς πέλειν,
καθὼς γράφεις, ῥύπασμα τῦ βροτῶν γένους·
ἠρνησάμην δὲ τοὺς σοφοὺς τῦ νῦν βίου,
ὡς οὐκ ἔχοντας εὔθετον τρόπον, τάλαν·

Digitized by Google

οὐδ' αὖ τὸ σεμνὸν προσφυῶς κεκτημένους,
οὐδ' αὖ τὸ πεσσὸν καὶ πατεσσηριγμένον,
οὐδ' αὖ παθῶν ἔχοντας ἢ θυμῷ κράτος,
σπουδὴν ὁρῶν μάλιστα τῶν παλαιτέρων,
καὶ τὴν φρόνησιν καὶ τρόπους ἐλευθέρους,
καὶ τὸ πρὸς αὐτὴν τὴν ἀλήθειαν σέβας·
σκοπῶν τανῦνδε τὴν σοφῶν μοχθηρίαν,
καὶ τὸν πανοῦργον καὶ φιλάργυρον τρόπον,
καὶ τὸν σκοτεινὸν καὶ βαραθρώδη βίον,
ὧν εἶπον, εἶπον τὸν λόγον χωρὶς φθόνου·
μή σοι καλὸν γένοιτο, Παφλαγὼν φάγε,
μὴ δ' ὦν Θεῷ πρόσωπον εὐμενὲς βλέψοις,
ἵν' εἰς θήρετρα τῶν σοφῶν σταίης ὅλως,
ἢ σοῦ γραφείη κλῆσις ἐν Μεσῶν στέγαις,
ἀλλ' εἰς τὰ πορνῶν καὶ χαμαιτύπων τέγη
ἐν οἷς παθαίνῃ καὶ σπαθᾷς τῷ βορβόρῳ,
καὶ τῇ κυλίστρᾳ τῶν κακῶν ῥυπασμάτων,
πάσχων, γύνανδρε, τὴν κακόσχολον πάθην·
καὶ τῶν Σοδόμων καὶ Γομόρρας ὀργίων,
τελῶν τὸ μύσος φρικτὸν ἀῤῥητουργίας,
ἐν ταῖς χαμεύναις τῶν ἀθέσμων μαχλάδων,
ἐν τοῖς Κυβέλης ὀργίοις τε καὶ πλάναις,
ὅπου τὸ γάλλων ἐκμελὲς σίφος πέλει,
καὶ τῶν γυνάνδρων ἡ κακὴ συμμωρία·
ἔχεις τὸ λοιπόν, χοιρομαφλαγὼν πλάνε,
τῶν σῶν καμάτων καὶ πόνων καὶ γραμμάτων
μικρὸν παρεμπόρευμα καὶ μισθὸν τάδε.

Ὁ Παφλαγών.

Κακῶς τὸ ῥηθὲν ἢ πονηθέν σοι μάτην
ἔπος χαράξας, ἀσκόπως τε κ' ἀφρόνως,

Digitized by Google

μέμφου σεαυτὸν ἢ τὸ πᾶν ἢ τὰ πλέον·
ἐγὼ δ' ἐχεφρόνως τε καὶ καλῶς γράφων,
εὖ σου κατεσχόμην τῆς ἀγροικίας,
δεικνὺς κακόν σε τῶν ἰάμβων ἐργάτην,
γνωμῶν τ' ἄπειρον, κἂν μάτην φυσᾷς, ῥόδαξ.

Εἶτα Ῥόδιος.

Ἀνανδρε γύνι, γραμμάτων πάντῃ ξένε,
ὁ μηδὲν εἰδὼς μὴ λέγειν μήτ' αὖ γράφειν,
μὴ τ' ἐμπλέκεσθαι πρὸς πάλας σοφῶν λόγων,
ὁ τριττὺν αὐτὴν ἀγνοῶν Στησιχόρου,
πρὸς τὸν σκοπὸν τόξευε, μὴ κένου μάτην
βέλη φαρέτρας κωφὰ, συντετριμμένα,
μήπως βέλος σε χειρὸς ἀῤῥένος φθάσαν,
τύψῃ, προπέμπον φρικτὸν εἰς Ἅιδου δόμα.

Digitized by Google

## I.

## Ἰωάννου γραμματικοῦ Γάζης

Λόγος εἰς τὸν ὑπερφυέστατον Ζαχαρίαν τὸν Δοῦκα
τὸν Ἀσκαλωνίτην·
ἔχει δέ τινα καὶ εἰς τὸν μεγαλοπρεπέστατον Ζαχαρίαν
τὸν Γαζαῖον παρόντα τῇ ἀκροάσει.

---

Ὁ λόγος στρατηγικὴν λαβὼν ἐξουσίαν,
θαῤῥῶν πρόεισι τῷ στρατηγῷ συντρέχων.
Ἀπὸ Φοιβάδος μελίσσης
πεφορημένον με, Μοῦσαι,
πολιηόχοισι κώμοις
πολιήοχον δονεῖτε.
Ὁ δὲ νοὺς ὅλος χορεύων
νομοτερπέεσσιν αὐραις,
καθαρὸν μέλος τανάσσων
καθαρῷ μέλος κομίζοι.
Ὁ δ' Ἄρης ἄναξ ὁ σώφρων
δεδιδαγμένος γελάσσαι,
Παφίης χάριν κομίζων,
σὺν ἐμοὶ κρότους βοήσει.
Στρατιῆς, μάκαρ, κροτήσας,
σοφὸν ἱππότην διδάξας,
τὸ δὲ πεζὸν ἡμερώσας,
ἔχε μείζονας θοώκους.
Πόθεν ἦλθε Φοῖβος, ἄνδρες,
κράτος Ἄρεος κεράσσας;
ὁ δὲ Φοῖβος ἄλλος ἐγγὺς
πάλιν ἴκελος φαάνθη.

Digitized by Google

## II.

## ΤΟΥ ΑΥΤΟΥ

Ἐπιθαλάμιος σχεδιασθεὶς εἰς τὸν θαυμασιώτατον Ἀνατόλιον Φαύστου τὰ πρῶτα φέροντα Γάζης.

---

Ὁ λόγος ἐρωτικὴν ἐπιγνοὺς παῤῥησίαν,
ἦλθε χορεύων ὡς δεδοικὼς τοῦ πάθους.
Γλυκερὸς πάρεστι κῶμος
νεολάμπεος γαλήνης,
ὅτι τὴν νέαν Κυθήρην
Φαέθων νέος κομίζει.
Ὅθεν ἡ πόλις, τὸ φέγγος
φιλοπαννύχους χορείας,
στεφανηφόροισι μέλπει
δύο φωσφόροις μεγεῖσι.
Δότε μοι πόθου κύπελλον
γλυκερῆς βρύον μελίσσης,
ἵνα τὰς φρένας συνάπτων
νεονύμφιον χορεύσω.
Ὁ δ' Ἔρως, ὁ πάντα τίκτων,
φρένας εἰς φρένας συνάπτων,
ὁμοτερπέεσσιν αὔραις
φιλοτησίαν περάσσοι.
Φιλονύμφιος δὲ Κύπρις
γάμιον φέρουσα φίλτρον,
παρὰ πασάδας γελῶσα
γάμον εὔγαμον λιγαίνοι.
Ἀνατελλέτω τὶ φέγγος
τὸ φερώνυμον τοκῆος,

Digitized by Google

Φαέθων φάος λεχεύων
νεαρὸν σέλας κομίζει.

## III.

### ΤΟΥ ΑΥΤΟΥ

*Σχέδιον ἐν τῇ ἡμέρᾳ τῶν ῥόδων μετὰ τὸ εἰπεῖν τοὺς φοιτητάς.*

Ζεφύρου πνέοντος αὔραις
Χαρίτων θάλος δοκεύων
ῥοδαίης ἅπαντα χαίτης
Παφίης γέμουσιν ἄλση.
Ὁ δ' Ἔρως σοφῷ βελέμνῳ
φύσιν εἰς φύσιν συνάπτει,
ἵνα μὴ χανοῦσα λήθῃ
γένος ἐκ γένους καλύψῃ.
Φιλοτερπέες δὲ μολπαὶ
Διονυσίαις ἐν ὥραις,
ἔαρος νέον φανέντος,
νοεραῖς πνέουσι Μούσαις.
Χλοερῶν ὕπερθε δένδρων
μέλος ὄρνεον λιγαίνει,
δεδονημένη δὲ πᾶσα
φύσις εἰς ἔαρ χορεύει.
Σοφίης ἄναξ Ἀπόλλων
φαέθων ἔλαμψε φέγγος,
ὑπερημένος δὲ πώλοις
γλυκερὸν φάος προσαύξει.

Digitized by Google

Δότε μοι ῥόδον Κυθήρης,
ἀγέλαι σοφῆς μελίττης,
ἵνα Κύπριδος γελώσης
μέλος εἰς ῥόδον τνάξω.

## IV.

## ΤΟΥ ΑΥΤΟΥ

Λόγος, ὃν ἐπεδείξατο ἐν τῇ ἡμέρᾳ τῶν ῥόδων ἐν τῇ ἑαυτοῦ διατριβῇ.

Ὅτε φωσφόρος παρέρπει
Φαέθων μέσην πορείην
ὑπὸ κριὸν ἅρμα τείνων,
χθόνιαι φλέβες γελῶσιν.
Χθονοφοίτορες δὲ μοῖραι
κρυφίας γονὰς ἀρούρης
πάλιν εἰς φάος κἀλοῦσι,
χθόνα ποικίλην τελοῦσαι,
Ἵνα κόσμος ἀμφιθάλλων
ἐρόεις ἀεὶ νεάζῃ,
πολυκαρπίμου δὲ φύτλας
σὺν Ἔρωτι Κύπρις ἔλκει.
Φύσιν * πότνια χλοάζεις, * cod. Φύς
νεότητος ἐγχαράττεις,
ἵνα μὴ βίος καθεύδων
βροτέας σκέπῃ γενέθλας.
Τί γὰρ οὐ φέρουσιν ὧραι
μετὰ χείματος κελεύθους;
τί δὲ μὴ Χάρις φυτεύει

ἔαρος ϛ-έφουσα κάλλος;
Τί γὰρ οὐκ ἔαρ κομίζει
βιότου λύσιν μερίμνας,
ὅτε καὶ ῥόδον λοχεύει
περικορφύροις κορύμβοις;
Ἀπαλόχροος Κυθήρη
ῥοδέας ἔχει παρειὰς,
ἐθέλει πνέουσα φύλλων
ῥοδοδάκτυλος καλεῖσθαι.
Ὅτε καὶ νέος χλοάζων
γλυκερώτερος γαλήνης,
γυαλοὺς ἔλειπε γαίης
Χαρίτων βρύων Ἄδωνις.
Ὁ δὲ κοῦρος ἐϛὶ καρπὸς
κρατερὸς βίου προφήτης,
φύσεως ἐὼν λόχευμα,
Ἀφροδίσιαν χόρευμα.
Τί με παῖδες οὐ φιλεῖτε
τὸν ἀεὶ ζέοντα Μούσαις,
νοερὸν φέροντα Βάκχον
Ἑλικωνίοις κυπέλλοις;
Νέον ἦθος ἐνθαμίζου
κρίσιν οὐκ ἐᾷ κομίζειν·
νεοτησία γὰρ Ἥβη
φιλέει μάλιϛα παίζειν.
Ὁ σοφὸς χρόνος βαδίζων
ἐς ἐτήτυμον δικάσσει,
ὅτε τὸν τρέφοντα μύθοις
γενέτην ἔχειν διδάξει.
Μετὰ ποιμνίων ὁ ποιμὴν,
μεθύων γάλακτι Μούσης,

Digitized by Google

λιγαίως ἄρις-α παίζω,
καλύκων χάρᾳ δοκεύων.
Ὁ δὲ Φοῖβος ὀργιάζων
μέλος εὔλυρον θοάζει,
ἐπὶ Κυπρίοις πετήλοις
ἱλαρώτερον μελίζων.

## V.

## ΤΟΥ ΑΥΤΟΥ

Τίνας εἶποι λόγους ἡ Ἀφροδίτη ζητοῦσα τὸν Ἄδωνιν· ἀντιφθέγγεται δὲ πρὸς ταύτην ὁ Ζεὺς ἔπος πρὸς ἔπος ἀμειβόμενος·

Ὁ γέλως ὁ τῆς Κυθήρης
ἀπαθῶς βρύων γαλήνην,
γενέσεις ἀεὶ λοχεύων,
ἄχεσιν λίην κρατεῖται·
τί πάθω, πάτερ, τί ῥέξω;
Φιλίης ἄνασσα πηγῆς,
ζαθέῳ βρέμουσα κέντρῳ,
φιλομείλιχος γελῶσα,
Παφίη, γέμω μερίμνης·
τί πάθω, πάτερ, τί ῥέξω;
Ὁ τεὸς σπόρος με τίκτει
ἵνα φίλτρα πᾶσι μίσγω,
γονίμους σχέσεις λαβοῦσα·
πόθεν οὖν ἔχω τί λύπης;
τί πάθω, πάτερ, τί ῥέξω;
Τὸ δίκης ἀέβας σὲ βάλλει,

Digitized by Google

ὁ ποεῖς μόλις σὺ πάσχεις,
φιλέεις ἅπαντα παίζειν
καρδίαις φλόγας τιθεῖσα·
τὸ δίκης σέβας σὲ βάλλει.
Φορέεις ἄπιστον ἦθος,
μακάρων νόον πιέζεις,
βροτέας φρένας μαραίνεις,
γενετῆρος οὐδὲ φείδῃ·
τὸ δίκης σέβας σε βάλλει.
Ἔμαθον πυρὸς θυέλλας,
πολύμορφον ἆσχος ἔγνων
χθονίοις γάμοισι χαίρων,
ὁ θεῶν ἄναξ ἐπαίχθην·
τὸ δίκης σέβας σε βάλλει.
Τί με παγνίοις ἀτίζεις;
ἐθέλω βλέπειν Ἄδωνιν
ἐρατὸν βρύοντα κάλλος,
λυκάβαντος εἰς ὃ κόσμος
γονίμους σφέων ἀρούρας.
Ἄρεως θανὼν ὀδόντι
ὁ νέος νέον χαλέπτει,
ἄγονος φύσις καθεύδει,
ὑπὸ γῆν ἰὼν ὁ κοῦρος
Ἀΐδου δάμαρτα τέρπει.
Καταβήσομαι πρὸς Ἄδην,
ὅθι Κέρβερος βαΰζων,
ζοφερὸς κύων τυράννου,
ἐμὸν οὐ σθένος φοβήσει,
ἵνα μὴ φίλον κομίσσω.
Κατάβηθι, Κύπρι, θᾶττον
σὺν Ἔρωτι, σὺν βελέμνοις

Digitized by Google

νεκύων κάτω πρὸς αὐλὰς,
ἵν' ἀπαλλαγῶ φαρέτρης
ἐν ὅσῳ πόνοις σχολάζεις.
Τέο μέχρι ταῦτα βάζω,
ἄτε κέρτομος πλανήτης·
τί γὰρ ἐν θεοῖσι χάρμα;
τί δὲ λυπρὸν ἐμβατεύει;
ἀπαθὴς Ὄλυμπός ἐστιν.
Ἀπάτας πλέκουσι μῦθοι,
κενεὰ πνέουσι τόλμαις,
τὰ πάθη πνέουσι γαίης
μακάρων ἄνω πρὸς οὖδας·
ἀπαθὴς Ὄλυμπός ἐστιν.
Ὅταν ἡδονάς τις εὕρῃ
μεταβάλλεται πρὸς ἥβην,
ὅτε συνδάμουσι λύπαι
θορύβοις κέαρ δονεῖται·
θεὸς οὐ τρόπους ἀμείβει.
Θεότητι συγχορεύει
ἀγαθῶν ἄϋλος ὅρμος,
ὅθι ῥᾳδίως ἀπαύστως
βιοτὴ μάλιστα θάλλει,
ὅπερ ἡδονὰς καλοῦσιν.
Τί δὲ κωλύει τὸ θάλλειν;
τί δὲ μὴ σύνεστι κάλλος;
ἐσαεί πέλουσι πάντῃ
ἀγαθὴν ῥέοντες ἀλκήν,
ὅπερ ἡδονὰς καλοῦσιν.
Γάνυμαι τὰ τερπνὰ πάσχειν
ἐσορῶν ἄγαλμα κάσμου
ὑπερουσίῳ φρονήσει,

Digitized by Google

ὅπερ ἤνυσα ξυνάπτων
νοεροῖς λόγοισι δήσας.
Κρυφίως ὕπερθεν ἄλλου
ἕτερον σθένος φαείνει,
τὸ δὲ δευτέρων πρωάρχον
καθ' ἑαυτὸ χωρὶς ἕξη
ὑπὸ μείζονος προνοίης.
Τὸ δὲ νόσφι τοῦτο μῦθος,
ὃ διαίρεσιν δοκεύων,
μακάρων ἔνισπε λύπην,
θεομυθίαι φιλοῦσιν
λογέως ἅπαντα παίζειν.
Παφίη, φύλαγμα κόσμου,
τὸ τελέσφορον κομίζεις,
ἀνὰ νύκτα καὶ καθ' ἡμαρ
διὰ νυμφίων ἐρώτων
γενεὰς τρέφουσα πάσας.
Ἀρότους δίδαισκε τίκτειν
* * * * * * * * * * * * *

I.

## ΗΛΙΟΥ ΣΥΓΚΕΛΛΟΥ ΙΕΡΕΩΣ

Ἀνακρεόντειον κατανυκτικὸν ᾀδόμενον εἰς ἦχον πλ. δ΄.

Ἀπὸ καρδίας θεμέθλων
ἀνάγω πυκνὰ ξενάγμον,
ἀνομημάτων γὰρ ἄχθος
ἀνακειμένῳ κλονεῖ με.



Digitized by Google

Βροτὸς ἀσθενὴς ὑπάρχω,
βαρὺ φορτίον προσαίρω,
βίον ὡς ὁδὸν παρέλκω,
βάθος εἰς κακῶν προκύπτω.
Γεφύρας δίκην προβαίνω
γῆρας * ἄστατον τὰ τῇδε, * cod. γύραν
γόμον αἰσχύνης κακῶν μου
γοερῶς μετεμβιβάζω.
Διὰ τί ψυχὴ καθεύδεις;
διὰ τί βλέπεις ὀνείρους;
διὰ τί σκιαῖς παλαίεις;
διὰ τί τρέχεις ἀδήλως;
Ἐπὶ τοὺς τάφους πρόκυψον,
ἐπὶ τοὺς πάλαι θανέντας,
ἐφόρα φίλους γονεῖς τε
ἐπὶ σαπρίαν δυσώδη.
Ζόφον ἐσαεὶ κατοικῶν
ζοφερῶν ἔσω πυλώνων,
ζοφέεσσιν ἐν τόποισιν
ζαθέειν τε μέχρις ὥρας
Ἡ Ἀδρανὴς ἐκεῖ δυνάστης,
ἀφανὴς ὁ βασιλεύων,
ἀμαθὴς ἐκεῖ σοφός τε,
ἀπερίστατος τε πλοῦτος.
Θέασαι τὰ τερπνὰ κάλλη
θέαν οἰμωγὴν κινοῦντα,
θέασαι νέων τὰ ἄνθη
θανάτῳ καταφθαρέντα.
Ἴδε πῶς μικρὸς γενήσῃ,
ἴδε πῶς νεκρὸς τεθήσῃ,
ἴδε δόξαν ἀστατοῦσαν,

Digitized by Google

ἴδε ποῦ τύπος μετῆλθεν.
Κόνις ὀς-έων δυσώδης,
κεφαλῆς τρίχας ῥεούσας,
κραναίαι φθορᾶς γέμοντα
καθορῶσιν ὡς βδέλυγμα.
Λόγισαι δὲ κατὰ τὸ μέλλον,
λέγε πῶς παρας-αθήσῃ
λόγον ἔνδικον ὑφέξων
λελογισμένων δι' ἔργων.
Μετὰ πλειόνων κυκλούντων
μεμονωμένος πορεύσει,
μετὰ πράξεων κρυφαίων
μέγα πρὸς Θεοῖο βῆμα.
Νεότης ἄφνω παρῆλθεν,
νέφος ὥσπερ ἐφεδάσθη,
νόμον ἠθέτησα θεῖον
νενοθευμένως βιώσας.
Ξένος ἐκ καλῶν ὑπάρχω,
ξένος ἐκ δικαιοσύνης,
ξένος ἐκ τὲ σωφροσύνης,
ξένος ἐκ φρονήσεώς τε.
Ὅτε γυμνὸς οὖν προσέλθω
ὅλος ἠπορημένος τε,
ὀδυνηρὰ κλαυθμυρίζων
ὀφέλειαν αὐκ ἀνοίσω.
Παρὰ τοῦ κρειτοῦ δ' ἀκούσω
πεπεδημένων λαβόντες,
πυρὸς ἐν μέσῳ βαλόντες,
πικρὰ τοῦτον ἐκπυροῦται.
Ῥύσαι, Χρις-έ, τοῦ πυρός με,
ῥύσαι τοῦ σκότους με, Σῶτερ.

Digitized by Google

ῥύσαι με φλογὸς γεέννης,
ῥύσαι τῶν πικρῶν κολαζ-ῶν.
Σύ με ταρτάρου σαώζοις,
σκέπασον βρυγμῶν ὀδόντων,
σύ με σῶζε τῆς καμίνου
στεναγμῶν τεῶν ἀπαύς-ων.
Τίς ἔσσομαι πρὸς τοσαῦτα;
τίς ἐκεῖ συνήγορός μοι;
τίς γενήσεταί μοι λύτρον;
τίνα μηχανὴν ἐφεύρω;
Ὑπέδραμεν δὴ χρόνος μοι,
ὑπελήλυθεν βίος μοι,
ὑπέκυψα τοῖς ματαίοις
ὑπὸ τῆς ἐμῆς ἀνοίας.
Φοβερὸν τὸ ἐμπεσεῖν με
φοβερὰς Θεοῦ πρὸς χεῖρας,
φοβερὸν κριτήριον γε
φυλὰς γηγενῶν ἐφέλκον.
Χλοερὸν παρῆλθεν ἄνθος,
χρόνος ἐς-ὶ νῦν θερισμοῦ,
χοὸς εἰσκαλεῖ με μοῖρα,
χύμα πρὸς τάφον τιθεῖσα.
Ψιλὸς εἰς τέλος ὑπάρχω,
ψεκὰς αὖθις ἡ τυχοῦσα,
ψόφος εὐπόρις-ος αὔρας,
ψαμάθοις νέον ἄθυρμα.
Ὁ Θεός, δέ μοι παράσχου
ὅλον εἰς βίου τὸ λεῖπον
ὁδὸν εἰς μίαν βαδίζειν
ὁλόκληρον ἐντολῶν σου.

Digitized by Google

## II.

## ΤΟΥ 'ΑΥΤΟΥ

### Θρηνητικὸν εἰς ἑαυτόν.

'Αγίων τίς ἄρα λεύσων
βίον, ὃν τέλεσσα, τλήμων,
στονάχων ἄνευ παρέλθοι;
ἐμὲ παμφόρως δακρύων;
Βλεφάροις ἐμοῖς, προφῆτα,
δακρύων ῥοὰς παράσχοις,
κεφαλῇ τε ῥεῖθρα πλεῖστα
καταυύξεως ὀπάζοις,
Γόον ὄφρα θερμὸν, αἰμοι,
ἐπ' ἐμοῖς κακοῖς θρηνήσω
ἀνὰ νύκτα καὶ καθ' ἡμαρ
μέχρις ἐν βροτοῖς ὑπάρχω.
Δότε μοι τὰ λέκτρα σάρκων
ἐπὶ γῆς, φίλοι, ταθέντα,
δότε μοι χιτῶνα τέφρην
τὸν ἐμοὶ πρέποντα μούνῳ.
'Εσορῶν κλέος δικαίων
ὁ λαχὼν φέρειν δικαίως,
ἀρετὴν πόθησα τλήμων
βίον ἔνθεόν τε τούτων.
Ζαθέης γάρ ἐστι δόξης
ἀρετῇ καλῇ τιθήνη,
πόνος ὁ κλυτὸς δὲ βαίνων
ἀρετὴν μάθεν διώκειν.
Θαλάμους ὅθεν τοκήων,
γενέτας φίλην τε πάτρην,

Digitized by Google

βρόχον ὡς λεπὼν βερέθρου,
ἐς ἐρημίην πετάσθην.
Ἱερὸς δέ μοι συνῆπτο
φίλος ἐς βίον μονήρων,
Λυκίων λογὰς σαώφρων
τότε Νικόλεως ἥρως.
Κοτέων καλοῖσι δαίμων
φόνιος τέ μοι γεραίρει,
διὸ τὸν κάσιν σπαράξας
ἀπ' ἐμοῦ μόνον μεθῆκεν.
Λογικῶς δὲ πάντας ἄθλους
ἀρετῆς κάσις τελέσσας,
κατὰ γῆν μόνον με λείψας,
δράμεν ἐς πόλον χαρεύων.
Μερόπων γάρ ἐστι κρίσις
τάχα χειρόων προθυμήσειν.
χθονίου κλύδωνος ἔφρα
χαλεπῆς φύγοιεν ἄτην.
Νέον ἄθλιον νομίζω
γενέτην, παθὼν κακίεως,
ὅς ἀεικῶν ἐμὲ λάτρην
πάλιν ὡς πάρος ποιεῖται·
Ξύλον ἄγριον φανέντην
ὁ τάλας ἄκαρπον, οἴμοι,
διὸ τὴν τομὴν φοβοῦμαι
σχεδόθεν λίαν παροῦσαν.
Ὁ τάλας ἐγὼ τί τεύξω
χαποεργίην σχολάζων,
ὅτι με χρόνος βαδίζων
ἄτε κὠψ λαθὼν παρῆλθεν;
Πονέειν φυγὼν, ἀρίεων

Digitized by Google

ἀμελεῖν μαθὼν κακίστως,
κακίης ὄθεν ταλάφρων
ἐνὶ τέλμασιν βυθίσθην.
Ῥοὸς ἡδονῶν με δάφνα
ἀπὸ καρδίης σαλάσσων,
ὃς ἐμὲ σθένει προσέρπων
στυγερὼν πρὸς ἔργων ἕλκει.
Σθένος ἐλπίδων μαράνθη
χρονίης νόσου κρατούσης,
μετὰ γνώσεως δὲ ῥώμην
χαλεπῶς καθεῖλεν ὄκνος.
Τί τάλας μάτην θαάσσεις;
τί χρόνον μάτην ἀπώλεις,
ὃν ἔλειν δρόμῳ φυγόντα
ἐπόρου, πέλει βροτοῖσι;
Ὕπαρ ὁ βλέπειν νομίζεις,
ὄναρ ἔσκε πρὸς τὸ μέλλον,
ὁ παρὼν χὰρ βίος ἕρπει
δρόμον ἀσάτων ὀνείρων.
Φοβερὸν δὲ βῆμα μίλλει
ἐπεὶ γῆς Θεοῦ τεθῆναι,
βιότης βροτῶν τὸ τέρμα
ἀθρόως ὅτ' ἂν φανείη.
Χαλεπῶς τότε σοβήσει
ζόφον ἐντροπῆς τε τλήμων,
ἐπὶ βήματος Θεοῖο
κακίης τεῆς φανείσης.
Ψόγον οὐ φυγόντα κείνου
ζοφεροῦ κλόνου τὸ βῆμα,
φλογερὸς ῥόος γεέννης
ἐς ἀεὶ τάλας σε φλέξει.

Digitized by Google

Ἐλέῳ μόνῳ σῶζε τότε, Χριστέ μου,
τὸν πεσόντα διὰ σοῦ μέγιστον οἶκτον.
Μερόπων εὐσεβεὶς συμπαθὲς ἄλγος
ἐπ' ἐμοὶ σωφρονίῳ δείξατε θρήνους.

## I.

## ΓΕΩΡΓΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

Τί εἶποι ἡ Ἀφροδίτη τῆς Ἀθηνᾶς φυτευσάσης ἐλαίαν, καὶ ἀνελθόντος ῥόδου.

* * * * * * * * * * *
* * * * * * * * * * *

Ὁ Ἔρως χάριν συνάπτων
πόρε μοι ῥόδον, Κυθήρη,
ἵνα σὺν πόθοις χορεύω
Ἑλικῶνι σὺν βελέμνοις.
Φλογερὸν βέλος τινάσσει
τὸ γένος τὸ τῶν Ἐρώτων.
Ἀπ' ἐμῶν ῥόδων προσῆλθες,
Ἀπ' ἐμοῦ φέρεις τὸ κάλλος,
ἵνα σε πλέον τὸ κέντρον
ῥοδέοις φυτοῖς δαμάσσῃ.
Ἄχρι τίς μάθει τὸ κρεῖσσον
ἀγνοῶν δοκεῖ κακίζειν,
ὅτε δὲ χρόνῳ νοήσει
τί πρὶν οὐ μάθεν ξενάζειν·
Τὸ καλὸν φύσει μαθοῦσα,
μάθε καὶ πόθεν τὸ κρεῖσσον.

Digitized by Google

Τὸ ῥόδον πάλιν προλάμπει
Χάριτας κλάδοις χαράσσων,
ὁ γὰρ ἡ φύσις προεῦρεν
τὸ ῥόδον μόνον προεῦρεν.
Γλυκερὸν ῥόδον προῆλθεν,
γλυκερὴν χάρεν κομίζει,
κοτίνου δὲ πικρὸν ἄνθος
γλυκεροῖς κλάδοις καλύπτει.
Φύσεως μόνην κρατοῦσαν
Παφίην ἔδειξε πάσης,
δροσόεν ῥόδον κρατῆσαν
στιβαρῶν κλάδων ἐλαίης.
Τὸ ῥόδον φυτῶν τὸ κάλλος
παλάμαις τεαῖς λαβοῦσα,
Παφίης μελῶν, Ἀθήνη,
ἐρατοὺς χαροὺς μετέρχου.
Παφίην μόνην Ἀθήνης
κρατέειν ῥόδον διδάσκει.
Δότε μοι ῥόδον φυτεύσω,
ἵνα καὶ ῥόδον προέλθῃ,
ὅτε δὲ τραπῇ πρὸς ἄλλο
τότε Παλλάς ἐστι κρείσσων.
Τί λέγουσιν Ἀφροδίτην
βυθίοις ἁλὸς γενέσθαι,
ὅτε καὶ πλέον με γαῖα
διὰ τοῦ ῥόδου σεβίζει;
Ἔτι παρθένος καλεῖσθαι
τάχα νῦν θέλεις, Ἀθήνη,
μάθε τοὺς πάθους Κυθήρης
ἵνα καὶ ῥόδου κρατήσῃς.
Ἀρετῆς πόσης μετέσχεν,

Digitized by Google

ὅταν εἰς ῥόδον μετῆλθεν,
τὸ φυτὸν τὸ τῆς Κυθήρης
ὅτε τὴν ἄκανθαν εἶλξεν;
Πρόφασις πέλει ποθούντων
τὸ ῥόδον τὸ τῆς Κυθήρης.
Πάλιν ὁ χρόνος κομίζει
γλυκερὸν φάος χορείης,
λογαοῖς λόγοις κρατοῦντες
τελετῆς νόμιον τεκόντες.
Σταχυηκόμος δὲ γαῖα,
ἅτε Κύπριδος τὸ ἄνθος,
νοερὴν ἔνοιγε βῶλον,
ῥόδον αὖ στάχυν φερούσης.
Λιβάνου κλέος Κυθήρη,
Χαρίτων ὅπλον τὰ τόξα,
Μαραθὼν ἔρως Ἀθήνης,
σοφίης ὅπλον τὰ τόξα.
Ὁ γέρων Ἔρως χορεύει
ῥόδον εἰς χάρας συνάπτων.
Ἐδάης τὰ νῦν, Ἀθήνη,
καλύκων σθένος Κυθήρης,
ῥόδα Κύπριδος χορεύει
ὅτι Παλλάδος κρατοῦσιν.
Παφίη, χόρευε μούνη,
ὅτι καὶ μόνη διδάχθης
κρατέειν σοφῆς Ἀθήνης
φλογεροῖς ῥόδοις τυπείσης.
Φλογεροῖς ἐπλῆσι κέντροις
βροτέη φύσις κρατεῖται,
μάθε, Παλλὰς, ἐξ Ἐρώτων
ὁπόσον σθένος Κυθήρης.

Digitized by Google

Ἐδάης ῥόδου τὸ ἄνθος
μάθε καὶ πόθου τὸ κέντρον.
Πτόλις ἐστὶν Ἀφροδίτης
μεγάλαι σοφῶν Ἀθῆναι,
ὅτι Κύπριδος προσῆλθε
τὸ φυτὸν τὸ τῆς ἐλαίης.
Ὅτε μῆλον ἔσχε Κύπρις
κλέος ἄφθιτον προσεῦρεν,
πλέον ἄστατον δὲ μᾶλλον
φθόνον ἐκ θεῶν ἁπάντων.
Τὸ ῥόδον πλέον με μήλου
σοφὸν εἰς κλέος κομίζει.
Βελέων Ἔρωτος οἶδεν
τὸ ῥόδον πλέον με τέρπειν,
ὅτι Παλλάδος κρατῆσαν
Παφίη κλέος προσάπτει.
Ἄγαμαι φύσιν πετήλων,
κάλυκας πλέον γεραίρω,
διὰ τῶν ῥόδων γὰρ ἄρτι
σοφίης κρατοῦσα λάμπω.
Παλάμαις ῥόδον λαβοῦσα
ποτὶ σὰς κόμιζε ῥῖνας,
ἵνα τὴν χάριν λαβοῦσα
ῥοδόεσσά τις φανείης.
Τὸ φυτὸν τὸ τῆς Ἀθήνης
Παφίης κάλυξ ἐτύχθη,
ἵνα τῶν ὅλων φανείη
νοερῶς μόνη κρατοῦσα.
Φλογερὸς πέφυκεν οἶστρος,
φλογερώτερον δὲ τούτου
καλύκων πέφυκεν ἄνθος

Digitized by Google

σοφίης ἄνασσα μάρτυρ.
Σοφίης ἄνασσαν ἄρτι
τὸ ῥόδον φανὲν διδάσκει,
ὅτι Κύπριδος τὰ πάντα.
Ἔμαθεν ταχὺν Ἀθήνη
γλυκεραὶς κλάδους Ἐρώτων.
ἔμαθε σθένος Κυθήρης,
φρονέει τὰ τῶν Ἐρώτων.
Τρομέεις ταχὺν κρατοῦσα
φλογεραῦ ῥόδου τὸ κέντρον
Παφίης γάρ ἐστι τέκνον,
ὃ σὲ τοῖς δόλοις δαμάζει.
Πολέμων ἄνασσα Παλλὰς,
σθεναρῶν βελῶν κρατοῦσα,
ῥοδέοις ὅπλοις ἐλήφθης,
ἐδάης μάχην Κυθήρης.
Ἐδόκεις κρατεῖν, Ἀθήνη,
ἔλαβες δὲ πεῖραν ἄρτι
καλύκων λαβοῦσα κέντρον,
πάλιν ἂν θέλῃς ἀνάπτω.
Τὸ γένος τὸ τῆς Κυθήρης
μακάρων ὅλων ἀνάσσει.
Βλέπε, Παλλὰς, Ἀφροδίτης
τὸ ῥόδον τὸ μικρὸν ἄνθος,
καρδίης τεῆς κρατῆσαν
δροσερὸν βέλος κομίζον;
Καρδίην Θεῶν ἰαίνει
τὸ ῥόδον τὸ τῆς Κυθήρης,
λάβε μικρὸν ἄρτι γεῦμα
ἵνα σοὶ κέαρ κρατήσῃ.
Τὸ κράτος τὸ τῆς Ἀθήνης

Digitized by Google

ὁ κάλυξ ἔδειξεν οὐδέν,
ὅθεν ἀρτίως προλάμπων
Παφίῃ δίδωσι χάρμα.
Ὁ γλυκὺς κάλυξ ἐδείχθη
μεγάλης θεᾶς Ἀθήνης
τελέως φυτοῦ κρατήσας.
Κρατέουσα νῦν Ἀθήνης,
Παφίη, θέλω κρατῆσαι
ζυγίης, μόνη γὰρ αὕτη
παλάμας ἐμὰς προφεύγει.
Ῥόδον ἐκ φρενῶν Ἀθήνης
ἐφάνη μόνον κρατῆσαν,
τάχα που ῥόδον κομίζει
δροσερὰς φρένας φυτοῖσι.
Βραδέως ἔγνως τὸ κρεῖσσον,
βραδέως δὲ γνοῦσα Παλλὰς,
ταχέως δίδου βεβαίαν
κραδίαις τεαῖσι πίστιν.
Πολέμοις κόμιζε μᾶλλον
σάκος ἐκ ῥόδων, Ἀθήνη,
Δαναῶν ὅπως τις εἴποι,
Παφίην ὁρῶμεν ἄλλην.
Φρονέεις πλέον λαχοῦσα
τὸ ῥόδον τὰ νῦν, Ἀθήνη.
Ὁ Ἔρως ὁ τῆς Κυθήρης,
τὸ ῥόδον πάλιν Κυθήρης,
κατέχω δύο κρατοῦντας,
ὁ θέλων μάχην συνάψοι.

Digitized by Google

## II.

Τί εἶποι ἡ Ἀφροδίτη τῆς Ἀθηνᾶς διὰ ῥόδου πεισθείσης βοηθῆσαι τοῖς Τρωσίν.

---

Καλύκων χάριν λαβοῦσαν
Θεράπαιναν Ἀφροδίτην
ῥοδέην δέδεξο, Παλλάς,
ἵνα γνῶς πόθεν τὸ κρεῖσσον,
Σοφίης Ἔρως ὁ λάτρης,
Χάριτες πάλιν σὺν οἷς-ρῳ
ἔχε Παλλὰς Ἀφροδίτης
γλυκερὴν ἅλικα γενέθλην.
Δαναοῖς θέλεις, ἀμύνω,
Φρυγίοις πάλιν, ἀρήγω·
μερόπων τί μοι τὸ φίλτρον
φιλίης τεῆς τυχοῦσα.
Φέρε πάντα τῶν Ἐρώτων,
τί δέ σοι χρέος ς-ενάζειν;
ἐχέτω μάχην τὸ θνητὸν
μακάρων ποθὸν τὸ φύλλον.
Ἀγαπᾷν θεοῖς προσήκει,
ἀπαθὴς φύσις γὰρ ὤφθη
τὸ πάθος πρέπει βροτοῖσιν
χαλεπὴν ἔριν τελέσσαι.
Ποταμῶν θάλασσα πάντων
δέχεται μόνη τὸ ῥεῦμα.
Παφίη δὲ τῶν Ἐρώτων
ἀρετὰς χάριν κομίζει.
Τὸ γένος τὸ τῶν Ἐρώτων
κρατέει δοκοῦν λατρεύειν.

Digitized by Google

Φρυγίοις ἔλαμψεν ὥρη
ῥοδέης γέμουσα νίκης.
Σοφίη ῥόδοις ἐπείσθη
Δανακοὺς μόνους ἀρίνειν,
Μέγα νῦν κλέος προσεῦρον,
ξένα Παλλὰς ἔργα πτήσσει,
ῥοδόεν ζέφος κρατοῦσα
Παφίης πόνους γεραίρει.
Διός ἐστιν Ἀφροδίτη,
ὁ Ἔρως πάλιν Κυθήρης,
ὁ θέλων Ἔρωτα νικᾷν
Διὶ τὴν μάχην συνάψει.
Ὅπερ οὖν πάρος δοκεύω
γελόωσα νῦν δοκεύω,
ὅπερ οὐ πάθος προσεῦρεν,
Παφίης ῥόδον προσεῦρεν.

## III.

Τί εἶποι ὁ Ἄρης τῆς Ἀφροδίτης τρωθείσης ὑπὸ ἀκάνθης ῥόδου.

Τὸ ῥόδον δύο τιτρώσκει
σὲ μὲν ἐς δέμας, Κυθήρη,
ἐμέθεν δ' ἐπληξεν ἦτορ
ὅτι σοι πόνους προπέμπει·
Φέρε τὴν ἄκανθαν ἕλξω
ἀπὸ σῶν μελῶν, Κυθήρη,
ἵνα μὴ πλέον τυπεῖσα
μεταδῷς Ἄρηϊ κέντρον,

Digitized by Google

Τὸ σὸν ἄνθος, ὦ Κυθήρη,
ἴσον ἐστὶ τῇ μελίσσῃ,
ὅτι καὶ πόνους κομίζει
φέρον ἡδονὴν τὸ κέντρον.
Παφίην ῥόδον τιτρώσκει,
τὸ ῥόδον δὲ νῦν τὸ πλῆττον·
ποτέροις πόθοις ἐτρώθη
ὅτι Κύπριδι προσῆλθεν;
Ῥοδέην ἄκανθαν εἶδε
Κρονίδης Ἄρηα τεῦξεν,
ἵνα σῶν μελῶν μετάσχω
γλυκερῷ βαλών σε κέντρῳ.
Ἐπ' ἐμὸν δέμας, Κυθήρη,
φέρε σου βάδισμα πέμψω,
ἵνα μὴ πάλιν σε πλήξῃ
χλοεροῦ δένδρου τὸ κέντρον.
Μάθε τοῦ ῥόδου τὸ νύγμα,
μάθε τῶν πόνων τὸ κέντρον,
ἵνα τοῖς πόθοις κρατοῦσα
ὑπὸ τῶν ῥόδων κρατύνῃ.
Χθονίῳ βραχεῖ βελέμνῳ
Παφίην Ἔρως δαμάζει,
γλυκερὸν βέλος φυτεύει
ῥόδον ὁ κρατεῖ ποθούντων.
Ἀπὸ σῶν ἄλμα μελῶν ςάξε, Κυθήρη,
γλυκεροῖς ἡμετέρων ἔνδοθι κόλπων.
Τί ποθεῖς πόθων κρατοῦσα
τὸν Ἄδωνιν οὐ ποθοῦντα,
τὸν Ἄρην δὲ καὶ ποθοῦντα
στυγέεις καλή Κυθήρη;
Βροτός ἐστιν ὃν διώκεις,

Digitized by Google

Παφίη, τανῦν ποθοῦσα,
Θεὸς οὖσα δὲ στενάξεις
Θεὸν ὄντα με συγοῦσα.
Ἐθέλω, θέλω δαμῆναι
ῥοδοέντι τῷ βελέμνῳ,
μόνον, ὦ Θεῶν κρατοῦσα,
τέλεσον χάριν ποθοῦντα.
Ὁ Ἔρως Ἄρην δαμάζει
παρέχων πόνους Κυθήρῃ.
Χαρίτων χάριν κομίζει
τὸ ῥόδον, τὸ πῦρ, τὸ κέντρον,
τὸ βέλος τὸ τῶν Ἐρώτων
ὅτι καὶ Κύπριν δαμάζει.
Τὸ ῥόδον τάχα προσῆλθεν
φέρον ἐκ φθόνου τὸ τύμμα,
ὅτι μᾶλον Ἀφροδίτης
ἕτερον φυτὸν γεραίρει.
Ὅτε καὶ Κύπρις δονεῖται,
τότε καὶ ῥόδον ποθεῖται.
Βελέων μάτην ἀνάσσων
τί δέ μοι χρέος φαρέτρης,
ὅτε τὴν ἐμὴν Κυθήρην
ῥοδόεν βέλος δαμάζει;
Ἔλαβεν Κύπρις τὸ τύμμα
ἐπὶ γῆς, ἐγὼ δὲ κέντραν·
ὅτι τοὺς πόνους Κυθήρης
ἔλαβον, ποθῶν Κυθήρην.
Φαέθων Κύπριν δαμάζει,
λέχος εἶδεν ἐξελέγχειν,
ἔχον ἠλίου τὸ κέντρον
τὸ ῥόδον Κύπριν δαμάζει.



Digitized by Google

Τὸ ῥόδον Κύπρῳ δαμάζει,
ὅτι κάλλος εὗρε μεῖζον.
Ὁ Ἔρως σε, Κύπρι, βάλλει,
τὸ ῥόδον δὲ ταῖς ἀκάνθαις
ἵνα πῶς λάβωσι πεῖραν
ἀπὸ σοῦ θεῶν ἀυάσσει.
Κατὰ σοῦ τὰ τόξα τείνει,
νόθον οὐ πέφυκε τέκνον
ἀπὸ τῶν θρυὶ τραπέντων
πάλιν ἢ πέτρᾳ στραφέντων.
Ὁ λέων φέρων τὸ κέντρον
ἴδιον θέρμας τιτρώσκει·
Παφίη, ῥόδοισι βάλλεις
γλυκερὸν σέθεν τὸ σῶμα.
Ἰδίοισιν ἀγκοῦται
ὁ λέων τυπεὶς βελέμνοις
Παφίη, δὲ ταῖς ἀκάνθαις
πολὺ μᾶλλον ἠγριώθης.
Γενεὴν τεὴν οἰδάσκεις,
ἵνα τῶν θεῶν κρατήσῃς.
Γλυκερὸν ῥόδου τὸ τύμμα
γλυκεροὺς πόνους προπέμπει,
τὸ δὲ τύμμα σὸν, Κυθήρη,
φλογεροὺς πόνους προπέμπει.
Μέγα θαῦμα νῦν δοκεύω,
ὑπὸ τοῦ ῥόδου κρατεῖται
Παφίη, κρατοῦσα πάντων
μερόπων θεῶν τε φύτλης.
Παφίης Ἔρως, ὁπλίζου
παλάμαις βέλος νομίζων,
τὸ ῥόδον τὸ τῆς Κυθήρης

Digitized by Google

ἀθετεῖ ταχῦν Κυθήρην.
Βελέων ἄπειραν ὤφθη
τὸ ῥόδον τὸ σὰν, Κυθήρη,
τεὸν εἰ μάθῃ δὲ κέντρον
τρομερὸν νόσον μιμίσσει.
Ὀλίγον ῥόδον Κυθήρης
ὀλίγους δίδωσι μόχθους,
ὁ δὲ βαιὸς Ἀφροδίτης
μεγάλους Ἔρως προπέμπει.
Τὸ ῥόδον, ῥόδον τιτρώσκει·
τί καλὴ πέφυκε τέρψις;
τὸ ῥόδον δὲ ποῖον εἶπω,
ἀπορῶ μὰ τὴν Ἀθήνην.
Ἐδάκης πόνων τὸ κέντρον,
μάθε μὴ πόνοις με βάλλειν.
Ὁ Ἔρως δίκαια πράττει,
ὀρόων γὰρ Ἀφροδίτην
νόσον ἄκρατον λαχοῦσαν,
ῥοδέοις ἔνυξε κέντροις.

## IV.

Τί εἶποι ὁ Ἀπόλλων κατατρέχων τὴν Δάφνην, καὶ ἐμποδισθεὶς εἰς ἄκανθαν ῥόδου.

Γενεὴν ῥόδων φανεῖσαν
δότε μοι δρέπειν μανέντα·
τί μάτην δὲ ταῦτα πράττω;
ὁ χρόνος φέρει γὰρ ἄλλα.
Κιθάρης μέλος δονήσω

Digitized by Google

καρδίης πόνους συνάδων,
ἐλαφρίζεται γὰρ οἶστρος
ὅταν ἐκ βάθους ἀνέλθῃ.
Πτερόεις Ἔρως ὑπάρχων
μετέωρον αἶρε Φοῖβον,
ἵνα μὴ τὸ μικρὸν ἄνθος
ἀπὸ σεῦ δρόμου με παύῃ.
Χθόνα καὶ πόλον τοσοῦτον
Φαέθων ἐγὼ κυκλεύω.
πόθεν οὖν, πόθεν κρατοῦμαι
ἀπαλὴν κόρην πτέζειν;
Λέγε μοι ῥόδον Κυθήρης,
τί τὸ τραῦμα μοὺ βαθύνεις;
πυρὶ πῦρ τί νῦν προσάπτεις
δροσερῆς Δάφνης στεροῦν με;
Κύκνε, σὺ δραμεῖν πτεροῖσι
λέγε τῇ Δάφνῃ τρεχούσῃ
ἵνα μοι φίλημα πέμψῃ
λεχέων, ἀφ' ὧν στερεῖ με.
Φιλοκερτόμως με παίζει,
ἐνόησα τὴν Κυθήρην.
Ὁ Ἔρως τρέχειν διδάσκει,
σὺ ῥόδον τρέχοντα παύεις,
γενειὴν μίαν λαχόντες
κατ' ἐμοῦ διχῶς φρονεῖτε.
Σὺ, Κύπρις, πόθοις με θέλγεις,
σύ με καὶ ῥόδοις κατέσχες·
τί με τοῖς πόθοις διώκεις,
τί πάλιν ῥόδοις κρατεῖς με;
Τὸ ῥόδον τὸ τῆς Κυθήρης
Παφίης πλέον θαμάζω,

Digitized by Google

ὅτε γὰρ συνῆλθε Κύπρις
τὸ ῥόδον τότε φθονεῖ με.
Ἀμελῶ πόθου κρατοῦντος
τὸ ῥόδον πλέαν με τέρπει
ὅτε καὶ Δάφνην ἐάσω.

## V.

### Τί εἶποι ἡ Φαῖδρα ὁρῶσα τὸν Ἱππόλυτον ἐστεμμένον ῥόδοις.

Τὶ καλὸν χρόνον δοκεύω,
Παφίην ὁρῶ τυχοῦσαν·
ὁ ποθούμενος γὰρ ἄρτι
ῥοδόεν στέφος κομίζει
Ὀλίγην Ἔρωτος αἴγλην,
Παφίη ῥόδοισι μεῖζον,
ἵνα τοὺς πόνους νοήσας
φλογερὴν λίγῃ φαρέτρην.
Χαρίεις Ἄδωνι χαίροις,
διὰ σοῦ ῥόδον γὰρ ἄνθος
φλογεροὺς πόνους προπέμπον
καρδίην ἐμὴν ἰαίνει.
Ῥόδον ἤθελον γενέσθαι,
ἵνα μετρίως τυχοῦσα
ἐπικειμένη μετώποις
μεταβαλλόμην φιλοῦσα.
Χαρίτων φέρει τὰ τερπνὰ,
ὅτε τις φιλῶν ποθεῖται.

Digitized by Google

## VI.

### Ἄλλο εἰς τὸν αὐτόν.

Ἐπ' ἐμοὶ πανδαμάτωρ ὅπλα κορύσσει,
ἐπ' ἐμοὶ πάντα βέλη νευρὰ τινάσσει,
ὅτι παῖς Ἱππολύτης ζέμμα Κυθήρης
φορέων ἐν κροτάφοις ἀμφιπολεύει.
Χρονίων, Κύπρι, πόθων τλαθι Φαίδρης,
φλογερῆς παῦσον ἐμῆς οἶστρον ἀνάγκης,
ὅτι παῖς Ἱππολύτης ζέμμα Κυθήρης
φορέων ἐν κροτάφοις ἀμφιπολεύει.
Κορυφαῖς ἀνθοφόροις παίξατε θῆρες,
βελέων παυσαμένων ἰοχαίρης,
ὅτι παῖς Ἱππολύτης ζέμμα Κυθήρης
φορέων ἐν κροτάφοις ἀμφιπολεύει.
Καὶ τοὺς Ἔρωτας νῦν ἀριθμὸν γὰρ μέγαν
χρεὼν ὀνομάζειν εἰκότως βλέπουσά γε
τὸν χθὲς μὲν ἄκανθαν, σήμερον δὲ τοῦ ῥόδου
ἔσχον ὑγίειαν τῶν ποθούντων φαρμάκων.
Γλυκὺ Θησέως τὸ τέκνον
βάλε, καὶ λόγοις με, Κύπρι,
ἵνα πᾶν μέλος συνάδῃ,
ἀκοὴ, φρένες σὺν ὄψει.
Ὁ πόθος πόθοις ἐρίζει,
ἀγαθὸν πέφυκε νεῖκος,
φλέγε πῦρ, ἐγὼ κομίζω·
φλέγε πῦρ, τὸ πῦρ τὸ καῖον.
Στεφάνους τί νῦν κομίζεις;
ῥόδα φαιδρὰ δέξο, Φαῖδρα·
ἐὰν ὀκλάσῃς ἀφάσσων,

Digitized by Google

τότε μεσυλάκεις τὰ κρεῖσσον
Ἀρετῆς πάθων μετέσχη
γενέτης τεὰς τοσαύτης;
λαβύρινθε, μαρτύρει μοι
ὅτι τὸ κράτος Κυθήρης.
Ἀνέμων πνοαῖς ἐρίζω,
πελάγους βάθους διώκω,
λιμένας φίλους δοκεύσω·
ἕνεκεν τίνος πλανῶμαι;
Ὁ φιλῶν ὅτε σχεῖται
ἀέρος σκιὰν διώκει,
καμάτους φέρων ἀΰπνους,
Παφίης Ἔρωτα φεύγων.
Παφίης ῥόδοις τί τέρπει;
φιλέων ῥόδον Κυθήρης,
ἔχε καὶ νόον Κυθήρης·
Παφίη, πόθων ἀνάσσεις.
Παφίη, κρατοῦσα δεῖξον,
ἵνα τοῖς θεοῖς βελέμνοις
φιλίοις γένοιτο τέρμις
στυγέων Ἔρωτος ἔργα.
Φρένα σὺν ῥόδοις νοθεύεις·
ἐρατῆς γὰρ Ἀφροδίτης
ἐρατὸν πέφυκεν ἄνθος,
βέλος ἄρχεται κομίζειν
Ὑπὸ Κύπριδος γελώσης,
ἵνα γνῶ πόσον δαμάζει,
φλογερὸν βέλος Κυθήρης·
Παφίη, χόλῳ μετρήσεις.
Ὁ χόλος πόθου με βάλλει,
ὁ πόθος ῥόδοις με τήκει·

Digitized by Google

πόσα τὶς βέλη κομίσσει,
φύσις οὐκ ἔμεινε, Κύπρι,
τὰ σὰ μὴ φέρουσα κέντρα.

## ΙΓΝΑΤΙΟΥ ΔΙΑΚΟΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

### Εἰς Παῦλον τὸ ἴδιον Μαθητήν.

Ἄπορον βίου τὸ τέρμα,
διὸ μὴ τρέχῃς ἀδήλως·
ἀρετὴν δίωξον ἔνθεν
ἵν' ἐκεῖθεν ὄλβον εὕροις.
Βίος οὐ πέφυκε μίμνειν,
πόα εὐμάραντός ἐστιν,
ἀνύπαρκτος ἐστὶν ὄλβος
ἀτύπωτόν ἐστιν ἴχνος.
Βλέπε πῶς πάντα κόνις, πάντα δὲ τέφρη,
ὅσα γὰρ κόσμος ἔχει τύμβος ὑφέξει.
Γοερὸν κένωσε δάκρυ
ἐμὸν εἰς τάφον τεκοῦσα,
ὅπερ εἰ μόνον δοκεύεις,
καρδίῃ πόνον συνέξεις.
Δακρύων γέμουσι τύμβοι,
ἀπλέτων γέμουσιν οἴκτων,
ὁ γὰρ εἰς τάφον προκύψας
συνέλεξεν ἔνθεν ἄλγος.
Ἐμὸν εἰς τάφον σὸν ὄμμα
διάρας, σκόπευε γαῖαν·
ἐμὲ γὰρ ῥάδαμνον ὥσπερ
νέον ἐξέκοψεν Ἅδης.

Digitized by Google

Ζοφερὸν δόμον πετάσσας
ἀκόρεστος εἶλε Πλούτων
ἐμὲ Παῦλον ὥσπερ ἔρνος
ἁπαλὸν, τεμὼν πρὸ ὥρας.
Θάνατος νέων τὸ κάλλος
ὅλον ὡς χλόην θερίζει·
δρεπάνη πέλει γὰρ οὗτος
ἀδιεξόδευτος ὄντως.
Ἴδε ποῦ τρέχεις, ἐπίσχες·
ἴδε πῶς φθορᾷ συνάπτῃ,
ὅσον ἂν δράμῃς γὰρ ἔνθεν
τάφον οὐδαμῶς περάσσῃς.
Κόνις ὡς πίφυκε κόσμος
ὀμίχλη, θύελλα, τέφρη·
ἀνέμων δίκην τὰ πάντα
ἀέρος χύσιν μιμεῖται.
Λαγόσι μ' ἔκρυψε γαῖα
λόγον οὐ φέροντα πάμπαν·
φθορὰ γὰρ πέδησε γλῶτταν,
μέλεα σκέδασσε πάντα.
Μογεροὺς πόνους τίς εὗρεν;
τίς ἔτευξεν ἄμμι τύμβον;
τίς ἔπλεξεν ἄμμι θρῆνον;
Ἀδὰμ ἐχθρὸς, Εὔα κάλλος.
Ὁ πέλων αὐτομολίης ἄφθιτος αἴγλη,
δνοφερῶν ἐκ νεκάδων, Χριστέ μ', ῥῦσαι.
Νέκων ἄπνοόν με ῥῖψε,
κέαρ εἰς πόλον δ' ἀπῆρε,
λόγον ὃν ἔπρηξεν ἔνθεν
ἀκριβῆ θεῷ παρέξειν.
Ξύνες ὡς ξένον τὸ θαῦμα·

Digitized by Google

νέον ὡς ς-άχυν γὰρ αὖθις
κόνιν, ἣν βλέπεις, με νέρθεν
ἀπὸ γῆς Θεὸς συνάξει.
Ὁ χρόνος τρέχει, τί μέλλεις;
ὁ κριτὴς, σκόπει, πάρες-ιν
διδόναι δίκην δικαίαν
ὁπόσων ἔπρηξας ἔργων.
Πάτερ, ὦ πάτερ Θεέ μου,
ὃς ἔχεις πνοὴν ἐκάς-ου,
παλάμαις ἔτευξας ὄνπερ,
καθάρας, δίκης με ῥῦσαι.
Ῥοθίου φλέγοντος οἴμοι
τότε πῶς ἄκαυς-ον ἔξω,
ὃν ἐγὼ ῥύπον συνῆξα;
καλάμης γὰρ ἔσχον ἔργα.
Στέφανος κλυτὸς μ' ἔδεκτο
ὃς ἔπαθλον ἦρε πρῶτος,
ὃς ἴδεν πόλου ῥαγέντος
πατρὶ συγκάθεδρον υἷα.
Μάκαρ, εὐδαιμονίης οἴμου ὁδεύσας,
ἐμὲ Χρις-οῦ λιμέσιν Παῦλον ἐνόρμισ-ον
Τεὸν εἰς δόμον μὲ κεύθων,
Στέφανε, τρόμῳ λιγαίνω
Θεὸν ἵλαον γενέσθαι,
ὅτε μοι κρίσιν προσάξει.
Ὑπένερθε μὲν καλύψει
μερόπων ἅπαντας Ἀδης
ἀγλαος-όλος δὲ κῆρυξ
φάος εἰς ἅπαντας ἄξει.
Νεκύων τ' ἀθανάτων ὄρχαμε πάντων,
σὺν τεοῖς ἐν μεγάροις Παῦλον ἐσάξοις.

Digitized by Google

Φίλον ὡς τέκος σε μήτηρ
καλέω, πατὴρ δὲ πρέσβυς
δάκρυσιν λιπὼν, παρ' ἄμμι
χαρὰν εἰς ἄληκτον ἔλθοις.
Χαριεσσάτην προσήβην
ἐλάσας, τέκος δ' ἀπήχθης
πατέρα ξένον γὰρ εὗρες
Θεὸν, ὃς τέτευχε πάντα.
Ψεκάδι ῥάναντες ὕμνον
δάκρυσι βρέχοιτε μήπω,
νέκυσιν γέρας γὰρ ὕμνος,
Θεὸς ἥδεται δὲ τούτοις.

## ΧΡΙΣΤΟΦΟΡΟΥ Α'. ΣΗΚΡΙΤΟΥ

### Εἰς Ἰσραὴλ παραίνεσις ᾠχ. ά.

Ἀπόθου βλασφημίαν,
ἀπόθου ἀπιστίαν,
τὸ κάλυμμα ἀπόθου
ψυχῆς, Ἰσραηλίτα.
Βαθέων μυστηρίων,
πραγμάτων ἀποκρύφων
παιδεύσω τὰς ἐκβάσεις,
ἃς εἶπον οἱ προφῆται.
Γενοῦ Ἰσραηλίτης
πράξει καὶ θεωρία,
μετάρσιος τὴν φρένα
ὡς ὁ Ἰακὼβ ὁ πάλαι.
Διδάχθητι προθύμως
τὴν γνῶσιν τῆς Τριάδος,
μυήθητι τὴν θείαν
Χριστοῦ οἰκονομίαν.
Ἐν πρώτοις πρῶτον λόγον
ἐξεῖπεν ὁ γεννήσας
ποιήσωμεν ὁμοίαν
Ἀδὰμ ἐμὴν εἰκόνα.
Ζωῆς τελεωτέρας
τῆς ἐν Χριστῷ προβλέπων
Ἑνώς, ἐπικαλεῖσθαι
ἤλπισεν τὸν Σωτῆρα.
Ἡ δρυὶς τῷ Πατριάρχῃ
τρανέστω σε τὴν πίστιν,

Digitized by Google

Τριάδα παναγίαν
φιλοξενῆσα πρώην.
Θεὸν παλαίει πάλαι
ἐν σχήματι ἀνθρώπου
ὁ Ἰακὼβ ὁ μέγας
τὸ μέλλον ἐκμανθάνων.
Ἰδού σοι παραγγέλλει
Μωσῆς ὁ νομοθέτης,
ἀκούειν νομοθέτου
τοῦ μέλλοντος γεννᾶσθαι.
Κατῆλθεν ἐπὶ πόκον
τοῦ Γεδεὼν ἡ δρόσος,
τὸν τόκον ζωγραφοῦσα
τῆς μόνης Θεοτόκου.
Λεγέτω Ἡσαΐας
πῶς τίκτει ἡ παρθένος,
φυγοῦσα τὰς ὠδῖνας
καὶ πόνους τῶν μητέρων.
Μὴ ἔχφν κάλλος ὤφθη
ὁ Κύριος τῆς δόξης·
διὰ τὰς ἀνομίας
ἐσφάγην τοῦ λαοῦ μου.
Νικᾷ μακροθυμία
τὴν ὕβριν τῶν βλασφήμων,
τὸν νῶτον μαστιγοῦται,
ἐμπτύεται τὴν ὄψιν.
Ξενίζει πᾶσαν φρένα
Ἱερεμίας λέγων.
δεῦτε βάλωμεν ξύλον
εἰς τὸν ἀμνὸν τὸν ἄρτον.
Ὁ μέγας προσφωνήτω

Δαβὶδ ὁ Θεσπάτωρ,
πῶς ὤρυξας τὰς χεῖρας
καὶ πόδας τοῦ Δεσπότου.
Πῶς ἔδωκας ὡς πόμα
χολήν τε καὶ τὸ ὄξος,
καὶ κλῆρον τοὺς χιτῶνας
ἐμέρισας τοῦ κτίσου.
Ῥαγέντος δὲ τοῦ Ἅδου
ἀνέστη ὡς ἐξ ὕπνου,
ἀνέβη τε πρὸς θρόνον
πατρὸς ἐν τοῖς ὑψίστοις.
Σὺ οὖν, Ἰσραηλίτα,
μνήσθητι ἀπιστήσης,
σπεῦσον τοῦ βαπτισθῆναι,
Χριστὸς γὰρ ἐπιφάνη.
Τὸ πάλαι δεδομένον
πεπλήρωται σημεῖον·
ἐξέλιπεν γὰρ ἄρχων
εἰς τέλος τοῦ λαοῦ μου.
Ὑπέδειξεν προφήτης
ὁ Δανιὴλ τὸν χρόνον,
εἰπὼν τὰς ἑβδομάδας
ἑβδομήκοντα πάσας.
Φωτίζομαι, γενοῦχε,
τὸ βάπτισμα λαμβάνω,
μαθὼν ἅπερ ἠγνόουν
μυστήρια τοῦ νόμου.
Χωρὸς τῶν προφητῶν με
προσδέξασθε γνησίως,
ὑμῶν γὰρ ὑπακούσας
ἐνδύομαι τὴν χάριν.

Digitized by Google

Ψυχὰς κεκαθαρμένας
πρασάγω σοι, Σωτήρ μυ,
Βασίλειος ὁ ἄναξ
βοᾷ νῦν τῷ Σωτῆρι.
Ὡς τὴν θυσίαν πάλαι
τῦ Ἀβραὰμ ἐδέξω,
κἀμῦ δέξαι τὸ δῶρον
τῆς νεολέκτυ ποίμνης.
Σοὶ γὰρ ἐπανεθέμην
καὶ τέκνα σὺν συζύγῳ,
αὐτὴν τὴν βασιλείαν
καὶ ὅλην τὴν ζωήν μυ.

## ΧΡΙΣΤΟΦΟΡΟΥ Α΄· ΣΗΚΡΙΤΟΥ

Εἰς τὺς αὐτὺς Ἰσραηλίτας παραίνεσις· ἦχ· α΄.

Διδάχθητι τῶν θείων
λογίων τὰς ἐμφάσεις,
τῶν προφητῶν τὰς ῥήσεις
σωματικῶς μὴ νόει.
Μὴ νόμιζε τὴν πόλιν
Σιὼν οἰκοδομεῖσθαι
ἐκ λίθων φαινομένων
ἐντίμων ἐν τῷ κόσμῳ.
Μηδὲ τῦτο ἐκδέχυ
ὀφθαλμοῖς τοῖς σαρκίνοις
θεάσασθαι ἐν βίῳ
. . . . . .
Ὁ λόγος τῦ προφήτυ
πεπλήρωται προδήλως,
καὶ Σιὼν ἐδομήθη
ἐκ λίθων ἀσυγκρίτων.
Σιὼν τὴν ἐκκλησίαν
προεῖπον οἱ προφῆται
τὴν πόλιν τὴν μεγάλην
τῦ πάντων βασιλέως.
Ἐν ταύτῃ λίθος ἔντιμος
θεμέλιος ἐτέθη
Χριστὸς, ὥςπερ προεῖπεν
τῶν προφητῶν ἡ δόξα.
Ἐπὶ τῷ θεμελίῳ
Χριστῦ τῦ μαργαρίτυ,
τὺς δώδεκα εὑρήσεις
ὡραιοτάτυς λίθυς.
Λίθυς δώδεκα νόει
τὺς θείυς ἀποστόλυς,
ἀστράπτοντας ἐν μέσῳ
Σιὼν τῆς ἐκκλησίας.
Τὸν σμάραγδον μοὶ νόει
Πέτρον τὸν κορυφαῖον,
πρωτεύοντα ἐν μέσῳ
χορῦ τῶν ἀποστόλων.
Τὸν ἄνθρακα λογίζυ
Παῦλον τὸν θεηγόρον,

Digitized by Google

ἡμέρας καὶ νυκτὸς γὰρ
τὰς ἀστραπὰς ἐκπέμπει.
Ὑάκινθος δὲ ἔστιν,
ὁ μέγας Ἰωάννης,
οὐράνια μυστήρια
βροντῶν τῇ ἐκλάμψει.
Καὶ τὰς λαμπὰς δὲ λέγει
τὰς ἀποστόλους νόει,
ἀφ' ὧν οἰκοδομήθη
Σιὼν ἡ θεία πόλις.

## ἈΡΣΕΝΙΟΥ ἈΡΧΙΕΠΙΣΚΟΠΟΥ

Στίχοι εἰς τὴν λαμπρὰν Κυριακήν.

Ἴτε μοι ξύμπαντες παῖδες,
ἴτε φιλτάτη χορεία,
ἴτε μουσόθρεπτα τέκνα,
γλυκερὰν ὅπα λαλεῦντες,
λευρὸν μέλος φωνεῦντες,
ὕμνον προσφέρωμεν πάντες
βασιλεῖ καὶ κτίστῃ πάντων,
βασιλίῃ ὡρῶν ἐπέστη·
Ἄγε σαλπίσωμεν πάντες,
ἄγε φορμίσωμεν ᾄσμα,
ἄγε τερπνῶς μελαδοῦντες
Θεὸν ὑμνήσωμεν πάντες·
κατέλιπε γὰρ τὸν τάφον,
συνέτριψε κλεῖθρα πάντα
ζοφερῆ παρῇ θανάτῳ,
δύναμιν Ἅιδου πανφάγου,
ψυχὰς ἀνέστησε πάσας,
ἄμαχον κράτος δεικνύων.
Πᾶσα σκυρτᾷ νῦν ἡ κτίσις,
τὸν ὑψωθέντα δοξάζει,

Digitized by Google

Θεὸν ὑμνεῖ πᾶσα φύσις
ἀγαθῶν ὥσπερ δοτῆρα,
τὸν ἀνασ-άντα γεραίρει·
Τίς ἂν ἀξίως λαλήσῃ,
τίς ἂν ἀξίως ὑμνήσῃ,
ἅπερ ἀνθρώποις παρέσχεν
ὁ βασιλεὺς τῶν αἰώνων,
ὁ μόνος κτίσ-ης ἁπάντων,
ὁ φανότατος φωσφόρος;
νέφεσι γὰρ ὲ ζοφοῦται,
καθαρὰν ἁπλοῖ λαμπάδα,
καταφαιδρύνεται πάντα
ἁπλέτῳ φάει καὶ κάλλει.
Ἀγλαὸς κύκλος σελήνης,
χορὸς ἀσ-έρων αἰγλήεις,
καταφωτίζει τὴν νύκτα
ἁπλέτοις λαμπηφυχίαις·
κατίδοις ἄνω τὸν Ἄρκτον
μεγάλην τε καὶ τὴν ἥτταν,
σ-έφανον τῆς Ἀριάδνης,
ζωδιακὸν κύκλον ἴδοις
καθαρὸν σὺν τοῖς ζωδίοις·
βορινὸν κύκλον κατίδοις,
θερινὸν σὺν τέτῳ πάλιν·
Μετὰ ταῦτα δ' αὖ κατόψει
κύκλον τῆς ἰσημερίας,
μετὰ τοῦτον δ' αὖ τοὺς ἄλλους
χαριέντως νῦν κατίδοις·
Θεὸν ἐντεῦθεν ὑμνήσεις,
ἀγαθὸν τοιοῦτον κτίσ-ην.
Ἴδε λοιπὸν τὰ τῆς γαίας,

Digitized by Google

χαρὰν ἀμύθητον λάβε,
Θεὸν ἀνύμνει προθύμως·
νῦν φυτὰ ξύμπαντα θέλλει,
ἀγέλαι πτηνῶν σκαρτῶσιν
ἐπὶ τοῖς δένδροις φωνεῦσαι,
τὸν ὁδοιπόρον κηλεῦσαι,
Θεὸν ἁπάντων ὑμνεῦσαι·
τίς ἂν ἀξίως ὑμνήσῃ;
τίς ἂν ἀξίως λαλήσῃ;
κελαδεῖσι νῦν τὰ πάντα,
γλύκιον μέλος φωνεῖσι,
ψυχὰς εὐφραίνουσι πάντων
Λογικοὶ νέοι μοι δεῦτε,
ἔαρος καιρὸς, σκιρτᾶτε.
ἐλύθη γὰρ ἡ παχύτης
νεφελῶν· ἔαρος ὥρη,
παγετὸς μακρὰν ἠλάθη,
ἀπεδιώχθη τὸ φύχος,
τὰ σκυθρωπὰ παρῴχηκε,
καθαρὰ τανῦν αἰθρία·
Λογικοὶ νέοι μοι δεῦτε,
ἔαρος καιρὸς, σκιρτᾶτε·
Ζεφύρου πνοαὶ γλυκεῖαι,
ποταμοὶ νάουσιν ἄρτι·
καθαρὸν πόμα συμμέτρως
πρόβατα τανῦν σκιρτῶσι
κρεπάλοισι χαριέντως·
ἀρνία σκαίρει μητράσι
χλοεραῖς ἀρούραις ἄρτι·
Λογικοὶ νέοι μοι δεῦτε,
ἔαρος καιρὸς, σκιρτᾶτε·

Digitized by Google

ὁ αἷμων ἤδη τυρίσδει,
ἐαρινὸν ἆσμα μέλπει,
Θαλεροῖς ἐπὶ ῥεέθροις,
σκιεραῖς ἐπὶ πλατάνοις
ἀνάπαυσιν εὑτρεπίζει.
χελιδὼν ἄρτι Τηρῆος
καταλαλεῖ τῷ φθορῆος·
τὸν Ἴτυν ζητεῖ δὲ πάλιν
καστιγνήτη ταύτῃ σφόδρα·
ὁ Πὰν τῆς Ἠχοῦς ἐράει,
ὁ Κύκλωψ τῆς Γαλατείας,
Ἀδώνιδος Ἀφροδίτη.
Λογικοὶ νέοι μοι δεῦτε,
ἔαρος καιρὸς, σκιρτᾶτε·
γεράνων ἐσμὸς κλαγγάζει·
λιγέως ᾄδει καὶ κύκνος
πτερὸν ἀνεὶς τῷ Ζεφύρῳ·
κοκκύζει τανῦν ὁ κόκκυξ
ἐν ὄρεσιν ἠλιβάτοις,
λιγυρῶς ᾄδει καὶ κίττα
τὸ μιμηλὸν τοῦτο ζῷον·
καμαιροφάγα νῦν πάντα,
κοτινοτράγοι σὺν τούτοις
καταφωνοῦσι κοιλάδας.
Λογικοὶ νέοι μοι δεῦτε,
ἔαρος καιρὸς, σκιρτᾶτε·
κύματα Θαλάσσης ἄρτι,
πραέως λίαν κινοῦνται·
ὄρεσι καὶ γὰρ τὸ πρώην
ἀβάτοις παρωμοιοῦντο·
ἰσία τοίνυν πετάσας,



Digitized by Google

ὁ θέλων πλέειν θαλάσσῃ,
μακρὰν ἀπαίρει πρὸς κέρδος,
ἀναπέμπει καὶ δελφίνων
ἀγέλη καὶ τῶν πομπίλων.
Τὰ ῥόδα νῦν ἀνακύπτει
χαροπῶς ἐκ τῶν καλύκων,
τὰ βάτα νῦν ἀναθάλλει·
ὑάκινθος σὺν ναρκίσσῳ
χαροπὸν χρῆμα τυγχάνει·
μέλισσα τῶν σίμβλων ἤδη
ἀπαναστᾶσα προθύμως,
περιβομβοῖ τὰς κοιλάδας·
συλᾷ τὰ ἄνθη τῶν δένδρων,
τίθεται ταῦτα τοῖς σίμβλοις,
πονέει γλυκεῖαν ἔνθεν
χαριεστάτην τὲ βρῶσιν.
Λογικοὶ νέοι μοι δεῦτε,
ἔαρος καιρὸς, σκιρτᾶτε·
Τριὰς, ἀμέριστε φύσις,
ἀκατανόητον βάθος,
ἀδιήγητόν τε κράτος,
κόρον ἐκ ἔχον τὲ κάλλος,
Θεὲ παντάναξ καὶ κτίστα,
Πατρὸς ἀπαύγασμα, δόξα,
ὁ δοτὴρ ἀγαθῶν πάντων,
παροχεὺς ὁ τῆς σοφίας,
παρέχοις αὐτὸς τὴν γνῶσιν
ὑψόθεν τοῖς μικροῖς λάτραις,
ἵνα τὴν σὴν ἐξουσίαν,
ἀγαθωσύνην τὲ πᾶσαν
συνίωμεν ἐκ κτισμάτων·

Digitized by Google

κλέος ἀγλαῶν μαρτύρων,
προσάγομεν σοὶ μεσίτην
Γεώργιον, τὸν προ-άτην
διατριβῆς Ἀρσενίου.

## ΣΤΙΧΟΙ ΤΟΥ ΚΑΤΡΑΡΗ

Εἰς τὸν ἐν φιλοσόφοις φιλόσοφον καὶ ῥητορικώτατον Νεόφυτον

ἀνασπρεόντειοι.

Τίς οὐκ οἶδε τῶν ἁπάντων
τὸν Νεόφυτον τὸν πάνυ;
ὃς ἀπό τινος ὀνείρου,
καὶ δαιμονιώδους θέας
τὸν ἐγκέφαλον ἐσείσθη,
καί τινα φρικώδη λέγει,
καὶ παρακεκινημένα,
καὶ φαντάζεται γενέσθαι
μετ' ὀλίγου Πατριάρχης,
ἢν πολλὴν ἀνθήσει γένυν;
δαιμονιάριον καλογέριν
καὶ τρελὸν φιλοσοφούδιν,
ὑπεροπτικὸν δὲ ἄγαν
καὶ φιλάργυρον ἐξόχως,
καὶ τὸ πᾶν νῦν ἐ-ορήσω,
τοῦτον νῦν ὑμῖν προθήσω.
Τίς καὶ πόθεν ὁ γεννάδας;
τῶν Σωσκῶν φασὶ γενέσθαι

Digitized by Google

καὶ τῶν Μολυσκῶν πατρίδας,
καὶ πατέρας Βλαχιώτας,
Στάναν καὶ Φρατζίλαν ὄντας,
τὸ δὲ γένος Ἀλβανίτε,
συγκραθέντας μετὰ Βλάχων·
τοῦτον ἔφυσαν τὸν μέγαν
μιξοβάρβαρόν τι τέρας.
Τὸ γοῦν σχῆμα καὶ τὴν ὄψιν
πεπλασμένα πάντα φέρει,
καί τις ἀσκητὴς ἂν δόξῃ
τοῖς οὐχὶ σαφῶς εἰδόσιν·
ὅταν δὲ δουκάτον ἴδῃ,
ἔνθους γίνεται καὶ χαίρει,
καὶ σκιρτᾷ καὶ πυρριχίζει,
ἕτοιμος παθεῖν ὧν πάντα
καὶ πυρὸς κατατολμῆσαι,
καὶ καταφρονῆσαι ξίφους,
ἵνα λάβῃ τὸ δουκάτον·
τὸ δουκάτον γὰρ συνάγει
καὶ πρὸς τὸ δουκάτον βλέπει,
καὶ δουκάτον ἀναπνέει,
ὥσπερ τὸν χρυσὸν ὁ Μίδας·
κἂν διαλεχθῇ, δουκάτον,
κἂν καθεύδῃ, τὸ δουκάτον
ἐπὶ διανοίας τρέφει·
καὶ τοσοῦτον φίλτρον φέρει,
ὥσθ' ὁμολογεῖν πολλάκις,
μὴ δὲ τεθνηκότα λήθην
ἐσχηκέναι τοῦ δουκάτου·
οὕτως ἁπλῆς ὅς τις ἔρως
τούτου ἔχει τοῦ δεκάτου.

Digitized by Google

Βούλει καὶ μορφὴν ἀκοῦσαι;
τὴν μὲν γέννην ἔστι Βλάχος,
Ἀλβανίτης δὲ τὴν ὄψιν,
τοῦ δὲ σώματος τὴν θέσιν
Βουλγαραλβανιτοβλάχος·
οἶδε τοὺς πτωχοὺς διδάσκειν,
καὶ συνάγειν τὰς κομάτας,
καὶ μερίζειν ἰσοτίμως,
ἵνα πάντως τὶ κερδάνῃ·
λαρυγγίζει δὲ πολλάκις,
καὶ τὴν γένυν ὁμαλίζει,
καὶ τὸ δὸς πολὺ προφέρει,
ἵνα τὶ σοφὸν ἀκούσῃς·
ὅταν δὲ καὶ συντυγχάνει,
τὸ κλοκοτενίτζιν λέγει,
καὶ τὸ χλάβα καὶ τὸ βοῖνον,
καὶ τὸ κάρα τεκοβέτα·
τί ποτε σφετεῖ Δημήτρι
ντάμιμπίγρεσμπεζλοτρίτζα,
μπράπα τὰ κολοφιλιέτα.
Τοῦτον ὁ πατὴρ ὁ σπείρας
ὑπεξέθετο κρυφίως
ὥσπερ Πρίαμος τὸν παῖδα,
προειδὼς οἶμαι τὸ μέλλον,
ὡς κακόν τι πάντως ἔσται,
καὶ τὶ τέρας τῶν ἀπίστων·
ὡς δ' οὖν ἀνηλικιώθη,
ματζουκάτος ἐκαλεῖτο,
καὶ χοιροβοσκὸς τὴν κλῆσιν,
ἐκορδάκιζε συρίττων,
ἔπαιζε καὶ τὸ θαμπέριν·

Digitized by Google

καὶ συχνάκις ἐκεκράγει,
« λέρω, λέρω πλατανίτζα· »
αἶγας δ' ἔβοσκε καὶ χοίρους,
καὶ τὰ νήπια τῶν μόσχων.
Ὡς διδάσκει, πάντως μάθε,
ὅταν γένηται προξάτης,
τὰς ψυχὰς τὰς τῶν ἀνθρώπων,
ὑπετίθει δὲ τὸ ξόμα
τοῖς μαξοῖς ταῖς τῶν προβάτων
ὡς τι φάρμακον τὸ γάλα
καθαρτήριον προπίνων,
ἵνα καὶ τὸν νοῦν καθάρῃ,
καὶ φιλοσοφίαν μάθῃ.
Τῶν μὲν ὧν αἰγῶν τὰς πλείξας
λύκοι δήπουθεν φανέντες
διεσπάραξαν εὐθέως,
ὅθεν δήσας τοὺς δεσπότας,
εἰς Θεσσαλονίκην τρέχει,
τὰς λοιπὰς ἀφεὶς ἐννόμους·
ἔνθα κείρεται τὴν κόμην
καὶ καλεῖται Ναζαραῖος,
ὁ γενναδας τῶν θρεμμάτων·
ἐξαμείβει δὲ τὴν κλῆσιν
καὶ Νεόφυτος ἀκούει,
μωμοτζίλας ὢν τὸ πρῶτον·
οὕτω βουληθεὶς καὶ πράξας,
βούλεται σοφὸς γενέσθαι·
καθαρθεὶς τὴν γλῶτταν τέως
ἐκ τῆς πρώην συνηθείας,
καὶ τὰ πρῶτα μὲν ἐκβάλλει
τὸ πρετζὲ κατζὲ τρεκάρε,

Digitized by Google

καὶ κολόταν πρετζεφέρε.
Ἔπειτ' ἐγχειρεῖ τοῖς λόγοις,
καί τινα ποιεῖ δ' ἐξαίφνης
δόγματα κατὰ Λατίνων
πρὸ μικρῦ βοσκὸς τυγχάνων,
πάντα δὲ μεγ-ὰ σολοίκων
καὶ βαρβάρων τρισμυρίων
ἢ μικρῶν τινῶν δεόντων·
τὴν γραμματικὴν γὰρ πρῶτον
οὐκ ἠξίε παιδευθῆναι,
τῆς αὐτῦ μηδόλως ταύτην
φύσεως ἀξίαν κρίνας·
ὅθεν τὸν μὲν Εὐριπίδην
σ-όμαργον καλεῖ καὶ λάλον,
τὸν δ' Αἰσχύλον τραχυλέκτην,
τὸν δὲ Σοφοκλῆν, τὸν πάνυ
δύσκολον κατονομάζει·
οὐκ Ἀριστοφάνην οἶδεν,
οὐχ ἡμέρας Ἡσιόδυ,
οὐδὲ τὴν Θεογονίαν,
οὐ τὰ γνωμικὰ Μενάνδρυ,
οὐδὲ Πίνδαρον ἀνέγνω,
οὐχ' ὡμίλησεν Ὁμήρῳ,
τῷ τῶν λόγων κολοφῶνι·
τὰ βεκολικὰ δὲ μόνον
ἔμαθεν τῦ Θεοκρίτυ·
ὅθεν ἔμαθε συρίττειν,
καὶ τὸ σίττ' ἀμνάδες λέγειν,
καὶ καλῶς ἀμέλγειν αἶγας·
καὶ Θεόγνιδος τὰς γνώμας,
ὁς πρὸς θάλασσαν ἀγρίαν

Digitized by Google

καὶ πετρῶν κατ' ἀλιβάτων
ἑαυτὸν φησὶ χρὴ ῥίπτειν,
τὸν ἐκφεύγοντα πενίαν·
λέγει δὲ καὶ τοῦτο πᾶσιν,
ὡς ὑπέρπυρα μὲν ἔχει
τεσσαράκοντα καὶ δύο·
ὅταν δ' ἐκτελέσῃ ταῦτα,
καὶ πεντήκοντα ποιήσῃ,
τότε μέλλει Πατριάρχης
ἀναντίῤῥητος γενέσθαι,
καὶ χειροτονεῖν ψηφίζει
ἐπισκόπους, διακόνους,
ἱερεῖς, μητροπολίτας,
καὶ μεγάλους οἰκονόμους.
Ὅταν δ' ἀφωνίσαι θέλῃ,
τὸν Ἀριστοτέλην αἴρει,
καὶ κατ' ἀγορὰν βαδίζει,
καὶ σιγᾶτε πάντες λέγει,
ἵν' ἀκούσηται τί ξένον·
τὸς ἰχθυοπῶλας πρῶτον
ἄρχεται σοφῶς διδάσκειν
ἐκ τῶν μετεώρων λόγων,
ὡς ἡ γῆ μὲν κέντρου λόγον
πρὸς τὸν οὐρανὸν ἐπέχει·
ἔστι δ' ἡ μὲν οἰκουμένη,
ἡ δ' ἀοίκητος ἀνθρώποις
εἰς ἑπτὰ μεριζομένη
κλήματα τοῖς φιλοσόφοις·
καὶ προποδισμὸς ἀστέρων,
καὶ κυβόκυβον καὶ κῦβον,
καὶ συνθέτους πυραμίδας,

Digitized by Google

πενταπλεύρους, ἑξαπλεύρους,
ἀριθμὸς ἑξῆς συναίρει·
εἶτ' ἀπέρχεται λαμβάνων
τὸν μισθὸν καθάπερ ἔδει
μέγαν, καὶ καλὸν ἰχθύαν·
καὶ πρὸς τὸς ταριχοπώλας
ἀγυρτεύει ταῦτα λέγων,
δότε μ' ὀλίγον χαβιάριν,
νὰ πλανήσω τὸ ψωμίν μου.
Ὅταν δὲ κυάμους θέλῃ
συναγεῖραι πλείους ὅτι,
ἄκουε τὶ μηχανᾶται·
κατὰ θύραν ἀποτρέχει
καὶ κραυγάζει μετὰ πάθους·
δότε μ' ὀλίγους κυάμους,
ἵνα ζήσω προπολλοῦ μοι
τὴν κοιλίαν λελυμένην·
καὶ πωλεῖ τέτους λαμβάνων
καὶ δεκατικὸν ἀθροίζει.
Ἤν δ' ἐρωτηθῇ παρά τυ
φράσαι τὶ τῶν ἀπορρήτων,
πρῶτα μέντοι παραιτεῖται
τὸν ὑπὲρ ἐκείνυ λόγον,
ὡς ὑπερφυᾶ καὶ μέγαν·
ἢν δὲ βία τὶς ἐπάγῃ,
ἀναγκάζεται καὶ λέγει
τὸς φρικώδεις ὅρκους τέτους·
μὰ τὴν γῆν, μὰ τὸν ἀέρα,
μὰ τὸ χάος, μὰ τὸ σκότος,
μὰ τὴν ἕσπερον σελήνην,
μὰ τὸν φεραυγῆ φωσφόρον,

Digitized by Google

μὰ τὸν Ἀριάδνης πλόκον,
μὰ τὸ ς-άχυν τῆς Παρθένυ,
μὰ τὴν κάτω Περσεφόνην,
μὰ τὸν Πλέτωνα τὸν μέγαν,
μὰ τὸν Κέρβερον τὸν κύνα,
εἰ μὴ τὸν μισθὸν κατάθῃ,
καὶ τ' ἀργύριον ἐκτίσεις,
ὃν ἀκύσεις ὅπερ θέλεις·
εἶτ' ἀθρόοι περιαχόντες
οἵγε ταῦτ' ἀνερωτῶντες,
συμποδίζεσι τὸν ἄνδρα,
παίεσι κατὰ τὸν νῶτον,
τίλλεσι καὶ τὴν ὑπήνην,
ἀμοιβὴν αὐτῷ δεδόντες
τῶν σοφῶν αὐτοῦ ῥημάτων.

## ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΚΥΡΟΥ ΜΑΝΟΥΗΛ ΤΟΥ ΠΑΛΑΙΟΛΟΓΟΥ

*Στίχοι ἀνακρεόντειοι πρός τινα ἀμαθῆ καὶ πλεῖ-ς-α φληναφοῦντα.*

Ἀκριτόμυθε Θερσίτα,
ὡς βοᾷς μὲν μάλι-ς-ά γε,
σιωπᾷς δὲ ἥκι-ς-ά γε,
πῶς σε τίς παύσῃ ληροῦντα,
φλυαροῦντα, φληναφοῦντα,
καὶ μὴ ῥάβδῳ σε συνθλάσῃ
τὸ κρανίον εὖ ποιήσας;
ἐὰν γάρ τις σὲ τὴν γλῶσσαν
πρόριζον ἐξαναστάσῃ,
ἀλλὰ σὺ καὶ ταύτῃ πλέον
παρελθὼν διενοχλήσεις,
καὶ φωναῖς ἀσήμοις αὖθις
ἐκ ἀνέξεις ὡς γλωττίζων
ἔρδεις κόρακος τὸ τάχος,
οὐδὲ γάρ ἀνέχομαί σε.

Digitized by Google

## Ὠδαρίον κατανυκτικὸν ποίημα κυρίου Λεοντος φιλοσοφου καὶ βασιλεως.

---

Ἄρα τίς γῆθεν ἀείρας
ἐν συςροφῇ με Ζεφύρου,
ἀκαριαίως ἀποίσει
πρὸς τὴν κλαυθμῶνος κοιλάδα,
ἵν' ὅπως με τὰς μενούσας
ἰδὼν κολάσεις θρηνήσω;
Βαβαὶ, βαβαὶ πῶς βρυχάσει
γαῖα διχῇ ῥηγνυμένη,
νεύσει τῆς ὑπέρθεν βίας,
φρικώδεις ἀπογυμνοῦσα
χώρους τοὺς νῦν κεκευθμένους·
φεῦ μοι τῆς θέας ἐκείνης.
Γλαφυροτόρνευτοι τάφοι,
σκότους μεςοί τε καὶ γνόφου,
μυχὸς ἀπύθμαντος ἄλλος
καὶ ἀντρονύχιος χάσμη,
ἐν ἀποκρύφοις τηροῦνται
πᾶσι λυγρῶς τοῖς βιοῦσιν.
Δεινῶς ἐκεῖσε κοιτάζων
ὁ ἄγριος αἱμοπότης
βρύχει, μαιμᾷ, σαίνει κέρκον,
καὶ κεχηνῶς ἀναμένει
καταπιεῖν πικρὸς σκώληξ
τοὺς κατ' ἐμὲ πλημμελοῦντας.
Δακρύων ὄμβρους μοι δίδου,
εὐίλατε Θεοῦ Λόγε,
πρὶν κατακρύψεί με τάφος
ξένον, γυμνὸν εὐπραγίας,

Digitized by Google

πρὶν οἱ πικροὶ φορολόγοι
ζητήσουσί μου τὰς πράξεις.
Ἐκεῖ βρυγμὸς τῶν ὀδόντων,
ὀλολυγμός τε καὶ θρῆνος,
τάρταρος ἄμοιρος θέρμης,
ἀνήλιος καὶ σκιώδης·
ἐκεῖ πολύ-ενον πένθος,
καὶ ὀχετοὶ τῶν δακρύων.
Ζυγὸς καὶ πλάσ-τιγξ τὰ ἔργα
ς-αθμίζεται δοκιμάζων,
ἀνακουφίζων, βαρύνων,
ἃ τὰ ἐσθλὰ, τὰ δὲ φαῦλα,
ἅπερ βιῶν ἐπεπράχειν
ἐκ πονηρᾶς συνηθείας.
Ἡ καταιγὶς ἐκθροεῖ με,
καὶ ταραχὴ τῶν πνευμάτων,
τὸ αὐχμηρὸν τῆς θυέλλης,
καὶ συνοχὴ τῶν κτισμάτων,
κτύποι βροντῶν ἐπ' ἀλλήλων,
ἀς-εροπῶν τε τὸ δέος.
Θάμβος ἰδεῖν ὑπὲρ πάντα,
καὶ τρόμος ἀναπολῆσαι
τὸν ποταμὸν τῆ παμφάγου
πυρὸς, ὁμῆ τε καὶ λίμνην
παφλάζουσαν καὶ βριμῶσαν
ἐνδίκως μὲ πυρπολῆσαι.
Θεοκυῆτορ Μαρία,
τῶν γηγενῶν εὐκληρία,
Χρις-ιανῶν προς-ασία,
ἁμαρτωλῶν ἐλπὶς μόνη
καὶ κοσμικὴ θυμηδία,
ῥῦσαι πυρὸς ἀπειλῆς με.

Digitized by Google

Ἰδὲ, ψυχὴ παναθλία,
βλεφάροις τῆς διανοίας
ἐξόρησά σοι τὰς θλίψεις,
καὶ τὰς ποινὰς πρὸ τῆς δίκης·
νῆφε θερμῶς ποτνιῶσα
τῆς πείρας τέτων ῥυσθῆναι.
Κρητής σοι πόρρωθεν ἥξει
θρονέμενος ἐν νεφέλαις,
τὴν κτίσιν ἀνατινάσσων
νερτέρων ἐκ τῶν θεμελίων,
κυμαίνων καὶ τὸν ἀέρα
παναλκεστάτῃ δυνάμει.
Λαίλαψ λαμήσει τὰ ὄρη,
καὶ ἀφαντώσει τὰς νάπας,
καὶ ἐν πυρὶ ἀκαμάτῳ
ἐκτεφρωθήσεται χέρσος
ἐκ προσώπου Κυρίου
κρίναι τὴν γῆν ἐρχομένου.
Μαρμαρυγαὶ νῦν φαεσφόρων
σβεσθήσονται παραυτίκα,
καὶ τῶν ἀστέρων τὰ πλήθη
οἷά περ φύλλα πεσοῦνται·
σύ δε, ψυχὴ, πῶς ὑποίσεις
τὴν ἔλευσιν τοῦ Δεσπότου;
Μέδον ὑψίθρονε, φεῖσαι
ὡς εὐδιάλλακτος φύσει,
ταῖς τῆς Μητρός σε πρεσβείαις,
τῶν νοερῶν στρατευμάτων,
πάντων ὁμοῦ τῶν ἁγίων,
τοῦ πλάσματος τῶν χειρῶν σε.
Ναμάτων θάλασσα σπάνιν
ὑφέξει διαπαυομένη,

Digitized by Google

καὶ ποταμοὶ κονισθῶσι
πηγάζοντες ἀεννάως·
σὺ δὲ, ψυχὴ, τί ποιήσεις,
τούτων φρικτῶς τελουμένων;
Ξένον ἰδέσθαι τὰ πάντα,
τὸ περιέχον στοιχεῖον
πυρκαϊᾶς ἀφανείᾳ
διδόμενον ὕλης δίκην,
καὶ εἰλισσόμενον αὖθις
ὡς κώδικα βεμβρανώδη.
Οἴμοι πῶς ταῦτα μελέα
ἐν νῷ ψυχὴ ἐ λαμβάνεις·
ἀλλ' ὑπὲρ ψάμμον θαλάσσης
ἀμνημονεῖς ἁμαρτῶσα·
ἀδείλως ὅθεν τὸ τέρμα
ἤδη λοιπόν σοι προσφαύσει.
Πῶς λυγηρῶς ὑπαδύσης
τῆς σάλπιγγος ὑπενέγκης;
τῶν κενεώνων γὰρ γαίη
νέκυας ἀνασφαιρίσει,
καὶ θάλασσα τοὺς σφετέρους
τῇ φοβερᾷ ἐπιστάσει.
Πεποίθησις μοὶ, Παρθένε,
γενοῦ τῆς δίκης ἐν ὥρᾳ,
σκέπη, φρουρὸς, εὐεργέτης,
καὶ ἱλασμὸς καὶ συλλήπτωρ,
ἐξ ἔργων μὴ κεκτημένῳ
ἐλπίδα θείας συγγνώμης.
Ῥαγήσεται τὰ μνημεῖα
νεκάδων κατεστιγμένων
τῇ τοῦ κριτοῦ ὑπαντίσει,
Μηχαὴλ σπέρχοντος ἅμα

Digitized by Google

πάντας ῥιπῇ παρας-ῆσαι
τεττάρων ἐκ τῶν ἀνέμων.
Σύνες, ψυχή, μετὰ ταῦτα
φρακτοὶ πῶς τίθενται θρόνοι,
καὶ ἀναπτίσσονται βίβλοι
παρις-αμένων ἐν φόβῳ
ἀπείρων καὶ ἀναρίθμων
Ἀγγέλων τε καὶ ἀνθρώπων.
Τότε λοιπὸν αἱ κολάσεις
δειχθήσονται, ἃς πρὸ ἔφην,
ἀπολαμβάνειν ἑτοίμως
τοὺς ὑπευθύνους δεῖν ὧσαι,
ὧν τελευταῖος καὶ πρῶτος
μόνος ἐγὼ ὁ παντλήμων.
Ὑπαγορεύσει πραέως
ὁ δικας-ὴς τοῖς ἀξίοις·
καὶ αὐς-ηρῶς ἁμαρτωλὸς
τῷ βήματος ἀπελάσει,
ὃς μὲν εἰς δόξαν ἐφέλκων,
ὃς δὲ πρὸς ἄληκτον πένθος.
Ὑπὸ πολλῆς εὐσπλαγχνίας
καμπτόμενος, ἐλεῆμων,
μὴ φοβεροῖς ὑπηρέταις
καὶ ἀμειλίκτοις Ἀγγέλοις
ἀθέμιτα τὸν ἐκ βρέφους
σοὶ πταίοντα παραδῴης.
Φιλανθρωπίας σῆς ὄντως
ἐκπέσουσιν ἀλαζόνες
κριταὶ, σοφοὶ, καὶ δυνάς-αι,
καὶ βασιλεῖς ὑπερόπται,
ἀζύγων καὶ ἱερέων,
οἵμοι πληθὺς καὶ μεγάθων.

Digitized by Google

Χωριζομένων συγγόνων,
γονέων, φίλων καὶ τέκνων,
τίς ἐννοῶν οὐκ οἰμώξει;
τίς δὲ βασ-άσει τὸν πόνον;
οὐκ ἄψοντα γὰρ ἀλλήλους
εἰς τοὺς ἀπείρους αἰῶνας.
Ψυχή, λογίζου πῶς ἄρδην
βληθήσονται εἰς κολάσεις,
ἑλκόμενοι ἀποτόμως
ὑπὸ πυρφόρων Ἀγγέλων,
καὶ ς-έναξον πρὸ τῆς πείρας
ἐκ βάθους τῆς διανοίας.
Ὡς θησαυροὺς τῆς ἀβύσσου
καὶ ἐρανοῦ καταῤῥάκτας
ἀνέῳξας κατακλύζων,
Σῶτερ, τὴν γῆν ἐπὶ Νῶε,
ἔτως καὶ νῦν κατάκλυσον
τὸν βόρβορον τῶν παθῶν μου.
Ὦ Δέσποτα τῶν αἰώνων,
Πάτερ, Υἱέ, καὶ τὸ Πνεῦμα,
ἡ τρισυπόστατος μία
καὶ ἀδιαίρετος φύσις,
δός μοι καιρὸν μετανοίας
πρὸς λύσιν ἁμπλακημάτων.
Ὦ Δέσποινα Θεοτόκε,
σπεῦσον, βοήθει μοι τάχος·
ἡ γὰρ ἀκμὴ τῆς ἀξίνης
ὡς ἄκαρπον ἐκφοβεῖ με,
καὶ ἡ φορὰ τῆς δρεπάνης
ὡς ἄωρον ἐκδεδίττει·
ὁ δὲ λικμήτωρ τὴν καῦσιν
ὡς ἀχυρον ἀπειλεῖ μοι.

Digitized by Google

## ΣΤΙΧΟΙ ΑΝΑΚΡΕΟΝΤΕΙΟΙ ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΤΟΥ ΣΙΚΕΛΟΥ ΚΙΝΔΥΝΕΥΣΑΝΤΩΝ ΤΩΝ ΓΟΝΕΩΝ ΑΥΤΟΥ ΚΑΙ ΑΔΕΛΦΩΝ ΕΝ ΤΗ ΘΑΛΑΣΣΗ.

---

Ἀπὸ μυστικῶν μελάθρων
λογικοὶ νέοι μολεῖτε,
ἵνα πενθάδος χορείης
λύραν ὁ ξένος δονήσω.
Βλεφάρων ῥόος χεέσθω
ποταμῶν δίκην τρεχόντων,
ὅτι μου φίλην γενέθλην
κατέπεφνε ῥῆξ θαλάσσης.
Δακρύων ἡμετέρων ἄρχεο κρήνη,
ποταμῶν ὑδροφόρων παύσατε ῥεῖθρα.
Γοερὰς πέπλους ὑφαίνων,
τίνα δακρύσω πρὸ πάντων,
τίνα δ' ὑστάτως στενάξω,
ἀπορῶ μὰ τὸν γενάρχην.
Πέλαγος κυματοτρόφον τὰς γενετῆρας
ζοφεροῖς ἐν ῥεθέοις ἀμφεκαλύπτει.
Δότε μοι λόγον, τοκῆες,
δότε, πῆ τανῦν ἀλᾶσθε;
δνοφεροῖς δόμοις θαλάσσης
τάχα κἂν λόγου στερεῖσθε.
Ἑλικωνίδας τρυγῆσαι
ἐθέλων * σοφῆς μελίσσης, * C. θέλων
πόθεν εὑρέθην τρυγήσας
συγερὸν μόρους γενέθλης;
Πατρίδα πλουτοδότιν βάρβαρα ἔθνη,
τοκέων ὀλωλότων, σπεύσατ' ὀλέσσαι.
Ζοφερὸν σάλον κορύσσων



Digitized by Google

ἁλὸς ἐκ βάθους ἀήτης
ῥόον ὀλκάδος ἐκφέρει
στερεῶν ὑπὲρ κορύμβων.
Γενέθλην ἡμετέρην τυρσανὲς οἶδμα,
ἐπιβρίσαν ζακότοις ἔκλυσε ῥείθροις.
H . . . . . Deest stropha.
Θαμινῶς θάλασσα δ' ὦρτο
ὀρέων δίκην ἀπείρων,
καταποντίσαι μαιμῶσα
εὐσαλμάτους διήρεις.
Ἴδε τὸν κλύδωνα, Σῶτερ,
ἴδε τὴν βίαν θαλάσσης·
ὁ πάλαι Πέτρον σαώσας,
ἐβόων, σάωζε πάντας.
Κορυφαὶ τῶν ὀρέων στενάξατε πᾶσαι,
μετ' ἐμῶν ὀμβροφόρων δάκρυα ὄσσων.
Κατέχυσα δ' ἡ τεκοῦσα
μετὰ δακρύων τὰ τέκνα,
γλυκερῇ κλάδοι, προσηύδα,
φοβερὸς πάρεστι πότμος.
Τάφον ὑγρὸν τίς εἶδε τέρμα θανόντων;
τάφον ἐς ῥεῦμα τόσον πῶς τε νοήσω;
Λογικὰς πόνους μελίττης
πόλιν ἐς ξένην ἀμέλγων,
ἐδάην μόρον τεκόντων,
ἐδάην πόνους ὁ μαίμων.
Μετ' ἀηδόνος γλυκείας
λιγυρὸν μέλος λιγαίνω,
ὅτι καὶ πάρεσιν αὖτη
Ἴτυλον γόνον γοῶσα.
Νῦν θαλέθειν (τὸ ἔαρ*) πάντα κελεύει,* Deest in C.
ἐμὲ δὲ φλὸξ μεγάλη ἄρτι μαραίνει.

Digitized by Google

Νόμος ἔνθεος τὰ τέκνα
θεραπευέμεν τοκῆας·
γενέτας δ' ἐμὲς ἀνάγκη
δακρύοις ἄπαυστα λείβειν.
Τέκνον ἐμὸν γλυκερὸν, παύεε μύσης,
ὅτι τὲς σὲς γενέτας ὤλεσεν ὕδωρ.
Ξένον ἀθρόως γεγῶτα
ξένισον πόλις μεδόντων,
ἵνα τοῖς ξένοις προσείπω
ὅτι καὶ ξένους ξενίζεις.
Ὁ φέρων λόγῳ τὰ πάντα,
ὁ χρόνος βροτοῖς ὁρίζων,
ἀνάπαυσον ἧς σενάζω
μετὰ πνευμάτων δικαίων.
Νιόβης αἰνοτόκου ἄρα τὸ πένθος
παθέων ἡμετέρων ἀντιφερίζει.
Παρὰ θῖν' ἁλὸς βαδίζειν
πολιῆς τανῦν ἐρῶμαι,
ἀπαρηγόρητα, μῆτερ,
σενάχων σὲ καὶ τοκῆα.
Πλοκάμους ἡμετέρους δέχνυσο, μῆτερ,
ἵνα τύτους κατέχῃς ἀβυσσοπόλους.
Ῥόδα μὲν δέμας Κυθείρης
πόρεν ὡς λόγος βροτοῖσι,
τὸ δ' ἐμὸν δέμας τοκεῦσι
κρῖνα δακρύων κομίζει.
Σὺ τὰ πάντα συμφερόντως
τελέθεις, ἄναξ ἁπάντων·
διὸ κἂν πόνους ὑπέτλην
μέλος ἀχάριστον ᾄδω,
Γενέτας ἐν ῥοθίοις θάναι κελεύσας,
Παραδείσῳ ναέτας, Δέσποτα, δεῖξον.

Digitized by Google

Τοκέων ἀπωρφανίσθην,
κασέων γύμνωσιν ἔσχον·
ὅθεν εἰκότως με, Σῶτερ,
ὑπὸ σαῖς πτέρυξι θάλψον.
Ἐμὲ τὸν μεσοπόλον κλαύσατε, κῆροι
πινυτοὶ, Σικελίης πατρίδος ἔρνη.
Ὑσάτην γόον τίνασσων
ἔαρος νέᾳ καθ' ὥρην,
λάλον ὄργανον θ' ὑπάρχει
γοερὸν σόμα σεναίζον.
Φαέθον, Θεῦ τὸ ἔργον,
συγέω βλέπειν τὸ φῶς σε,
ἔτι μηδόλως νομίζων
γλυκὺ τῷ βίῳ φαείνειν·
Ἀγαρηνῶν νομάδων ἄσπετα φῦλα,
πατρίδα πλουτοδότην σπεύσατ' ὀλέσσαι.
Χλοερὰς βρέχων ἀρούρας
νεφελῶν τόκος καταύδει,
ἐμὲ δὲ βρέχων ἀπαύστως
ῥόος ὀμμάτων μαραίνει.
Σὺν ἐμοὶ κόσμος ὅλος σύχνασον ὄντως,
ὅτι κέντρα θανάτε νῦν μὲ δαμάζει.
Ψεκάσι λόφων ἐρίζει
βλεφάρων ἐμῶν τὸ ῥεῖθρον,
διὸ καὶ χθόνα δροσίζει
μετὰ δενδρέων πετήλων.
Ὡς ματαιότης τὰ πάντα,
ὡς κόνις, θυέλλα, τέφρα·
ὁ πόνος πέπεικε γάρ με
πέρα καὶ μέτρε ποδίζειν.
Ὁ πολίτης Ἰθάκης μνήσατο νόστε,
τάχα δ' ὡς Δημοφόων νόστον ἀλύξω.

Digitized by Google

## ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ

ᾠδάριον ἐρωτικὸν δι' ἀνακρέοντος, καὶ κουκουλλίῳ, λαβόντος τὴν ὑπόθεσιν ἐκ μελῳδοῦ τινός.

---

Ποταμοῦ μέσον κατεῖδον
ποτὲ τὸν γόνον Κυθείρης,
ἐπενήχετο προβαίνων
μετὰ Νηΐδων χορείης.
ποταμὸς δὲ χρυσοδίνης
ἐβόα τί πυρπολεῖς με;
τί με παιδίον φλογίζεις;
ἀπ' ἐμῶν ἄπελθε ῥείθρων.
Πλοκάμους χρυσοχύτας, θαῦμα ἰδέσθαι,
ὁ γόνος τῆς Παφίης εἶχε καρήνων·
Ὃν ἰδὼν, ἐγὼ ποτ' ἔσχον
ἐπιθυμίαν κρατῆσαι,
